ARTEMIDORI DALDIANI & ACHMETIS SEREIMI F. Oneirocritica.

ASTRAMPSYCHI & NICEPHORI versus etiam Oneirocritici.

NICOLAI RIGALTII AD ARTEMIDORVM Notae. ad quarum finem p. 56 et sequentib. sunt notae in quaed. Martial. Epigram.





LVTETIAE,
Ex officina CLAVDII MORELLI.
CIↃ IↃ CIII.
CVM PRIVILEGIO REGIS.

ARTEMIDORI DALDIANI & ACHMETIS SEREIMI F. Oneirocritica.

ASTRAMPSYCHI & NICEPHORI *versus etiam Oneirocritici.*

NICOLAI RIGALTII AD ARTEMIDORUM Notae.





LUTETIAE,
Ex officina CLAUDII MORELLI.
cIↃ IↃ CIII.
CUM PRIVILEGIO REGIS.



Clarißimo amplißimóque viro

IAC. AVGVSTO THVANO,

SACRI CONSISTORII CONSILIARIO,
Senatúsque Parisiensis Praesidi doctißimo atque prudentißimo

NIC. RIGALTIVS

S. D.



REBVS anno superiore prolatis, Praeses amplissime, quum vna tecum essem in Villabonio tuo, ne amoenissima rusticatione abuti viderer, oneirocriticos Artemidori libellos, quos mecum forte tuleram, per xystos ac gestationes ambulando lectitabam, adnotabámque nonnulla, quae posteaquam ambulationis satias fieri ceperat, consideratius atten-

tiúſque recenſebam. atque id ſiue loci genio; ſiue, quod magis eſt, exemplo tuo incitatus libentiſſime praeſtiti: ne videlicet interea dum tu res orbe toto geſtas victuris dum erunt homines hiſtoriarum libris mandare pergis, iners ipſe deſiderem, otiíque tam beati pluſculas horas perderem, quas rei litterariae publicae non inutiliter impendere potuiſſem. Hanc igitur Oneirocriticorum editionem accuraui, minime neſcius, quum quae ab antiquis ſomniorum coniectoribus tradita ſunt vix vllam fidem aut gloriam inter litteratiſſimos homines inuenerint, fore vt opera haec mea in varias reprehenſiones incurreret. nam, vt ceteras mittam, quibuſdam, & iis quidem admodum indoctis, totum hoc diſplicet antiquarium opus. quidam autem id non totum reprehendunt, ſi vtiliter ſuſcipiatur; ſed vana eſſe Somnia clamitant; iíſque coniectandis


curam vllam adhibendam non arbitrantur. At illis certe litterarum vituperatoribus, non magis haec ſcripta ſunt; quam de philoſophia Abderitanis; aut de agrorum cultu ſterilibus terris. nam & deſperatis, ait Tullius Attico, etiam Hippocrates vetat adhibere medicinam. His vero quibus oneirocritica iſta minime probantur etiam ex parte libens aſſentior. imo & hoc addo amplius, pleraque iſta, ſi diuinationem ſpectent, tantum non ineptiſſima eſſe: at ſi acumen ingenij, ſi veteres ritus, ſi politiorem litteraturam, nihil his Artemidori libris acutius, nihil doctius elegantiúſque eſſe. Laruam Alcibiadis ſic aptam fuiſſe narrant, vt articulis vertebríſque complicatis Silenum quendam turpiculum effingeret, aut morionem ſimum recalua fronte: iiſdem vero catenatione mobili explicatis, numen aliquod derepente formoſulum

exprimeret, faciem decoram, & hilaris Dei vultum. Huic ille Sileno Socratem ſuum comparabat. Ego certe Socratico Sileno Artemidorum huncce meum ſimilem eſſe aio. quem prima fronte Marſum augurem, aut vicanum aruſpicem, vel de circo aſtrologum eſſe aliquis putet; eundem vero qui penitus inſpiciet ac euoluet, non proletarium, ſed multiplici ſcientiarum eruditione locupletiſsimum auctorem, & inter claſſicos cenſeri digniſsimum eſſe fatebitur. Hoc tibi, Praeſes Auguſtiſsime, lectione multa intelligendis penſitandiſque veteribus ſcriptis exercitatiſsimo perſuaſum apprime eſſe ſatis ſcio. nec pluribus verbis vtar; ne commendandi magis muneris, quam adſerendi huius operis gratia ſermonem hunc à me inſtitutum exiſtimes. Qualecunque autem ſiue operis ſit, ſiue muneris, offero ecce tibi, vel potius reddo; tuum enim eſt,

& ſolo cedit, quod in tuo natum. niſi mauis publici iuris eſſe, quod potes cum publico poſsidere. vtcunque tandem ſit, bene erit, ſi tibi probabitur: haec enim mei voti ſumma. Bene vale, vir ampliſs. méque vt facis amare perge. Lutetiae Pariſiorum, x v Kal. Februar. cIↄ Iↄ CIII.



IOCVLARE TIBI VIDETVR;
ET SANE BENE.
DVM NIHIL HABEMVS MAIVS,
CALAMO LVDIMVS.



LECTORI.



Rtemidori Latina interpretatio quam hic cernis, Lector, ipsissima est quam olim Ianus Cornarius edidit. nolui quicquam in ea mutare. non quod rectam esse putem, peruersissima enim est, sed in corrigenda labor vanus & ingratus. Jo. Leunclay versionem Latinam in Achmete retinui; quae autem in eius editione desiderabantur capita non pauca suppleui, diuerso typorum charactere notata. Nicephori versio mea est. Graeci versus è duobus codicibus depromti: Regiae bibliothecae vno, Is. Casauboni altero, clarissimi illius & litteratorum in Gallia nostra facile principis viri, cui magnam certe pro multis emendationibus gratiam debet Artemidorus noster. Cetera quae hic praestiti; tute ipse, si aequus es, facile aestimabis. Notas ad Artemidorum reliquas dabo in lucem quum primum otia mihi Deus fecerit. habe istas interim, & Vale.

In Achmetis editione pag. cxxx. delendi asterisci. nihil enim deest.



ΤΑ ΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΠΡΩΤΩ ΒΙΒΛΙΩ ΤΩΝ Ἀρτεμιδώρου Ὀνειροκριτικῶν.

LIBRO PRIMO ARTEMIDORI ONEIROCRITICORVM continentur ista.

ARTE-

ΑΡΤΕΜΙΔΩΡΟΣ ΚΑΣΣΙΩ ΜΑΞΙΜΩ· ΧΑΙΡΕΙΝ.

ARTEMIDORVS CASSIO MAXIMO S.

SÆPE iam ad huius operis tractationem indubitanter suscipiendã impulsus sum, verum hactenus „distuli, Non ob segnitiem „cessans animi aut leuitatẽ, velut ait Poëta, sed ob magnitudinem in ea speculationũ, & rei multitudinẽ maximè deterritus, cui accessit cõtradictionis hominum formido, eorũ præsertim qui siue quòd diuinationem esse nõ credant, neque deorum prouidentiam esse asserunt, siue etiam alia exercitia & studia sibi ipsis exquirunt. Nũc verò præsẽs rei necessitas, quæ non solum in nostram, sed etiã eorũ qui post victuri sunt homines vtilitatem se extẽdit,

ΠΟΛΛΑΚΙΣ πρότερον ἐπὶ τὴν πραγματείαν τὴν προκειμένην ὁρμῆσαι, καὶ ἐπεσχέθην· οὐκ ὄκνῳ εἴκων, „οὐδ' ἀφραδίῃσι νόοιο, ὥς φη-„σιν ὁ ποιητής· ἀλλὰ τὸ μέγεθος τῶν ἐν αὐτῇ θεωρημάτων καὶ τὸ πλῆθος καταπεπληγὼς μάλιστα, καὶ τὰς ἀντιλογίας δεδιὼς τῶν ἀνθρώπων· τῶν ἤτοι διὰ τὸ πεπεῖσθαι οὐκ εἶναι μαντικὴν οὐδὲ θεῶν πρόνοιαν λεγόντων ὅσα λέγουσιν, ἢ ἄλλως γυμνάσματα καὶ διατριβὰς ἑαυτοῖς πορίζομένων. νυνὶ δὲ ἡ παροῦσα χρεία ἀναγκαία, οὖσα διὰ τὴν εὐχρηστίαν οὐ μόνον τὴν ἡμῶν αὐτῶν, ἀλλὰ καὶ τῶν μετέπειτα ἐσομένων ἀν-

θεόπομπον, προετρέψατό με, μὴ διαμέλλειν, μὴ δὲ ἀναβάλλεσθαι. ἀλλὰ περὶ ὧν νῦν ἔχω κατάληψιν, καὶ διὰ πείρας ἐποιησάμην, συγγράψαι. ἡγοῦμαι δὴ ἀμφότερά μοι ἐκ τοῦ τοιούτου περιέσεσθαι· πρός τε τοὺς ἀναιρεῖν ἐπιχειροῦντας μαντικήν τε αὐτὴν, καὶ τὰ εἴδη αὐτῆς ἀνεπιφθόνως τε ἀλλὰ καὶ μετὰ κατασκευῆς οὐ τῆς τυχούσης ἀντιτάξασθαι· φέρων εἰς μέσον, καὶ τὴν τῶν ἐπιτελεσμάτων μαρτυρίαν ἣ πᾶσιν ἱκανὴ γένοιτ' ἂν ἀντιχεῖν ἀνθρώποις. καὶ μέν τοι καὶ πρὸς τοὺς χρωμένους μὲν μαντικῇ, διὰ δὲ τὸ μὴ ἐντετυχηκέναι λόγοις περὶ τούτων ἀκριβέσι πεπλανημένους, καὶ κινδυνεύοντας ἤδη καταφρονεῖν τε καὶ ἀφίστασθαι, θεραπείαν τινὰ σωτηριώδη ἀντὶ τῆς πλάνης καταστήσειν. σχεδὸν γὰρ οἱ μικρὸν ἡμῶν πρεσβύτεροι δόξαν συγγραφικὴν ἀπενέγκασθαι βουλόμενοι, καὶ διὰ τούτου γενόμενοι μόνου ἔνδοξοι ἔσεσθαι, εἰ συγγράμματα καταλίποιεν ὀνειροκριτικὰ, ἀντίγραφα ἀλλήλων πεποίηνται. ἢ τὰ

me adeò impulit, vt neque cunctandũ, neq; vlterius differendũ opus censeam, sed ea de quibus per experientiam cõpertum habeo, conscribam. Spero autem facultatẽ mihi ad vtrumq; præstandum abundè superfuturam, tũ vt eos qui vaticinationem siue diuinationem è medio tollere conantur, speciésque eius, non vulgari, sed splendida acie instructa opprimere tẽtãt, effectuum ac euẽtuum testimoniis in mediũ productis, retundam: talia namque ea sunt, vt omnibus hominibus se opponere, eísque sufficienter resistere queant. Tum vt eos qui vaticinatione quidem vtũtur, verum quòd non certam de ea doctrinam contigerunt, seducti sunt, & periculum est, ne eam contemnant & relinquant, salutari medela pro errore ostẽsa, in rectam viam reuocatos confirmẽ. ferè enim omnes paulò ante ætatem nostram, laudẽ ex scribendo ferre cupidi, & per hoc solũ se celebres fore sperantes, si de somniorum interpretatione scripta relinquerent, exemplaria inter se contulerunt, aut

ea quæ à veteribus rectè dicta sunt exponẽtes, aut etiam paucis ex veteribus acceptis multa non vera apponentes. Neque enim ex experientia, sed impręmeditati, vt cuique quicquam in mentẽ veniebat, sic conscripserunt, atq; ex his aliqui omnes, aliqui non omnes veterum libros indepti legerunt: aliqui verò eos ob vetustatem rara & corrupta, penitus latuerũt. Ego verò partim quidẽ magna animi contentione, nullũ non mihi librum de somniorum interpretatione conscriptum cõparaui: partim verò cùm omnes vates ex foro profligati essent, vtpote quos mendicos, præstigiatores, ac scurras appellant, hi qui graui simulato vultu supercilia contrahunt, cùm eis tamen, omni spreta calumnia, per multos annos in Græcia tũ per vrbes, tum per conuentus conuersatus sum, insupérque & in Asia & in Italia, insulísque maximis & populosissimis, quo scilicet vetera somnia, eorúmq; euẽtus audiẽdo cognoscerẽ: neq; enim poteram aliter

καλῶς εἰρημένα ὑπὸ τῶν παλαιῶν ἐξηγησάμενοι, ἢ καὶ ὀλίγοις τῶν παλαιῶν πολλὰ προσθέντες οὐκ ἀληθῆ. οὐ γὰρ ἀπὸ πείρας, ἀλλ' αὐτοσχεδιάζοντες, ὅπως ἕκαστος αὐτῶν ἐκινεῖτο περί τινος οὕτως ἔγραφον. καὶ οἱ μὲν πᾶσιν ἐντυχόντες τοῖς τῶν παλαιῶν βιβλίοις. οἱ δὲ, οὐ πᾶσιν. ἔνια δὲ αὐτῶν δι' ἀρχαιότητα σπάνια ὄντα καὶ διεφθαρμένα διέλαθεν. ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἔστιν *ὅτε βιβλίον οὐκ ἐκτησάμην ὀνειροκριτικὸν πολλὴν εἰς τοῦτο φιλομαθίαν ἔχων. τοῦτο δὲ καὶ σφόδρα διαβεβλημένων τῶν ἐν ἀγορᾷ μάντεων, οὓς δὴ προσαίτας τε καὶ γόητας καὶ βωμολόχους καλοῦσιν οἱ σεμνοπροσωποῦντες καὶ τὰς ὀφρῦς ἀνεσπακότες, καταφρονήσας τῆς διαβολῆς, ἔτεσι πολλοῖς ὡμίλησα, καὶ ἐν Ἑλλάδι κατὰ πόλεις καὶ πανηγύρεις, καὶ ἐν Ἀσίᾳ, καὶ ἐν Ἰταλίᾳ· καὶ τῶν νήσων ἐν ταῖς μεγίσταις καὶ πολυανθρωποτάταις ὑπομένων ἀκούειν παλαιοὺς ὀνείρους, καὶ τούτων τὰς ἀποβάσεις· οὐ γὰρ ἦν ἄλλως

χρήσασθαι τῇ κατὰ ταῦτα γυμνασίᾳ. ὅθεν μοι περιγέγονεν ἐκ περιουσίας ἔχειν περὶ ἑκάστου λέγειν, πλείονα μὲν ἢ προσδοκήσαι ἄν τις· οὕτως ὡς αὐτὰ τ' ἀληθῆ λέγοντα μὴ φλυαρεῖν. ὧν δ' ἂν ἐπιμνησθῶ, καὶ τὰς ἀποδείξεις φανερὰς καὶ πᾶσιν εὐκαταλήπτους ἀποδοῦναι με ἐξ ἁπλῶν· πλὴν εἰ μή τι εἴη οὕτω σαφὲς, ὡς περιττὴν ἡγήσασθαι τὴν περὶ αὐτοῦ ἐξήγησιν. Ἰτέον δὴ λοιπὸν ἐπὶ τὸ προκείμενον, ἵνα μὴ μεῖζον ἡμῖν ᾖ τὸ προοίμιον τοῦ δέοντος· τί γὰρ καὶ δεῖ λόγων ἄνευ τῶν πραγμάτων αὐτῶν πρὸς σὲ, τὸν οὕτω μὲν δεινὸν εἰπεῖν, ὡς οὔπω τὶς εἰς ἀνθρώπους τῶν Ἑλλήνων προῆλθεν· οὕτω δὲ συνετὸν, ὡς οὐκ ἀναμένειν τοῦ λέγοντος τὸ πέρας· ἀλλὰ τὴν ὑπόθεσιν ὅπου τελευτᾷ καταλαμβάνειν. ἀναγκαῖον δὲ πρότερον περὶ στοιχείων τινῶν κανονικῶς εἰπεῖν.

circa hæc exerceri. Ex quo cōtigit vt abundè mihi supersit, quod de singulis dicā, & plura fortaßis quā quis expectauerit: sic adeò vt in veritatis narratione minimè nugax deprehendar, & quorū mentionē fecero, etiā demonstrationes euidentes, & quæ ab omnibus facilè cōprehendendi queant, ex simplicibus faciam, nisi sanè quid adeò manifestū sit, vt superfluum existimē eius apponere interpretationem. Cæterum aggrediamur iā institutum, ne longiorem quàm ex decoro sit prefationē faciamus. quid enim verbis opus est citra rerū ipsarū testificationem, ad te præsertim adeò dicendi peritū & præstātē artificē? qualis nemo hactenus ad Græcos homines accessit. adeò autē prudentem & intelligentem, vt non expectes dicendi finē, sed antequam ad finē perducatur, argumēti summam deprehēdas. Porrò necessarium est de elementis quibusdam primū regulariter dicere.

De differentia insomnij & somnij. CAP. I.

DE insomniorum & somniorum inter se differentia, non paruam etiam in alijs meis libris distinctionem conscripsi. Quandoquidem autem indecorum (scio) videbitur tibi hoc opus, tanquam quod non iustum principium habeat, etiam nunc ab illis ipsis initium mihi ritè facturus videor; hac ratione enim somnium ab insomnio differt, quod illud quidem futura significat, hoc verò præsentia. Clarius autem didiceris hoc modo. Quales affectiones sursum recurrere solent, & seipsas animæ offerre, atque somnia efficere, velut exempli gratia, quòd amans videatur sibi circa delicias suas versari: &, quòd formidolosus videat ea quæ timet: & rursus, quòd esuriens comedat, & sitiens bibat. Insupérque quòd cibo expletus vomat, aut suffocetur, ob factam videlicet obturationem, alimento ægrè vaporem exhalare potente. Tales sanè videre est iam præ existentibus affectibus, non vt habeant futurorum prędictionem, sed pręsentium admonitionem. His autem sic habentibus, cernis vtique alias corporis proprias esse affectiones, alias animæ proprias, alias vtrisque communes, velut quòd amans videtur sibi apud rem amatam esse, & quòd ægrotus videtur sibi curari, & cum medicis conseruari, communes corporum ac animæ affectiones existunt. Vomere autem & dormire, & rursum bibere & edere, propriæ corporis sunt existimandæ. quemadmodum propriæ animæ sunt, gaudere, & tristari. Ex his porrò manifestum est, quòd corporalium affectionum aliæ ob inopiam, aliæ ob redundantiam fiunt. Animalium autem aliæ ob timorem, aliæ ob spem. Et de insomnijs quidem tantum dixisse satis sit. Cæterum appellatio ipsorum nõ est propria: non enim qui in somno sunt & dormiunt, ipsum insomnium solum vident, cùm etiam somnium opus sit dormientium. Verum insomnium insomnis quidem efficax est, cessante autem somno dissipetur. Somnium autem in somnis obueniens semper efficax est, intendens curæ prædictionis futurorum, & post somnium efficaces

Περὶ διαφορᾶς ἐνυπνίου, καὶ ὀνείρου. α.

ΠΕρὶ μὲν οὖν ἐνυπνίων καὶ ὀνείρων διαφορᾶς τῆς πρὸς ἄλληλα, διαίρεσις οὐκ ὀλίγη καὶ ἐν ἄλλοις γέγραπταί μοι. καὶ ἐπειδὴ ἄκοσμον ὥσπερ οὐκ ἀπαρχῆς γινόμενον φαίνεταί σοι τὸ σύγγραμμα, καὶ νῦν ὑπ᾽ αὐτῶν τούτων ἄρξασθαι καλῶς ἔχον εἶναι μοι δοκεῖ. ταύτῃ γὰρ ὄνειρος ἐνυπνίου διαφέρει, ᾗ συμβέβηκε τῷ μὲν εἶναι σημαντικῷ μελλόντων. τῷ δὲ τῶν ὄντων: σαφέστερον δ᾽ ἂν μάθοις οὕτως. ποῖα τῶν παθῶν προσανατρέχειν πέφυκε, καὶ προσανατάσσειν ἑαυτὰ τῇ ψυχῇ, καὶ τοὺς ὀνειρωγμοὺς ἀποτελεῖν. διὸ ἀνάγκη τὸν ἐρῶντα ἅμα τοῖς παιδικοῖς εἶναι δοκεῖν. καὶ τὸν δεδιότα ὁρᾶν ἃ δέδιε. καὶ πάλιν αὖ τὸν πεινῶντα ἐσθίειν, καὶ τὸν διψῶντα πίνειν. ἔτι δὲ καὶ τὸν πεπλησμένον τροφῆς, ἐμεῖν. ἢ πνίγεσθαι, διὰ τὴν γινομένην ἀποφραξιν, δυσαναθυμιάτου τῆς τροφῆς οὔσης. ἔστι τοίνυν, ἰδεῖν ταῦτα καθυποκειμένων ἤδη τῶν παθῶν. οὐ πρόρρησιν ἔχοντα τῶν μελλόντων, ἀλλὰ ὑπόμνησιν τῶν ὄντων. Τούτων δὲ οὕτως ἐχόντων, ἴδοις ἂν, ἃ μὲν ἴδια σώματος μόνου, ἃ δὲ ἴδια τῆς ψυχῆς. διὸ ἐρῶντα δοκεῖν ἅμα τοῖς παιδικοῖς εἶναι. τὸν νοσοῦντα, θεραπεύεσθαι, καὶ συμμίγειν ἰατροῖς. κοινὰ γὰρ ταῦτα σώματι καὶ ψυχῇ. ἐμεῖν δὲ καὶ καθεύδειν, καὶ πάλιν αὖ πίειν τε καὶ ἐσθίειν, ἴδια σώματος ἡγητέον. ὥσπερ ἴδια ψυχῆς χαίρειν τε καὶ λυπεῖσθαι. σαφὲς δὲ ἀπὸ τούτων, ὅτι τῶν σωματικῶν ἃ μὲν, δι᾽ ἔνδειαν, ἃ δὲ διὰ περισσότητα δρᾶται. τῶν δ᾽ αὖ ψυχικῶν, ἃ μὲν διὰ φόβον, ἃ δὲ δι᾽ ἐλπίδα. περὶ μὲν οὖν ἐνυπνίων, τοσαῦτα εἰρήσθω. τὸ δὲ ὄνομα αὖ τὸ κύριον, οὐχὶ οἱ ὑπνοῦντες αὐτὸ ὁρῶσι πάντες. ἐπεὶ ὄνειρος, ἔργον ὑπνούντων. ἀλλ᾽ ἢ ἐφ᾽ ὅσον μὲν ἐνύπνιόν ἐστιν ἐνεργεῖ. παυομένων δὲ τῶν ὕπνων ἀφανίζεται. ὁ δὲ ὄνειρος ἐνύπνιός τε ὢν, ἐνεργεῖ ἀεί, ὢν εἰς ἐπίστασιν προαγορεύσεως τῶν μελλόντων. καὶ μετὰ ὕπνον ἐνεργεῖς

ἐπάγων ταῖς ἐγχειρήσεσιν, ἐγείρειν τε καὶ ὀρείνειν τὴν ψυχὴν πέφυκε. διὰ ταῦτα καὶ τοῦ ὀνόματος αὐτῷ τεθέντος* ἀπ' αὐτῆς, παρὰ τὸ εἴρειν ὅ ἐστι λέγειν. ὡς ὁ ποιητής,

Τὰ δέ τοι νημερτέα εἴρω.

Καὶ τὸν πτωχὸν, Ἶρον ἐκάλουν οἱ Ἰθακήσιοι.

Οὕνεκ' ἀπαγγέλεσκε κιὼν, ὅτε πού τις ἀνώγοι.

inducens aggressiones, excitare & concitare animam solet, atque ea gratia nomen ab ipsa re compromissa impositum habet. Siquidem ὄνειρος Græcis, ab ὄν id est verum, & εἴρειν quod est loquor componitur. Vnde & illud poëtæ est,

Τὰ δέ τοι νημερτέα εἴρω. id est,

Hæc tibi vera loquor.

Quin & mendicum Ithacenses Irum appellabant, propter ea quòd *Iusserat vt quisquam iam certus nuntius ibat.*

Περὶ θεωρηματικῶν, καὶ ἀλληγορικῶν. β'.

ΕΤΙ τῶν ὀνείρων, οἱ μὲν, εἰσὶ θεωρηματικοί. οἱ δὲ, ἀλληγορικοί. καὶ θεωρηματικοὶ μὲν, οἱ τῇ ἑαυτῶν θέᾳ προσεοικότες. οἷον πλέων τις ἔδοξε ναυαγεῖν καὶ διατεθεὶς, ἔτυχεν οὕτως. ἐπεὶ γὰρ αὐτὸν ἀφῆκεν ὁ ὕπνος, παντόθεν ἀπώλετο τὸ σκάφος. αὐτὸς δὲ σὺν ὀλίγοις μόγις ἐσώθη. καὶ πάλιν τις ἔδοξε τετρῶσθαι πρὸς ἀνδρὸς, ᾧ μεθ' ἡμέραν συνεξελθεῖν εἰς θήραν προέθετο. καὶ δὴ συνεξελθὼν, ἐτρώθη ὑπ' αὐτοῦ παρὰ τὸν ὦμον, ἔνθα καὶ ὄναρ ἔδοξεν. Ἔτι δόξας τις ἀργύριον λαβεῖν παρὰ φίλου, ἕωθεν παρ' αὐτοῦ λαβὼν μνᾶς δέκα, καὶ παρακαταθήκην ἐφύλαξε. καὶ πολλὰ ἄλλα ὅσα τοιαῦτα. Ἀλληγορικοὶ δὲ, οἱ δι' ἄλλων ἄλλα σημαίνοντες. αἰνισσομένης ἐπ' αὐτοῖς φυσικῶς τι καὶ τῆς ψυχῆς, ἐγὼ δὲ οἶμαι καὶ τὴν αἰτίαν αὐτῶν, ὡς μάλιστα δυνατὸν ἐμοὶ, καθ' ἣν οὕτως ὁρῶνται καὶ ἀποβαίνουσι, καὶ τὸ ἔτυμον τοῦ ὀνόματος, εἰπεῖν. Πρῶτον μὲν οὖν εἰρήσεταί μοι, τίς ὅρος καθολικὸς ὀνείρου, οὐδὲν ἀντιθέσεως δεόμενος, εἰ μὴ πρὸς φιλονεικοῦντας λέγοιτο. Ὄνειρός ἐστι, κίνησις ἢ πλάσις ψυχῆς πολυσχήμων. σημαντικὴ τῶν ἐσομένων ἀγαθῶν ἢ κακῶν. Τούτου δὲ οὕτως ἔχοντος, ὅσα μὲν ἀποβήσεται μεταξὺ χρόνου διελθόντος ἢ πολλοῦ ἢ ὀλίγου, ταῦτα πάντα δι' εἰκόνων ἰδίων φυσικῶν, τῶν καὶ στοιχείων καλουμένων, προαγορεύει ἡ ψυχὴ τὸν μεταξὺ χρόνον νομίζουσα ἡμᾶς δύνασθαι λογισμῷ διδασκομένους τὰ ἐσόμενα μαθεῖν. ὅσα δὲ τῶν γινομένων οὐδ' ἡντιναοῦν ἐπιδέχεται διωρίαν, μηδὲν ὑπο-

---

De speculatiuis & significatiuis somnijs. CAP. 2.

SOmniorum alia sunt speculatiua, alia allegorica, hoc est aliorũ significatiua. Speculatiua sunt quæ suæ ipsorum visioni correspondent. Velut, nauigans quispiam naufragiũ facere sibi visus est, & dum sic affectus esset, ita cõtigit: postquàm enim somnus ipsum reliquit, nauis penitus peribat, ipse verò cum paucis vix seruatus est. Et rursus. Visus est sibi quispiam sauciatus esse à viro, cum quo postridie venatum exire proposuerat: & sanè egressus, ab ipso sauciatus est iuxta humerum, quo loco & per somnium sauciari sibi videbatur. Amplius visus est sibi quispiam argẽtum ab amico accipere, & mane accepit ab ipso minas decem, & depositum insuper seruauit, & multa alia huiuscemodi. Allegorica autem somnia sunt, quæ alia per alia significant, anima ipsa naturaliter quippiam in ipsis obscurè indicante. Ego verò simul & causam ipsorũ ob quam sic videntur & eueniũt, & nominis originationem, pro virium mearũ facultate recẽsebo. Primum omnium igitur dicã, quę sit definitio somnij vniuersalis, contra quam nihil opponi potest, nisi aduersus contentiosos proferatur. Somnium est motus aut figmentum animæ multiforme, significatiuum futurorum bonorum aut malorum. Hoc autem sic habente, quæcunque quidem eueniunt medio tempore multo, aut modico interueniente, ea omnia per imagines proprias naturales, quæ etiam elementa appellantur, anima ipsa medio tempore prænuntiat, vt quæ existimet nos ratione edoctos posse futura discere. Quæcunque verò fiunt nulla mora temporis intercedente, vtpote

nihil differente eo quisque tandem is est qui nos ad inductionem ipsorum gubernat: in his nullam prædictionis vtilitatem nobis esse putans, quo tamē intelligamus ipsa antequam experientia discamus, ipsa per seipsa ostendit, nihil extraneorum expectans ad demonstrationem eorum quę imminere significātur, inclamās quodam modo vnicuiq; nostrum: respice hoc & animaduerte, ex me doctus maximè quatenus tibi possibile est. Atq; hoc ita habere confitentur omnes. Neque enim quisquam dicit quod non post visum ipsum talia eueniunt, ne modica quidem mora interposita, imò quædam ipsorum simul vt sūt intellecta, vt ita dixerim, viso adhuc detinente nos, perficiuntur. Vnde & appellationem sortita sunt nō præter rationem, simul visorum & euenientum. Sequitur porrò ad ipsa, ad insomnium quidē nō significatiuum, spectrum, de quo tum alij multi, tum Artemō Milesius, & Phœbus Antiochenus, disseruerunt. Ad somnium verò visum & oraculū. Nos autem libenter prætermittimus expositionem, quam quidā nimis subtiliter & anxiè sunt rimati, quandoquidem quæcunque non sunt manifesta qualia sunt, ea neq; expositorem aliquem intellectu assequi posse opinor. At verò Allegoricorum somniorum quinq; species quidā definiunt. Alia etenim propria dicunt, in quibus facere aut pati quis se existimat. Tunc enim ipsi soli qui vidit euenient, siue bona fuerint, siue mala. Alia autem aliena, in quibus alius nobis videtur agere aut pati. Illi enim soli euenient, siue bona fuerint, siue contraria. siquidem nouerit ipsum, & aliquo modo extiterit familiaris. Quæ verò communia appellantur, ea etiam nomen ipsum declarat, quod sint quæ cum quocunque tandem noto ac familiari in somnis fiunt. Quæcunque autem in portus, & muros, forúmq; ac gymnasia, & communia vrbis donaria se extendunt, ea publica vocant. Solis postremum & Lunæ, & aliarum stellarū dissipationem, aut perfectum deliquium, terræq; ac maris indecentes subuersiones, affectus appellant mundanos, propriè autem somnia mundana vocantur. Sed tamen non habet se hoc modo simpliciter vniuersalis somniorum ratio, quādoquidem neque propria perpetuo his qui viderunt ea solis euenire cōtingit. Noui enim multa quæ patribus ac

θεμένου τοῦ ὅς τίς ἐστιν ὁ διοικῶν ἡμᾶς εἰς τὴν ἐπαγωγὴν αὐτῶν, οὐδὲν ὄφελος ἡγουμένης τῆς προρρήσεως ἡμῖν, εἰ μὴ συνήσομεν αὐτὰ πρὶν πείρᾳ μαθεῖν, αὐτὰ δι' αὑτῶν δείκνυσιν, οὐδὲν τῶν ἔξωθεν εἰς ἐπίδειξιν ἀναμείνασα τῶν σημαινομένων. τρόπον τινὰ βοῶσα ἡμῶν ἑκάστῳ. θέασαι τοῦτο καὶ πρόσεχε δι' ἐμοῦ μαθὼν μάλιστα, ὅσοι δυνατόν. καὶ τοῦτο οὕτως ἔχειν ὁμολογήσουσιν ἅπαντες. οὐ γάρ ποτε ἐρεῖ τις, ὡς οὐ μετὰ τὴν ὄψιν αὐτίκα ἀποβαίνει τά γε τοιαῦτα. οὐδὲ ὀλίγον διαλείποντα. ἔστω δὲ αὐτῶν ἔνια ἅμα νοηματικῶς εἰπεῖν, ἔτι τῆς ὄψεως κατεχούσης περαιοῦσθαι. ὅθεν καὶ τῆς προσηγορίας ἔτυχεν οὐκ ἀλόγως, ἅμα θεωρούμενα καὶ ἀποβαίνοντα. ἕπεται δὲ αὐτοῖς, τῷ μὲν ἐνυπνίῳ τῷ ἀσημάντῳ, τὸ φάσμα, περὶ οὗ ἄλλοι τε πολλοί, καὶ δὴ καὶ ἀρτέμων ὁ μιλήσιος, καὶ φοῖβος ὁ ἀντιοχεὺς διειλεγμένοι εἰσί. τῷ δὲ ὀνείρῳ, ὅραμά τε καὶ χρηματισμός. ἡμεῖς δὲ ἑκόντες παρήκαμεν τὴν περὶ αὐτοῦ εἰς λεπτὸν ἐξήγησιν, ἐπεὶ ὅσα μὴ ἔστι καταφανῆ οἷα ἐστὶν, τούτοις ἡγοῦμαι μηδὲ ἐξηγουμένῳ τινὶ παρακολουθεῖν δύνασθαι.

Ἔτι τῶν ἀλληγορικῶν, ὁρίζονταί τινες πέντε εἴδη. τοὺς μὲν γὰρ ἰδίους εἴπομεν, ἐν οἷς αὐτός τις ὑπολάβοι δρᾶν, ἢ πάσχειν. τό τε γὰρ ἀποβήσεται αὐτῷ τῷ ἰδόντι μόνῳ. εἴτε ἀγαθὰ ὄντα τύχοι, εἴτε ἐναντία. τοὺς δὲ, ἀλλοτρίους, ἐν οἷς ἂν δοκῇ ἄλλον ἐνεργεῖν ἢ πάσχειν. τῷ δὲ γὰρ ἀποβήσεται μόνῳ, εἴτε ἀγαθὰ ὄντα τύχοι, εἴτε ἐναντία. εἴπερ εἰδείη αὐτὸν, καὶ ἐπὶ πόσον ὄντα συνήθη. ἃ δὲ κοινὰ, ταῦτα καὶ τὸ ὄνομα σημαίνει, τὰ μετὰ οὑτινοσοῦν γνωρίμου περαιούμενα κατ' ὄναρ. ὅσα δὲ εἰς λιμένας καὶ τείχη ἀγοράς τε καὶ γυμνάσια, καὶ κοινὰ πόλεως ἀναθήματα ἀνατείνει, ταῦτα δημόσια καλοῦσιν. ἡλίου τε καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων ἀφανισμὸν, ἢ τελείαν ἔκλειψιν, γῆς τε καὶ θαλάσσης ἀκόσμους ἀνατροπάς, πάθη προσαγορεύει κοσμικά. καλεῖται δὲ κυρίως οὕτως ὀνείρατα κοσμικά. ἔχει δὲ οὐχ οὕτως ἁπλῶς ὁ καθολικὸς αὐτῶν λόγος. ἐπειδὴ οὔτε τοῖς ἰδίοις ἀποβαίνειν συμβέβηκε διηνεκῶς τοῖς ἰδοῦσι μόνοις, ἤδη δὲ πολλοῖς καὶ

εἰς τοὺς παῖδας ἀποβαίνοντας. οἷον ἔδοξέ τις ἀποθανεῖν· ἀπέβη τὸν πατέρα αὐτοῦ ἀποθανεῖν. ὅσπερ ἦν ἄλλος αὐτὸς τῷ καὶ σώματος καὶ ψυχῆς μετέχειν τῆς αὐτῆς. καὶ πάλιν ἔδοξέ τις τετραχηλοκοπῆσθαι. ἀπέβη καὶ τούτου τὸν πατέρα ἀποθανεῖν. ὃς καὶ τοῦ ζῆν καὶ τοῦ φωτὸς αἴτιος ἦν. ὥσπερ καὶ ἡ κεφαλὴ τοῦ παντὸς σώματος. οἷον δέ ἐστι καὶ τὸ τυφλωθῆναι. τέκνοις ὄλεθρον καὶ οὐχὶ τῷ ἰδόντι σημαίνει. καὶ πολλὰ ἄλλα ὅσα τοιαῦτα εἴποι τις. ἃ οὔτε τοῖς ἀλλοτρίοις μὴ οὐχὶ καὶ αὐτοῖς τοῖς ὁρῶσιν ἀποβαίνειν τις διοελεῖται πείρᾳ διδασκόμενος. οἷον ἔδοξέ τις τὸν πατέρα κατακαιόμενον ἰδεῖν. ἀπέβη ἀποθανεῖν αὐτὸν τὸν ἰδόντα. ἵνα διὰ τὴν ἐπ᾿ αὐτῷ λύπην ὡς εἰπεῖν δίκην πυρὸς ὑπὸ τοῦ πάθους καιόμενος ὁ πατὴρ διαφθείρηται. καὶ πάλιν ἔδοξέ τις τὴν ἐρωμένην αὐτοῦ τελευτῆσαι· καὶ μετ᾿ ὀλίγον αὐτὸς ἀπεβίω, τῆς ἡδίστης αὐτῷ χρήσεως ἀφῃρημένος. οἷον δέ ἐστι καὶ τὸ δοκεῖν νοσεῖν τὴν μητέρα ἢ τὴν γυναῖκα. ἀσθενεῖς καὶ ἀκόσμους τὰς ἀπὸ τῶν τεχνῶν παρέχον ἐργασίας. οὐδὲ γὰρ οὐδὲ διαφωνεῖται τοῦτο. ἀλλὰ συμφώνως ἐοικέναι λέγουσι πάντες τὴν τέχνην, μητέρα μὲν, ἐπεὶ τρέφει. γυναῖκα δὲ, ἐπεὶ ἰδιαίτατον. ἔτι καὶ τὸ φίλους ὁρᾶν. καὶ εἰ μὲν λυποῖντο, λύπας ποιοῦσι. εἰ δὲ χαίροιεν, ἡδονάς. ἀπὸ γὰρ τῶν αὐτῶν ἔστι καὶ τὸ κοινοὺς διελέγχειν ὀνείρους. ὡς καὶ αὐτῶν ἀντὶ κοινῶν, ἰδίας ἤδη τινὲς ἔσχον ἀποβάσεις. ἀλλὰ τὰ μὲν πρῶτα ὡς οἱ παλαιοὶ διεῖλον, καὶ ὡς ἐπιτοπολὺ οὕτως ἔχει. τὰ δὲ ἑξῆς, σπανίως μὲν ἀλλ᾿ οὖν ἔστιν ὅτε οὕτως ὡς ἡμεῖς φαμὲν γινόμενα, πλάνην τοῖς περὶ ταῦτα δεινοῖς ἐμποιεῖ. διαληπτέον δὲ περὶ αὐτῶν, ὧδε. Τῶν ἰδίων ὅσα μὴ διατείνει πρὸς τοὺς πέλας, ἐν μόνοις τοῖς ὁρῶσι καὶ πρὸς μόνους ὄντα, καὶ μὴ πρός τινας καὶ διά τινας ἐνεργούμενα, ταῦτα τοῖς ὁρῶσιν ἀποβαίνει. ὡς τὸ λέγειν. ὡς τὸ ᾄδειν· ὡς τὸ ὀρχεῖσθαι. καὶ ἑξῆς. πυκτεύειν. ἀγωνίζεσθαι. ἀναρτᾶν ἑαυτόν. ἀποθνήσκειν. σταυροῦσθαι. κολυμβᾶν. θησαυρὸν εὑρίσκειν. ἀφροδισιάζειν. ἐμεῖν, καθίζειν εἰς χρείας, θακεύειν. κοιμᾶσθαι. γελᾶν. κλαίειν. θεοῖς λαλεῖν. καὶ τὰ ὅμοια. τὰ δὲ, ἀμφὶ σῶμα, ἢ μέρος σωματικόν· καὶ τὰ ἐκτός. οἷον κλινίδια.

filijs euenerunt. Velut visus est sibi quispiam mori, & contigit patrem ipsius vita decedere, qui erat alter ipse, quod & corpore & anima eadem participaret. Et rursus. Visus est sibi quis decollari, contigítque & huius patrem mori, qui & vitæ & lucis autor ipsi erat, quemadmodum caput totius corporis. Tale quid est & excæcari, filijs enim interitũ, & non ipsi qui vidit portendit. Multáq; insuper alia huiuscemodi quis recensere possit. Neq; verò aliena non etiam ipsis videntibus euenire quispiam adstruere & explanare potest, qui experientia est edoctus. Velut: Existimauit se quispiam videre patrem comburi, contigitq; mori ipsum qui visum hoc vidit, vt ob tristitiam ob ipsum conceptam, instar ignis, vt ita dicam, ab effectu exustus pater consumeretur. Et rursus, Existimauit quis amicã suam vita defunctam esse, & nõ ita multò post ipse vitam finiuit, iucundissimo sibi vsu priuatus. Tale quid est & videre matrem aut vxorem ægrotare, inualida & indecentia exhibens ac designans artium lucella. Neque enim dissonum est hoc, sed cõcorditer omnes aserũt, artem similem esse matri quidem quoniam nutrit, vxori verò, quoniam proprijssima res est. Insuper & amicos videre tale quid est, & si quidem tristantur, tristitiam facere, si verò gaudeant, voluptatem. Ab ipsis verò & communia somnia redargui possunt. Nimirũ quòd etiam ipsorum, pro communibus, proprios aliqui iam habuerunt euentus. At verò prima quidem vt plurimum sic habẽt, quemadmodum veteres distinxerunt. Sequentia verò, rarò quidem. Attamen cùm aliquando sic vt nos diximus euenientia, in errorem etiam eos qui magni hac parte habentur, inducant: distinguendum est sanè de ipsis hoc modo. Ex somnijs quæcunq; non extendunt se ad vicinos, in solis videntibus & ad solos existentia, & non ad quosdã & per quosdam effecta, ea videntibus eueniunt: velut sunt, dicere, canere, saltare, & deinceps pugilem esse, decertare, seipsum suspendere, mori, crucifigi, natare, thesaurũ inuenire, venerea exercere, vomere, desidere exonerãdæ alui gratia, sedere, dormire, ridere, plorare, cum dijs loqui, & similia. Quæ verò circa corpus sunt, aut corporis partem, & circa externa, velut lectulos,

lectulos, aut arculas, aut cistas, & aliam supellectilem vestitúmq; & similia, quamuis propria sint, sæpe tamen solent etiam vicinis euenire, iuxta necessitatis & vsus proprietatem. Sic caput refertur ad patrẽ, pes ad seruum. Dextra manus ad matrem, ad filium, amicum, fratrem. Sinistra manus ad vxorem, & matrem, & amicam, & filiam ac sororem. Pudendum ad parentes, vxorem, & liberos. Sura ad vxorem & amicam. Reliqua verò singula, vt ne longius sermo producatur, eodem modo sunt consideranda. Ex communibus autẽ & alienis somnijs, quæcunq; per nos, & ad nos solos fiunt, nobis ipsis propria putentur. Quæ verò non ad nos, aut per nos fiunt, ea omnia alijs euenient. Verum si fuerint amici, & ea quæ significantur fuerint bona, illis contingent, nobísq; ex parte gaudium & voluptas. Si verò mala fuerint, hæc quidem itidem illis euenient, nobis verò tristitia, & non omnino propter illorum mala, sed iam quædam propria tristitia nos vexabit. Quòd si contra hostes fuerint, etiam his contraria coniectare oportet. At verò de publicis somnijs itémq; mundanis sic sentio. De his sanè de quibus aliquis non fuit curiosus, nemini somniũ occurret, quandoquidem neq; de proprijs quorum quis curam non habuit, vllus aliquis somnium vidit. Cæterùm præter virium facultatem paruum aliquem suscipere magnarum rerum speculationẽ impossibile est. Ratione enim cõuinci potest, & hæc somnia priuata esse & videntibus euenire. Nisi si sanè rex, aut princeps, aut magnatum aliquis viderit, his enim & communium cura incumbit, & speculationem de ipsis suscipere possunt, nõ vt idiotæ & priuati homines, quibus pauca concredita sunt, verùm vt domini, & qui pro quarundam rerum successu prospero curam gerunt, quod ipsum etiam poëta de ipsis testatur, vbi senibus in concione de somnio Agamemnonis disceptantibus sic ait:

Si quis enim ex vulgò vidisset somniũ Achiuus,
Mẽdacẽ argueremus & aduersaremur id omnes,
Nunc vidit princeps qui cunctos vicerit vnus.

Vult enim dicere, Si quidem ex priuatis aliquis Achiuorum somnium dixisset, nõ quidem ipsum narrantem mẽtiri putaremus, sed somnium ipsum falsum esse duceremus, & nobis non euenturũ, & pro-

ἢ κιβώτια, ἢ κιστίδια, καὶ τὰ ἄλλα σκεύη, ἐσθῆτά τε καὶ τὰ ὅμοια. καί τοι ἴδια ὄντα, πολλάκις φιλεῖ καὶ τοῖς πέλας ἀποβαίνειν, κατ' οἰκειότητα τῶν χρειῶν. οἷον κεφαλὴ, εἰς πατέρα· πούς εἰς δοῦλον. δεξιὰ χεὶρ εἰς μητέρα, εἰς υἱὸν, φίλον, ἀδελφόν. ἀριστερὰ χεὶρ, εἰς γυναῖκα, καὶ μητέρα, καὶ φίλην, καὶ θυγατέρα, καὶ ἀδελφήν. αἰδοῖον, εἰς γονεῖς, καὶ γυναῖκα, καὶ τέκνα. κνήμη, εἰς γυναῖκα, καὶ φίλην. Τῶν δὲ ἄλλων ἕκαστον ἵνα μὴ μακρολογῶμεν, οὕτω σκοπητέον. Τῶν κοινῶν τε καὶ ἀλλοτρίων, ὅσα μὲν δι' ἡμᾶς τε καὶ πρὸς ἡμᾶς μόνους γίνεται, ἡμέτερα αὐτὰ ἴδια νομιζέσθω. ἃ δὲ μὴ πρὸς ἡμᾶς ἢ δι' ἡμᾶς, ταῦτα τοῖς ἄλλοις ἀποβήσεται. ἀλλ' εἰ μὲν εἴησαν φίλοι, καὶ τὰ σημαινόμενα ἀγαθὰ γένοιτ' ἂν ἐκείνοις· ἡμῖν τε ἀπὸ μέρους χαρά τε καὶ ἡδονή. εἰ δὲ κακὰ εἴη, ταῦτα μὲν ἐκείνοις. ἡμῖν δὲ λύπη. οὐ πάντως δὲ διὰ τὰ ἐκείνων κακά· ἀλλ' ἤδη τις ἰδία. ἐχθρῶν δὲ ὄντων, τὰ τούτοις ἐναντία τεκμαίρεσθαι χρή. αὐτὰρ δὴ καὶ δημοσίων ὀνείρων τε καὶ κοσμικῶν, ὧδε ἔχω λέγειν. τὰ μὲν ὑπὲρ ὧν τις οὐ πεφρόντικεν, ὑπὲρ τούτων οὐδεὶς ὄψεται. ἐπεὶ καὶ ὑπὲρ ἰδίων ὧν ἤδη τινὲς μὴ φροντίσαντες, ὀνείρους εἶδον. τὸ δὲ παρὰ δύναμιν ἀναδέξασθαι μικρὸν ὄντα μεγάλων πραγμάτων θέαν, ἀδύνατον. διελέγχει γὰρ τὸν λόγον ἰδίων ὄντων καὶ τούτων ὀνείρων, καὶ εἰς τοὺς ὁρῶντας ἀποβαινόντων. εἰ μὴ ἄρα βασιλεὺς, ἢ ἄρχων, ἢ τις τῶν μεγιστάνων ἴδοι. τούτοις γὰρ καὶ πεφρόντισται τὰ κοινά. καὶ τὴν ὑπὲρ αὐτῶν ὄψιν ἀναδέξασθαι δύνανται οὐχ ὡς ἰδιῶται μικρὰ πεπιστευμένοι· ἀλλ' ὡς δεσπόται καὶ τῶν πραγμάτων ἐπιμελούμενοι ὑπὲρ εὐδαιμονίας. ὅπερ καὶ ὁ ποιητὴς περὶ τούτων λέγει. περὶ τοῦ ὀνείρου τοῦ Ἀγαμέμνονος διαλαμβανόντων αὐτὸν ἐν τῇ βουλῇ τῶν γερόντων.

Εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἐνίσπε,
Ψεῦδός κεν φαῖμεν, καὶ νοσφιζοίμεθα μᾶλλον.
Νῦν δ' ἴδεν, ὃς μέγ' ἄριστος ἐνὶ στρατῷ εὔχεται εἶναι.

Βούλεται γὰρ λέγειν· εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἰδιώτης ἔλεγεν, οὐχὶ ψεύδεσθαι αὐτόν τι τὸν λέγοντα ἡγούμεθα ἀλλὰ ψευδῆ εἶναι τὸν ὄνειρον αὐτὸν, καὶ ἡμῖν οὐκ ἀποβησόμενον· διὸ καὶ ἀπη-

ζοίμεθα αὐτοῖς ἂν τοῦ προσέχειν. νυνὶ δὲ ἀμήχανον μὴ οὐχὶ ἀποβῆναι ἡμῖν, ἐπειδὴ τὸν βασιλεὺς εἶδεν. ἀλλά φησιν ὅτι ἤδη τινὲς ἰδιῶται καὶ πένητες, εἶδον ὀνείρους δημοσίους. οὓς προκηρύξαντες ἢ γράψαντες καὶ προθέντες, ἐπίστευσαν, τῷ ταῖς ἀποβάσεις ἐοικέναι τοῖς ὀνείροις. λανθάνοντες αὐτοὺς ὅτι μὴ ἐγνώκασι τὸ δέον. οὐ γὰρ ἑνὸς ἰδόντος ἀπέβη ποτὲ ἰδιώτου ὄνειρος εἰς τὸ κοινόν· ἀλλὰ πολλῶν κατὰ τὸ αὐτό· ὧν οἱ μὲν, δημόσια ἀναγορεύουσιν. οἱ δὲ, ἰδίᾳ ἕκαστος. καὶ γίνεται οὐκ ἰδιώτης ὁ ἰδών· ἀλλὰ καὶ στρατηγοῦ, καὶ ἄρχοντος οὐδὲν ἧττον. ὅμως ἀγαθοῦ μὲν ἐσομένου κοινοῦ πολλοῖς, μυρίοις ἄν τις ἀκούσαι λεγομένοις ὀνείροις. οἳ σημαίνουσι τὸ μέλλον. ἄλλος ἀλλοίᾳ καὶ διαφόρῳ ὄψει. οὕτως δὲ καὶ ἐπὶ τῶν ἐναντίων. ἢν δὲ μὴ πολλοί, εἷς δέ τις ἴδῃ, οὐ δίκαιον ἂν εἴη μόνον ἀναδέξασθαι τὴν ἀπόβασιν. εἰ μή τις εἴη τῶν στρατηγῶν, ἢ ἄλλην ἀρχὴν ἐχόντων, ἢ ἱερεὺς, ἢ μάντις τῆς πόλεως. ἀρέσκει δὲ ταῦτα καὶ Νικοστράτῳ τῷ Ἐφεσίῳ καὶ Πανυάσιδι τῷ Ἁλικαρνασεῖ, καὶ γνωριμωτάτοις ἀνδράσιν ἐλλογίμοις.

pterea auerteremus Achiuos omnes, vt ne huic animum aduerterent. Nunc verò impossibile est, vt non eueniat nobis, quandoquidem id ipsum rex vidit. Alij porrò aiunt, quòd iam quidam priuati & pauperes publica somnia viderint, quibus annuntiatis aut scriptis & propositis fides habita sit, propterea quòd euentus ipsis somnijs responderint, atq; illi interim nō vident, ac ne cogitant quidem de decoro. Neq; enim vnquam euenit somnium in cōmune, quod ab vno priuato visum est, sed quod à multis, & simul, quorum alij publicè & ex officio annuntiāt, alij singuli priuatim, & fit hoc modo is qui vidit nō priuatus, sed & duce exercitus & principe nihilo minor. Attamen vbi bonum aliquod affuturum est commune multis, infinita quis somnia recenseri audire potest, quæ sanè futurum significant, alia alia & diuersa visione. Atq; hoc modo etiam in contrarijs contingere potest. Si verò non multi, sed vnus aliquis videat, non æquum fuerit vnum solum spondere ac cōpromittere euentum, si non fuerit dux exercitus aliquis, aut aliàs principatum aliquem obtinuerit, aut fuerit sacerdos, aut ciuitatis vates. Atq; hæc etiā Nicostrato Ephesio placēt, & Panyasi Halicarnasseo, viris celeberrimis & omnino eximijs.

Περὶ εἰδῶν ὀνείρων. γ΄.

ΕΤΙ δὲ λέγουσιν οἱ περὶ ταῦτα δεινοί, ὅτι δεῖ κρίνειν αἴσια, τὰ, φύσει, νόμῳ. ἔθει, τέχνῃ, ὀνόμασι. χρόνῳ. οὐ προεννενοηκότες ὅτι τὰ φύσει βλεπόμενα τῶν οὐχ ἑπομένων φύσει, δυσχερέστερα τοῖς ὁρῶσιν, εἰ μὴ χρησιμεύει διὰ τὰς ὑποκειμένας τοῖς πράγμασιν ὑποστάσεις. γίνεται γὰρ ὡς τοῖς ἀπόροις τὸ ἀνοισιν. καὶ τοῖς πάνυ μυστικώτερα πράττουσιν, ἡμέραι καθαραί. καὶ νυκτὸς εὔσημος ἀστέρων χορός. ἡλίου τε καὶ σελήνης ἐπιτολαί καὶ τὰ παραπλήσια. καὶ τὰ κατὰ τὸ ἔθος οὐ παντάπασιν ἁρμόζει ταῖς τῶν καιρῶν ἐπιμιξίαις οἰκειούμενα, τούτοις ἑξῆς ὅμοια καὶ τὰ περὶ τῶν ἄλλων ἔχω λέγειν. δεῖ δὲ καὶ τῆς συμμετρείας στοχάσασθαι.

De Somniorum Speciebus.

CAP. 3.

QVi circa somnia interpretandi artem præcipui habentur hoc amplius tradunt, quod iudicare oportet pro prosperis, quæ cōueniunt naturæ, legi, consuetudini, arti, nominibus, & tempori, non præmeditantes quod ea quæ naturæ conuenienter videntur, grauiora sunt vidētibus, quàm ea quæ non videntur naturæ congruenter, nisi commodent propter subiectas rebus substantias. Contingunt enim velut egenis prodigalitas, & his qui arcana faciunt, puri & clari dies, & noctu conspicuus stellarum chorus, Solisq; ac Lunæ exortus, & consimilia. Quin ea quæ iuxta consuetudinem fiunt, non omnino conueniunt temporum mixturis appropriata. Atq; his similia sunt quæ de alijs sentio. Oportet autem, & æquabilitatis atq; symmetriæ conjecturam facere.

De sex Elementis. CAP. 4.

CVm sint sanè sex prædicta elementa non omnino vniuersalia, multo risu excepti sunt quidam ab hominibus. Nam alij hæc sex, octo & decé, alij centum, alij ducenta & quinquaginta fecerunt, & meritò sanè ridentur, quãdo tot recensentes, vitare nõ possunt, quin ea ipsa ex sex prædictis existent, aut ad aliquod ipsorum referantur. Hæc quidem igitur ad complementum eorũ quæ à veteribus defectuosè dicta sunt, abundè dicta sunt. Duos porrò modos vniuersales simul suscipere oportet, alterum generalem, primum, alterũ specialem, secundum, & priorem quidem in hunc modum.

De Modo generali. CAP. 5.

SOmniorum alia multa per multa prædicunt, alia pauca per pauca, alia multa per pauca, alia pauca per multa. Multa itaque per multa sic. Visus est sibi quispiam volare, ac deferri ex animi sui sententia ad propositum scopum, ad quem peruenire destinarat. Deinde vbi istic esset, pennas habere se existimauit, & vnà cum auibus commigrare, & postea rursus ad domum suam reductus esse. Huic ipsi euenit vt à domo discederet, ob volatũ nimirum & propositum: & vt ea quæ magno studio destinarat, perficeret, propterea quòd à proposito scopo non aberrasset: & sanè cùm abundè ditatus esset, quãdoquidem diuites pennas habere dicimus, & in peregrina regione versatus, propterea quòd aues non eiusdem generis essent, ita domum suam rediuit. Pauca verò per pauca sic. Visus est quispiam sibi, aureos oculos habere, is excæcatus est, propterea quòd aurum oculis minimè proprium existat. Multum auté per pauca, velut verbi gratia: Existimauit quis se proprium suum nomen perdidisse. Huic euenit vt tum filium perderet, non quòd sic rem pretiosissimam solum perderet, sed quòd etiam eodem nomine filius vocaretur: tum verò etiam omné possessionem. Cùm enim litibus ei intentis in ius vocatus esset, reus peractus & damnatus est, postulatus ob publica delicta, ignominiaq; affectus, & fugitiuus factus, seipsum suspẽdens vitam finiuit, vt neq; mortuus nomen haberet.

Περὶ τῶν ἓξ στοιχείων. δ'.

ΟΝτων δὴ τούτων τῶν ἓξ στοιχείων οὐ πάντων καθολικῶν, πολὺς γέλως παρῆλθεν εἰς ἀνθρώπους, ὑπὸ τῶν ταῦτα τὰ ἕξ, τῶν μὲν, δεκαοκτώ. τῶν δὲ, ἑκατὸν, τῶν δὲ, διακόσια πεντήκοντα λεγόντων, ἐπειδὴ ὅταν λέγωσιν οὐ διαφεύγει τὸ μή τινος τῶν ἓξ εἶναι. Ταῦτα μὲν οὖν εἰς ἀναπλήρωσιν τῶν ὑπὸ τῶν παλαιῶν ἐνδεῶς εἰρημένων ἱκανῶς εἴρηται. δύο δὲ τούτοις τρόπους καθολικοὺς ἅμα δέξασθαι χρή. τὸν μὲν γενικὸν, πρῶτον. τὸν δὲ ἰδικὸν, δεύτερον. τὸν μὲν οὖν πρότερον, τοῦτον τὸν τρόπον.

Περὶ τρόπου γενικοῦ. ε'.

ΤΩΝ ὀνείρων οἱ μὲν, πολλὰ διὰ πολλῶν προαγορεύουσιν. οἱ δὲ, ὀλίγα δι' ὀλίγων. οἱ δὲ, πολλὰ δι' ὀλίγων. οἱ δὲ, ὀλίγα διὰ πολλῶν. πολλὰ μὲν οὖν διὰ πολλῶν, Ἔδοξέ τις πέτεσθαι ἀράμενος ἐκ τῆς οἰκείας διανοίας προτεθειμένον σκοπὸν, ἐφ' ὃν ἐσπουδάκει γενέσθαι. εἶτα γενόμενος ἐπ' αὐτῷ, πτερὰ ἔχειν ἔδοξε, καὶ συναπαίρειν τοῖς ὀρνέοις. καὶ μετὰ ταῦτα κατῆχθαι πάλιν εἰς τὴν οἰκίαν. ἀπέβη αὐτῷ, τούτῳ, μεταστῆναι τῆς οἰκίας, διὰ τὴν πτῆσιν καὶ τὰ προκείμενα. καὶ μάλιστα τὰ ἐσπουδασμένα αὐτῷ πρᾶξαι, διὰ τὸ μὴ τοῦ σκοποῦ ἡμαρτηκέναι. καὶ δὴ εὐπορήσας ἱκανῶς, ἐπειδὴ τοὺς εὐπόρους, πτερὰ φαμὲν ἔχειν, καὶ ἐν ξένῃ διατρίψας, διὰ τὰ μὴ ὁμογενῆ ὄρνεα, οὕτως εἰς τὴν οἰκίαν κατῆρεν. Οἱ δὲ ὀλίγα δι' ὀλίγων, ἔδοξέ τις χρυσᾶ ἔχειν ὄμματα· ἐτυφλώθη. διὰ τὸ μὴ ἴδιον ὀμμάτων εἶναι τὸ χρύσιον. Οἱ δὲ πολλὰ δι' ὀλίγων, οἷον ἔδοξέ τις τὸ ἑαυτοῦ ὄνομα ἀπολωλέναι. ἀπέβη αὐτῷ, τοῦτο μὲν τὸν υἱὸν ἀπολέσαι· οὐχὶ ἢ τὸ τιμιώτατον ἀπολέσαι μόνον, ἀλλ' ὅτι καὶ τὸ αὐτὸ ὄνομα καλούμενος ἐτύγχανεν ὁ παῖς. τοῦτο δὲ καὶ τὴν κτῆσιν ἀθρόαν δικῶν τινων αὐτῷ γραφεισῶν, ἐφ' αἷς ἑάλω φεύγων γραφὴν δημοσίων ἀδικημάτων. ἄτιμός τε καὶ φυγὰς γενόμενος, ἀναρτήσας ἑαυτὸν, ἐτελεύτησε τὸν βίον. ὡς μηδὲ ἀποθανὼν ἔχειν ὄνομα.

τούτοις γὰρ μόνοις ἐν νεκρῶν δείπνοις οὐ καλοῦσιν οἱ προσήκοντες. δῆλον οὖν παντὶ γένοιτ' ἄν, ὅτι πάντα ἀπὸ τοῦ αὐτοῦ ἀπέβη, τὸν αὐτὸν ἐπέχοντα λόγον. Οἱ δὲ ὀλίγα διὰ πολλῶν, Ἔδοξέ τις τὸν Χάρωνα παίζειν σύν τινι ἀνδρὶ ψήφοις. αὐτὸς δὲ σπουδάζειν τῷ ἀνδρί. καὶ διὰ τοῦτο λειφθέντα τὸν Χάρωνα, χολᾶν τε καὶ διώκειν αὐτόν. τὸν δὲ, ἀποστρεφόμενον φεύγειν. ἀφικόμενον δὲ εἰς ξενοδοχεῖον, ᾧ ἐπώνυμον κάμηλος, εἰς δωμάτιον εἰσδραμόντα, ἐπιζυγῶσαι τὰς θύρας. τὸν μὲν οὖν δαίμονα οἴχεσθαι ἀπιόντα. τοῖν μηροῖν δὲ τὸν ἕτερον φῦσαι πόαν. τούτων ἐγένετο πάντων τὸ σημαινόμενον εἰς ἀποτέλεσμα. πεσούσης γὰρ τῆς οἰκίας ἔνθα ᾤκει, καὶ συρραγέντων ἐπ' αὐτὸν ξύλων, συνετρίβη τὸν μηρόν. καὶ κατεάγη. καὶ γὰρ ὁ Χάρων ψήφοις παίζων, λόγον τὸν περὶ θανάτου προηγόρευεν. μὴ καταλαβὼν δὲ, μὴ ἀποθανεῖσθαι μὲν ἐδήλου. κινδυνεῦσαι δὲ τῷ ποδὶ, διὰ τὴν δίωξιν. καὶ τὸ ξενοδοχεῖον κάμηλον καλούμενον, τὸν μηρὸν κατάξειν. ἐπεὶ καὶ τὸ ζῷον τὸ καλούμενον κάμηλον, μέσοις κάμπτει τοὺς μηροὺς ἐπιτεμνόμενον τοῖν σκελοῖν, τὸ ὕψος ἑτοίμως κεκλημένος. κάμηλος οἱονεὶ κάμμηρος ὥς φησιν Εὔηνος ἐν τοῖς εἰς Εὔνομον ἐρωτικοῖς. ἡ δὲ ἐκφῦσα πόα, μηκέτι ἐνεργὸν ὄντα τὸν μηρὸν ἕξειν, ἐκ γῆς ἀκινήτου φιλοῦσα ἀναφύεσθαι. καὶ τούτων εἴ τις ἀγαθὸς εἴη λογιστὴς τὴν ἐξαρίθμησιν, ἐπὶ πάντων οὕτως ἔχουσαν εὕροι ἄν.

Περὶ τοῦ εἰδικοῦ. ϛ'.

ΤΟΥ δὲ εἰδικοῦ καὶ αὐτοῦ τετραχῆ διαιρεθέντος, οἱ μὲν, κατὰ τὸ ἐντὸς καὶ κατὰ τὸ ἐκτὸς εἰσὶν ἀγαθοί. οἱ δὲ, κατ' ἄμφω κακοί. οἱ δὲ, κατὰ τὸ ἐντὸς ἀγαθοί, κατὰ δὲ τὸ ἐκτὸς, κακοί. οἱ δὲ, κατὰ μὲν τὸ ἐντὸς κακοί, κατὰ δὲ τὸ ἐκτὸς καλοί. ἀκουστέον δὲ ὀνείρους ἐντὸς μὲν κατὰ τὴν ὄψιν. ἐκτὸς δὲ, κατὰ τὴν ἀπόβασιν. οἷον κατ' ἀμφότερα εἰσὶν ἀγαθοὶ οἱ τοιοῦτοι. θεοὺς ὁρᾶν ὀλυμπίους ἱλαροὺς, μειδιῶντας, διδόντας τι ἢ λέγοντας ἀγαθόν. αὐτοὺς ἢ ἀγάλματα αὐτῶν ἐξ ὕλης τῆς ἀσήπτου πεποιημένα. ὁμοίως γονεῖς, φίλους,

Hos enim solos in mortuorum cœnis cognati & affines non nominant. Ex quo omnibus cõspicuum fit, quòd omnia hæc ab eodem somnio euenerunt, propterea quòd eandem rationẽ obtinerent. Pauca postremũ ex multis sic. Existimauit quis Charonem tesseris ludere cum viro quodam, & se viri partibus fauere, atq; ea gratia Charonem superatum irasci & persequi ipsum, se verò auersum fugere, peruenireq; in hospitium, à camelo denominatum, & ingressum in ædes fores occludere. Dæmonem quidem igitur abire, alterum verò suum femur herbã producere. Horum omnium vnus quispiam est iudicatus euẽtus. Collapsa enim domo in qua habitabat, & collisis in ipsum lignis attriuit femur, ac confregit. Etenim Charon tesseris ludens, rationem mortis prænuntiauit: cùm verò non prehenderet, non moriturum quidem significabat, pede autem periclitaturum propter persequutionem. Et hospitium camelus appellatum, femur ipsum fracturum esse portendit, quãdoquidem etiam animal camelus appellatum media femora curuat, vtpote iuxta crurum altitudinem cõcisum ac decurtatum, vnde & etymon ac originatio eius appellationis Græcis est κάμηλος, quasi κάμμηρος, hoc est, curuans femora, quemadmodum ait Euenus in amatorijs ad Eunomum. At verò herba enascens, non amplius validum & actuosum femur habiturum indicauit, vt quæ ex terra immota enasci solet. Atq; horum si quis diligens extiterit æstimator, enumerationem in omnibus sic habentem reperiet.

De Modo speciali. CAP. 6.

SOmnium speciale itidẽ quadrifariam diuiditur, suntq; alia & intus & extra bona, alia vtrinq; mala alia intus bona, extra mala, alia intus mala, extra bona. Accipienda sunt autem somnia, intus quidem iuxta visionem, extra verò iuxta euẽtum, velut verbi causa vtrinq; bona sunt talia. Deos olympios videre hilaros, ridentes, dantes aliquid boni aut dicentes, ipsósq; aut statuas ipsorum ex materia imputrescibili factos. Similiter parentes, amicos,

famulos domum augentes, & pretiosiorẽ possessionem, & corporis iucundum adspectum robúrq; ac similia. Horum enim cùm iucundissima sit visio, multò magis iucundus ipsorum fit euentus. Contra vtrinque mala sunt huiusmodi, putare de loco prærupto cadere, aut in prædones incidere, aut cyclopem videre, aut antrum ipsius resolutũ esse, aut ægrotare, aut perdere quid eorum quorum magno studio tenemur. Qualiter enim affecta est anima circa visionem ipsorum, tales etiam euentus contingere solent. At verò intus bona, extra mala huiusmodi sunt. Visus est sibi quispiam cum Saturno cœnare, & postridie in carcerem coniectus est. Cœnæ etenim cum deo, verisimile est iucundam esse visionem, vinculorum autem & carceris non ita. Amplius existimauit quis se à sole panes duos accipere, & tot sanè dies superuixit. In tantum enim præfinitum tempus, victus ipsi à deo datus sufficiebat. Insuper & aureum esse sibi videri, & thesauros reperire, & à mortuo accipere vnguentum, aut rosam, aut similium quiddam, ad eandem partem referendum est. Porrò intus mala, extra bona talia habentur, velut fulmine feriri sibi videri, pauperem, & seruum, aut eũ qui instituit nauigationem, aut qui singulari certamine cõgressurus duellúmque commissurus est, bonum est. Ex his enim primus diuitias, alter libertatem assequetur, tertius vẽtum secundum habebit. Quarto autem nuptię portenduntur. Súntq; talium somniorum visiones quidem ipsæ malæ, euentus verò boni.

De Curiosis, & diuinis somnijs.
CAP. 7.

MEditari oportet quòd ea quæ curiosis de re aliqua, & qui somnium à dijs petiuerunt, apparẽt curis dissimilia, ea ipsa significãt aliquid eorum quæ proposita habent: quandoquidem ea quę cogitationibus similia apparent nihil significant, & insomniorum generis existunt, velut superiori sermone est ostensum. appellantur autem à quibusdam talia curiosa & petitoria. Quæ verò de nulla re curio-

οἰκέτας οἶκον αὔξοντας, καὶ πολυτελεστέραν κτῆσιν, καὶ σώματος ἡδεῖαν ὄψιν. ἰσχύν τε καὶ τὰ ὅμοια. τούτων γὰρ ἡδίστης ὑπαρχούσης τῆς θέας, πολὺ μᾶλλον ἡδίονα αὐτῶν τὰ τέλη γίνεται. κατὰ δὲ ἀμφότερα κακοί, οἱ τοιοῦτοι, κατὰ κρημνῶν πεσεῖν οἴεσθαι. ἢ λῃστείᾳ περιπεσεῖν. ἢ κύκλωπα ἰδεῖν. ἢ τὸ ἄντρον αὐτοῦ παραλελύσθαι, ἢ νοσεῖν, ἢ ἀπολλύειν τι τῶν ἐσπουδασμένων. οἷα γὰρ τὰ πάθη γίνεται τῆς ψυχῆς, κατὰ τὴν θέαν αὐτῶν, τοιαύτας καὶ τὰς ἀποβάσεις γίνεσθαι φιλεῖ. κατὰ μὲν τὸ ἐντὸς ἀγαθοί, κατὰ δὲ τὸ ἐκτὸς κακοί, οἱ τοιοῦτοι. Ἔδοξέ τις σὺν τῷ Κρόνῳ δειπνεῖν. καὶ μετὰ ἡμέραν εἰς τὸ δεσμωτήριον κατείρχθη. δεῖπνον μὲν γὰρ τὸ σὺν θεῷ, εἰκὸς εἶναι ἡδεῖαν τὴν ὄψιν· δεσμοὶ δὲ καὶ εἱρκτὴς, οὐχ ἡδεῖαν. ἔτι ἔδοξέ τις παρὰ τοῦ ἡλίου ἄρτους λαβεῖν δύο. τοσαύτας ἡμέρας ἔζησεν. εἰς γὰρ τοσαύτην προθεσμίαν, ἡ τοῦ βίου χρῆσις παρὰ τοῦ θεοῦ δοθεῖσα ἤρκει αὐτῷ. ἔτι καὶ τὸ χρύσεον εἶναι δοκεῖν, καὶ τὸ θησαυρὸν εὑρίσκειν, καὶ τὸ παρὰ νεκροῦ λαμβάνειν μύρον, ἢ ῥόδον, ἢ τῶν ὁμοίων τι, εἰς τὴν αὐτὴν ἀνακτέον μοῖραν. οἱ δὲ κατὰ μὲν τὸ ἐντὸς κακοί, κατὰ δὲ τὸ ἐκτὸς ἀγαθοί, οἱ τοιοῦτοι. κεραυνοῦσθαι δοκεῖν πένητα ὄντα καὶ δοῦλον, ἢ μέλλοντα πλεῖν, ἢ μονομαχεῖν, ἀγαθόν. τούτων γὰρ ὁ μὲν πλουτεῖ, ὁ δὲ, ἐλευθερίαν, ἢ πλοῦν οὔριον ἕξει. οἱ δὲ, γάμον προσημαίνουσι. καὶ εἰσὶν αὐτῶν αἱ μὲν ὄψεις, κακαί. αἱ δὲ ἀποβάσεις, ἀγαθαί.

Περὶ μεριμνηματικῶν καὶ θεοπέμπτων. ζʹ.

ΕΝνοῆσαι δὲ χρὴ, ὅτι τὰ μὲν τοῖς φροντίζουσι περί τινος καὶ αἰτησαμένοις ὄνειρον παρὰ θεῶν, ἐπιφαινόμενα οὐχ ὅμοια τοῖς φροντίσι, σημαίνοντά τι περὶ τῶν προκειμένων γίνεται· ἐπεὶ τά γε ὅμοια ταῖς ἐννοίαις ἀσήμαντά τε ἐστὶ καὶ ἐνυπνιώδη, ὡς ὁ πρότερος ἔδειξε λόγος. μεριμνηματικὰ δὲ καὶ αἰτηματικὰ πρός τινων λέγεται. τὰ δὲ περὶ μηδενὸς φροντίζουσιν ἐφ-

σαμένα καὶ προαγορεύοντά τι τῶν ἐσομένων ἀγαθῶν ἢ κακῶν, θεόπεμπτα λέγω. ὡς Ἀριστοτέλης διαπορῶν, πότερον ἔξωθεν ἡμῖν τοῦ ὀνειρώσσειν ἡ αἰτία ὑπὸ θεοῦ γινομένη, ἢ ἔνδον αἴτιόν τι, ὃ ἡμῶν διατίθησι τὴν ψυχήν, καὶ ποιεῖ φύσει συμβεβηκὸς αὐτῇ. ἀλλὰ θεόπεμπτα, ὡς ἤδη καὶ ἐν τῇ συνηθείᾳ πάντα τὰ ἀπροσδόκητα καλοῦσιν.

sis instant, & futura bona siue mala prænuntiant diuina appello, quemadmodum etiam Aristoteles dubitabat, vtrum extra nos sit somniandi causa à Deo immissa, an causa quædã intra nos sit, quæ animam afficit, & facit ex natura accidens ipsi. Cæterùm diuina, vt nunc cõsuetudo obtinet, omnia inexpectata appellant.

Περὶ καιρῶν καὶ ὁποῖα δὴ κριτέον. η'.

ΕΠΙ πᾶσι τοῖς πρόδηλον αἰτίαν ἐκφεύγουσιν, προσέχειν χρή. ἐάν τε νυκτὸς ἐάν τε ἡμέρας ὁραθῇ. μὴ δεῖν διαφέρειν νομίζοντας εἰς πρόγνωσιν τὴν νύκτα τῆς ἡμέρας, μή τε τὴν δείλην ἑσπέρας, τῆς δείλης πρωΐας· ἐὰν συμμέτρως ἔχων τῆς τροφῆς καθεύδῃ τις. ἐπεὶ αἵ γε ἄμετροι τροφαί, οὐδὲ πρὸς αὐτῇ τῇ ἕῳ παρέχουσιν ἰδεῖν τὸ ἀληθές.

De Temporibus, & qualia sint indicanda. CAP. 8.

IN omnibus somnijs quæ manifestam causã non habent, animaduertere oportet, siue noctu siue interdiu visa sint, ita vt ne putemus differre ad prænotionem noctem à die, aut crepusculum vespertinum à crepusculo matutino, si modò moderato cibo accepto quis somnum petierit. Immoderati enim cibi neq; ad ipsam auroram verum cernere permittunt.

Περὶ ἐθῶν. θ'.

ΕΠΕΙ τὰ κοινὰ ἔθη τῶν ἰδίων μακρὰν διέστηκεν, εἰ μή τις καταμάθοι, ἐξαπατηθήσεται ὑπ' αὐτῶν. κοινὰ μὲν οὖν ἔθη ταῦτα· θεοὺς σέβεσθαι καὶ τιμᾶν. οὐδὲν γὰρ ἔθνος ἀνθρώπων ἄθεον, ὥσπερ οὐδὲ ἀβασίλευτον. ἄλλοι δὲ ἄλλως τιμῶσι θεούς. ἀλλ' ἐπὶ τὸ αὐτὸ τὴν ἀναφορὰν ἔχουσι πάντες. τέκνα τρέφειν. ἡττᾶσθαι γυναικῶν, καὶ τῆς πρὸς αὐτὰς ὁμιλίας. ἐγρηγορέναι ἡμέρας. καθεύδειν νύκτωρ. τροφαῖς χρῆσθαι. παύεσθαι κάμνοντας. διάγειν ἐν σκιᾷ. μὴ ὑπαιθρίους. ταῦτα μὲν οὖν κοινὰ ἔθη. ἴδια δὲ καὶ ἐθνικὰ καλούμενα. στίζονται παρὰ Θραξὶν οἱ εὐγενεῖς παῖδες. καὶ παρὰ Γέταις, δοῦλοι. ὧν οἱ μὲν, πρὸς ἄρκτον. οἱ δ' ἐπὶ μεσημβρίαν οἰκοῦσιν. καὶ Μόσσυνες οἱ ἐν Ποντικῇ συνουσιάζουσι δημοσίᾳ. καὶ γυναιξὶ μίσγονται ὥσπερ οἱ κύνες. ἃ τοῖς ἄλλοις ἀνθρώποις ἄτιμα νενόμισται. ἰχθύας πάντες ἐσθίουσι πλὴν Σύρων τινῶν τῶν τὴν Ἀστάρτην σεβομένων. θηρία δὲ καὶ πάντα τὰ

De Moribus. CAP. 9.

QVandoquidem communes mores à proprijs longè distant, si quis hoc ipsum non didicerit, ab ipsis decipietur. Communes itaq; mores sunt hi. Deos colere & venerari, nulla enim gens sine dijs est, sicut neq; sine regibus & magistratu. Verùm alij alios colunt deos, in idem tamen omnes relationem habent: liberos nutrire, vinci à mulieribus & ipsarum cõsuetudine, vigilare interdiu, dormire noctu, cibis vti, quiescere à labore, degere in vmbra, & non sub dio. Hi itaq; communes sunt mores. Proprios autem etiam gentiles vocamus. Apud Thracas generosi pueri flagris cæsi signantur, apud Getas verò serui. quorum hi ad septentrionem, illi ad meridiem habitant. Mossynes in Põtica regione publicè coeunt, & mulieribus permiscentur, quemadmodum canes; quod inhonestũ ac ignominiosum est apud alios homines facere. Pisces edunt omnes, exceptis Syris quibusdam qui Astartẽ colunt. Animalia & volu-

crium omne genus, velut deorum simulacra, Ægyptij soli colunt ac venerantur, nõ tamen omnes. Didici autem & in Italia legitimum quiddam antiquum. Vultures non occidunt, & eos qui ipsis insidias struunt impios censent. In Ionia Ephesij voluntariè contra tauros certamẽ ineunt, & in Attica circa spectacula in Eleusine, adolescentes Athenienses singulis vertentibus annis, & in Larissa ciuitate Thessaliæ qui ex inhabitatoribus generosiss. cẽsentur. quam rem in reliquo terrarum orbe ad mortem damnati obire solent. Eodem autem modo etiam de aliis omnibus moribus distinguere oportet, si quid apud quosdam solos obseruatur. Vernaculi enim mores, bonorum sunt signa, peregrini autem malorum, præterquam si ex præsentibus aliquid euentum aliorsum vertat.

κινώπετα λεγόμενα ὡς εἴδωλα θεῶν, Αἰγυπτίων παῖδες μόνοι τιμῶσι καὶ σέβουσιν. οὐ πάντες μέν τοι. ἔμαθον δέ τι καὶ ἐν Ιταλίᾳ νόμιμον παλαιόν. γύπας οὐκ ἀναιροῦσι, καὶ τοὺς ἐπιθεμένους αὐτοῖς ἀσεβεῖν νομίζουσι. ταύροις κατὰ προαίρεσιν ἐν Ιωνίᾳ παῖδες Εφεσίων ἀγωνίζονται. καὶ ἐν Ατικῇ παρὰ ταῖς θεαῖς ἐν Ελευσῖνι κοῦροι Αθηναῖοι περιτελλομένων ἐνιαυτῶν. καὶ ἐν Λαρίσσῃ πόλει τῆς Θετταλίας, οἱ τῶν κατοικούντων εὐγενέστατοι. ἐν δὲ τῇ ἄλλῃ οἰκουμένῃ, τὰ αὐτὰ τοῖς ἐπὶ θανάτῳ κατακριθεῖσι συμβαίνει. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ἐθῶν δεῖ διαλαμβάνειν πάντων εἴ τι παρά τισι μόνοις φυλάσσεται. ὅτι τὰ μὲν ἐπιχώρια, ἀγαθῶν ἐστὶ σημεῖα· τὰ δὲ ξενικὰ ἔθη, κακῶν· πλὴν εἰ μή τι τῶν παρόντων τὴν ἀπόβασιν ἀλλαχόσε τρέπει.

Quæ à somniorum interprete sint expendenda. CAP. IO.

VTile fuerit, & non solum vtile, sed etiam necessarium, tum ei qui vidit somnium, tũ interpreti, vt sciat ipse somnij interpres, quis sit qui somnium vidit, & quid rerum agat, & quomodo natus sit, & quam habeat possessionem, & quomodo circa corpus habeat, & qua ætate sit. Sed & ipsum somnium exactè expendendũ est, velut est: nam parua additione aut ablatione euentus alteratur, quod sequenti sermone ostẽdetur. Quod si quis his non inhæserit & deceptus fuerit aberraueritq;, is se ipsum magis quàm nos reprehendat.

Τίνα ἐξεταστέον τῷ ὀνειροκρίτῃ. ι.

ΛΥσιτελὲς δ' ἂν εἴη, οὐ μόνον δὲ λυσιτελὲς ἀλλὰ καὶ ἀναγκαῖον, τῷ τ' ἰδόντι τὸν ὄνειρον, καὶ τῷ ὑποκρινομένῳ, ἐπίστασθαι τὸν ὀνειροκρίτην, τίς τε ἐστὶν ὁ ἰδὼν τὸν ὄνειρον, καὶ ὅ, τι πράσσει. καὶ ὅπως γέγονε. καὶ ὅ, τι ἔχει κτῆμα. καὶ ὅπως ἔχει τοῦ σώματος, καὶ ἧς τινος ἡλικίας γέγονε. καὶ αὐτὸν τὸν ὄνειρον ἀκριβῶς ἐξεταστέον, ὡς ἔστιν. ὅτι μικρᾷ προσθέσει ἢ ἀφαιρέσει, ἀλλοιοῦται τὸ ἀποτέλεσμα. ὃ ἐπιὼν ὁ λόγος δηλώσει. ὡς εἰ μή τις τούτων ἔχοιτο, πταίων ἂν, ἑαυτὸν μᾶλλον ἢ ἡμᾶς μέμφοιτο.

Propositio eorum quæ in his libris traduntur. CAP. II.

COnsequenter subdemus quomodo somnia iudicare oportet, habebit autem tractatio ipsa huiuscemodi ordinem. Nos non velut veteres à dijs initium faciemus, etiã si impium id alicui videatur. Verùm respectu ad consequentiæ necessitatem habito, ordiemur primùm à na-

Επαγγελία τῶν ἐν ταῖς βίβλοις γραφομένων. ια.

ΕΞῆς ὑποθησόμεθα, πῶς δεῖ κρίνειν τοὺς ὀνείρους. ἕξει δὲ τάξιν ἡ πραγματεία τοιαύτην. οὐχ ὥσπερ οἱ παλαιοὶ ἀπὸ θεῶν ἀρξόμεθα· καὶ ἀσεβεῖν τινὶ δοκῶμεν. ἀλλὰ πρὸς τὸ ἀναγκαῖον τῆς ἀκολουθίας ἀποβλέποντες. ἀρξά-

μεθα πρῶτον ἀπὸ τῆς γονάδος, ἔπειτα ἀνατρέφεως· ἑξῆς περὶ σώματος καὶ τῶν ἐν σώματι μερῶν. προσγινομένων τε καὶ ἀπογινομένων. καὶ αὐξομένων εἰς μορφὴν ἑτέραν ἢ εἰς ὕλην. εἶτα περὶ διδασκαλίας τεχνῶν παντοδαπῶν, καὶ ἔργων καὶ ἐπιτηδευμάτων. εἶτα περὶ ἐφηβείας, περὶ γυμνασίων κατ' εἶδος. περὶ ἀγώνων. περὶ βαλανείων καὶ λουτρῶν παντοδαπῶν. περὶ τροφῆς πάσης ξηρᾶς τε καὶ ὑγρᾶς. περὶ μύρων καὶ στεφάνων. περὶ ἀφροδισίων συνουσίας. περὶ ὕπνου. ταῦτα μὲν περιέχει ἡ πρώτη βίβλος. ἡ δὲ δευτέρα περὶ ἐγρηγόρσεως, ἀσπασμάτων. κόσμου παντὸς, ἀνδρείου καὶ γυναικείου. ἀέρος, καὶ τῶν περὶ ἀέρα. περὶ κυνηγίας. περὶ ἁλίας. περὶ πλοῦ. περὶ γεωργίας. περὶ δίκης. ἀρχῆς δημοσίας. λειτουργίας. στρατείας. θεῶν τιμῆς. καὶ περὶ θεῶν. περὶ θανάτου. καὶ εἴ τι ἄλλο περιττὸν ὁ λόγος ὑπομνήσει.

tiuitate, deinde educatione, consequenter de corpore agemus, eiúsq; partibus, tum quæ accesserunt, tum quæ corruptæ sunt, & auctæ in formam aliam, siue materiam. Deinde de doctrina artium omnigenarum, operúmq; ac studiorum. Deinde de pubertate, de gymnasijs iuxta speciem, de certaminibus, de balneis ac lauacris omnigenis, de alimento omni arido ac liquido. De vnguentis & coronis. De coitu venereo. De somno. Atq; hæc quidem primus liber continet. Secundus autem. De vigilia, salutationibus, mundo omni virili ac muliebri, de aëre & his quæ circa aërem sunt, de venatione, de piscatu, de nauigatione, de agricultura, de iudicio, de magistratu publico, de militia, de cultu deorum, & de ipsis dijs, de morte, & si quid aliud est in progressu sermonis commemorabitur.

Πῶς ἐπιβλητέον ταῖς κρίσεσιν. ιβ΄.

ΧΡΗ δὲ κρίνειν τοὺς ὀνείρους, ποτὲ μὲν ἀπ' ἀρχῆς εἰς τέλος ἀποβλέποντα τὸν ὀνειροκρίτην, καὶ ὅταν ἢ τὰ θεωρήματα διαλελυμένα ἀπ' ἀλλήλων. ποτὲ δὲ καὶ ἀπὸ τέλους εἰς ἀρχήν. ἔστι γὰρ ὅτε ἡ ἀρχὴ τὸ τέλος ἔδειξεν ἀφανὲς ὂν καὶ ἀσύνετον, ὅτε δὲ τὸ τέλος τὴν ἀρχήν. δεῖ δὲ καὶ τοῖς καταξήροις, καὶ ὥσπερ οὐκ ἔχουσι λαβὰς ὀνείροις, παρ' ἑαυτοῦ τι προσφιλοτεχνεῖν μάλιστα τοῖς ἀπείροις ἐν οἷς ὁ γράμματά τινα ὁ ἐστι διάνοιαν αὐτοτελῆ μὴ ἔχοντα ἢ ὄνομα ποτὲ μὲν μετατιθέντα. ποτὲ δὲ ἀλλάσσοντα. ποτὲ δὲ προστιθέντα γράμματα ἢ συλλαβάς· ἐνίοτε δὲ ἰσόψηφα τινὰ ἐπινοοῦντα δι' ὧν σαφέστερος γένοιτ' ἂν ὁ λόγος.

Quomodo interpretationes sint aggrediendæ. CAP. 12.

OPortet somnia iudicare, quandoq; à principio ad finem respectum habēte interprete, vbi videlicet dissolutæ fuerint inter se speculationes, quādoq; etiam à fine ad principium. Aliquādo enim principium finem monstrat in cōspicuum existentem, & imperceptibilem. Aliquando verò finis principium declarat. Oportet autē & aridis somnijs, & quæ velut ansas quibus prehendantur non habent, ex se ipso aliquid artificiosè affingere, præsertim infinitis, in quibus literæ quædam videntur sententiam perfectam non habentes. ita vt aliquando nomen trāsponamus, aliquando alteremus, aliquando verò literas aut syllabas apponamus. Interdū etiā quædam eundem calculum habētia, eundémq; numerum referētia excogitemus, per quæ manifestior sermo reddi queat.

Qualem esse

Qualem esse oporteat somniorum interpretem. CAP. 13.

QVare censeo domi instructum esse oportere interpretem, & domestica prudentia vti, & non solum libris præstare vtcunq; diligenter versatis, quandoquidē quisquis artem citra naturam perfectam fore putat, imperfectus est & incompletus. Tātò enim plus quisq; efficiet quantò ampliorem habitum fuerit adeptus. Etenim ab initio errare, errorem amplius extendit. Insuper verò & ea somnia, quorum memoria non ex integro retinetur, iudicari non posse putādum est, siue quis medij, siue finis sit oblitus. Ad sanam nāq; rationem expēdere oportet totum quod euenire videtur; id verò solùm apprehēdi potest, quod integrum nobis memoria suggerit. Quemadmodū igitur sacerdotes victimarij ambigua signa non negant esse vera, sed ex victimis se deprehēdere posse negant: sic somniorum interpretem de his quæ exactè deprehendere non potest, pronunciare nō oportet, neq; ex tempore & inconsideratè respondere. Nam & ipsi dedecus, & ei qui somnium vidit damnū inde consequitur. Amplius autem & quęcunque somnia malum quippiam significant, si anima videntis per somnium non iniucūdè fuerit affecta, minora mala euenient, & ferè euentus non succedet. Rursus verò quæcunq; somnia bonum quid significant, si non animæ affectio fuerit iucunda, bona imperfecta cōtingent, aut inutilia, aut omninò minora. Quare singulatim interrogare oportet, num iniucūdum aut iucundū somnij fuerit visum.

De Natiuitate. CAP. 14.

SI quis nasci sibi videatur è fœmina quacunque tandem, sic omnium iudicare cōuenit. Pauperi etenim est bonum, habebit enim vnde aletur, & curatorem suum velut infantes; nisi artifex manuarius fuerit, huic enim otium prædicit. otiosi enim sunt infantes, & manus inuolutas habent. Manus autem actiones appellātur. Diuiti autem significat, eum dominiū domus suæ non obtenturum esse, sed quosdā ipsi imperaturos præter suam voluntatē. Infantes enim ab alijs regūtur.

Οἷον εἶναι χρὴ τὸν ὀνειροκρίτην. ιγ'.

Ὅθεν φημὶ δεῖν οἴκοθεν παρασκευάσθαι, καὶ οἰκείᾳ συνέσει χρῆσθαι τὸν ὀνειροκρίτην, καὶ μὴ μόνον τοῖς βιβλίοις ἐπανέχειν. ἐπεὶ ὅς τις γε τέχνην οἴεται ἄνευ φύσεως ἐντελῆ ἔσεσθαι, ἀτελὴς καὶ ἀπέραντος. τοσούτῳ μᾶλλον, ὅσῳ πλείονα ἕξιν ἔχει, διατελέσει. καὶ γὰρ τὸ ἀπ᾽ ἀρχῆς πεπλανῆσθαι, ἐπὶ πλέον τὴν πλάνην παρέχει. ἔτι καὶ τὰ μὴ ἐξ ὁλοκλήρου μνημονευόμενα, ἀδιάκριτα νομίζειν, ἐάν τε τὸ μέσον, ἐάν τε τὸ πέρας ἐπιλάθηταί τις. εἰς μὲν γὰρ τὸν ὑγιᾶ λόγον, δεῖ ἐξετάζειν πᾶν τὸ ὁρώμενον ἀποβαίνειν· μόνον δὲ εἰς κατάληψιν ἔρχεται, τὸ ἐξ ὁλοκλήρου μνημονευόμενον. ὥσπερ οὖν οἱ θύται τὰ ἀμφίβολα τῶν σημείων, οὐχὶ μὴ ἀληθῆ φασὶν εἶναι, ἀλλ᾽ αὐτοὶ μὴ καταλαμβάνειν δι᾽ ὧν ἐπιθύονται· οὕτω τὸν ὀνειροκρίτην, ὧν μὴ ἀκριβῆ τὴν κατάληψιν δύναται λαβεῖν, περὶ τούτων οὐ χρὴ ἀποφαίνεσθαι, οὐδὲ ἀποσχεδιάζειν. ἐπεὶ αὐτῷ μὲν ἀδοξία, τῷ δὲ ἰδόντι βλάβος παρακολουθήσει. ἔτι κἀκεῖνα ὅσοι τῶν ὀνείρων κακόν τι σημαίνουσιν, ἐὰν ἡ τοῦ ὁρῶντος ψυχὴ τὸ ὄναρ μὴ ἀηδῶς ᾖ διατεθειμένη, ἥττονα τὰ κακὰ γίνεται, καὶ σχεδὸν ἀτελεύτητα. καὶ πάλιν ὅσοι τῶν ὀνείρων ἀγαθόν τι σημαίνουσιν, ἐὰν μὲν ἡ τῆς ψυχῆς διάθεσις ἡδεῖα ᾖ, τὰ ἀγαθὰ ἀτελεύτητα γίνεται, ἢ ἀνόνητα, ἢ πάντως γε ἥττονα. διὸ χρὴ ἐπερωτᾶν καθ᾽ ἕκαστον εἴτε ἀηδῶς, εἴτε ἡδέως τοῦτο ἑώρα.

Περὶ γεννήσεως. ιδ'.

Εἴ τις δόξειε γεννᾶσθαι ὑπὸ γυναικὸς ἧστινοσοῦν, ὧδε κρίνειν προσήκει. πένητι μὲν ἀγαθόν, ἕξει γὰρ τὸν θρέψαντα αὐτόν, καὶ ἐπιμελησόμενον αὐτοῦ, ὥσπερ τὰ βρέφη· εἰ μὴ ἄρα χειροτέχνης εἴη, τῷδε γὰρ σχολὴν προαγορεύει. ἀργὰ γὰρ τὰ βρέφη, καὶ ἐνειλούμενα τὰς χεῖρας τυγχάνει. χεῖρες δὲ αἱ πράξεις εἴρηνται. πλουσίῳ δὲ τὸ μὴ κρατεῖν τῆς οἰκίας σημαίνει, ἀλλ᾽ ὑπό τινων ἄρχεσθαι ὧν οὐ βούλεται. καὶ γὰρ τὰ βρέφη ὑπὸ ἄλλων ἄρχεται.

ἀνδρὶ δὲ γυναῖκα ἔχοντι μὴ ἔγκυον, σημαίνει τὸ γυναικὸς στερηθῆναι· οὔτε γὰρ τὰ βρέφη γυναιξὶ γαμεῖται ἢ σύνεστιν. ἔτι τῷ ἔχοντι ἔγκυον γυναῖκα, σημαίνει παῖδα αὐτῷ γεννήσεσθαι ὅμοιον κατὰ πάντα· οὕτω γὰρ ἄνωθεν αὐτὸ δόξειε γενέσθαι. δούλῳ δὲ σημαίνει, τὸ φιλεῖσθαι παρὰ τοῖς δεσπόταις, κἂν ἁμάρτῃ συγγνώμης ἀξιοῦσθαι, ἐλευθερωθῆναι δὲ οὐδέπω. καὶ γὰρ οὐδὲ τὰ βρέφη ἑαυτῶν ἄρχει, κἂν ἐλεύθερα ᾖ. ἀθληταῖς δὲ κακόν· οὔτε γὰρ βαδίζει τὰ βρέφη, οὔτε τρέχει, οὔτε ῥῆξαί τινα δύναται, ὅπου γε οὐδὲ αὐτὰ βαδίζειν δύναται. τῷ δὲ ἐπὶ ξένης ὄντι, τὴν εἰς οἶκον ἀνακομιδὴν σημαίνει. ἵνα ἐπ' ἀρχὴν ἔλθῃ· ὡς καὶ τὸ γεννώμενον πάλιν ἵνα εἰς τὴν γῆν ἔλθῃ, τουτέστιν εἰς τὴν πατρίδα. κοινὴ γὰρ ἅπασιν ἐπίσης ἐστὶν ἡ γῆ πατρίς. τῷ δὲ νοσοῦντι θάνατον προαγορεύει τὸ ὄναρ. ἐπεὶ καὶ οἱ ἀποθνήσκοντες ἐσχισμένοις ἐνειλοῦνται ῥάκεσιν, ὡς καὶ τὰ βρέφη, καὶ χαμαὶ τίθενται.

Viro autem vxorem habenti non prægnantem, vxoris priuationem portendit. Neq; enim infantes vxores ducũt, neque ipsis commiscentur. Ei verò qui prægnãtem habet vxorem, significat filium natũ iri, ipsi per omnia similem: sic enim rursus ipse nasci sibi videtur. Seruo autem significat amorem herilem, adeò vt etiam si quid delinquat, veniam mereatur, sed tamen vt nondũ manumittatur. Nam neque infantes sibiipsis imperant, etiam si liberi existant. Athletis verò malum hoc somniũ censendum est. Neque enim ambulant infantes, neque currunt, neque in quenquam impetum facere possunt, cùm neque ipsi pedibus inniti queant. Ei verò qui in peregrina regione est, reditum ad domum significat, quo videlicet ad principium veniat: quemadmodum & quod regeneratur, necesse habet vt in terram veniat, hoc est in patriam. Cõmunis enim omnibus ex æquo patria est terra. Ægrotanti porrò mortem prænuntiat hoc somnium, quãdoquidem & mortui laceris inuoluuntur panniculis & linteolis, quemadmodum etiam infantes, & humi deponuntur.

Περὶ τοῦ κύειν. ιε.

Εἰ δέ τις αὐτὸς ὑπολάβοι ἔγκυος εἶναι, εἰ μὲν πένης εἴη, πολλὰ κτήσεται καὶ περιβαλεῖται χρήματα, ὡς καὶ διογκωθῆναι. εἰ δὲ πλούσιος, ἐν βασάνοις καὶ φροντίσιν ἔσται. καὶ ὁ γυναῖκα ἔχων, στερήσεται αὐτῆς, οὐκ ἔτι ἔχων χρείαν τῆς κυοφορείας. ὁ δὲ μὴ ἔχων, γήμαι ἂν σφόδρα εὔνουν, ὡς δοκεῖν τὰ αὐτὰ τῇ γυναικὶ πάσχειν. τοῖς δὲ λοιποῖς νόσον σημαίνει. τὸ δὲ ἀποτεκεῖν ἐν γαστρὶ ἔχοντα, χεῖρον, καὶ τὸν νοσοῦντα σημαίνει ἀποθανεῖν ταχέως. ἐπειδὴ πᾶν σῶμα τίκτον, πνεῦμα ἀφίησιν· καὶ ὥσπερ τὸ βρέφος τοῦ περιέχοντος σώματος ἀπαλλάσσεται, οὕτω καὶ ἡ ψυχή. πένητι δὲ, καὶ καταχρέῳ, καὶ δούλῳ, καὶ παντὶ τῷ ἐν περιστάσει ἤτινι οὖν ὄντι, τὰ παρόντα δεινὰ ἀποθέσθαι σημαίνει, καὶ ἡ αἰτία φανερά. τὰ κρυπτὰ ἐλέγχει, ἐπεὶ τὸ κεκρυμμένον τέως βρέφος, ἐξεφάνη. πλουσίοις τε καὶ δανεισταῖς καὶ πραγματευταῖς, καὶ πᾶσι τοῖς πιστευο-

De vteri gestatione. CAP. 15.

QVod si quis seipsum prægnãtem existimet esse, siquidem pauper fuerit, multa possidebit, pecuniasque colliget ac coaceruabit magnæ molis. Si verò diues, in tormentis ac curis erit. Et qui vxorem habuerit, ipsa priuabitur, non amplius necesse habens vt ipsa prægnans vterum gestet. Qui verò non habuerit, valde benignam ducet, vt sibi videatur eadem quæ vxor pati. Reliquis morbum portendit. Vterũ autem ferre insuperq; parere, peius est, & ægrotantem cito moriturum denũtiat. Nam omne corpus pariens, spiritum emittit, & quemadmodum infans à continente ipsum corpore liberatur & abscedit, ita etiam anima. Pauperi autẽ & obærato, & seruo, omnique qui in calamitate aliqua versantur, præsentiũ malorum depositionem significat, causa verò ipsa est manifesta. Arcana insuper reuelat hoc somnium, quando hactenus occultus infans in conspicuum prodijt. Diuites verò, & fœneratores, & negotiatores, & omnes

qui autoritate ac potentia præcellunt, lędit. Quæ enim antè habebant, deponēt. Mercatoribus autem & nauium gubernatoribus ac dominis bonum est. Multis verò euenit vt etiā cognatos per hoc somnium amitterent, propterea quòd à sanguine infans est reiectus.

De filijs ac pueris. CAP. 16.

PVeros sibi videri habere, aut infantes omninò videre, si quidē proprij liberi fuerint, & viro & mulieri malum. curas enim ac tristitias significat, ac sollicitudines rerum quarundam necessariarum gratia, quãdoquidem infantes citra hæc educari nō possunt. Quin & vetus sermo hoc ipsum commōstrat, qui hoc modo habet.

Tristitia ex nato est tempus in omne patri.

At verò masculi in bonum finē desinunt: fœmellæ finem principio deteriorem inducunt, & damnum denūtiant. Nam masculi educati nihil à parentibus accipiunt: fœmellæ verò dote data elocantur. Noui autem quendam qui existimauit filiolam sibi natam esse, & mutuo accepit pecuniā ad vsuram. Et rursus, noui alium qui visus est sibi filiam suam vita defunctam defodere, contigítq; ei vt mutuum ac debitum reddere cogeretur. Sic igitur eãdem cum mutuo rationē filia habet. Cæterum alienos pueros videre, bonum est, vbi fuerint formosi & gratiosi, & gratiæ ipsis affluãt. Bona enim tempora instare indicant, ex quibus spes est adhuc amplius peragere quiddam ac perficere iucundum. Nam & pueri in præsens ab operis otiosi, postquam educati fuerint, agere ac operari quid poterint.

De pueris fascijs inuolutis, & de lacte. CAP. 17.

SI quis puerorum modo in fascijs sibi esse videatur, & lac accipere à muliercula sibi nota, longum morbum portendit, nisi vxorem habeat prægnantem. Tūc enim nascetur ipsi similis filius, qui eo modo educabitur. Si verò mulier hoc somnium viderit, filiam natum iri ipsi prę-

μένοις, βλάπτει. ἃ γὰρ τὸ πρὶν εἶχον, ἀποθήσονται. ἐμπόροις τὲ καὶ ναυκλήροις, ἀγαθόν. πολλοὶ δὲ καὶ συγγενεῖς ἀπέβαλον, διὰ τὸ ἀφ' αἵματος τὸ βρέφος ἀποβεβλῆσθαι.

Περὶ παίδων. ιϛ'.

ΠΑΙδία δόξαι ἔχειν, ἢ ἰδεῖν παντελῶς βρέφη, ἴδια μὲν τέκνα, καὶ ἀνδρὶ καὶ γυναικὶ μοχθηρόν. φροντίδας γὰρ καὶ λύπας σημαίνει, καὶ μερίμνας πραγμάτων ἀναγκαίων τινῶν ἕνεκεν· ἐπεὶ μὴ ἔστι τὰ βρέφη ἄνευ τούτων ἐστὶν ἀναθρέψαι. καὶ τις καὶ λόγος παλαιὸς τοῦτο ἀποδείκνυσιν, ἔστι δὲ ὧδε. ὡς υἱοῖς ἡ λύπη, παῖς πατρὶ πάντα χρόνον. τούτων δὲ τὰ μὲν ἀρσενικὰ εἰς ἀγαθὸν τελευτᾷ. τὰ δὲ θηλυκὰ, χείρονα τῆς ἀρχῆς τὴν τελευτὴν ἐπάγει, καὶ ζημίαν προαγορεύει. ὅτι τὰ μὲν ἀρσενικὰ οὐδὲν ἀνατραφέντα παρὰ τῶν γονέων λαμβάνει· τὰ δὲ θηλυκὰ, προικὸς ἐπιδεῖται. οἶδα δέ τινα ὃς ἔδοξε θυγάτριον αὐτῷ γενέσθαι, καὶ ἐδανείσατο. καὶ πάλιν, ὃς ἔδοξε θυγατέρα τὴν ἑαυτοῦ ἀποθανοῦσαν κατορύττειν, ἀπέβη αὐτῷ δάνεια ἀποδοῦναι. οὕτως ἄρα τὸν αὐτὸν ἐπέχει λόγον δανείῳ ἡ θυγάτηρ. ἀλλοτρίους δὲ παῖδας ὁρᾶν, ἀγαθὸν, ὅταν ὦσιν εὔμορφοι καὶ χαρίεντες, καὶ τὸ παιδικὸν αὐτοῖς ἐπιτρέχει. ἀγαθῶν γὰρ ἐνστάσιν καιρῶν δηλοῖ, ἐν οἷς ἐστιν ἐλπὶς ἔτι μᾶλλον τελέσαι τι καὶ καταπράξασθαι ἡδύ. καὶ γὰρ οἱ παῖδες τὸ παρὸν ὄντες ἄπρακτοι, αὖθις ἐπὰν ἀνατραφῶσι, δυνήσονταί τι πρᾶξαι.

Περὶ σπαργανωθέντων παίδων καὶ γάλακτος. ιζ'.

ΕΙ δέ τις ὥσπερ οἱ παῖδες ἐν σπαργάνοις δόξειεν εἶναι, καὶ γάλα λαμβάνει παρά τινος γυναικὸς γνωρίμης, νόσον σημαίνει μακρὰν, εἰ μὴ γυναῖκα ἔχοι ἔγκυον. τότε γὰρ αὐτῷ γενόμενος ὅμοιος ὁ παῖς, τοῦτον τὸν τρόπον ἀνατραφήσεται. γυναικὶ δὲ ἰδούσῃ, θυγάτριον ἐσόμενον

προαγορεύει. εἰ δέ τις ἐν δεσμοῖς ὢν ἴδοι τὸν ὄνειρον τοῦτον, προσεπισωρεύσῃ αὐτῷ τὸ δαιμόνιον καὶ ἄλλα τινὰ κακὰ, πρὸς τὸ μὴ ἀπολυθῆναι. οὐκ ἄλογον δὲ οὐδὲ κατὰ τὴν νόσον· ἀσθενεῖς γάρ εἰσιν οἱ ἐν γάλακτι παῖδες. καὶ μὴν δὴ καὶ οἱ τέλειοι, ὅταν νοσοῦντες τροφῇ μὴ δύνωνται χρῆσθαι, γάλακτι χρῶνται. τὸ δὲ δοκεῖν ἐν τοῖς ἰδίοις μαστοῖς γάλα ἔχειν, γυναικὶ μὲν νέᾳ συλλαβεῖν σημαίνει καὶ τελεσφορῆσαι καὶ ἀποτεκεῖν. πρεσβύτιδι δὲ πενιχρᾷ οὔσῃ, εὐπορίαν. πλουσίᾳ δὲ δαπάνας. παρθένῳ δὲ ὡραίᾳ μὲν οὔσῃ, γάμον προαγορεύει· οὐ γὰρ ἄνευ συνουσίας ἀφροδισίου γάλα ποτὲ σχοίη. πάνυ δὲ μικρᾷ καὶ πόῤῥω τῆς ὥρας τῶν γάμων οὔσῃ, θάνατον μαντεύεται· τὰ γὰρ παρὰ τὴν ἡλικίαν, μοχθηρὰ πάντα, πλὴν ὀλίγων. ἀνδρὶ δὲ πένητι καὶ βίου δεομένῳ, περιουσίαν χρημάτων καὶ κτημάτων προαγορεύει, ὡς δύνασθαι καὶ ἄλλους θρέψαι. καὶ ἀγάμῳ γάμον, καὶ ἄπαιδι παῖδας πολλάκις ἐτήρησα προαγορεύσαντα τὸν ὄνειρον. ὁ μὲν γὰρ οὕτως εἶχεν εὔνοιαν τὴν γυναῖκα, ὥστε τὰ αὐτὰ ἐκείνῃ πάσχειν δοκεῖν· ὁ δὲ ἀνεθρέψατο παῖδας. ἀθλητῇ δὲ καὶ ἐργάτῃ, καὶ μονομάχῳ καὶ παντὶ σώματι ἀσκοῦντι, νόσον προαγορεύει. ἐπειδὴ τὰ θηλύτερα σώματα γάλα ἔχει. ἔτι δὲ καὶ τὸ τοιοῦτον ἐτήρησα. γυναῖκά τις ἔχων καὶ παῖδας, ἐπὶ τούτῳ τῷ ὀνείρῳ, τῆς γυναικὸς ἐστερήθη, καὶ τοὺς ἑαυτοῦ παῖδας ἀνεθρέψατο, τὴν ἴσην αὐτοῖς παρέχων χρείαν πατρός τε ἅμα καὶ μητρός. καὶ ταῦτα μὲν περὶ ἀνατροφῆς. νυνὶ δὲ περὶ τῶν ἐν τῷ σώματι μερῶν προσγινομένων τε, καὶ ἀπογινομένων, εἴτε ἀλλοιουμένων εἴς τε μορφὴν ἑτέραν καὶ εἰς ὕλην, ποιήσομαι τὸν λόγον. μικρὰ δὲ* παραιτήσομαι τοὺς ἐπὶ λεπτὸν διαιρουμένους δυσχεραίνοντας. ἡμεῖς γὰρ οὐ μόνον τοῖς ἐπισύρουσι τὰ τοιαῦτα ἀπεχθανόμεθα, ἀλλὰ καὶ βλάβην τινὰ κοινὴν νομίζομεν, τὸ μὴ οὐχὶ περὶ ἑκάστου ἀκριβοῦν καὶ ἐξονυχίζειν. τοιγάρτοι πρῶτον ἀπὸ τοῦ κυριωτάτου τῶν ἐν τῷ σώματι μερῶν ἄρξομαι διασαφεῖν.

dicit. Quòd si quis in vinculis detentus somnium viderit, dæmonium ipsi, etiã alia super accumulat, ad hoc vt non liber euadat. Nec præter rationem est, idem fieri circa morbum: debiles enim sunt pueri ex lacte viuentes, & sanè perfecti etiam, cùm ęgrotantes cibo vti non possunt, lacte nutriuntur. At verò videri sibi aliquẽ in proprijs mamillis lac habere, iuuenculę quidẽ fœminæ conceptum spondet, & fructum perfectum, itémq; partum. Aniculæ verò pauperi existẽti, opulentiam. Diuiti autẽ sumptus. Virgini verò maturæ nuptias prędicit: neque enim citra venereum coitum lac vnquam haberi poterit. Si verò valde parua sit virguncula & procul à nuptiarum tempore absit, mortem præsagit. Omnia enim pręter ætatem contingentia mala sunt, paucis exceptis. Viro autẽ pauperi & victus indigo, opulẽtiam & pecuniarum & possessionum prędicit, vt etiam alios alere possit. Et insuper qui sine vxore est, nuptias, & ei qui liberis caret, liberos prædicere hoc somnium sæpe obseruaui. Alter enim adeò beneuolam habuit vxorem, vt eadem quę illa pati sibi videretur. Alter verò liberos educauit. Athletæ autem, & operario, & singulari pugna congressuro, omníq; corpora exercenti, morbum denũtiat. Nam effœminata corpora lac habent. Quin & huiusmodi euentus à me obseruatus est. Quispiam & vxorem & filios habens, in hoc somnio vxore priuatus est, & suos filios ipse educauit, æqualem vsum ipsis exhibens patris simul ac matris. Et hæc quidem de educatione. Nunc verò de corporis tùm quæ accedunt, tùm quæ decedunt, siue alterantur in aliam formam aut materiam, partibus sermonem faciam. Leuiter autem perstrictos inhibebo eos qui subtiliter ac minutim explanantibus rẽ indignantur. Nos enim non solum contrahentibus hæc & dissolutè tractantibus indignamur, sed communem quandam cladem esse iudicamus, non de singulis exactè & ad vnguem tradere. Proinde à capite, principalissima corporis parte, initium explicandi faciam.

De Capite. CAP. 18.

MAgnum caput se putare habere, bonum est viro opulento, qui nõdum magistratum gessit, & pauperi & athletę, & fœneratori, & nummulario, & symbolo conuiuali colligendo præfecto. Primo enim principatum prædicit, in quo corona, aut fascia, aut diademate opus habebit. Alteri autem opulentiam & magnarũ diuitiarum possessionem, atque ea gratia maius ipsi caput futurum. Nam & pecunias κεφάλαια Græci, hoc est capita appellãt quemadmodum à Latinis Summæ vocantur. Athletis autem inde victoriam significari manifestum est, tunc enim caput maius ipsis accedit. Nummulario autem, & fœneratori, & symbolo conuiuali colligendo præfecto, plurimum pecuniarum collectionem præsagit. At verò diuiti qui iam in principatu constitutus est, & rhetorici, & tribuno plebis, aggrauationes & contumelias ex populo denuntiat. Et ægrotanti capitis grauitatem, & militi labores, & seruo non citam manumissionem, & ei qui vitam quietam elegit, labores & contumelias portendit. Cæterùm caput minus quàm pro natura contraria pro ratione vniuscuiúsque euentus præscripti capitis significat.

De Capillis. CAP. 19.

CApillos habere magnos & pulchros, & ob ipsos superbire, bonum est maximè mulieri. Etenim pulchritudinis gratia quandoq; etiam alienis capillis mulieres vtuntur. Bonum est & viro sapienti, & sacrifico, & vati, & regi, & principi, & Dionysiacis artificibus. Ex his enim quibus mos est comam nutrire, bonum est, quandoquidem professio comam alere permittit. Bonum est & reliquis, verum minus. Ipsis enim opulẽtiam solúm significat, non iucundam sed laboriosam, propterea quòd multo labore opus sit ad producendos magnos capillos.

Περὶ κεφαλῆς. ιη'.

ΜΕγάλην ἔχειν δοκεῖν κεφαλὴν, ἀγαθὸν ἀνδρὶ πλουσίῳ οὐδέπω ἄρξαντι. καὶ πένητι, καὶ ἀθλητῇ, καὶ δανειστῇ, καὶ τραπεζίτῃ, καὶ ἐρανάρχῃ. τῷ μὲν γὰρ ἀρχήν τινα προαγορεύει, ἐν ᾗ δεήσει αὐτῷ στεφάνου, * ἢ στροφίου, ἢ διαδήματος. τῷ δὲ, εὐπορίαν καὶ κτημάτων κτῆσιν, καὶ κατὰ τοῦτο μείζονα τὴν κεφαλὴν ἔσεσθαι· καὶ γὰρ τὰ χρήματα, κεφάλαια καλεῖται. ἀθληταῖς δὲ σαφὲς, ὅτι νίκην προαγορεύει. τότε γὰρ ἡ κεφαλὴ μείζων γένοιτ' ἂν αὐτοῦ. τραπεζίτῃ δὲ καὶ δανειστῇ, καὶ ἐρανάρχῃ, πλείονα τὴν τῶν χρημάτων συστροφὴν μαντεύεται. πλουσίῳ δὲ πρὸς τὸ ἄρχειν ἤδη καθεστῶτι, καὶ ῥήτορι, καὶ δημαγωγῷ, βαρύσεις καὶ ὕβρεις ἐκ τῶν ὄχλων προαγορεύει. καὶ τῷ νοσοῦντι καρηβαρίαν, καὶ στρατιώτῃ πόνους, καὶ δούλῳ τὸ μὴ ταχέως ἐλευθερωθῆναι, καὶ τῷ τὸν ἥσυχον ἐπανῃρημένῳ βίον, ταραχὰς καὶ ὕβρεις μαντεύεται. ἡ δὲ μικροτέρα τῆς κατὰ φύσιν γινομένης κεφαλὴ, τὰ ἐναντία πρὸς λόγον ἑκάστου τῶν ἀποτελεσμάτων τῆς προγεγραμμένης κεφαλῆς σημαίνει.

Περὶ τριχός. ιθ'.

ΤΡίχας ἔχειν μεγάλας καὶ καλὰς καὶ ἐπ' αὐταῖς ἀγάλλεσθαι, ἀγαθὸν, μάλιστα γυναικί· ὑπὲρ γὰρ εὐμορφίας ἐστὶν, ὅτε καὶ ἀλλοτρίαις θριξὶν αἱ γυναῖκες χρῶνται. ἀγαθὸν δὲ καὶ σοφῷ ἀνδρί, καὶ μάντει, καὶ βασιλεῖ, καὶ ἄρχοντι, καὶ τοῖς περὶ Διόνυσον τεχνίταις. τούτων γὰρ οἷς μὲν ἔθος ἐστὶ κομᾶν, ἀγαθόν. ἐπειδὴ τὸ ἐπιτήδευμα κομᾶν ἐπιτρέπει. ἀγαθὸν δὲ καὶ τοῖς λοιποῖς, πλὴν ἧττον. αὐτὸ γὰρ εὐπορίαν μόνον σημαίνει, οὐχ ἡδεῖαν ἀλλ' ἐπίμοχθον. διὰ τὸ πολλοῦ καμάτου δεῖν εἰς τὴν κομιδὴν τῶν μεγάλων τριχῶν.

Περὶ ἀτημελήτων τριχῶν κ'.

Αἱ δὲ μεγάλαι μὲν, ἀτημέλητοι δὲ τρίχες, ὡς μὴ δοκεῖν κόμην εἶναι ἀλλὰ φρίχωμα, πᾶσιν ἀνθρώποις πένθη τε καὶ λύπας δηλοῦσι. κομεῖν μὲν γὰρ τὸ ἐπιμελεῖσθαι ἐστίν. ἡ δὲ ἀτημέλητος ἐν συμφοραῖς αὔξεται θρίξ. ἐγὼ δέ ποτέ τινα τῶν γνωρίμων ἐν ἀρχῇ καταστάντα, καὶ τὴν ἄλλην εὐπραγίαν εὐτυχήσαντα, ἐν ὕπνοις θεασάμενος ἐν τῇ πόλει περιπεμπόμενον ὑπὸ τῆς ὑποβεβλημένης αὐτῷ τάξεως, ἀνίκμους ἔχοντα καὶ κουριώσας τὰς τρίχας τῆς κεφαλῆς, ἐπέβαλον μὲν ὡς λύπης αὐτῷ δηλωτικὸν εἴη τὸ ὄναρ. οὐ πολλῶν δὲ διελθουσῶν ἡμερῶν, ἐπαύθη τῆς ἀρχῆς. ὃ γὰρ ἦν αὐτῷ καὶ ἐπιζήμιον πάνυ καὶ ἐπίλυπον.

De Capillis inornatis. CAP. 20.

At verò magni quidē capilli, verùm inornati, vt non coma, sed potius pilositas & hispiditas quædam esse videatur, omnibus hominibus luctus & tristitias annunciant. Comere enim curare & ornare est. Neglectus autem capillus in calamitatibus augetur. Ego autē aliquando quendam celebrem virum in principatu constitutum, & aliàs successu rerum felicem, qui per somnium sibi visus erat in vrbe præmitti ab ordine & acie, cui præfectus erat, ita vt capillos capitis haberet arentes & incomptos, edocui & interpretatus sum tristitiam ipsi significare hoc somnium. Non multis autem progressis diebus magistratu abdicatus est, quod ipsi & damnosum valdè erat & luctuosum.

Περὶ χοιρείας τριχός. κα'.

Τὸ δὲ δοκεῖν χοιρείας τρίχας ἔχειν, κινδύνους ἐπάγει βιαίους, καὶ τοιούτους, οἵοις καὶ τὸ ζῶον ὑποπίπτει, λέγω δὲ ὁ χοῖρος. ἱππείας δὲ ἔχειν τρίχας, δουλείας καὶ ταλαιπωρίας σημαίνει. καὶ τοῖς εὖ γεγονόσι δούλοις δεσμὰ περιτίθησιν. ὡς γὰρ ἐπὶ τὸ πολὺ χαίτη ἱππεία δεσμεύεται.

De Pilo suillo. CAP. 21.

Svillos pilos habere sibi videri, pericula inducit violenta, & omninò talia, qualibus animal expositum est, ipse videlicet porcus. At verò equinos habere pilos, seruitutes & ærumnas significat, & seruis legitimis & domi nostræ natis vincula addit. Vt plurimum enim seta equina ligamenti vsum præbet.

Περὶ τοῦ ἔχειν ἔρια ἀντὶ τριχῶν κβ'.

Ἔρια δὲ ἀντὶ τριχῶν ἔχειν, νόσους μακρὰς καὶ φθίσιν προαγορεύει. καὶ διὰ τοῦτο πολλάκις ἐπὶ τῆς κεφαλῆς ἔρια φοροῦντα δοκεῖν συμπεφυκότα ἔχειν. Εἰ δὲ εἰς ἄλλην τινὰ ὕλην αἱ τρίχες μεταβάλλοιντο, ἀπὸ τῶν ὁμοίων τεκμαίρεσθαι χρή, τοῦτ' ἔστι τῆς μεταβολῆς. Τὸ δὲ περὶ μέτωπον πᾶν μέρος δοκεῖν ψιλοῦσθαι, ἐν τῷ παρόντι χλεύην ἅμα καὶ ἀπραξίαν μαντεύεται. Εἰ δὲ τὸ ὀπίσω τοιοῦτον ἔχειν δόξειέ τις ἐν τῷ γήρᾳ, πενίαν καὶ

Habere lanas pro capillis. CAP. 22.

Lanas pro capillis habere, morbos lōgos & phtisin ac tabem prædicit, vt ea gratia sæpe in capite lanas gestans, videatur sibi ipsas agnatas habere. Si verò in aliam quandam materiam capilli trāsmutentur, à similibus coniecturam facere oportet, hoc est à transmutatione. At verò circa faciem videri sibi omnem partem nudatam esse, in præsens ludibrium & infelicem successum præsagit. Si verò posteriorem partem talem habere quis sibi visus fuerit, in senecta paupertatem &

infortunium non vulgare habebit. Posterior enim pars contra futuri temporis significatiua est. Nuditates autem pilorum nemini conferunt; aut propterea quod per defectum caloris fiunt, aut quod apprehendendi ansam nemini præbent. Si verò dextram partem capitis nudam quis habet, omnes sibi sanguine iunctos masculos perdet. Si autem nullum habuerit, ipse damnum patietur. Si cõtra sinistram, fœminas amittet, si sanè aliquas habuerit: si minus, etiam sic ipse damnum incurret. Cognatorum enim significationẽ caput habet; atque eius dextræ quidem partes, masculorum, sinistræ fœminarum. Quam distinctionem etiam per totũ corpus dextræ ac sinistræ partes habẽt. Vtram autem capitis partem quis nudam habet, vt non probè cognosci queat, dãnabitur in opus publicum adiudicatus. Hoc enim etiam istic insigne est damnatis. Totum postremum caput habere nudum, bonum est in iudicium postulato, & timenti, & qui à quibusdam vi detinetur. Hæc enim effugerit & vitare poterit cùm incomprehensibilis existat. Alijs autem perditionem annuntiat omnium ad vitæ ornatum pertinentium.

De eo quod quis videtur sibi capite radi. CAP. 23.

RAdi autem sibi videri totum caput, exceptis Deorum Ægyptiorum sacerdotibus, & risus mouendi studiosis, & his quibus mos est radi, bonum est, omnibus alijs malum est. eadem enim quæ nuditas significat, verùm vehementiora & cita mala inducit. Nauigantibus autem palàm naufragium portendit, & ægrotãtibus in extremum periculum collapsionem, sed non mortẽ. Naufragi enim aut ex magno morbo seruati homines, raduntur, minimè verò mortui. Verum prędictis bonum est ob consuetudinem radendi. Tonderi autem à tonsore, bonum ex æquo omnibus prædicit. Est enim tondendi verbum Græcis κείρεσθαι à verbo χαίρειν vt ita dicam, quod permutatione elementi vnius χαίρειν est, & gaudij ac exceptionis significationem habet. Et sanè nullus in casu quopiam malo aut calamitate aliqua constitutus tondetur, sed qui maximè decoris studio tenentur,

ἀτυχίαν οὐ τὴν τυχοῦσαν δηλοῖ. ἐξεναντίας γὰρ τὸ ὀπίσω τοῦ μέλλοντος χρόνου σημαντικόν ἐστιν. αἱ δὲ ψιλότητες οὐδενὶ διαφέρουσιν, ἢ ὅτι κατ᾽ ἔλλειψιν γίνονται θερμοῦ, καὶ ὅτι μηδενὸς ἐπιλαβέσθαι παρέχωσιν. εἰ δὲ τὸ δεξιὸν μέρος τῆς κεφαλῆς ψιλὸν ἔχοι τις, πάντας τοὺς καθ᾽ αἷμα προσήκοντας ἄρσενας ἀπολεῖ. εἰ δὲ μηδένα ἔχοι, βλαβήσεται. εἰ δὲ τὸ εὐώνυμον, τὰς θηλείας ἀπολεῖ, εἴγε τινὰς ἔχοι· εἰ δὲ μή, καὶ οὕτω βλαβήσεται. συγγενῶν μὲν γάρ ἐστιν ἡ κεφαλὴ σημαντικόν. ταύτης δὲ τὰ μὲν δεξιά, ἀρρένων· τὰ δὲ εὐώνυμα θηλειῶν. ἐπὶ δὲ τοῦ παντὸς σώματος, τὰ δεξιὰ καὶ τὰ εὐώνυμα, τοιαύτην ἔχει τὴν διαίρεσιν. ὁπότερον δ᾽ ἂν τῆς κεφαλῆς ψιλὸν ἔχει τις οὐκ ὢν εὐσυνείδητος, κατακριθήσεται τὴν εἰς ἔργον δημόσιον κατὰ δίκην. τοῦτο γὰρ κἀκεῖ παράσημόν ἐστι τοῖς καταδικαζομένοις. ὅλην δὲ τὴν κεφαλὴν ἔχειν ψιλήν, ἀγαθὸν τῷ φεύγοντι δίκην, καὶ τῷ φοβουμένῳ, καὶ πρός τινων βίᾳ κατεχομένῳ. ταῦτα γὰρ ἂν διαφύγοι ἀνεπίληπτος ὤν. τοῖς δὲ ἄλλοις ἀπολέσαι πάντα σημαίνει τὸν πρὸς κόσμον τοῦ βίου τείνοντα.

Περὶ τοῦ ξυρᾶσθαι δοκεῖν τὴν κεφαλήν. κγ.

ΞΥρᾶσθαι δὲ δοκεῖν τὴν κεφαλὴν ὅλην, πλὴν Αἰγυπτίων θεῶν ἱερεῦσι καὶ γελωτοποιοῖς, καὶ τοῖς ἐξ ἔθους ἔχουσι ξυρᾶσθαι, ἀγαθόν· πᾶσι δὲ τοῖς ἄλλοις πονηρόν. τὰ γὰρ αὐτὰ τῇ ψιλώσει σημαίνει, βιαιότερα δὲ ἐπάγει καὶ συντομα τὰ κακά. πλέουσι δὲ διαρρήδην ναυάγιον σημαίνει, καὶ νοσοῦσιν εἰς ἔσχατον ἥξαι κίνδυνον, πλὴν οὐκ ἀποθανεῖν· ναυαγήσαντες μὲν γὰρ ἢ ἐκ μεγάλης σωθέντες νόσου, ξυρῶνται οἱ ἄνθρωποι, οὐ μὴν οἱ ἀποθανόντες. τοῖς δὲ προειρημένοις ἀγαθὸν διὰ τὸ ἔθος. κείρεσθαι δὲ ὑπὸ κουρέως, ἀγαθὸν πᾶσιν ἐπίσης δηλοῖ. ἔστι γὰρ ὡς εἰπεῖν ἀπὸ τοῦ καρῆναι, καὶ τὸ χαρῆναι κατὰ παραλλαγὴν στοιχείου ἐνδέξασθαι. καὶ μέντοι οὐδεὶς ἐν περιστάσει πονηρᾷ, ἢ συμφορᾷ τινὶ καθεστὼς, κείρεται· ἀλλ᾽ οἷς μάλιστα μέλει εὐπρεπείας,

ἀλύποις τε, καὶ οὐκ ἀπόροις. τὸ δὲ ὑπὸ κουρέως περικείρεσθαι, ἐπεὶ εἴ τις ἑαυτὸν κείρῃ, πένθος αἰφνίδιον ἢ συμφορὰν μεγάλων κακῶν ἀνάπλεων σημαίνει. οἱ γὰρ ἐν τοιούτοις γινόμενοι, ἑαυτοὺς ἀνάγκη περικείρεσθαι. τὸ δὲ ὀνυχίζεσθαι, χρεώστῃ μὲν, ἀποδοῦναι τόκον σημαίνει, τοῖς δὲ λοιποῖς βλάβος ὑπὸ τῶν ὀνυχισαμένων, ἐάν γε ἴδωσιν ἑαυτοὺς ὑπ' ἄλλων τινῶν. καὶ γὰρ τὸ ὀνυχίζεσθαι φαμὲν, τὸν ἐπὶ βλάβῃ ὑπό τινος ἐξαπατηθέντα. περὶ δὲ τοῦ κτενίζεσθαι καὶ ἐμπλέκεσθαι τὴν κεφαλὴν καὶ ἐσοπτρίζεσθαι καὶ τοῖς τούτων ἀκολούθοις, ἐν τῷ δευτέρῳ ἐπιμνησθήσομαι βιβλίῳ. ἐπειδὰν περὶ κόσμου παντὸς ἀνδρείου καὶ γυναικείου λέγω.

Περὶ μετώπου. κδ΄.

Μέτωπον ὑγιὲς καὶ εὔσαρκον, παντὶ ἀγαθὸν, καὶ παρρησίαν καὶ εὐανδρίαν σημαίνει. τὸ δὲ ἡλκωμένον ἢ νοσοῦν, αἰσχύνην ἅμα καὶ βλάβην δηλοῖ. χάλκεον δὲ ἢ σιδήρεον, ἢ λίθινον μέτωπον δοκεῖν ἔχειν, τελώναις καὶ καπήλοις καὶ τοῖς μετὰ ἀναιδείας ζῶσιν, μόνοις συμφέρει. τοῖς δὲ λοιποῖς, μῖσος ἐργάζεται.

Περὶ ὤτων. κε΄.

Ὦτα ἔχειν πλείονα, ἀγαθὸν τῷ βουλομένῳ κτήσασθαι τινὰ ὑπακουσόμενον, οἷον γυναῖκα, τέκνα, οἰκέτην. πλουσίῳ δὲ καταβοήσεις σημαίνει· ἀγαθὰς μὲν, ἐὰν εὔμορφα ὦτα, κακὰς δὲ ἐὰν ἄμορφα ᾖ, ἢ ἄρρυθμα. κακὸν δὲ δούλῳ τὸ ὄναρ, καὶ δίκην ἔχοντι, ἐγκαλοῦντί τε καὶ ἐγκαλουμένῳ. τῷ μὲν γὰρ πολλῷ χρόνῳ σημαίνει ὑπακούσεσθαι. τῷ δὲ, ἐὰν μὲν ἐγκαλῇ, καὶ ἀντεγκληθῆναι· ἐὰν δὲ ἐγκαλῆται, πλείονα τὰ ἐγκλήματα τῶν φανερῶν ἐπενεχθήσεσθαι. τρόπον γάρ τινα δεῖν αὐτῷ πλειόνων ὤτων. ἀνδρὶ δὲ χειροτέχνῃ, ἀγαθὸν, πολλῶν γὰρ ἀκούσεται ἐργοδοτῶν. τὸ δὲ ἀπολέσαι καὶ τὰ ὄντα ὦτα, τὰ ἐναντία ἑκάστῳ τοῖς πρόσθεν γινομένοις σημαίνει. ὦτα καθαίρειν μετὰ ῥύπου ἢ ἰχῶρος, ἀγγε-

& qui tristitia carẽt, ac minimè indigi existunt. At verò à tonsore, adiectũ est, quandoquidẽ si quis seipsum tondeat, luctum subitaneum, aut calamitatem magnis malis refertam significat. Qui enim in talibus versantur, necessariò se ipsos circum tondent. Cæterùm vnguibus cõscalpi debitori quidem redhibitionem vsuræ significat, verùm reliquis damnũ ab his à quibus conscalpti sunt, siquidem viderint seipsos ab alijs quibusdam conscalpi. Nam conscalpi vnguibus dicimus eũ, qui damnũ passus, & ab aliquo deceptus est. Porrò de pectinatione, & implicatione capitis capillorum, & de speculi contuitu, & alijs ad hæc consequentibus in secundo libro mentionem facimus, vbi de omni mundo virili ac muliebri ago.

De Fronte. CAP. 24.

Frons sana & carnosa omnibus bona est, & dicendi libertatem & fortitudinem significat. Verùm æream, aut ferreã, aut lapideam frontem habere sibi videri, publicanis, & cauponibus, & qui vitam cum impudentia transigunt solis confert. Reliquis verò odium parit.

De Auribus. CAP. 25.

Aures habere plures, bonum est volenti acquirere aliquem sibi obediẽtem futurum, velut vxorem, liberos, famulum. Diuiti verò magnum nomen significat, bonum quidem, si formosæ fuerint aures; malum verò, si deformes & incõcinnæ. Malum autem somnium est seruo, & causam in iudicio habenti, siue ipse alium actione conueniat, siue ab alio in iudicium vocetur. Illi enim obedientiam multi tẽporis significat. Huic verò siquidem ipse actionẽ instituat, etiam vicissim actione conuentum iri. Si verò in ius vocetur, plura crimina quàm quæ manifesta sunt obijci sibi audiet, vt quodam modo pluribus auribus opus habeat. Bonum porrò est manuario artifici, multos enim audiet qui eius operam requirunt. At verò perdere aures etiam quas iam habes, contraria singulorum prędictorum significat. Aures purgare à sordibus aut sanie,

alicunde nuncium bonum nos audituros esse significat. Verberibus autem impeti aures, alicunde mali nuncij auditionem prædicit.

De Formicis. CAP. 26.

FOrmicas in aures ingredi putare, solis Sophistis bonum est. Similes enim sunt formicę adolescentibus sophistas audiendi gratia adeuntibus. Reliquis mortem denuntiat hoc somnium. Terrę enim sunt filiæ, & in terram subeũt; igitur velut in subterraneum locum, hoc est demortuum ingrediuntur. Noui autẽ quendam qui existimauit sibi ex auribus suis tritici spicas excreuisse, & ipsum triticum dilabens manibus excipiens colligebat: is absentis fratris hæredẽ se appellari audiuit. ob spicas quidẽ hæres, fratris autem quod aures etiam inter se fratres existant. Videri sibi aures asini habere, philosophis solis bonum est. Nam non citò mouet aures asinus. Alijs seruitutem & ærumnas significat. Aures leonis aut lupi aut pardalis habere, aut alicuius alterius feri animalis, insidias ex calumnia habere significat, & ea quæ auditus sunt per visum excepturũ esse. De reliquis porrò animalibus consequenter proprio loco distinguam & edocebo. Cæterum in auribus oculos habere sibi videri, cæcum futurum esse significat, & ea quæ visus sunt per auditum suscepturum esse.

De Supercilijs. CAP. 27.

SVpercilia dẽsa & florida, omnibus bona sunt, maximè mulieribus: hæ enim formę gratia etiam atramento illinunt supercilia: Talibus itaq; voluptates & felicitatem portendunt. Nuda autem non solum rerum improsperum successum, sed & futurum luctum, prædicũt. Vetus enim mos est in luctu supercilia nudari.

λίας ποθὲν ἀκούσεσθαι σημαίνει ἀγαθάς. μαστιγοῦσθαι δὲ τὰ ὦτα, κακὰς ἀγγελίας ἀκούσεσθαι ποθὲν σημαίνει.

Περὶ μυρμήκων. κϛʹ.

ΜΥρμηκας εἰς τὰ ὦτα δοκεῖν εἰσπορεύεσθαι, σοφισταῖς μόνοις ἀγαθόν. ὅμοιοι γάρ εἰσι τοῖς φοιτῶσιν ἀκουσομένοις μειρακίοις. τοῖς δὲ λοιποῖς θάνατον προαγορεύει τὸ ὄναρ· γῆς τε γάρ εἰσι παῖδες καὶ εἰς τὴν γῆν καταδύονται. ὡς εἰς ἀπόγαιον οὖν τόπον, τουτέστιν εἰς ἀποθανόντα καταδύονται. οἶδα δέ τινα, ὃς ἔδοξεν ἐκ τῶν ὤτων αὐτοῦ πυρῶν ἀστάχυας πεφυκέναι, καὶ τοὺς πυροὺς αὐτοὺς ἀπορρέοντας, ταῖς χερσὶν ἀποδεχόμενος ἐλάμβανεν, ἤκουσε κληρονόμος ἀπόντος ἀδελφοῦ. διὰ μὲν τοὺς στάχυας κληρονόμος· ἀδελφοῦ δὲ ὅτι καὶ τὰ ὦτα, ἀδελφά ἐστιν ἀλλήλων. ὦτα ὄνου ἔχειν δοκεῖν, φιλοσόφοις μόνον ἀγαθόν. ὅτι μὴ ταχέως κινεῖ τὰ ὦτα ὁ ὄνος. τοῖς δὲ λοιποῖς, δουλείαν καὶ ταλαιπωρίαν σημαίνει. ὦτα λέοντος ἔχειν ἢ λύκου ἢ παρδάλεως, ἢ ἄλλου τινὸς τῶν ἀγρίων ζώων, ἐπιβουλὴν ἔχειν ἐκ διαβολῆς σημαίνει, καὶ τὰ τῆς ἄλλης ἀκοῆς διὰ τῆς ὁράσεως παραδέξασθαι. ἀκολούθως δὲ περὶ τῶν ἄλλων ζώων κατὰ τὸ οἰκεῖον ἐκλαμβάνειν. ἐπὶ δὲ τοῖς ὠσὶν ὄμματα δοκεῖν ἔχειν, τυφλὸν γενέσθαι σημαίνει, καὶ τὰ τῆς ὁράσεως διὰ τῆς ἀκοῆς παραδέξασθαι.

Περὶ ὀφρύων. κζʹ.

ΟΦρύες δασεῖαι καὶ εὐανθεῖς, πᾶσιν ἀγαθαί, μάλιστα γυναιξίν. αὗται γὰρ ὑπὲρ εὐμορφίας, καὶ μέλανι χρίονται τὰς ὀφρύας. τοῖς γὰρ τοιούτοις ἡδονὰς καὶ εὐπραξίας δηλοῦσι. ψιλαὶ δὲ οὐ μόνον ἀπραξίας ἰδίας, ἀλλὰ καὶ πένθος ἐσόμενον προδηλοῦσιν· ἔθος γὰρ παλαιὸν, ἐπὶ πένθει τὰς ὀφρύας ψιλοῦσθαι.

Περὶ ὀφθαλμῶν. κη.

Ὀξὺ ὁρᾷν τοῖς ὀφθαλμοῖς, ἀγαθὸν πᾶσιν ἐπίσης. τὸ δὲ ἀμβλυώττειν, ἔνδειαν ἀργυρίου δηλοῖ, ἐπειδὴ καὶ τὰ ὄμματα ψήφους ἔχει. ἀπραξίαν δὲ, ὅτι οἱ ἀμβλυώττοντες, ἧττον τὰ περὶ ποδῶν ὁρῶσι. τῷ δὲ παῖδας ἔχοντι, σημαίνει τοὺς παῖδας νοσῆσαι. ἐοίκασι γὰρ οἱ ὀφθαλμοὶ παισὶν, ὅτι καὶ ποθεινοὶ καὶ τοῦ σώματος ὁδηγοί εἰσι, καὶ ἡγεμόνες, ὥσπερ οἱ παῖδες ἐν γήρᾳ γινομένων τῶν γονέων. τὸ δὲ δοκεῖν τετυφλῶσθαι ἀμφοτέροις τοῖς ὀφθαλμοῖς, σημαίνει τοῖς παισὶν ὄλεθρον τοῦ ἰδόντος, καὶ ἀδελφοῖς, καὶ γονεῦσι. παισὶ μὲν, διὰ τὸν ἔμπροσθεν λόγον. ἀδελφοῖς δὲ, ὅτι καὶ οἱ ὀφθαλμοὶ ἀδελφοί εἰσιν ἀλλήλων· γονεῦσι δὲ, ὅτι καὶ οἱ ὀφθαλμοὶ αἴτιοι εἰσὶ τοῦ τὸ φῶς ὁρᾷν, ὥσπερ καὶ οἱ γονεῖς. ἡ δὲ τούτων ἀπώλεια, τὴν τῶν ὁμοίων ἀπώλειαν σημαίνει. ἀγαθὸν δὲ τῷ ἐν δεσμοῖς ὄντι τὸ δοκεῖν τυφλοῦσθαι· καὶ τῷ βίᾳ ὑπό τινων κατεχομένῳ· καὶ τῷ σφόδρα πενομένῳ. ὁ μὲν γὰρ, οὐκ ὄψεται τὰ περὶ αὐτὸν κακά. ὁ δὲ, ἕξει τοὺς ὑπηρετήσοντας αὐτῷ. καὶ γὰρ τῷ τυφλῷ προσίασιν ὑπηρετήσοντες οὐκ ὀλίγοι, αὐτός τε τῶν πόνων ἀποπέπαυται. ἀποδημεῖν δὲ κωλύει τὸ ὄναρ. καὶ τὸν ἀπόδημον οὔ φησιν ἐπανήξειν εἰς τὴν ἑαυτοῦ οἰκίαν. οὔτε γὰρ τὴν ξένην, οὔτε τὴν οἰκείαν ἄνευ ὀφθαλμῶν ἰδεῖν δύναται. δεινὸν δὲ καὶ στρατιώτῃ, οὐ γὰρ προκόπτει, καὶ παντὶ τῷ ἐν αὐλῇ βασιλείῳ ὄντι. ἀθλητῶν δὲ, τοῖς μὲν τὰ βαρέα ἀθλοῦσιν, ἧτταν προαγορεύει. δρομεῦσι δὲ, νίκην. οἶδα δέ τινα σταδιέα, ὃς μέλλων ἀγωνίζεσθαι Εὐσέβεια τὰ ἐν Ἰταλίᾳ ἀχθέντα ὑπὸ βασιλέως Ἀντωνίνου ἐπὶ τῷ πατρὶ Ἀδριανῷ, ἔδοξε τυφλὸς γεγονέναι καὶ ἐνίκησεν. ἐπίσης γὰρ τῷ τυφλῷ ὁ προάγων ἐν δρόμῳ, οὐκ ἂν ἴδοι τοὺς ἀγωνιστάς. δεινὸν δὲ καὶ κυβερνήταις, καὶ τοῖς τὰ οὐράνια διασκεπτομένοις καὶ μάντεσι, τὸ τυφλοῦσθαι, πολλάκις ἐτηρήσαμεν. καὶ εἴ τις ἀπολωλός τι ζητῶν, ἴδοι τὸν ὄνειρον τοῦτον, οὐκ ἂν αὖθις ἴδοι, οὔτε δραπέτην διώκων καταλάβοι. ποιηταῖς δὲ ἄριστον τὸ τοιοῦτον,

De Oculis. CAP. 28.

Oculorum aciem acutam habere, bonum ex æquo omnibus eſt; cæcutire verò inopiam argēti indicat, quandoquidem etiam oculi calculos habent. Actionem autem impeditam, quoniam cæcutientes minus ea quæ ante pedes ſunt vident. Ei verò qui filios habet, ſignificat filios ęgrotaturos eſſe. Similes enim oculi ſunt liberis. Nam & amabiles ſunt, & corporis præuij ac duces, quemadmodum pueri parētum in ſenecta. At verò putare vtriſq; oculis excæcatum eſſe, pueris eius qui ſomnium vidit perniciem ſignificat, & fratribus, & parentibus. Pueris quidem ob prædictam rationem. Fratribus verò propterea quòd etiā oculi inter ſe fratres exiſtunt. Parentibus autē, propterea quòd oculi cauſa ſunt vt lucem videamus, velut etiam ipſi parentes. Quare etiam oculorum perditio, ſimilium perditionē ſignificat. Cæterum ei qui vinculis tenetur, bonum eſt ſi excæcari ſibi videatur: item ei qui vi ab aliquibus detinetur: ſimiliter vehementer egeno. Primi enim duo non videbunt circa ſe mala. Tertius autem habebit qui ei miniſtrent ac ſubſidiū ferant. Nam cæcum non pauci accedunt, vt ipſi obſequium præſtent, & ipſe à laboribus quietus degit. Verùm ſomnium hoc prohibet peregrinari, & eū qui peregrè profectus eſt ad ſuas ędes non rediturum eſſe prædicit: neque enim exteros, neque domum ſuam, abſque oculis videre poteſt. Graue eſt & militi ſomniū hoc, non enim procedit ei res, & omni in aula regia viuenti. Athletas verò qui grauia certamina obeunt, in cōflictu inferiores futuros eſſe denūciat: curſoribus verò victoriam præſagit. Noui ego quēdam ſtadij curſorem, qui decertaturus in Italia ludis Euſebijs ab Antonino in honorem patris Adriani actis, viſus eſt ſibi cæcus factus eſſe, & victor euaſit. Æquè enim vt cęcus, is qui in curſu reliquos præit, certantes videre nequit. Graue eſt ſomnium etiam gubernatoribus nauium, & qui cœleſtium rerum contēplatione tenentur, & vatibus, quòd ſæpe à nobis eſt obſeruatum. Et ſi quis rem aliquam perditam quærēs, hoc ſomnium viderit, illam ipſam nunquam amplius videbit, neque fugitiuum perſequēs prehendet. Poëtis autem optimum ſom-

nium est, Multa enim quiete opus habent vbi poëmata facere volunt. In hac autem quiete vel maximè fuerint, qui propterea quòd oculos non habeant, nō distrahantur, neq; per figurarum neq; per colorum obiectum. Inualuit autem & sermo quidam, quod & poëta Homerus fuerit cæcus. Ægrotātibus porrò semper mortem hoc somnium portendit; propter lucis priuationem. Noui autem aliquem qui visus est sibi dicere quendā fide dignum, (Qui verò fide digni sint, in secūdo libro commemorabo) pater tuus non est mortuus, sed dormit. Huius pater cæcus iam factus erat, & non longè post ipsi de hac re nuntius veniebat. Si quis autem altero oculo cæcus esse sibi videbitur, ex parte ea quæ significantur ipsi eueniēt, & vt ita dicam ex dimidio. Quin & hoc considerare oportet, quod dexter oculus significat filium, & fratrem, & patrem. Sinister verò filiam, & sororem, & matrem. Quod si cui duo sint filij, aut filiæ duæ, aut duo fratres aut sorores; dexter oculus seniorē filium, aut fratrem, aut patrem, aut filiam seniorem significat. Sinister verò filiam iuniorem, aut fratrem, aut filium, itidem iuniores. Cæterum tres aut quatuor oculos habere, ei qui vxorem ducere proposuit, itémque ei qui liberis caret, bonum est. Illi enim vxor continget, huic liberi, atque sic circa vnum corpus plures erunt oculi. Bonū est & fœneratori, plures enim calculos habebit: debitori autem & obæráto malum similiter ob calculos existit. Diuiti autē præsagit, vt & se, & possessiones suas in multa custodia ac cura habeat, quarundam insidiarum gratia. Ait enim somnium ipsi pluribus oculis opus esse. Si quis verò peregrè proficisci velit, errorem ipsi inducit, & nauiganti recursum, propterea quòd oculi lucem ac splendorem circumtrahāt. Notus autem est mihi quidam qui visus est sibi, tres oculos habere, & cæcus factus est, non ob fabulam cyclopis, sed propter tertium oculum, qui alterius luminis indigentiam significabat, quia proprium non sufficiebat. Viro insuper malefico, & mulieri formosæ, multi oculi malum significant. Illum enim plures oculi obseruabunt:

δεῖ μὲν γὰρ αὐτοῖς πολλῆς ἡσυχίας μέλλουσι ποιεῖν τὰ ἔπη. μάλιστα δ' ἂν οὕτως ἐν ἡσυχίαις γένοιντο, οἱ διὰ τὸ μὴ ἔχειν ὄμματα, μήτε περιέλκοιντο, μήτε ὑπὸ σχημάτων, μήτε ὑπὸ χρωμάτων. ὁ μὲν οὖν δεξιὸς, πρεσβύτερα πρόσωπα σημαίνει· ὁ δὲ ἀριστερὸς, νεώτερα. λόγος δέ τις ἔχει, ὡς καὶ ὁ ποιητὴς Ὅμηρος τυφλὸς ἦν. νοσοῦσι δὲ θάνατον πάντοτε προαγορεύει τὸ ὄναρ τοῦτο, διὰ τὸ τοῦ φωτὸς ἀπεστερῆσθαι. οἶδα δέ τινα ὃς ἔδοξε λέγειν αὐτῷ τινὰ τῶν ἀξιοπίστων (περὶ δὲ τοῦ τίνες οἱ ἀξιόπιστοι, ἐν τῷ δευτέρῳ βιβλίῳ ἐπιμνησθήσομαι) ὁ πατήρ σου οὐ τέθνηκεν, ἀλλὰ κοιμᾶται, τούτου ὁ πατὴρ τυφλὸς ἤδη γέγονε, καὶ οὐκ εἰς μακρὰν αὐτῷ ἀπεστάλη περὶ τούτου. εἰ δέ τις τὸν ἕτερον τῶν ὀφθαλμῶν τυφλὸς εἶναι δόξειεν, ἀπὸ μέρους τὰ σημαινόμενα γένοιτ' ἂν αὐτῷ, καὶ ὡς εἰπεῖν ἐξ ἡμισείας. ἔτι καὶ τοῦτο χρὴ σκοπεῖν, ὅτι ὁ μὲν δεξιὸς ὀφθαλμὸς σημαίνει τὸν υἱὸν, καὶ ἀδελφὸν, καὶ πατέρα· ὁ δὲ ἀριστερὸς, θυγατέρα, καὶ ἀδελφὴν, καὶ μητέρα. δύο δὲ υἱῶν ὄντων, ἢ θυγατέρων δύο, ἢ δύο ἀδελφῶν, ὁ μὲν δεξιὸς, τὸν πρεσβύτερον υἱὸν, ἢ ἀδελφὸν, ἢ πατέρα, ἢ θυγατέρα τὴν πρεσβυτέραν. ὁ δὲ εὐώνυμος, θυγατέρα τὴν νεωτέραν, καὶ ἀδελφὸν, καὶ υἱὸν τοὺς νεωτέρους. τρεῖς δὲ ἔχειν ὀφθαλμοὺς ἢ τέσσαρας, γῆμαι προῃρημένῳ καὶ ἄπαιδι, ὁμοίως ἀγαθόν. τῷ μὲν γὰρ γυνὴ, τῷ δὲ, παῖς ἔσται. καὶ οὕτω περὶ ἓν σῶμα, πλείονες ἔσονται ὀφθαλμοί. ἀγαθὸν δὲ καὶ δανειστῇ, πλείονας γὰρ ἕξει ψήφους. χρεώστῃ δὲ, πονηρὸν ὁμοίως διὰ τὰς ψήφους. πλουσίῳ δὲ προαγορεύει ἐν πολλῇ φυλακῇ αὐτόν τε καὶ τὰ κτήματα ἔχειν, διά τινας ἐπιβουλάς· φησὶ γὰρ δεῖν αὐτῷ πολλῶν ὀφθαλμῶν. ἀποδημεῖν δὲ θέλοντι, πλάνην ἐμποιεῖ, καὶ πλέοντι παλινδρομίαν, διὰ τὸ περιέλκειν τοὺς ὀφθαλμοὺς τὸ φῶς καὶ τὴν αὐγήν. οἶδα δέ τινα ὃς ἔδοξεν ἔχειν τρεῖς ὀφθαλμοὺς, καὶ τυφλὸς ἐγένετο· οὐ διὰ τὸν κύκλωπα μῦθον, ἀλλὰ διὰ τὸν τρίτον ὀφθαλμὸν, ὃς καὶ ἄλλου φωτὸς ἐσήμαινε δεῖσθαι, διὰ τὸ μὴ αὐταρκὲς εἶναι τὸ οἰκεῖον. ἀνδρὶ δὲ πανούργῳ, οἱ πολλοὶ ὀφθαλμοὶ καὶ γυναικὶ ὡραίᾳ, πονηρόν. τὸν μὲν γὰρ, πλείονες ὀφθαλμοὶ τηρήσουσι.

περὶ ἣν δὲ, πλείονες ἔσονται μοιχοὶ καταφανεῖς. ἔτι δὲ καὶ εἴ τις ἀλλαχόσε ποι τοὺς ὀφθαλμοὺς ἔχειν δόξειεν, εἰ μὲν ἐν ταῖς χερσὶν ἢ τοῖς ποσὶ, τυφλὸς ἔσται. εἰ δὲ ἐν ἄλλῳ τινὶ μέρει τοῦ σώματος αὐτοῦ, αὐτὸ ἐκεῖνο νοσήσει τὸ μέρος, ἢ πληγήσεται. ἵνα ταῖς χερσὶ καὶ τοῖς ποσὶ ψηλαφῶν ὥσπερ βλέπῃ. ἢ ἵνα ὥσπερ ἕνα ὀφθαλμὸν ἔχοντι ἐκείνῳ τῷ μέρει, μὴ δὲ μίαν ὕλην προσέχειν δύνηται. οἶδα δέ τινα ὃς ἔδοξεν αὐτοῦ πεσόντα τὰ ὄμματα, ἐπὶ τοὺς πόδας πεσεῖν. καὶ τυφλὸς μὲν οὐκ ἐγένετο· τὰς δὲ θυγατέρας τὰς ἑαυτοῦ, οἰκέταις συνῴκησε. καὶ οὕτως τὰ ἥττονα τοῖς κρείττοσιν ἐμίγη. ἀλλοτρίοις δὲ δοκεῖν ἔχειν ὀφθαλμοὺς, τυφλὸν γενέσθαι σημαίνει, καὶ ὑπ᾽ ἄλλου χειραγωγηθῆναι. εἰ δέ τις ἐπίσταται τοῦτον οὗ εἶχε τὰ ὄμματα, τέκνον ἐκείνου παραλήψεται, ἢ ἄλλην τινὰ εὐεργεσίαν μεγάλην. ἔλεγε δέ τις ἔτι ποτὲ τινὶ θεασαμένῳ ἐν ὕπνοις ὀφθαλμοὺς κατὰ πάντας τοὺς δακτύλους ἔχειν τῶν χειρῶν αὐτοῦ, προειπεῖν τύφλωσιν, καὶ οὕτως ἀπέβη. διὰ τὸ ἐπιτηδὲς προπέμπειν τὰς χεῖρας τοὺς πεπηρωμένους.

circa hanc verò plures adulteri conspicui fient & deprehendentur. Insuper autem si quis oculos in aliquo alioloco habere sibi videatur, si in manibus aut pedibus, cæcus erit: Si in alia aliqua corporis ipsius parte, illa ipsa pars ęgrotabit aut vapulabit, quò manib⁹ & pedibus ipsã veluti quæ videat, leuiter contrectet; aut vt, velut illa pars oculum vnum habeat, nullã omnino materiam medicã adhibere possit. Noui autem quendam qui elapsos sibi oculos ad pedes procidisse putauit, & cæcus quidem non est factus, verum filias suas famulis elocauit, atq; sic inferiora melioribus permixta sunt. Oculos autem habere alienos cæcitatis præsagium est, & manuductionis alienæ. Si verò quis nouit eum cuius oculos habere sibi visus est, filiam illius, aut aliam quandam magnam beneficentiam traditam sibi ab illo accipiet. Narrauit porrò mihi quidam, quòd cuidam qui viderat in somnis, oculos circa singulos digitos manus suæ se habere, prædixerit cæcitatem, & sanè sic euenit. Proptereà quòd oculis orbati manus studiosè præferre, eásq; subsequi solent.

Περὶ ῥινός. κθ'.

Ῥῖνα ἔχειν καλὴν καὶ μεγάλην καὶ εὔμορφον, ἀγαθὸν πᾶσι. πολλὴν γὰρ εὐαίσθησιν καὶ προνοίας ἐν τοῖς πραττομένοις σημαίνει. καὶ πρὸς τοὺς βελτίονας σύστασιν. διὰ γὰρ τῆς ῥινὸς ἀέρα ἐπισπῶντες οἱ ἄνθρωποι βελτίονα, ὄντως ὠφελοῦνται. τὸ δὲ μὴ ἔχειν ῥῖνα, ἀναισθησίαν πᾶσι σημαίνει. καὶ πρὸς τοὺς ὑπερέχοντας ἔχθραν. καὶ τῷ νοσοῦντι θάνατον. καὶ γὰρ τὰ κρανία τῶν ἀποθανόντων, ἄνευ ῥινὸς εὑρίσκεται. δύο ἔχειν ῥῖνας, ἔτι στάσεις πρὸς τοὺς ὑπερέχοντας οἰκείους σημαίνει. στάσεις μὲν, ἐπεὶ τὰ παρὰ φύσιν διπλᾶ, στάσεως ἐστὶ σημαντικά. πρὸς δὲ τοὺς οἰκείους, ὅτι μὴ ἀλλοτρία ἡ ῥίς.

De Naso. CAP. 29.

NAsum habere pulchrũ & magnum & formosum, omnibus bonum est. Multam enim sensus subtilitatem, & in rebus agendis prouidentiam significat, & cum præstantioribus conspirationem. Per nasum enim homines aërem meliorem adtrahentes reuerà iuuantur. Verum nasum non habere, omnibus sensus stupiditatem præsagit, & aduersus præminentes inimicitiam, & ægrotanti mortem. Nam & caluæ mortuorum absq; naso reperiuntur. Duos habere nasos, dissidium aduersus præminentes domesticos significat: dissidium quidem, quia dupla præter naturam seditionem significant; aduersus domesticos autem, quia nasus non est res aliena.

Περὶ παρειῶν. λ'.

Παρειὰς παχείας ἔχειν, ἀγαθὸν παντί. μάλιστα γυναιξί. τὸ δὲ ἰσχνὰς ἔχειν,

De Genis. CAP. 30.

GEnas habere crassas, omnibus bonũ est, maximè mulieribus. Verum gra-

ciles aut vlceratas, tristitiam aut luctum significat: graciles quidem tristitiam, vlceratas verò luctum. Nam in luctibus homines genas dilaniare solent.

De Maxillis & Labijs.

CAP. 31.

MAxillæ ad apothecas & cellas repositorias referendæ sunt, & labia ad frequenter osculantes & nos accedentes. Sunt autem hi, vxor, filij, cognati. Proinde, vtrum tandem horum affectum esse visum fuerit, res eorum qui nobis charissimi sunt, non in tuto, neque illæsas esse significat.

De Barba. CAP. 32.

BArbam habere magnam, & densam, & hirsutam, viro sermonis studioso & philosophanti bonum est. Item his qui ad aliquid agendum animum intenderũt: illos enim decoros, hos verendos facit. Mulier autem si barbam habere sibi videatur, siquidem fuerit vidua, maritum reperiet, & virum habebit valdè benignum, vt personæ mixtæ esse videantur. Si verò nupta fuerit, viro spoliabitur, aut ab ipso recedet, & domum suam gubernabit, velut simul vir atq; mulier existat. Nisi sanè vterum ferat, aut causam habeat iudiciariam: Illa enim masculum pariet, quem factum perfectum intuita, seipsam habere barbam putabit: Hæc verò incontemptibilis, velut virago manebit. Puero autem valde iuuenculo mortem præsagit, propterea quòd ætatem barba præuertat. Ei verò qui iam adolescentiam attigit, & non ita dudum barbam gestauit, à se ipso ornatum affuturum significat, & solum diuersaturum esse, siue seruus, siue liber existat, vt sit perfectus & sibijpsi prospiciat. Defluens autem barba, aut derasa, aut violenter euulsa à quibusdam, supra hoc quod sanguine iunctos disperdit, damnum simul ac turpem confusionem prædicit.

ἢ ἡλκωμένας, λύπας ἢ πένθος σημαίνει. ἰσχνὰς μὲν, λύπας. ἡλκωμένας δὲ, πένθος. καὶ γὰρ ἐν τοῖς πένθεσι, λωβῶνται τὰς παρειὰς οἱ ἄνθρωποι.

Περὶ σιαγόνων. λα΄.

ΤΑΣ δὲ σιαγόνας, πρὸς ἀποθήκας ληπτέον. καὶ τὰ χείλη, πρὸς τοὺς ἑκάστοτε φιλοῦντας καὶ προσιόντας. εἰσὶ δὲ οἵδε, γυνὴ, παῖδες, συγγενεῖς. ὁποτέρου οὖν ὅτι, ἂν τούτων πάθοι, οὐκ ἐν ἀσφαλεῖ, οὐδὲ ἀπαθῆ τὰ περὶ τοὺς φιλτάτους εἶναι δηλοῖ.

Περὶ γενείου. λβ΄.

ΓΕνειον ἔχειν μέγα, καὶ δασὺ, καὶ λάσιον, ἀνδρὶ λόγων ἐπιμελουμένῳ καὶ φιλοσοφοῦντι, ἀγαθόν. καὶ τοῖς ἐπὶ τὸ πράσσειν ὡρμημένοις· οὓς μὲν, κοσμίους· οὓς δὲ φοβεροὺς ποιεῖ. γυνὴ δὲ εἰ δόξειε πώγωνα ἔχειν, εἰ μὲν ἡ χήρα, γαμηθήσεται, καὶ εὔνουν ἕξει ἄνδρα σφόδρα, ὡς δοκεῖν τὰ πρόσωπα μεμίχθαι. εἰ δὲ γαμηθεῖσα εἴη, τοῦ ἀνδρὸς ἀποστήσεται, καὶ τὸν οἶκον αὐτῆς οἰκονομήσει, ὡς ἅμα ἀνήρ τε καὶ γυνὴ οὖσα. εἰ μὴ ἄρα ἐν γαστρὶ ἔχοι, ἢ δίκην ἔχοι. ἡ μὲν γὰρ, ἄρρεν τέξεται, ὅπερ γενόμενον τέλειον ἰδοῦσα, αὐτὴν δόξει τέλειον πώγωνα ἔχειν· ἡ δὲ ἀκαταφρόνητος ὥσπερ ἀνδρεία μενεῖ. παιδὶ δὲ νέῳ κομιδῇ, θάνατον σημαίνει, διὰ τὸ προλαβεῖν τὴν ἡλικίαν. τῷ δὲ ἤδη παιδὶ καὶ νεανίσκῳ ὄντι, καὶ οὐκ εἰς μακρὰν οἴσοντι γένεια, ἀφ' ἑαυτοῦ σημαίνει κόσμον γενέσθαι, καὶ μόνον ἀναστραφήσεσθαι, ἐάν τε δοῦλος, ἐάν τε ἐλεύθερος τύχῃ ὤν· ἵν' εἴη τέλειος, καὶ ἑαυτοῦ προστοῖ. ἀπορρέον δὲ τὸ γένειον ἢ ἀποξυρούμενον, ἢ βίᾳ πρός τινος ἀποσπώμενον, πρὸς τῷ τοὺς ἀφ' αἵματος διαφθείρειν, βλάβας ἅμα καὶ αἰσχύνας προδηλοῖ.

Περὶ ὀδόντων. λγ΄.

Ἡ περὶ τῶν ὀδόντων κρίσις, πολλὴν ἐπιδεχομένη διαίρεσιν, παρ' ὀλίγων πάνυ κατώρθωται τῶν καθ' ἡμᾶς ὀνειροκριτῶν. Ἀρισάνδρῳ τοῦ Τελμισέως, ὑποθήκας τὰς πλείστας καὶ ἀρίστας ὑποθεμένου. ἔχει δὲ ὧδε. τῶν ὀδόντων οἱ μὲν ἄνωθεν, τοὺς κατὰ τὸν οἶκον τοῦ ἰδόντος βελτίονας καὶ διαφέροντας ἀνθρώποις σημαίνουσιν. οἱ δὲ κάτωθεν, τοὺς ὑποδεεστέρους. οἶκον μὲν γὰρ ἡγεῖσθαι χρὴ τὸ στόμα· τοὺς δὲ ὀδόντας, τοὺς κατὰ τὸν οἶκον ἀνθρώπους. ὧν οἱ μὲν δεξιοὶ, ἄνδρας σημαίνουσιν. οἱ δὲ ἀριστεροὶ, γυναῖκας. πλὴν εἰ μή τινα σπάνια περιπίπτοι, οἷον εἰ πορνοβοσκὸς ὤν τις πάσας ἔχοι θηλείας. ἢ φιλογεωργὸς, πάντας ἄρρενας. ἐπὶ γὰρ τούτων οἱ δεξιοὶ, τοὺς πρεσβυτέρους σημαίνουσιν· οἱ δὲ ἀριστεροὶ, νεωτέρους. καὶ νεωτέρας, καὶ κομιδῇ νέους, οἱ τομεῖς λεγόμενοι, τουτέστιν, οἱ ἔμπροσθιοι ὀδόντες. μεσήλικας δὲ, οἱ κυνόδοντες. πρεσβύτας δὲ, οἱ μύλοι· οὓς γομφίους ἔνιοι καλοῦσιν. ὁποῖον οὖν ἄν τις ἀποβάλοι ὀδόντα, τοιούτου ἀνθρώπου στερηθήσεται. ἐπειδὴ δὲ οὐ μόνον ἀνθρώπους ἀλλὰ καὶ κτήματα οἱ ὀδόντες σημαίνουσιν, ἡγεῖσθαι χρὴ τοὺς μὲν μύλους τὰ κειμήλια σημαίνειν. τοὺς δὲ κυνόδοντας, τὰ μὴ πολλῆς ἄξια τιμῆς. τοὺς δὲ τομεῖς, τὰ ἔπιπλα τῶν σκευῶν. εἰκὸς οὖν ἐκπίπτοντας αὐτῶν τινὰς, χρημάτων ἀπώλειαν σημαίνειν. ἔτι δὲ καὶ οἱ ὀδόντες, καὶ χρείας σημαίνουσι βιωτικάς. καὶ τούτων οἱ μὲν μύλοι μυστικὰς καὶ ἀπορρήτους. οἱ δὲ κυνόδοντες, τὰς μὴ πολλοῖς καταφανεῖς. οἱ δὲ τομεῖς, τὰς φανερωτάτας, καὶ τὰς διὰ λόγου καὶ φωνῆς κατεργαζομένας. ἐκπίπτοντες οὖν οἱ ὀδόντες, τῶν ὁμοίων χρειῶν ἐμπόδιοι γίνονται. φέρε δὴ περὶ αὐτῶν ἔτι διαλάβωμεν. τοῖς χρεώσταις οἷτινες ἂν ἐκπίπτωσιν ὀδόντες, ἀπόδοσιν τῶν χρεῶν σημαίνουσι. τοῦτο μὲν οὖν κοινὸν καὶ συμπεφορημένον. ὁ δὲ εἰρήσεται τίνα οἱ ὀδόντες σημαίνουσι. καὶ ἐὰν μὲν ἕνα τις ἐκβάλῃ ὀδόντα, ἑνὶ ἀποδώσει, ἢ πολλὰ ἐφάπαξ. ἐὰν δὲ πολλοὺς, πολλοῖς ἀποδώσει, ἢ ἑνὶ πολλάκις. καὶ ἐὰν θραυομένους, κατὰ μικρὸν ἀποδώσει. καὶ ἐὰν ἀπόνως ἐκβάλῃ, ἐργασάμενος καὶ πείσας, ἐὰν δὲ ἐπὶ τῇ

De Dentibus. CAP. 33.

IVdicatio de dentibus multam sustinēs distinctionem, à paucis omnino nostri seculi somniorum interpretibus rectè tractata est. Aristandro sanè Telmisensi documenta plurima & optima proponente. Res autem sic se habet. Ex dētibus superiores, eos qui in domo eius qui somniū vidit potiores & præstantiores sunt homines, significant. Inferiores verò, viliores. Domum enim putare conuenit os ipsum; dētes verò, homines qui intra domum degunt. Et ex his dextri viros significant, Sinistri mulieres. Præterquam si quædam rarò accidant, velut si quis Leno existens, in domo sua omnes fœminas habeat, aut Agricola omnes viros. In his enim dextri dentes, seniores significant, sinistri verò iuniores. Insuper & valde iuuenes, dentes sectores appellati, hoc est anteriores, significant. Mediæ ætatis, canini. Senes, Morales: quos etiam gomphios, hoc est, clauares quidam appellant. Qualemcunque igitur quis amiserit dentem talem hominē amittet. Quando verò non homines modo, sed etiam possessiones per dentes significantur, cēsendum est Morales quidem thesauros repositos significare. Caninos verò ea quę non magni momenti sunt. Sectores verò supellectilem vasorum. Verisimile est igitur aliquos ipsorum excidentes, pecuniarum ac facultatum perditionem significare. Insuper autem dentes etiam res vitæ necessarias significant, & ex his Molares, secretas & arcanas. Canini verò eas quæ non multis manifestæ sunt. Sectores autem manifestissimas, & quæ per sermonem & vocem comparantur. Excidentes igitur dentes, similium rerum impedimentum sunt. Verùm age, de ipsis amplius quiddam distinguamus. Obæratis quicunque dentes exciderint, æris alieni redditionem significant, atque hoc in communi & copulatim dictum est. Dicetur tamen etiā quem nam dentes significent. Et si quidem vnū quis amiserit dentem, vni reddet, aut multis vna vice: sin multos, multis, aut vni sępe. Etsi quassatos ac fissos amiserit, paulatim & particulatim reddet, & si quidem citra dolorem abiecerit, quæstu facto & ditatus. Si verò in amissione dolere se

putauerit, reddet addens aliquid de suo. Dentes anteriores eiecti qui sectores appellantur, nihil per sermonem conficere sinunt. Et si quidem sequatur ad ipsos dolor, aut sanguis, aut caruncula, in totum obliterant ac tollunt proposita. Sin absq; molestia excidant, præsens tantum differunt ac transmittunt. Dentes simul omnes excidentes, desertam domum significant omnibus simul discedẽtibus destitutam. Habent prætereà dentes excidentes & in non sanis, & non liberis, & exercentibus mercaturam, aliquid. Ipsis enim ægrotantibus longum quidem morbum & tabẽ prædicunt, verùm non morituros esse cõfirmant. Citra enim dentes sanorum cibo vti non datur, sed sorbitionibus & succo. Ex demortuis autem nullus dẽtem amittit. Quapropter quicquid mortuis non contingit, ægrotãtibus signum salutis existit. Præstat tamen ægrotos omnes dẽtes perdere. Citius enim sic cõualescunt. Seruo verò nullum dentem habere, libertatem denuntiat. Aut enim non exhibent ministerium, velut dentibus alimentum, aut ab alio alimentum non accipiens, velut qui neque à dẽtibus nutriatur, penitus liber erit. Mercatoribus autẽ citam onerum ac bonorum curationem ac dispositionem hoc somnium significat, & præsertim si in motu fuerint ipsa. Augescẽtes autem quidam ex dentibus, ita vt alterum magnitudine superet, seditionem in domo eius qui somnium vidit significant, quandoquidem harmonia non amplius vtuntur, quæ significatio est & mobilium, etiam si non elabantur. Quicunque verò nigros, & putrefactos, ac corrosos, aut mutilos dentes habentes, visi sibi fuerint eos amisisse, hi omni molestia, omnique malo liberabuntur, & aliqui sanè sæpe seniores homines ex hoc somnio amiserũt. Porrò dẽtes habere eburneos, bonum est omnibus. Philologis enim qui sermonis studio tenentur, suauiloquentiã: alijs verò sumptuositatem circa domum significat. Verùm aureos habere dẽtes, bonum quidem est philologis, velut ab aureis dentibus sermonem prolaturis. Reliquis autẽ incendia futura in domo significat: quibusdam verò morbum ex bilis multitudinẽ cõsistentẽ, qui etiam Icterus & arquatus nominatur. Cereos dentes habere celerem mortem affert: tales enim cibum conficere non possunt. Plumbeos habere

ἐκβολὴν δηλοῦν νομίσῃ, ἀποδώσει δὲ τὴν οἴκοθεν. ὀδόντες ἐμπρόσθιοι ἐκβληθέντες οἱ καλούμενοι τομεῖς, οὐδὲν ἐῶσι πρᾶξαι διὰ λόγου. καὶ ἐὰν μὲν ἕπηται αὐτοῖς πόνος, ἢ αἷμα, ἢ σαρκία, τέλεον περιγράφουσι καὶ ἀναιροῦσι τὰ προκείμενα. καὶ ἐὰν ἀταλαιπώρως ἐκπίπτωσι, τὸ παρὸν ὑπερτίθενται μόνον. ὀδόντες ὁμοῦ πάντες ἐκπίπτοντες, ἔρημον τὸν οἶκον σημαίνουσι πάντων ὁμοῦ κατασταθῆναι. ἔπι τε τῶν ἐρρωμένων καὶ ἐλευθέρων, καὶ μὴ ἐμπόρων ἔχουσι δέ. ἐπὶ τοῖς νοσοῦσι μακρονοσίαν μὲν καὶ φθίσιν προαγορεύουσι, τὸ δὲ μὴ ἀποθανεῖν διαβεβαιοῦνται. ἄνευ μὲν γὰρ ὀδόντων, οὐκ ἔστι χρῆσθαι ὑγιεινῇ τροφῇ, διὰ ῥοφήμασι καὶ χυλῷ. οὐδεὶς δὲ τῶν ἀποθανόντων ὀδόντας ἀπόλλυσι. διὸ σωτήριον πᾶν τὸ μὴ τοῖς νεκροῖς συμβαῖνον τοῖς νοσοῦσι καθίσταται. ἄμεινον δὲ τοῖς νοσοῦσιν ἅπαντας τοὺς ὀδόντας ἀπολέσαι· θᾶττον γὰρ ἀνίστανται. δούλῳ δὲ ἐλευθερίαν προαγορεύει, τὸ μηδένα ἔχειν ὀδόντα. ἢ γὰρ οὐ διδοὺς ἀναφορὰν ὥσπερ τοῖς ὀδοῦσι τροφήν, ἢ οὐ λαμβάνων παρ' ἄλλου τροφάς, ὥσπερ οὐδὲ ὑπὸ τῶν ὀδόντων τρεφόμενος πάντως ἔσται ἐλεύθερος. ἐμπόροις δὲ ταχέως τὰ φορτία διατίθεσθαι σημαίνει τὸ τοιοῦτον ὄναρ. καὶ μάλιστα ἐὰν κινούμενα ᾖ. αὐξήσαντες δέ τινες τῶν ὀδόντων, καὶ ἑτερομεγεθήσαντες, στάσιν κατὰ τὸν οἶκον τοῦ ἰδόντος ἔσεσθαι σημαίνει, ἐπειδὴ τῇ ἁρμονίᾳ οὐκέτι χρῶνται. καὶ ὅταν σαλευόμενοι μὴ ἐκπίπτωσιν. ὅσοι δὲ μέλανας, καὶ σεσηπότας, καὶ βεβρωμένους, ἢ κολοβοὺς ἔχοντες ὀδόντας, ἔδοξαν ἀποβεβληκέναι, οὗτοι πάσης δυσχερείας καὶ παντὸς ἀπαλλαγήσονται κακοῦ. καὶ πολλάκις δὲ πρεσβύτας ἀπέβαλον τινές. ὀδόντας δοκεῖν ἔχειν ἐλεφαντίνους, ἀγαθὸν πᾶσι· τοῖς μὲν γὰρ φιλολόγοις, εὐέπειαν· τοῖς δὲ ἄλλοις, πολυτέλειαν κατὰ τὸν οἶκον σημαίνουσι. χρυσοῦς δὲ δοκεῖν ἔχειν ὀδόντας, φιλολόγοις μὲν ἀγαθόν· ὡς γὰρ ἀπὸ χρυσέων φθέγξονται τῶν ὀδόντων. τοῖς δὲ λοιποῖς, πυρκαϊὰς ἐσομένας κατὰ τὸν οἶκον σημαίνει· οἷς δέ, νόσον τὴν ὑπὸ χολῆς πλήθους συνισταμένην, ἣν καὶ ἴκτερον καλοῦσι. κηρίνους δὲ ὀδόντας ἔχειν, σύντομον παρέχουσι θάνατον. οὐ γὰρ εἰσὶν οἱ τοιοῦτοι τροφῆς ληπτικοί. μολυβδίνους δὲ

ἔχειν ἢ κασσιτερίνους, ἀτιμίαν καὶ αἰσχύνην σημαίνει. ὑελίνους δὲ ἢ ξυλίνους, βιαίους ἐπάγει θανάτους. ἀργυροῦς δὲ ἔχειν ὀδόντας, χρήματα ποιῆσαι σημαίνει διὰ λόγων. πλουσίοις δὲ, εἰς τροφὰς τὰ χρήματα δαπανῆσαι σημαίνει. εἰ δέ τις ἐκβαλὼν τοὺς προτέρους ὀδόντας, ἄλλους ἀναφύεσθαι νομίσειεν, ἐναλλαγὴν αὐτῷ τοῦ παντὸς βίου σημαίνει τὸ ὄναρ· ἐπὶ μὲν τὸ κρεῖττον, ἐὰν ὦσιν οἱ δεύτεροι ὀδόντες τῶν προτέρων βελτίονες· ἐπὶ δὲ τὸ χεῖρον, ἐὰν ὦσι χείρονες. σαρκία δὲ, ἢ ἀκάνθια, ἢ ἄλλο τι δοκεῖν ἐν τοῖς ὀδοῦσιν ἔχειν, κωλύει φθέγγεσθαι περί τινων ἀναγκαίων· ἐπειδὴ καὶ ἀπραξίαν προαγορεύει. εἰ δέ τις τοιαῦτά τινα ἐν τοῖς ὀδοῦσιν ἔχων, τὰ δὲ ἐξαίρειν νομίσειε, παύσεται ἀπρακτῶν, καὶ τῇ διὰ λόγου πράξει.

aut stanneos, ignominiam & pudefactionem. Vitreos verò aut ligneos, violẽtam mortem inducit. Argenteos autem habere dentes, pecuniam parare per sermones & eloquentiam significat. Diuitibus verò pecuniarum sumptum in alimẽtum ac cibos prædicit. Si verò quis eiectis prioribus dentibus, alios enasci sibi putet, somnium hoc immutationem totius vitæ sibi præsagit: in melius sanè, si fuerint secũdi dẽtes prioribus meliores: in peius autem, si fuerint deteriores. Carunculas aut spinulas, aut aliud quid sibi videri in dẽtibus habere, de quibusdam necessarijs loqui prohibet, quandoquidem etiam actionũ impedimentum prænuntiat. Si quis verò talia in dentibus habens, ea eximere sibi videtur, actionum impedimentum cessabit, & per eloquentiam opes parabit.

Περὶ γλώσσης. λδ΄

Γλῶσσαν σύμμετρον καὶ κατάλληλον ἔχειν τῷ στόματι, καὶ τρανὸν φθέγγεσθαι, πᾶσιν ἀγαθόν. τὸ δὲ μὴ δύνασθαι φθέγγεσθαι, ἢ τὴν γλῶτταν δεδεμένην ἔχειν, ἀπραξίαν ἅμα καὶ πενίαν σημαίνει. παραιρεῖται γὰρ καὶ τὴν τῶν λόγων παρρησίαν ἡ πενία, εἴποι δ' ἄν τις ἐνταῦθα καὶ τὸ Θεόγνιδος.

„ Πᾶς γὰρ ἀνὴρ πενίῃ πεπεδημένος, οὔτε τι εἰπεῖν,
„ Οὔθ' ἕρξαι δύναται. γλῶσσα δέ οἱ δέδεται.

Γλῶσσα δὲ οἰδήσασα γυναικὶ τοῦ ἰδόντος νόσον σημαίνει, ἐὰν ἔχῃ· εἰ δὲ μὴ, αὐτῷ· καὶ ἡ ὑπὲρ τὸ στόμα πίπτουσα, ἀπὸ προπετείας λόγων βλάβην σημαίνει. πολλάκις δὲ καὶ τὴν γυναῖκα τοῦ ἰδόντος μοιχάδα οὖσαν διέβαλε. τὸ δὲ δοκεῖν τρίχας ἔχειν πεφυκυίας ἐκ τῆς γλώττης, εἴτε λευκὰς εἴτε μελαίνας, οὐκ ἀγαθὸν ἂν εἴη. καί τοι λέγουσι τοῖς ἀπὸ λόγων πορίζομένοις, ἀγαθὸν τὸ τοιοῦτον. ἡμεῖς δὲ ἐτηρήσαμεν, πᾶσιν οὐκ ἀγαθὸν τὸ τοιοῦτον γινόμενον. οὐδὲν γὰρ τῶν μὴ οὐχὶ ἀργῶν καὶ ἀτρίβων φύει τρίχας. δεῖ δὲ τὴν γλῶτταν μὴ ἀργὴν ἔχειν· καὶ αἱ μὲν μέλαιναι, θᾶττον ἐπάγουσιν, αἱ δὲ λευκαὶ, βραδίον τὰ ἀποτελέσματα· ὅσα δὲ ἐτήρησα περὶ τοῦ ὀνείρου τούτου, ταῦτα γράφω. τοῖς μὲν διὰ

De Lingua. CAP. 34.

Linguã commoderatam & ori conuenientem habere, & clarè loqui, omnibus bonum est. Verùm non posse loqui, aut linguam ligatã habere, actionum impedimentum, simúlq; paupertatem significat. Nam & paupertas sermonis ac dicẽdi libertatem adimit, vt hic Theognidis sententiam vsurpare liceat:

Vir paupertatis pedicis vinctus, neq; dicto
Nec facto præstat, linguaq; vincta sibi est.

Lingua tumefacta, vxori eius qui somniũ vidit morbum præsagit, siquidem vxorem habet: si non, ipsi. Lingua quæ supra os cadens ipsi incumbit, à petulantia sermonis damnum significat. Sępe verò etiã vxorem eius qui vidit adulteram esse criminata est. At verò existimare pilos habere è lingua enatos, siue albos, siue nigros, nequaquam fuerit bonum, quamuis dicant his qui è sermone ac eloquentia sibi rem parant, bonum huiusmodi somniũ esse: nos autem obseruauimus, omnibus non bene tale somnium cessisse. Nihil enim quod nõ otiosum est & indetritum pilos producit; oportet autem linguam minimè otiosam habere. Et nigri quidem pili citius, albi verò tardius ipsos euentus inducunt. Quæcunque autem obseruaui de hoc somnio, ea ipsa scribo. Qui equidem

dem per vocem oqerantur, his otium & vacationem ad sermonem faciēdum lingua habuit, reliquis ad cibū capiendum: aut enim ægrotauerunt multo tempore & non fuerūt vsi solitis cibis, aut ab ægrotatione mortui sunt. Testimonium autē contulerit vtiq; huic obseruationi Apollonius Atalensis in secundo libro multa de hoc somnio dicēs. Nihil differt autem siue ex lingua ipsa, siue ex palato pilos enasci, aut etiam ex gingiuis, aut dētibus, aut labris. eandam enim significationem habent.

De Vomitu sanguinis, aut bilis, aut pituitæ, aut cibi. CAP. 35.

Sanguinem vomere multum, & boni coloris, & non corruptum, bonum est pauperi, acquisitionem enim significat, & abundantiam pecuniarum. eadem enim ratio sanguinis & argenti est, velut etiam veteres prodiderunt. Bonum est & ei qui liberis caret, & qui cognatum apud exteros habet. alter enim filium sibi natum, alter cognatum reducem, vtrosque eiusdem sanguinis existentes, videbit. Verùm si in vas profluxerit sanguis, filius quidem educabitur. Viuet autem cognatus apud exteros degens, qui etiam post reditum morietur. Si verò in terram defluat, ambo citò morientur, & qui apud exteros degit, in suam ipsius cōcedet, propter sanguinem, hoc est in suam terram, quæ videlicet patria existit. Sanguinem gestare videre absurdum & minimè conueniens est ei qui latere vult, manifestabitur enim. Corruptus autem sanguis omnibus ex æquo morbum annuntiat. Modicum sanguinem, adeò vt neq; vomitu, sed spuendo reijci videatur, obseruaui seditionem portendere. Bilem porrò aut pituitam vomere, ei qui in calamitate, aut angustia aliqua, aut morbo est, cessationem instantium malorū significat. Omnia enim eiusmodi excreta amplius non molestant. Ei verò qui pro voluntate diuersatur, prius aliquid molestiarum inducit, à quibus postea ipsum liberat. Cibum vomere quencunque tandem damnum significat, ex eo quod corpus alimentum non sentit. Sua ipsius intestina aut viscera per os reijcere filiorum perniciem & viro & vxori

φωνῆς ἐργαζομένοις σχολὴν πρὸς λόγους ἡ γλῶσσα ἔχειν, τοῖς δὲ λοιποῖς πρὸς τροφάς. ἢ γὰρ ἐνόσησαν πολλῷ χρόνῳ, καὶ οὐκ ἐχρήσαντο τῇ κατὰ τὸ ἔθος τροφῇ, ἢ νοσήσαντες ἀπέθανον. μαρτυρήσειε δ' ἂν καὶ Ἀπολλώνιος ὁ Ἀτταλεὺς ἐν δευτέρῳ τῆς ἑαυτοῦ συντάξεως, πολλὰ περὶ τοῦ ὀνείρου τούτου λέγων. οὐδὲν δὲ διαφέρει ἐξ αὐτῆς τῆς γλώσσης πεφυκέναι τὰς τρίχας, ἢ ἐκ τῆς ὑπερῴας, ἢ ἐκ τῶν οὔλων, ἢ ἐκ τῶν χειλῶν. τὸ γὰρ αὐτὸ σημαίνουσιν.

Περὶ τοῦ αἷμα ἐμεῖν, ἢ χολὴν, ἢ φλέγμα, ἢ τροφήν. λε΄.

Αἷμα ἐμεῖν πολὺ μὲν καὶ εὔχροον καὶ μὴ διεφθορὸς ἀγαθὸν πένητι, πρόσκτησιν γὰρ σημαίνει, καὶ περιουσίαν χρημάτων· ὅτι τὸν ἴσον λόγον ἔχει τῷ αἵματι τὰ ἀργύρια, ὡς καὶ οἱ παλαιοὶ ἄνδρες διέλαζον. ἀγαθὸν δὲ καὶ ἄπαιδι, καὶ τῷ συγγενῆ ἀπόδημον ἔχοντι. ὁ μὲν γὰρ τέκνον γενόμενον, ὁ δὲ συγγενῆ ἀνακομισθέντα, ἀπὸ τοῦ αὐτοῦ αἵματος ὄντας ἑκατέρους ὄψεται. ἀλλ' εἰ μὲν εἰς ἀγγεῖον ῥέοι τὸ αἷμα, τραφήσεται μὲν ὁ παῖς· ζήσεται δὲ ὁ ἀπόδημος, ὃς καὶ μετὰ τὴν ἀνακομιδὴν τεθνήξεται. εἰ δὲ χαμαὶ ῥέοι, ἀμφότεροι ταχὺ τεθνήξονται. καὶ ὁ ἀπόδημος εἰς τὴν ἑαυτοῦ πορεύσεται, διὰ τὸ αἷμα τουτέστιν ἑαυτοῦ εἰς τὴν γῆν, ἥτις ἐστὶ πατρίς. αἷμα φερόμενον ἰδεῖν ἄτοπον τῷ λανθάνειν προαιρουμένῳ, ἐλεγχθήσεται γάρ. τὸ δὲ διεφθορὸς αἷμα πᾶσιν ἐπίσης νόσον σημαίνει. τὸ δὲ ὀλίγον σφόδρα, ὥστε μὴ ἐμεῖν δοκεῖν ἀλλὰ πτύειν, ἐτηρήσαμεν στάσιν σημαῖνον. Χολὴν δὲ ἢ φλέγμα ἐμεῖν τῷ μὲν ὄντι ἐν συμφορᾷ, ἢ τινὶ ἀνίᾳ, ἢ νόσῳ, ἀνάπαυλαν τῶν ἐνεστώτων κακῶν σημαίνει. πάντα γὰρ τὰ τοιαῦτα ἀποκριθέντα οὐκ ἔτι ἐνοχλεῖ. τῷ δὲ κατὰ προαίρεσιν ἀναστρεφομένῳ πρότερον ἐπάγει τι τῶν δεινῶν, καὶ τότε ἀπαλλάσσει. τροφὴν ἐμεῖν ἥντινα οὖν βλάβην σημαίνει διὰ τὴν τοῦ σώματος ἀτροφίαν. τὰ δὲ ἑαυτοῦ ἔντερα ἢ σπλάγχνα διὰ τοῦ στόματος ἀποκρίνειν τέκνων ὄλεθρον καὶ ἀνδρὶ καὶ γυν-

γαικὶ περιαγορεύει. τοῖς δὲ ἄπαισι τὴν ὄντων αὐτοῖς τὸ κράτιστον ἀπολέσαι σημαίνει. νοσοῦσι τὸ δὲ θάνατον μαντεύεται τὸ ὄναρ. τούτων τὰς αἰτίας ὁ ἐπιὼν παρέξει λόγος.

predicit. Verùm his qui liberis carẽt optimæ rei quam in bonis suis habent perditionem denuntiat. Ægrotãti autem mortem præsagit hoc somnium. Horum causas sequens sermo exhibebit.

Περὶ τραχήλου. λϛʹ.

De Collo. CAP. 36.

ΟΤΙ δ' ἂν περὶ τὸν τράχηλον ἢ τὸν αὐχένα ἢ τὴν ὑπήνην ἕλκος ἢ νόσον ἢ πάθος ἔχειν νομίσῃ τις, νόσον ἐπίσης πᾶσι περιαγορεύει. ἐξήρτηται γὰρ τρόπον τινὰ ἐκ τῆς κεφαλῆς καὶ τοῦ τραχήλου πᾶν τὸ σῶμα. καὶ τὴν μὲν ἐρρωμένων ἔρρωται. καμνόντων δὲ νοσεῖ τε καὶ οὐκ ἔρρωται. δύο δὲ ἔχειν κεφαλὰς ἢ τρεῖς ἀγαθὸν ἀθλητῇ πλείστους ἱεροὺς ἀγῶνας ἀγωνιζομένῳ. τοσούτοις γὰρ ἀγῶνας ἱεροὺς στεφανωθήσεται. ἀγαθὸν καὶ πένητι. πρὸς γὰρ τὸ πολλὰς κεφαλὰς κτήσασθαι, καὶ οὐσίαν περιβαλέσθαι πολλὴν, καὶ παῖδες αὐτῷ ἀγαθοί, καὶ γυνὴ καταθύμιος ἔσται. πλουσίῳ δὲ ἐπανάστασιν σημαίνει ἔκ τινων συγγενῶν. καὶ ἐὰν μὲν ἡ προτέρα κεφαλὴ ὑπερέχῃ, οὐ καθελοῦσιν αὐτὸν οἱ ἐπαναστάντες. ἐὰν δὲ ὑπερέχηται, κίνδυνον αὐτῷ καὶ θάνατον σημαίνει.

QVodcunque vlcus, aut morbum, aut affectum, circa collum, siue ceruicẽ siue barbam, habere quis existimauerit, omnibus ex æquo morbum prædicit: Dependet enim aliquo modo ex capite ac collo vniuersum corpus, & his quidem sanis sanum est: ægrotantibus verò ægrotat, & firmum non est. Duo habere capita aut tria bonum est athletæ plurima sacra certamina decertaturo. Tot enim sacris certaminibus coronabitur. Bonũ est & pauperi, supra hoc enim quod multa capita possidebit, & multã bonorum substantiam colliget, etiam liberi ipsi boni, & vxor ex animi sentẽtia contingent. Diuiti porrò aduersitatem significat ex cognatis. Et si quidem prius caput supereminẽat, non deijcient ipsum aduersarij. Si verò à reliquis præminentibus excellatur, periculum ipsi & mortem significat.

Περὶ τοῦ τετραχηλοκοπῆσθαι. λζʹ.

De Decollatione. CAP. 37.

ΑΠοκεκόφθαι δὲ δοκεῖν τὴν κεφαλὴν, εἴτε ἐκ καταδίκης, εἴτε ὑπὸ λῃστῶν, εἴτε ἐν μονομαχίᾳ, εἴτε ὁπωσδήποτε τρόπῳ, οὐ γὰρ διαφέρει, πονηρὸν τῷ γονεῖς ἔχοντι, καὶ τῷ τέκνα. γονεῦσι μὲν γὰρ ἡ κεφαλὴ ἔοικε διὰ τὸ τοῦ ζῆν αἰτίαν εἶναι· τέκνοις δὲ διὰ τὸ πρόσωπον καὶ τὴν εἰκόνα. ἤδη δέ τινες, καὶ γυναικὸς, καὶ φίλου καὶ οἰκονόμου ἀγαθοῦ ἐπὶ τούτῳ τῷ ὀνείρῳ ἐστερήθησαν. καὶ οὐκέτι ἔχον τὸ ἐπιβλέπον τὰ κτήματα πρόσωπον. καί τις οἰκίαν ἔχων ἀπώλεσε. καὶ γὰρ ἡ κεφαλὴ ὡς εἰπεῖν, οἶκός ἐστι τῶν αἰσθήσεων. εἰ δέ τις ὁμοῦ πάντα ταῦτα ἔχοι, φανερὸν ὅτι μὴ εἰς πάντα ἀποβήσεται τὸ ὄναρ. ἀλλ' ὡς ἐγὼ ἐτήρησα, μᾶλλον εἰς ἐσπουδασμένον, καὶ

CAput decollatum esse sibi videri, siue iudicio damnatum, siue à prædonibus, siue in singulari certamine, aut quocunque alio modo, nihil enim refert: malum est parentes habẽti, & habẽti liberos. parentibus enim simile est caput, propterea quòd vitæ autores existant: filijs verò ob faciem & imaginem. Iam verò & vxore, & amico, & villico bono quidam ex hoc somnio priuati sunt, & nõ habuerunt faciem possessiones ipsorum inspicientem. Quidam etiam domum habens eam perdidit. Nam caput domus est, vt ita dicam, sensuum. Si verò quis hæc omnia simul habeat, manifestum est non in omnia euenturum esse somnium, sed velut ego obseruaui, magis in fauorabilem

ac dilectum ac necessarium existentem ei qui somnium vidit. Bonū est autem hoc somnium in capitis causa reo. Quæcunq; enim semel circa aliquem fiunt, & impossibile est bis eadem fieri, hæc facta nō amplius contingent: iam enim facta sunt. Nummularijs autem & fœneratoribus, & symbolo conuiuali colligendo præfectis, & naucleris, mercatoribúsq; & omnibus pecunias colligētibus perditionem summarum pecuniariarū significat, ob æquiuocationem vocis κεφάλαια, quæ de capitibus, & summis pecuniarijs dicitur. Bonum est autem obæratis propter eandem causam. Qui verò apud exteros degit, in suam patriam redibit, & qui de terra litem habet, causam vincet. Ablatum enim caput in terram cadit, & in ipsa manet, & reliquo corpori non amplius molestias exhibet. Seruo autem in cuius fidem domus tradita est, fide exolutum esse significat. Nemo enim ante damnationē capite plectitur, aut quòd caput non habens fidem & autoritatem non habet. Acephalum enim & sine capite esse dicimus ignominiosum. Reliquis omnibus libertatem significat. Dominus enim corporis existēs caput vbi fuerit ablatum, separatum ab hero seruum liberū fore significat. Multi autem per hoc somnium solum venditi sunt. Cæterum in causis famę & nominis, aut pecuniaria damnationē præsagit hoc somnium, & causa sanè est manifesta. Si verò quis nauigans hoc somnium videat, apicis mali perditionē significat, nisi nautarum aliquis sit qui vidit. In his enim obseruaui, principibus mortem significare. Imperat autem perineo tœmarchus qui lateribus nauis præest, tœmarcho proreta, proretæ gubernator, gubernatori nauclerus. Verùm in mercatoribus & nauigātibus, qui tantum vt vehātur nauem conscendunt, & ob id Epibatæ dicuntur, toto corpore in nauem diuisio, caput dixeris apicem mali. Noui quendam qui visus est sibi decollatus esse, & Græcus existens Romanam adeptus est ciuitatem, & sic priori nomine ac dignitate priuatus est.

De Capite obtorto. CAP. 38.

CAput suum obtortum & auersum videre ita vt posteriora respiciat, pro-

φιλούμενον, καὶ αἰσχρὸν ὄντα τῷ ἰδόντι. ἀγαθὸν δὲ τοῦτο τὸ ὄναρ τῷ φεύγοντι θανάτου δίκην. ὅσα γὰρ ἅπαξ περί τινα γίνεται, καὶ ἀδύνατόν ἐστι δὶς ταῦτα γενέσθαι, ταῦτα γενόμενα οὐκ ἔτι μὴ ἔσται, ἔφθασε γὰρ γενέσθαι. τραπεζίταις δὲ καὶ δανεισταῖς, ἐρανάρχαις, καὶ ναυκλήροις, καὶ ἐμπόροις, καὶ πᾶσι τοῖς τὰ χρήματα συνάγουσιν, ἀπώλειαν τῶν κεφαλαίων διὰ τὸ ὁμώνυμον σημαίνει. ἀγαθὸν δὲ καταχρέοις διὰ τὰ αὐτά. ὁ δὲ ἐπὶ ξένης ὢν εἰς τὴν ἑαυτοῦ κατέλθοι ἄν. καὶ ὁ περὶ γῆς δίκην ἔχων νικήσει. ἀφαιρεθεῖσα γὰρ ἡ κεφαλὴ εἰς τὴν γῆν πίπτει, καὶ ἐν αὐτῇ μένει, καὶ τῷ λοιπῷ σώματι παρέχει τὸ μηκέτι λυπεῖσθαι. δούλῳ δὲ ἐν πίστει μὲν ὄντι τῆς οἰκίας τῆς πίστεως παραλυθῆναι σημαίνει· οὐ γάρ τις πρὸ καταγνώσεως ἀποκεφαλίζεται, ἢ ὅτι μὴ ἔχων κεφαλὴν οὐ πιστεύεται. ἀκέφαλον γὰρ λέγομεν τὸν ἄτιμον. τοῖς δὲ λοιποῖς πᾶσιν ἐλευθερίαν σημαίνει. κυρία γὰρ τοῦ σώματος οὖσα ἡ κεφαλὴ ἐπειδὰν ἀφαιρεθῇ, χωρισθέντα τοῦ δεσπότου τὸν οἰκέτην ἐλεύθερον σημαίνει ἔσεσθαι. πολλοὶ δὲ δι' αὐτὸ μόνον ἐπράθησαν. ἐν δὲ ταῖς περὶ ἐπιτιμίας ἢ χρημάτων δίκαις καταδίκην τὸ ὄναρ μαντεύεται. καὶ ἡ αἰτία φανερά. εἰ δέ τις πλέων ἴδοι τὸν ὄνειρον τοῦτον ἀπολεῖσθαι τοῦ πλοίου τὴν ἰσοκεραίαν σημαίνει, εἰ μὴ τῶν ναυτῶν τις εἴη ὁ ἑωρακώς. ἐπὶ γὰρ τούτων ἐτήρησα τοῖς ἄρχουσι θάνατον σημαίνειν. ἄρχει δὲ περινεῦ μὲν ὁ τοίμαρχος, τοιμάρχου δὲ ὁ πρωρεύς, πρωρέως δὲ ὁ κυβερνήτης, κυβερνήτου δὲ ὁ ναύκληρος. ἐπὶ δὲ τῶν ἐμπόρων καὶ ἐπιβατῶν, τοῦ παντὸς σώματος εἰς τὴν ναῦν διῃρημένου, κεφαλὴν ἄν τις λέγοι τὴν ἰσοκεραίαν. οἶδα δέ τινα ὃς ἔδοξε τετραχηλοκοπῆσθαι, καὶ ὢν Ἕλλην ἔτυχε τῆς Ῥωμαίων πολιτείας. καὶ οὕτως ἀφῃρέθη τοῦ προτέρου ὀνόματός τε καὶ ἀξιώματος.

Περὶ ἀπεστραμμένης κεφαλῆς. λή.

ΑΠεστραμμένην ἰδεῖν τὴν ἑαυτοῦ κεφαλήν, ὥστε τὰ ὀπίσω βλέπειν, κωλύει

μὲν τῆς ἑαυτοῦ μετανίστασθαι πατρίδος μετάνοιαν ἐπὶ τῇ ἀποδημίᾳ προαγορεῦον. κωλύει δὲ πᾶν ὁτιοῦν πράσσειν ἄλλο. οὐ γὰρ τὰ νῦν κεχαρισμένα, ἀλλὰ τὰ μέλλοντα βλέπειν προαγορεύει. τοῖς δ' ἐπὶ ξένης οὖσι τὴν εἰς οἶκον ἀνακομιδὴν ὀψὲ καὶ παρὰ προσδοκίαν προμηνύει. ἰδεῖν γὰρ καὶ παρὰ δύναμιν σημαίνει τὴν οἰκίαν.

hibet quidem à ſua patria diſcedere, pœnitentiam profectionis denuntians. Prohibet autem etiam omnia quæcunq; tandem facere. Non enim ea quæ nunc grata & iucunda apparent, ſed futura reſpicere prædicit. Cæterum his qui apud exteros populos degunt, reditum ad domum ſerò & præter expectationem præſagit. Viſionem enim domus etiam præter facultatem ſignificat.

Περὶ τοῦ δοκεῖν θηρίου κεφαλὴν ἔχειν. λθ'.

ΛΕοντος, καὶ λύκου, καὶ παρδάλεως, καὶ ἐλέφαντος κεφαλὴν δοκεῖν ἔχειν ἀντὶ τῆς ἑαυτοῦ καλόν. μείζοσι γὰρ ἢ καθ' αὑτὸν ἐγχειρήσας ὁ ἰδὼν πράγμασιν ἐπὶ τούτοις νίκης τεύξεται· καὶ περιγινόμενος ὠφεληθήσεται πολλά, φοβερὸς μὲν τοῖς ἐναντίοις, ἐπαχθὴς δὲ τοῖς ἰδίοις γινόμενος. πολλοὶ δὲ καὶ εἰς ἀρχὰς καὶ ἡγεμονίας ὁρμήσαντες ἐπὶ τούτοις ἔτυχον. κυνός, ἢ ἵππου, ἢ ὄνου, ἢ τινος τῶν ἄλλων τετραπόδων ἢ πετεινῶν κεφαλὴν δοκεῖν ἔχειν ἀντὶ τῆς ἑαυτοῦ, εἰ μὲν τετράποδος, δουλείαν καὶ ταλαιπωρίαν σημαίνει. εἰ δὲ τινος τῶν πετεινῶν, τὸ μὴ μεῖναι ἐν τοῖς οἰκείοις χωρίοις. ἢ διὰ τὴν πτῆσιν, ἢ ὅτι τὰ ὀρνιθογενῆ οὐ μένει ἐν τοῖς οἰκείοις χωρίοις, ἀλλ' οὐδὲ παρὰ τοῖς τοκεῦσιν.

De eo, quòd quis putat ſe feræ alicuius caput habere. CAP. 39.

LEonis & lupi, & pãtheræ, & elephantis caput habere putare, pro ſuo ipſius bonum eſt. Maiores enim quàm pro viribus ſuis res aggreſſus is qui ſomnium vidit, in his victoriam adipiſcitur, & ſuperior euadens plurimum iuuabitur, terribilis quidem contrarijs & aduerſarijs, ſuis autem oneroſus & grauis redditus. Multi verò qui ad principatus & magiſtratus animum adiecerunt, ſucceſſum in hoc ſomnio ſenſerunt. Canis, aut equi, aut aſini, aut alicuius aliorum quadrupedum, aut volucrium caput pro ſuo habere ſibi videri, ſi quidem quadrupedis fuerit, ſeruitutem & ærumnas ſignificat. Si verò alicuius ex volucrium genere, in propria regione non manſurum eſſe præſagit. aut propter volatum, aut quòd auium gentes in proprijs regionibus non permanent, imò neque apud parentes.

Περὶ τοῦ ἐν ταῖς χερσὶ τὴν κεφαλὴν ἔχειν. μ'.

ΕΝ ταῖς χερσὶ τὴν ἑαυτοῦ δοκεῖν κεφαλὴν ἔχειν ἀγαθὸν ἄπαιδι καὶ ἀγάμῳ, καὶ τὸν ἀπόδημον προσδεχομένῳ. εἰ δέ τις ἔτι μελήσοιτο τὴν κεφαλὴν, οἰκονομήσει τι τῶν περὶ αὐτὸν κακῶς ἐχόντων, καὶ διαλύσει τῶν ἐν τῷ βίῳ μοχθηρῶν. τὸ δ' αὐτὸ σημαίνει, καὶ εἴ τις ἅμα κρατῶν ἐν ταῖς χερσὶ τὴν ἑαυτοῦ κεφαλὴν ἑτέραν ἔχειν νομίσει κατὰ φύσιν.

Habere caput in manibus. CAP. 40.

CAput ſuum in manibus habere ſibi videri bonum eſt non habenti liberos, & non habenti vxorem, & expectãti aliquem apud exteros degentem. Si verò quis adhuc capitis ornãdi curam habeat, rectè diſponet quippiam eorum quæ circa ipſum malè habent, & ex vitæ malis ac ærumnis ſe extricabit. Idem ſignificat etiam, ſi quis ſimul tenens in manibus caput ſuum, aliud habere ſe putet ſecundum naturam.

Habere cornua. CAP. 41.

COrnua habere adnata bouis aut alterius cuiusdam animalis violenti, violentas mortes inducit. Vt plurimum verò decollationem ei qui somnium vidit significat. Hæc enim & animalibus cornigeris euenire solet.

Περὶ τοῦ κέρατα ἔχειν. μα'.

ΚΕρατα ἔχειν προσπεφυκότα βοὸς, ἢ ἄλλου τινὸς ζώου βιαίου, ἐπάγει βιαίους θανάτους. ὡς δὲ ἐπιτοπολὺ τραχηλοκοπηθῆναι τὸν ἰδόντα σημαίνει. τοῦτο γὰρ καὶ τοῖς κέρατα φοροῦσι ζώοις συμβαίνει.

De Humeris. CAP. 42.

HVmeri crassi & carnosi omnibus boni sunt, præterquam his qui in vinculis aut carceribus detinentur: fortitudinem enim & felicitatem significãtes his solum mali sunt: Longiori enim tempore mala sustinebunt velut in humeris resistere volentibus. Si verò quid patiantur humeri, prædictis contraria significãt. Sæpe autẽ & fratribus mortem aut morbum prædicunt. Nam & humeri ipsi inter se fratres existunt.

Περὶ ὤμων. μβ'.

ΩΜοι παχεῖς καὶ εὔσαρκοι πᾶσιν ἀγαθοί, πλὴν τῶν ἐν δεσμοῖς ὄντων, ἢ εἱρκταῖς. εὐανδρείαν γὰρ καὶ εὐπραξίαν σημαίνοντες τούτοις εἰσὶ μόνοις πονηροί. πλείονι γὰρ χρόνῳ ὑπομένουσι τὰ δεινά, ὡς ἐπὶ τῶν ὤμων αὐτὰ ἔχειν δυναμένων. εἰ δέ τι πάσχοιεν οἱ ὦμοι, τὰ ἐναντία τοῖς προειρημένοις σημαίνουσι. πολλάκις δὲ καὶ ἀδελφοῖς θάνατον ἢ νόσον σημαίνει. καὶ γὰρ οἱ ὦμοι ἀδελφοί εἰσιν ἀλλήλων.

De Pectore & Mammis. CA. 43.

PEctus sanum & illæsum bonum est. Hirsutum verò etiam si pilis densum fuerit, viris quidem bonum & lucrosum est. Mulieribus autem viduitatem significat, negligentius enim degunt, & pilis densæ fiunt, cùm non adest ob quem corpora exerceant. Mammæ autẽ extra omnem querelam & inculpate habentes bonæ sunt. Si verò maiores appareant concinnitatem & gratiam seruantes, liberorũ simul ac possessionũ acquisitionem significant. At verò si quid patiantur, & velut vlceratæ videantur, morbum portendũt. Decidẽtes verò mortem pueris, ac liberis eius qui somnium vidit. Si liberi non sint, indigentiam præsagiunt. Sæpe etiam luctum præsertim mulieribus significant. Hæ enim in luctu etiã mammas dilaniãt. Nutrici autem si filium habuerit, somniũ in eum quẽ nutrit eueniet. Multas habere mammas idem significat quod solito maiores factas esse. Mulieri verò & adulterorũ consuetudinem. Vulnerari in pectus à quodam familiari & noto, tristis nuntij

Περὶ στήθους καὶ μαζῶν. μγ'.

ΣΤῆθος ὑγιὲς καὶ ἀπαθὲς ἀγαθόν, τὸ δὲ λάσιον εἰ καὶ πεπυκνωμένον θριξὶν εἴη ἀνδράσι μὲν ἀγαθὸν καὶ κερδαλέον· γυναιξὶ δὲ χηρείαν μαντεύεται, ἀμελέστερον γὰρ διάγουσι καὶ δασύνονται, ἐπειδὰν μὴ παρῇ δι' ὃν ἀσκοῦσι τὰ σώματα. μαζοὶ δὲ πάσης αἰτίας ἐκτὸς ὄντες ἀγαθοί. εἰ δὲ μείζονες φαίνοιντο, τὸ εὔρυθμον καὶ χάριεν φυλάσσοντες, ἀπὸ τέκνων ἅμα καὶ κτημάτων ἐπίκτησιν σημαίνουσι. παθόντες δέ τι καὶ ὡς ἡλκωμένοι νόσον σημαίνουσιν. ἀποπίπτοντες δὲ θάνατον παισὶ τοῦ ἰδόντος. οὐκ ὄντων δὲ παίδων ἀπορίας εἰσὶ σημαντικοί. πολλάκις δὲ καὶ πένθος μάλιστα δὲ γυναιξὶ σημαίνουσιν· αὗται γὰρ ἐν πένθει καὶ τοὺς μαζοὺς λωβῶνται. τροφῷ δὲ εἰ τέκνον ἔχοι, εἰς τὸ τρεφόμενον ἀποβήσεται. πολλοὺς δὲ ἔχειν μαζοὺς τὸ αὐτὸ σημαίνει τῷ δοκεῖν τοὺς ὄντας μείζονας γεγονέναι· γυναικὶ δὲ καὶ μοιχείαν. τιτρώσκεσθαι κατὰ στῆθος ὑπό τινος γνωρίμου λυπηρὰν ἀκοὴν

πόθεν ἀγγελίαν σημαίνει τοῖς πρεσβύταις. νέοις δὲ καὶ ἀνδράσι καὶ γυναιξὶν ἔρωτα σημαίνει.

Περὶ χειρῶν. μδʹ.

Χεῖρες εὔτονοι καὶ καλαὶ εὐπραξίαν σημαίνουσι μάλιστα χειροτέχναις, καὶ τοῖς διὰ δόσεως καὶ λήψεως πορίζομένοις. φοβουμένῳ δὲ δεθῆναι οὐκ ἄφοβον τὸ ὄναρ. ἤδη δὲ κατὰ μέρος καὶ περὶ τῶν χειρῶν ἐρῶ. ὅ, τι ἂν οἱ βραχίονες πάθωσι πένθος σημαίνουσιν. ὅτι δ᾽ ἂν οἱ πήχεις, παραλύουσι τῶν ἐν χερσὶ πραγμάτων, καὶ τῶν ὑπηρετούντων στερίσκουσιν. ἤκουσα δέ τινος τῶν περὶ ταῦτα δεινῶν λέγοντος ἐμοὶ μὲν ἀρέσκοντα. ἐπεὶ καὶ ταῖς ἀποβάσεσιν ἀκόλουθον ὄντα εὗρον αὐτόν. εἰ δέ τῳ μὴ πιθανὰ δοκῶ λέγειν, οἷς ἀρέσκεται χρήσθω. σημαίνειν γὰρ ἔφησε τὴν μὲν δεξιὰν χεῖρα τὰ πορίζόμενα, τὴν δὲ ἀριστερὰν τὰ πεπορισμένα. ἡ μὲν γὰρ πρὸς τὸ λαβεῖν ἑτοίμη, ἡ δὲ ἐπιτήδειος πρὸς τὸ φυλάξαι. ἔστι δὲ παλαιὰ διαίρεσις ἀληθὴς ἤδη. καὶ σημαίνει ἡ μὲν δεξιὰ χεὶρ υἱόν, πατέρα, φίλον, καὶ ἄλλον, ὃν ἐν τῇ συνηθείᾳ καταχρώμενοι λέγομεν, ἡ δεξιὰ χείρ ἐστι τοῦ ἰδόντος. ἡ δὲ εὐώνυμος γυναῖκα, μητέρα, ἀδελφήν, θυγατέρα, δούλην, δοῦλον δηλοῖ. ὁποτέραν οὖν τις δόξει ἀφῃρῆσθαι, στερηθήσεταί τινος τῶν ὑπ᾽ αὐτῆς σημαινομένων. κοινῇ δὲ ἀμφότεραι αἱ χεῖρες σημαίνουσι τέχνας. χειρόγραφα, λόγους. τέχνας μὲν ἐπεὶ διὰ χειρῶν αἱ τέχναι· χειρόγραφα δὲ ὅτι καὶ αὐτὰ χεῖρες λέγονται· λόγους δέ, ἐπεὶ ἅμα τοῖς λόγοις αἱ χεῖρες κινοῦνται. τὸ μὲν γὰρ ὅτι ναύταις τε καὶ ὀρχησταῖς καὶ θαυματοποιοῖς μὴ ἔχειν τὰς χεῖρας οὐκ ἀγαθόν, ἐπεὶ μὴ ἄνευ τούτων οὐχ οἷοί τέ εἰσιν ἐργάζεσθαι, δῆλον δήπουθεν εἶναι. πάλιν δάκτυλοι χειρῶν ἀποβαλλόμενοι πάντες ἢ ἐκ μέρους βλάβας σημαίνουσι, καὶ ὑπηρετῶν ἀπώλειαν. γραφεῦσι δὲ καὶ φιλολόγοις σχολήν τε καὶ ἀργίαν. τοῖς δὲ ὀφείλουσι πλέον τοῦ δέοντος ἀποδοῦναι, καὶ τοῖς δανείζουσιν τὸ τὸν τόκον ἀπολαβεῖν. οἶδα δέ τινα ὃς ἔδοξε δακτύλους οὐκ ἔχειν, τούτῳ ὁ δανειστὴς καὶ μὴ γράψαντι ἐπίστευσεν.

auditionẽ alicũde significat senibus. Iuuenibus & viris & fœminis amorẽ prædicit.

De Manibus. CAP. 44.

Manus robustæ & pulchræ felicitatẽ significant maximè artificibus manuarijs, & qui per dationem & acceptionem victum ac rem comparant. Timenti autem ligationem & vincula non absque timore somniũ hoc est. Verùm iam particulatim etiam de manibus dicam. Quicquid tandem patiantur brachia luctum significant. Quicquid verò cubiti, negotia quæ in manibus sunt dissoluunt, & ministrantibus spoliant. Audiui porrò quendã circa hanc artem excellentem, qui sanè mihi valde placentia ac probata retulit, quandoquidem etiam euentibus ea cognouisse ipsum deprehẽdi. Si verò alicui non verisimilia, nec credibilia dicere videor, placitis sibi vtatur. Ille itaque dixit, dextram manum significare ea quæ parãtur bona, sinistram verò ea quæ iam parta sunt: altera enim ad accipiendum parata est, altera idonea ad seruandum. Est autẽ antiqua diuisio vera iam. Et dextera quidem manus significat filium, patrem, amicum. Sinistra verò vxorem, matrem sororem, filiam, seruam, seruum. Vtram igitur quis ablatam esse per somniũ viderit, priuabitur aliquo ex his qui per ipsam significantur. In communi autem vtræque manus significant artes, chirographa, sermones. Artes quidem, quoniã per manus fiunt artes. Chirographa autem, quoniam etiam ipsa manus appellantur. Sermones verò, quoniam simul cum sermone manus mouentur. Cæterùm quod nautis, & saltatoribus, & miraculorum editoribus, manus non habere bonum non sit, quandoquidem impossibile est absq; his operari, manifestum sanè existimo. Rursum digiti manuum amissi omnes aut ex parte, damnum significant, & ministrorum perditionem. Scriptoribus autem & philologis otium & ferias portendunt. Debitoribus verò plurium quàm debent persolutionem, & fœneratoribus vsuræ interceptionem. Noui autem quendam qui putauit se digitos non habere, huic fœnerator etiam citra scriptum credidit.

Plures habere digitos contraria significat ei somnio quo pauciores habere se quis videt. Morbi enim accedunt ex digitis nō secundum naturā habentibus, ipsisque simul sunt otiosi, simúlq; his quibus enati sunt ferias pariunt. Verum quidam errore decepti bonum esse eiusmodi somnium suspicati sunt. Pilos habere ex manibus enatos, ex articulo quidem manus, vincula significat: ex lata autem palmæ interna parte otium & ferias omnibus prædicit, maximè verò agricolis, & artificibus manuarijs. Quando enim non amplius circa opera teruntur manus, neque superficies ipsarum densatur, verisimile est etiā pilos enasci. Multas porrò habere manus bonū est artifici manuario. Neq; enim ab operis interquiescet: somniúmque ipsi quodam modo dicit: Opus est tibi pluribus manibus propter operarum multitudinē. Bonum etiam est iuste agentibus: acquisitionem enim & liberorum & famulorū, itémque pecuniarum significat hoc somnium, quemadmodum sæpe obseruaui. Maleficis autem vincula præsagit, atque hoc modo circa vnum corpus plures manus futuras esse.

πλείονας ἔχειν δακτύλους τἀναντία σημαίνει τῷ δοκοῦντι ἥττονας ἔχειν. νόσοι γὰρ προσγίνονται τοῖς οὐ κατὰ φύσιν δακτύλοις, αὐτοί τε ἅμα εἰσὶν ἀργοὶ, καὶ τοὺς ἐξ ὧν πεφύκασιν ἀέργους ποιοῦσι. πλανώμενοι δέ τινες ἀγαθὸν ὑπέλαβον εἶναι τὸ τοιοῦτον. τρίχας ἔχειν ἐκ τῶν χειρῶν πεφυκυίας, ἀπὸ μὲν τῶν καρπῶν δεσμὰ σημαίνει, ἀπὸ δὲ τῶν πλατειῶν τῶν ἐντὸς σχολὴν καὶ ἀργίαν πᾶσι σημαίνει· μάλιστα δὲ γεωργοῖς καὶ χειροτέχναις. οὐκέτι γὰρ περὶ τὰ ἔργα τριβομένων τῶν χειρῶν, οὐδὲ πυκνουμένης τῆς ἐπιφανείας, εἰκὸς ἂν εἴη καὶ τρίχας ἀναφῦναι. πολλὰς δὲ χεῖρας ἔχειν ἀγαθὸν χειροτέχνῃ. οὐ γὰρ παύσεται ἐργαζόμενος. τρόπον δέ τινα λέγει αὐτῷ τὸ ὄναρ. δεῖ σοι χειρῶν πλειόνων διὰ τὸ τῶν ἔργων πλῆθος. ἀγαθὸν δὲ καὶ τοῖς δικαιοπραγοῦσι, προσκτῆσιν γὰρ καὶ τέκνων, καὶ οἰκετῶν σημαίνει καὶ χρημάτων ὁ ὄνειρος, ὡς πολλάκις ἐτήρησα. κακούργοις δὲ δεσμὰ, καὶ οὕτως περὶ ἓν σῶμα πολλὰς γενέσθαι χεῖρας.

De Ilijs, & partibus circa vmbilicum. CAP. 45.

ILia & imus venter, & omnia vsque ad inguina mēbra corporis robur, & substantiam bonorum ac opum significare, putandum est. Proinde vbi hæ partes fuerint affectæ, corpori quidem morbum, victus verò inopiam denuntiant. Ipse autē vmblicus si cui sint parentes, eos ipsos significat, si non sint, patriam ex qua quis natus est & prodijt, velut ex vmbilico. Si itaque quid circa vmbilicum molesti fuerit, aut parentum aut patriæ priuationem præsagit. Et eum qui apud exteros est non reducit.

Περὶ λαγόνων καὶ τῶν περὶ ὀμφαλόν. με.

ΛΑγόνας καὶ ὑπογάστριον, καὶ πάντα τὰ μέχρι βουβώνων τὴν τοῦ σώματος ἰσχύν τε καὶ ὕπαρξιν σημαίνειν νομιστέον. τοιγάρτοι ἐάν τι ταῦτα τὰ μέρη πάθῃ, νόσον μὲν τῷ σώματι, ἔνδειαν δὲ κατὰ τὸν βίον προσαγορεύει. αὐτὸς δὲ ὁ ὀμφαλὸς ὄντων μὲν τῶν γονέων τοὺς γονεῖς, οὐκ ὄντων δὲ σημαίνει τὴν πατρίδα, ἧς ἐξέφυ τις, καὶ ἐξεγένετο, ὥσπερ ἐκ τοῦ ὀμφαλοῦ. ἐὰν οὖν τι περὶ τὸν ὀμφαλὸν γενέσθαι δυσχερὲς ᾖ, ἢ στερηθῆναι γονέων, ἢ τῆς πατρίδος σημαίνει. καὶ τὸν ἐπὶ ξένης ὄντα οὐκ ἐπανάγει.

De internis partibus. CAP. 46.

REsectū esse sibi videri, & cernere internas sui partes secundum naturā & singulas decenter sitas bonum est non habēti liberos, & pauperi: alter enim libe-

Περὶ τῶν ἐντός. μϛ'.

ΑΝατετμῆσθαι δοκεῖν, καὶ ἰδεῖν τὰ ἐντὸς ἑαυτοῦ κατὰ φύσιν καὶ ἕκαστον κοσμίως κείμενον ἀγαθὸν ἄπαιδι καὶ πένητι. ὁ μὲν γὰρ ὄψε-

ται παῖδας ἰδίους, ὁ δὲ κτήματα. καὶ γὰρ οἱ παῖδες σπλάγχνα λέγονται ὡς ἔντερα. καὶ ὥσπερ οἴκῳ κτήματα, οὕτω τὰ σπλάγχνα τοῖς λαγόσιν ἔγκειται. πλουσίῳ δὲ καὶ παντὶ τῷ λαθεῖν τι προαιρουμένῳ ἀσχημοσύνην καὶ ἔλεγχον προμαντεύεται. δεινὸν δὲ πᾶσι τὸ ὑπό τινος κατανοεῖσθαι τὰ σπλάγχνα. πραγμάτων γὰρ πονηρῶν καὶ δικῶν ἐπαγωγὴν σημαίνει, καὶ τὰ κρυπτὰ ἐλέγχει. ἀναλωθέντα δὲ δοκεῖν κενὸν εἶναι, μηδενὸς τῶν σπλάγχνων ἐντὸς ὄντων, ἔρημον τὸν οἶκον τοῦ ἰδόντος ἔσεσθαι σημαίνει, καὶ τέκνων ὄλεθρον, καὶ τῷ νοσοῦντι θάνατον. ἀγαθὸν δ' ἂν εἴη μόνον τῷ ἐν πολλοῖς κακοῖς ὄντι καὶ ἀνιωμένῳ, τὴν γὰρ ἐν ποσὶ κακῶν ἀνάπαυλαν προσημαίνει. ὁ γὰρ τὰ συνεκτικὰ τῶν φροντίδων ἀπολέσας εἰκότως ἄλυπός ἐστιν. ἔτι κἀκεῖνο πρὸς τοῖς εἰρημένοις χρὴ σκοπεῖν. ἡ καρδία γυναῖκα σημαίνει ἀνδρὸς ἰδόντος, ἄνδρα δὲ γυναικὸς ἰδούσης· διὰ τὸ τὴν ὅλην τοῦ σώματος ἕξιν δοκεῖν, καὶ τὸν θυμὸν τοῦ ἰδόντος καὶ τὸ πνεῦμα. τούτων γὰρ ἐστὶ συνεκτική. καὶ ὁ πνεύμων ὁμοίως. ἧπαρ δὲ τέκνον, καὶ βίον, καὶ φροντίδας. χολὴ δὲ τὸν χυμόν, καὶ χρήματα καὶ γυναῖκας. σπλὴν δὲ καὶ ἡδονὰς καὶ γέλωτα, καὶ τὰ ἔπιπλα τῶν σκευῶν. κοιλία δὲ καὶ ἔντερα τέκνα πρῶτον, εἶτα δανειστάς, ἐπεὶ μετὰ πολλῆς βίας ἀπαιτεῖ τροφάς. νεφροὶ δὲ ἀδελφοὺς καὶ συγγενεῖς. τοὺς δὲ ἄλλους τέκνα. ὅθεν μένοντα μὲν ταῦτα ἀμείνω καὶ τὰ σημαινόμενα ὑπ' αὐτῶν δηλοῖ. καὶ ἐρρωμένα μὲν πάντα ἑκάστῳ ἴδια. διπλούμενα δὲ πάντα, ἢ ἕκαστον ἴδια, διπλᾶ ἔσεσθαι τὰ σημαινόμενα δηλοῖ. ἀπολλύμενα δὲ, ἀπολλύσθαι.

Περὶ αἰδοίων. μζ'.

ΤΟ αἰδοῖον ἔοικε γονεῦσι μὲν, ἐπεὶ τὸν σπερματικὸν ἐπέχει λόγον. τέκνοις δὲ, ὅτι καὶ αὐτὸ τέκνων αἴτιον. γυναικὶ δὲ καὶ ἐρωμένῃ, ὅτι πρὸς ἀφροδίσια ἐπιτήδειόν ἐστιν. ἀδελφοῖς δὲ καὶ πᾶσι τοῖς καθ' αἷμα προσήκουσιν, ἐπεὶ τοῦ παντὸς οἴκου ὡς λόγος ἤρτηται ἀπὸ τοῦ αἰδοίου. ἰσχύϊ δὲ καὶ τῇ τοῦ σώματος ἀνδρείᾳ, ὅτι καὶ αὐτὸ

ros proprios videbit, alter verò possessiones. Nam & liberi viscera appellantur, velut etiam interanea. Et quemadmodum in domo possessiones, sic intra ilia viscera insunt. Diuiti autem & omni qui latere vult, pudefactionem & deprehensionem significant. Graue est autem omnibus, viscera à quopiam considerari, negotiorum enim molestorum & litium inductionem designat, & occulta reuelat. At verò resectum aliquẽ sibi videri vacuum esse, nullo viscere intus existente, & desertam fore domum eius qui somnium vidit significat, & filiorum perniciem, & ægrotanti mortem. Bonum verò fuerit ei tantũ qui in malis & anxietatibus versatur, malorũ enim ante pedes existẽtium cessationem prædicit. Qui enim partes curarum contentrices perdidit, meritò à tristitia liber existit. Quin & illud supra prædicta considerare oportet. Cor vxorẽ significat viri, qui somnium vidit, & maritum mulieris quæ vidit: propterea quòd totus corporis habitus videatur, & animus, & spiritus, eius qui vidit. Hæc enim comprehendit, & in se habet. Et pulmo similiter. Hepar verò filium, & victum & curas. Fel autem biliosum humorẽ, & pecunias, & mulieres. Splen voluptates, & risum, & vasorũ supellectilem. Venter autem & intestina, liberos primũ, deinde fœneratores: quoniam multa violentia alimẽtum expostulant. Renes fratres & cognatos, reliquos autem liberos significant. Proinde vbi hæ partes permãserint, meliora etiam ea quæ portenduntur ab ipsis significant. & sanæ quidem omnes, aut singulæ per se, eandẽ significationem habent. Duplicatæ autem omnes aut vnaquæque seorsim, duplicata futura esse ea quæ significantur indicant. deperditæ verò perditionem.

De Pudendis. CAP. 47.

PVdendum simile est parentibus ob seminariam rationem in ipso contentam: liberis verò quod etiam ipsum liberorum causa existit: vxori & amicæ, quia ad res venereas aptũ est: fratribus & omnibus sanguine nos attingentibus, quoniam totius domus & familiæ ratio ex pudendo dependet: robori autem & corporis virilitati, quia & ipsum horum

causa existit: quapropter etiam virilitas à quibusdam appellatur. Orationi & disciplinæ, velut principaliss. omnium pudendorum. Est autem fœcundum velut item oratio & sermo. Et sanè cùm aliquando in Cyllene essem Mercurij statuam vidi nihil aliud quàm pudendum naturali quadam ratione fabrefactum. Insuper simile est opulétiæ & possessionibus, propterea quòd aliquãdo intendi, aliquando remitti, & præbere & excernere potest. Consilijs autem & arcanis, quoniam & consilia, & pudenda, *μήδεα* Græcis appellãtur. Paupertati etiam & seruituti ac vinculis, quia & necessariũ vocatur, & necessitatis symbolum existit. Insuper & dignitatis ac nominis autoramento. Verendum enim & autoramentũ appellatur. Proinde præsens quidem, & in propria sede permanens pudendum permansurum esse quod vnicuique adest eorum, quæcunque tandem pudendo similia sunt, significat. Augescens verò etiam auget, ablatum priuat. Duplicatum autem apparens omnia quæ adsunt dupla futura significat, prȩter vxorem aut amicã: his enim spoliat: Neque enim duobus pudendis simul vti datur. Noui autem quendam qui visus est sibi tria pudenda habere, & cùm esset seruus liber factus est, & pro vno nomine tria accepit, duobus nominibus à manumittente assumptis. Verùm hoc semel contigit. Oportet autem non à raris, sed ab his quæ vt plurimum eueniunt omnium iudicationes facere.

De Inguinibus & Femoribus.
CAP. 48.

INguina non procul à pudendis sita neque diuersum significant: Quare eandẽ vtrorunque rationẽ habere oportet. Cæterùm femora alia omnia pudendis similiter significant, solùm autem super repefacta diuitibus iniucũda vtplurimum obseruata sunt. Et circa rem veneream sumptus significant, & ferme nõ sumptus, sed damna ac detrimenta.

De Genibus. CAP. 49.

GEnua ad robur & fortitudinem referenda sunt, & ad motus & ad actio-

τούτων αἴτιον. διὸ ἀνδρεία πρός τινων καλεῖται. λόγῳ δὲ καὶ παιδείᾳ, ὡς τὸ ἡγεμονικώτατον πάντων αἰδοίων. γόνιμοι δὲ ἐστιν ὥσπερ καὶ ὁ λόγος. εἶδον δὲ καὶ ἐν Κυλλήνῃ γενόμενος Ἑρμοῦ ἄγαλμα, οὐδὲν ἄλλο ἢ αἰδοῖον δεδημιουργημένον λόγῳ τινὶ φυσικόν. ἔτι δὲ πρὸς εὐπορίαν καὶ κτῆσιν, διὰ τὸ ποτὲ μὲν ἐπιτείνεσθαι, ποτὲ δὲ ἀνίεσθαι καὶ παρέχειν καὶ ἀποκρίνειν δύνασθαι. βουλεύμασι δὲ καὶ ἀπορρήτοις, ὅτι μήδεα καλεῖται τὰ βουλεύματα καὶ τὸ αἰδοῖον. πενίᾳ δὲ καὶ δουλείᾳ καὶ δεσμῷ, ὅτι ἀναγκαῖόν τι καλεῖται, καὶ τῆς ἀνάγκης ἐστὶ σύμβολον. πρὸς δὲ καὶ ἀξιωμάτων ἐπιτιμίαν, αἰδὼς γὰρ καὶ ἐπιτιμία καλεῖται. τοιγαροῦν παρὸν μὲν καὶ μένον ἐν τῇ τάξει τῇ οἰκείᾳ ἐπιδιαμένειν τὸ παρὸν ἑκάστῳ ὅ, τι δ' ἂν ᾖ ὅμοιον τῷ αἰδοίῳ σημαίνει. αὐξηθὲν δὲ καὶ ἐπαύξει, ἀφαιρεθὲν δὲ στερίσκει. διπλοῦν δὲ γενόμενον διπλᾶ τὰ ὄντα ἔσεσθαι σημαίνει πάντα, πλὴν γυναικὸς ἢ ἐρωμένης, τούτων δὲ στερίσκει. δυσὶ γὰρ ἅμα αἰδοίοις οὐκ ἔνεστι χρῆσθαι. οἶδα δέ τινα ὃς ἔδοξε τρία ἔχειν αἰδοῖα δοῦλος ὤν, καὶ ἐγένετο ἐλεύθερος, καὶ ἀντὶ ἑνὸς ὀνόματος τρία ἔσχε, δύο τὰ τοῦ ἀπελευθερώσαντος προσλαβὼν ὀνόματα. ἀλλὰ τοῦτο ἅπαξ ἐγένετο. δεῖ δὲ μὴ ἀπὸ τῶν σπανίων, ἀλλὰ τῶν ὡς ἐπὶ τὸ πολὺ πάντων τὰς κρίσεις ποιεῖσθαι.

Περὶ βουβώνων καὶ μηρῶν. μη'.

ΟΙ βουβῶνες οὐ μακρὰν τῶν αἰδοίων ὄντες οὐδὲ διάφορόν τι σημαίνουσιν, ὅθεν χρὴ κατὰ ταὐτὰ τοὺς βουβῶνας τοῖς αἰδοίοις ἐκλαβεῖν. οἱ δὲ μηροὶ τοῖς αἰδοίοις τ' ἄλλα πάντα ἐπίσης σημαίνουσι. μόνον δ' ἐπίξεστοι γενόμενοι τοῖς πλουσίοις ἀηδεῖς πετήρηνται ἐπιπλεῖστον. περὶ δὲ τὰ ἀφροδίσια δαπάνας σημαίνουσι· σχεδὸν δὲ οὐδὲ δαπάνας ἀλλὰ βλάβας.

Περὶ γονάτων. μθ'.

ΤΑ γόνατα πρός τι ἰσχὺν καὶ εὐανδρείαν ἐστὶ ληπτέα, καὶ πρὸς κινήσεις καὶ πρὸς πρα-

πράξεις. ὅθεν ἐῤῥωμένα καὶ σῶα ὄντα ἀποδημεῖν τε καὶ ἄλλην κίνησιν κινεῖσθαι, καὶ πράξεις ὑπαγορεύει, καὶ ὑγίειαν τῷ ἰδόντι. κακῶς δὲ καὶ πάθη, τὰ ἐναντία. ὅτι δὲ ἂν ἐκ τῶν γονάτων φυτὸν πεφυκέναι τις δόξει, ἀργοῖς χρήσεται τοῖς γόνασιν. ἐὰν δὲ νοσῶν ἴδῃ, τεθνήξεται, γῆθεν γὰρ φύεται τὰ φυτά, εἰς γῆν δὲ καὶ τῶν σωμάτων ἀναλύεται τὰ συγκρίματα. οἶδα δέ τινα ὃς ἔδοξεν ἐκ τοῦ γόνατος τοῦ δεξιοῦ ἰδεῖν πεφυκότα κάλαμον, καὶ συνέβη αὐτῷ σύριγγα ἐν τῷ γόνατι γενέσθαι. καὶ γὰρ ὁ κάλαμος γόνυ τε ἔχει καὶ σύριγξ γίνεται. πολλάκις δὲ τὰ γόνατα πρὸς ἀδελφοὺς καὶ κοινωνοὺς διατείνει, ἐπεὶ καὶ αὐτὰ ἀδελφά ἐστιν ἀλλήλων καὶ κοινωνεῖ τῆς πορείας. ἔτι καὶ πρὸς ἀπελευθέρους ἐπιμένει, ἐπίσης γὰρ τοῖς ποσὶν ὑπηρετεῖ, καὶ πάλιν εἰς τοὺς πόδας ὄντας. εἰκότως οὖν δούλοις καὶ ἀπελευθέροις σημαίνουσιν.

nes. Quare robusta & sana existentia peregrinationem & alium quemcũque motum moueri permittunt, & actiones prædicunt, & sanitatem ei qui de ipsis somnium vidit. Si verò fuerint affecta & læsa, contraria. Quæcunque autem planta ex genibus enata cuipiam videbitur, tardum & impeditum genuum vsum ipsi portendit. Si verò ægrotus hoc somnium viderit morietur, ex terra enim nascuntur plantæ, In terram verò resoluuntur corporũ concrementa. Noui ego quendam qui existimauit se videre ex genu dextero harundinem sibi excretam, & cõtigit ipsi fistulam in genu illo generari: Nam & arundo genu habet, & in fistulam cauatur. Sæpe verò & ad fratres, & ad familiares ac socios pertinent genua, quoniam & ipsa inter se fratres sunt, & in ambulando socij ac communicantes. Insuper & ad liberos pertinent: Æqualiter enim cùm pedibus deseruiunt, & rursus ad ipsos pedes existentes pertinent. Meritò igitur seruos & libertos significant.

Περὶ ποδῶν καὶ κνημῶν καὶ σφυρῶν. ν'.

Αἱ κνῆμαι ὄπισθέν τε καὶ ἔμπροσθεν τὰ αὐτὰ τοῖς γόνασι σημαίνουσι. σφυρὰ δὲ καὶ πόδες ἄκροι τὰ μὲν ἄλλα ἐπίσης τοῖς γόνασι σημαίνουσιν. ἐν δὲ τῷ μὴ ἀπελευθέρους ἀλλὰ δούλους σημαίνειν διαφέρουσιν. πλείονας πόδας ἔχειν ἀγαθὸν ἐμπόροις καὶ ναυκλήρῳ, σωμάτων γὰρ πλειόνων ἄρξουσι, καὶ παντὶ μισθῷ δούλους τρέφοντι. κυβερνήτῃ δὲ ἰδόντι τὸν ὄνειρον σημαίνει γαλήνην, πλείοσι γὰρ ποσὶ χρήσεται τῆς νεὼς ἐρεσσομένης. ἀγαθὸν καὶ πένητι, κτήσεται γὰρ οἰκέτας. πλουσίῳ δὲ νόσον σημαίνει ἵνα μὴ τοῖς αὐτοῦ ποσὶ μόνοις, ἀλλὰ καὶ τοῖς τῶν βασταζόντων χρώμενος πλείονας ἔχειν δοκῇ. πολλοὺς δὲ τὸ ὄναρ τοῦτο τυφλοὺς ἐποίησεν, ἵνα χειραγωγοῖς χρήσωνται, καὶ πανούργους ἔδησεν, ἵνα μετὰ φυλάκων καὶ μὴ μόνοι προσέρχωνται. οἶδα δέ τινα ὃς ἔδοξε τοῦ παντὸς σώματος ἀτρεμοῦντος τοὺς πόδας αὐτοῦ μόνους βαστάζειν, καὶ προβαίνειν μὲν μηδὲ βραχύ, ὅμως δὲ κινεῖσθαι. συνέβη αὐτῷ εἰς ἀντλίαν καταδικασθῆ-

De Pedibus, suris, & Talis.

CAP. 50.

Svræ & posteriore & anteriore sui parte eadem genibus significant. Tali verò & pedes summi reliqua quidem æqualiter genibus significant: Verùm in eo quod non libertos, sed seruos significant, differunt. Plures pedes habere bonum est mercatoribus & nauclero, pluribus enim seruis imperabũt: bonum est & omnĩ qui mercede seruos alit. Nauis autem gubernatori quietem & tranquillitatem significat, pluribus enim pedibus vtetur nauem remis impellendo. Bonum est & pauperi, seruos enim acquiret. Diuiti autem morbum præsagit, vt non solum sui ipsius pedibus, sed & baiulantium ipsum vtens plures habere videatur. Multos verò hoc somnium cęcos fecit, vt præuio duce vterentur, & maleficos in vincula coniecit, quò videlicet cum custodibus, & non soli procederent. Noui autem quendam qui visus est sibi, reliquo toto corpore quieto manẽte, pedes suos solos baiulare ac portare, & ne minimum quidem progredi, & tamen moueri. Contigit ipsi in exhauriẽdam sentinam damnari: Nam hauriẽtibus

contingit, vt trăsigant opus tanquam ambulent, semper autem in eodem loco maneant. Sed & alius quidam putauit de pedibus suis profluere aquam, & contigit vt in sentinam damnaretur cùm maleficus esset: atque hoc modo de pedibus ipsius aqua profluxit. Quandoquidem alius nõ maleficus homo eodem somnio viso in aquam intercutem incidit. At verò pedes ardentes videre omnibus ex æquo malũ est, & amissionem & pessundationẽ bonorum significans, imò etiam filiorum & seruorum. Filij enim æque vt serui parentibus famulantur, curántque ipsos veluti famuli: quæ res multos somniorum interpretes fefellit, qui existimauerunt solos seruos per pedes significari. Cursoribus porrò conducit somnium, vbi decertaturi ipsum viderint: Citò enim & vt ita dicam ex igne rapient crura.

De Tergo. CAP. 51.

TErgum & omnia posteriora senectæ significationem habere iudicamus, vnde aliqui & rectè Plutonis propria ipsa appellant. Proinde quales se quis habere putauerit posteriores partes, talis eueniet ipsi senecta.

De Alteratione. CAP. 52.

IN somnijs de alteratione primũ oportet quantitatem, quæ circa magnitudinem consistit, considerare. Deinde qualitatem, quæ circa materiam attenditur. Tertio qualitatem quæ circa ideam cõsistit, quę propria formę existit. Et in somnijs quidem iuxta quantitatem, siue ex paruo magnum factum esse, siue ex priore magnitudine maiorem, bonum est si non vltra humanũ modum quis magnus factus sibi videatur. Non enim corporis, sed actionum augmentum somniũ significat, & rei familiaris eius qui somnium vidit. At verò supra humanum modum magnum factum esse sibi videri mortem ei qui vidit portendit. Et si quis filiolum suum paruum existentem in virum euasisse putabit, morietur filiolus. Graue est & somnium seni in adolescentem trans-

ναι. καὶ γὰρ τοῖς αὐτόποδι συμβέβηκε διαβαίνειν μὲν ὡς βαδίζουσιν, ἀεὶ δὲ μένειν ἐν τῷ αὐτῷ τόπῳ. ἔτι καὶ ἄλλος ἔδοξεν ἀπὸ τῶν ποδῶν αὐτοῦ ῥέειν ὕδωρ, καὶ συνέβη αὐτῷ εἰς ἀντλίαν καταδικασθῆναι ὄντι πανούργῳ, καὶ τοῦτον τὸν τρόπον ἀπὸ τῶν ποδῶν αὐτοῦ ἔρρυσεν ὕδωρ. ἐπεὶ ἕτερός γε τὸν αὐτὸν ἰδὼν ὄνειρον πανοῦργος ὑδρωπίασε. τὸ δὲ δοκεῖν καιομένους ἰδεῖν τοὺς πόδας πᾶσιν ἐπίσης κακὸν, καὶ σημαίνει ἀποβολὴν καὶ διαφθορὰν ὑπαρχόντων, ναὶ μὴν καὶ παίδων καὶ δούλων. ἐπίσης γὰρ καὶ οἱ παῖδες τοῖς θεράπουσιν ὑπηρετοῦσί τε τοῖς γονεῦσι, καὶ θεραπεύουσιν αὐτοὺς ὥσπερ οἰκέται. ὅπερ τοὺς πολλοὺς ἔλαθε τῶν ὀνειροκριτῶν ἡγουμένους ὅτι οἱ πόδες μόνους οἰκέτας σημαίνουσι. δρομεῦσι δὲ συμφέρει ὅταν πρὸς ἀγῶνα ὄντες ἴδωσι. θᾶττον γὰρ καὶ ὡς εἰπεῖν ἐκ πυρὸς ἁρπάζουσι τὰ σκέλη.

Περὶ νώτου. να΄.

ΝΩτα δὲ καὶ τὰ ὀπίσθια πάντα τοῦ γήρως εἶναι σημαντικὰ νομίζομεν. ὅθεν ὀρθῶς ἔνιοι καὶ Πλούτωνος αὐτὰ καλοῦσιν ἴδια. τοιγαροῦν ὁποῖα ἄν τις αὐτὰ δόξειεν ἔχειν, τοιούτῳ χρήσεται τῷ γήρᾳ.

Περὶ ἀλλοιώσεως. νβ΄.

ΕΝ τοῖς περὶ ἀλλοιώσεως πρῶτον χρὴ τὸ ποσὸν, ὅπερ κατὰ μέγεθος θεωρεῖται σκοπεῖν. δεύτερον τὸ ποιὸν, ὃ κατὰ τὴν ὕλην θεωρεῖται. τρίτον τὸ κατὰ τὴν ἰδέαν, ὅπερ ἴδιον τῆς μορφῆς. καὶ ταῖς μὲν τὸ ποσὸν τὸ εἴτε ἐκ μικροῦ μέγαν γίνεσθαι, ἢ ἐκ τοῦ ὄντος μείζω ἀγαθὸν, εἰ μὴ ὑπὲρ ἄνθρωπόν τις μέγας δόξειε γίνεσθαι. οὐ γὰρ τὸ σῶμα ἀλλὰ τὰς πράξεις αὐξῆσαι σημαίνει τὸ ὄναρ, καὶ τὸν βίον τοῦ ἰδόντος. τὸ δὲ ὑπὲρ ἄνθρωπον μέγαν δοκεῖν γεγονέναι θάνατον τῷ ἰδόντι σημαίνει. καὶ εἴ τις τὸ ἑαυτοῦ παιδίον βραχὺ ὂν ἄνδρα δόξει γεγονέναι, τεθνήξεται τὸ παιδίον. δεινὸν δὲ καὶ πρεσβύτῃ τὸ εἰς νεανί-

σκον μεταβάλλειν, καὶ νεανίσκῳ τὸ εἰς παῖδα, ἕκαστος γὰρ αὐτῶν ἐπὶ τὸ ἀτιμότερον μετέβαλεν. ἀγαθὸν δὲ καὶ παιδὶ εἰς νεανίσκον, καὶ ἀνδρὶ εἰς γέροντα μεταβάλλειν. ἕκαστος γὰρ αὐτῶν ἐπὶ τὸ ἐντιμότερον μετέβαλεν. εἰ δὲ νεανίσκος εἰς γέροντα μεταβάλλοι, τεθνήξεται μὲν οὐχ ὡς ὁ παῖς, νοσήσει δέ. καὶ ἀνὴρ εἰς παῖδα εἰ μεταβάλλοι, ἀφρόνως πραγματευσάμενος βλαβήσεται, τὸ γὰρ ποιητικὸν ὀρθῶς εἰρήσεται. αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται. Τὸ δὲ ποιὸν τῆς μεταβολῆς ὧδε ἔχει. εἰ μέν τις ἐς γυναῖκα μεταβάλλοιτό ποτε ἀνὴρ πένητι μὲν ἀγαθὸν καὶ δούλῳ, ὁ μὲν γὰρ ἕξει τὸν θρέψοντα αὐτόν, ὥσπερ γυνή, ὁ δὲ ἀπονώτερον δουλεύσει. μικρότεροι γὰρ οἱ γυναικῶν πόνοι. πλουσίῳ δὲ πονηρόν, καὶ μάλιστα πολιτευομένῳ. ὡς γὰρ ἐπὶ τὸ πολὺ οἰκουροῦσιν αἱ γυναῖκες. διὸ παραλύει πάσης ἀρχῆς τὸν ἰδόντα τὸ ὄναρ. τοῖς δὲ σωμασκοῦσι νόσον σημαίνει, θηλύτεραι γὰρ αἱ γυναῖκες ἀνδρῶν. εἰ δὲ γυνὴ εἰς ἄνδρα μεταβάλλοι ἄγαμος μὲν οὖσα, γαμηθήσεται, καὶ ἄπαις οὖσα τεκνώσει ἄρρεν, καὶ οὕτως εἰς τὴν ἀνδρείαν μεταβάλλει φύσιν. ἄνδρα δὲ ἔχουσα καὶ υἱὸν χήρα διατελέσει, οὐ γὰρ ἀνδρὶ ἀνδρός, ἀλλὰ γυναικὸς δεῖ. δούλῳ δὲ τὸ ὄναρ πλείονα τὴν δουλείαν ἐπάγει. ἀγαθὸν δὲ καὶ ἑταίρᾳ, ὁ μὲν γὰρ ἐπιπλεῖον ὡς ἀνὴρ τοῖς πόνοις ὑφέξει, ἡ δὲ παύσεται κινουμένη τῆς πορνείας. εἰ δέ τις ἀργύρεος ἢ χρύσεος εἶναι δόξειεν ἀνὴρ ἢ γυνή, δοῦλος μὲν ὢν πραθήσεται, ἵνα ἀπαργυρωθῇ, ἢ ἀποχρυσωθῇ. πένης δὲ εὐπορήσει, ἵνα περὶ αὐτὸν γένηται ἡ τοιαύτη ὕλη. πλούσιος δὲ ἐν ἐπιβουλαῖς ἔσται, πάντα γὰρ τὰ χρύσεα καὶ ἀργύρεα ἐπιβούλους ἔχει πολλούς. νοσοῦντι δὲ θάνατον προαγορεύει παντὶ δήπουθεν τὸ ὄναρ, ὥσπερ καὶ τὸ χάλκεον δοκεῖν γεγονέναι, πλὴν ἀθλητοῦ καὶ δούλου. ὁ μὲν γὰρ ἀνδριάντος τεύξεται, ὁ δὲ ἐλευθερωθήσεται, χάλκεαι γὰρ εἰκόνες τῶν ἐλευθέρων ἀνατίθενται. τὸ αὐτὸ δὲ σημαίνει καὶ εἰκόνα τις ἑαυτοῦ ἢ ἀνδριάντα ἴδῃ χαλκοῦν ἐν ἀγορᾷ κείμενον. τὸ δὲ εἰς σίδηρον μεταβάλλειν συμφορὰς ἀτλήτους σημαίνει, ἃς ὑπομείνας ὁ ἰδὼν εἰς γῆρας ἀφίξεται.

mutari, & adolescenti in puerum, vterque enim ipsorum in peius & ignobilius transijt. Cæterum bonum est puero in adolescentem, & viro in senem permutari, vterque enim ipsorum in meliorem & honorationem statum transijt. Si verò adolescens in senem permutetur, non quidem morietur velut puer, verùm ægrotabit, & si vir in puerum permutetur, imprudenter in rebus agendis se gerens damnum perpetietur, & in ipsum poëticum illud rectè dicetur: *Sunt semper suspensa virorum corda minorum.* Porrò qualitas permutationis sic habet. Si quis in mulierem transmutetur qui antea vir fuit, pauperi quidē bonum est & seruo, alter enim habebit qui ipsum enutriet velut mulier: alter verò minore labore seruiet, minores enim sunt mulieri labores: Diuiti verò malum, & maximè Rempublicam administranti: Vt plurimum enim domus custodes & intra tectum versantes sunt mulieres, quapropter somnium omni magistratu exuit eum qui id vidit. Corporum autem exercitatoribus morbū significat, fœminosiores enim sunt mulieres viris. Si verò mulier in virum mutetur, si quidem innupta fuerit virum reperiet, & si liberis caruerit masculum pariet, atque sic in virilem naturam transibit. Si verò virum habeat & filium vidua vitam traducet: Non enim viro opus est viro sed muliere. Seruæ autem & ancillæ somnium maiorem seruitutem inducit. Bonū est & meretrici, illa enim vt vir amplius labores sustinebit: Hæc verò à quæstu meretrico cessabit. Si porrò quis vir aut mulier, argenteus aut aureus esse sibi videatur, si quidem seruus est vendetur: quo videlicet argentum & aurum fiat. Si verò pauper ditabitur, vt sit circa ipsum talis materia. Diues autem in insidijs erit, omnia enim aurea & argentea multos insidiantes habent. Ægrotanti autem omni mortem prędicit hoc somnium, velut etiam ęreum se factū putare, præterquam athletæ & seruo. Ille enim statuas assequetur, hic verò libertatem nanciscetur: Æreæ enim imagines & statuæ liberorum eriguntur. Idem significat etiam si quis imaginem suam aut statuam æream in foro positam videat. At verò in ferrum permutari calamitates intolerabiles significat, quibus tolerādis ad senectam perueniet is qui somnium vidit:

Ferreos enim appellamus qui multa mala sustinent. Cæterùm luteum aut testaceũ factum esse sibi videri omnibus mortem denuntiat, exceptis his qui per terram aut lutum quæstum faciũt. Lapideum factum esse vulnera & concisiones significat: Neque enim possibile est absque ferro aliquem lapideum fieri. Eodem modo & de alia materia iudicare oportet. Si verò in animal quis permutetur, ab animalis natura iudicationum cõiecturam facere oportet, de qua re in sermone de venatione secũdus liber edocebit. Omnibus ex ęquo bonam esse obseruaui pulchritudinem, & corporis bonam habitudinem, ac robur vbi non supra humanum modum excesserint ista: Quoniam superexcellẽter pulchrum esse, & nimis decorum sibi videri, aut robustum similem euentum habent, velut esse turpem, aut resolutum esse, aut viribus destitutum, quæ sanè ægrotãtibus quidem mortem; amantibus autem rem infectam & proditionem significant.

De doctrina artium, opificiorúmque ac studiorum. CAP. 53.

IN vniuersum autem in omnibus infallibile hoc est. Quæcunque quis didicit & edoctus est, & exercuit, & facit opera siue artes, ea per somniũ operari & exercere, & propositum assequi omnibus bonum est. Quæ enim quis mente volutat perficiet, & pro animi voto cõsummabit. Verùm successu fraudari malum est: Cõtraria enim voluntati significat. Quæcunque verò quis neque didicit, neque exercuit, si per somnium facere sibi videatur, si quidem ei res succedit bonum est: Si verò vix assequitur operosum, & ad irritum laborem omnis propositi etiam ludibriũ consequitur. Cæterùm particulatim hoc ferè modo habet. Agriculturam exercere, aut seminare, aut arare, aut plãtare bonum est vxorem quærentibus, & non habentibus liberos: Aruum enim nihil aliud est quàm mulier: Semina autem & plantæ liberi, triticũ quidem filij, hordeum verò filiæ & abortus. Reliquis morbos & malas affectiones significat. Et si quis ægrotet in domo eius qui somnium vidit morietur. Nam semina & plantæ velut etiam ægri defodiuntur. Metere autem & vin-

σιδηρέους γὰρ λέγομεν τοὺς πολλὰ κακὰ ὑπομένοντας. πήλινον δὲ ἢ ὀστράκινον γεγονέναι πᾶσι θάνατον σημαίνει, χωρὶς τῶν διὰ γῆς ἢ πηλοῦ ἐργαζομένων. τὸ δὲ λίθινον δοκεῖν γεγονέναι τραύματα καὶ κατακοπὰς τῷ ἰδόντι σημαίνει· οὐ γὰρ ἐνδέχεται ἄνευ σιδήρου λίθινόν τινα γενέσθαι. ὁμοίως δὲ καὶ περὶ τῆς ἄλλης ὕλης ἐκλαμβάνειν δεῖ. εἰ δὲ εἰς θηρίον μεταβάλοι τις, ἀπὸ τῆς τοῦ θηρίου φύσεως τεκμαίρεσθαι χρὴ τὰς κρίσεις· δείξει τὸ τοιοῦτον ἐν τῷ περὶ κυνηγίου λόγῳ ἡ δευτέρα βίβλος. ἀγαθὸν δὲ ἐπίσης πᾶσιν ἐτήρησα τὸ κάλλος καὶ τὴν τοῦ σώματος εὐφυΐαν καὶ τὴν ἰσχύν, ὅταν μὴ ὑπὲρ ἄνθρωπον εἴη ταῦτα. ἐπεὶ τὸ ὑπερβαλλόντως καλὸν εἶναι, καὶ δοκεῖν εὐπρεπῆ ἢ ἰσχυρὸν ἐπίσης τῷ αἰσχρὸν εἶναι ἢ παραλελύσθαι ἢ μὴ ἰσχύειν ἀποβαίνει. ἃ δὴ θάνατον μὲν τοῖς νοσοῦσιν, ἀπραγίαν δὲ καὶ προδοσίαν τοῖς ἐρωμένοις δηλοῖ.

Περὶ διδασκαλίας τεχνῶν καὶ ἔργων καὶ ἐπιτηδευμάτων. νγ΄.

ΤΟ δὲ καθόλου καὶ ἐπὶ πάντων ἄπταιστον τοῦτό ἐστιν. ὅσα τις ἔμαθε καὶ ἐδιδάχθη καὶ ἐπετήδευσε καὶ ποιεῖ ἔργα ἢ τέχνας, ταῦτα καὶ ὄναρ ἐργάζεσθαι καὶ ἐπιτηδεύειν καὶ τυγχάνειν τοῦ προκειμένου ἀγαθὸν πᾶσιν. ἃ γάρ τις ἐν νῷ ἔχει περαίνει, καὶ κατὰ προαίρεσιν ἀνύσει. ἀποτυγχάνειν δὲ μοχθηρόν, τὰ γὰρ ἐναντία τῇ προαιρέσει σημαίνει. ὅσα δέ τις οὐ μαθὼν οὐδὲ ἐπιτηδεύσας κατ᾽ ὄναρ δοκεῖ ποιεῖν, ἐπιτυγχάνοντι μὲν ἀγαθόν, δυσεργὲς δὲ μόλις ἀποτυγχάνοντι, πρὸς δὲ τῇ ματαιοπονίᾳ παντὸς τοῦ προκειμένου καὶ χλεύη ἀκολουθεῖ. τὰ δὲ κατὰ μέρος ὧδέ πως ἔχει. γεωργεῖν ἢ σπείρειν ἢ ἀροτριᾶν ἢ φυτεύειν ἀγαθὸν τοῖς γῆμαι προῃρημένοις καὶ τοῖς ἄπαισιν. ἄρουρα γὰρ οὐδὲν ἄλλο ἐστὶν ἢ γυνή. σπέρματα δὲ καὶ φυτὰ οἱ παῖδες, πυροὶ μὲν υἱοί, κριθαὶ δὲ θυγατέρες, ἐξαμβλώματα. τοῖς δὲ ἄλλοις νόσους καὶ κακοπαθείας σημαίνει. καὶ ἐάν τις νοσῇ κατὰ τὸν οἶκον τοῦ ἰδόντος τεθνήξεται. τὰ δὲ σπέρματα καὶ τὰ φυτὰ ὥσπερ καὶ οἱ ἀποθανόντες καταχώννυνται. θερίζειν δὲ καὶ τρυγᾶν καὶ

κλαδεύειν κατὰ μὲν τὸν τοιοῦτον καιρὸν ὁρώμενα τὰς πράξεις καὶ τὰς ἐγχειρήσεις πάσας εἰς ἐκεῖνον καιρὸν καὶ ὥρας ἀναβάλλεται. κυβερνᾶν δὲ πᾶσιν ἐὰν μὲν καθορμίζωνται καλῶς, ἢ διάγωνται ἀκινδύνως ἀγαθόν, οὐκ ἄνευ τινὸς φόβου καὶ πόνου ἐσόμενον. ἐὰν δὲ χειμάζωνται ἢ ναυαγῶσιν, ὑπερβολὴ κακῶν ὡς ἐγὼ παρεφύλαξα. σκυτεύειν δὲ ἀγαθὸν πᾶσι τοῖς κατὰ νόμον ζῶσι διὰ τὰ μέτρα, καὶ τοῖς γῆμαι ἢ κοινωνῆσαι θέλουσι διὰ τὰς ῥαφὰς καὶ τοὺς ἁρμούς. τὸ δὲ βυρσοδεψεῖν πᾶσι πονηρόν. νεκρῶν γὰρ ἅπτεται σωμάτων ὁ βυρσοδέψης, καὶ τῆς πόλεως ἀπῴκισται, ἐπεὶ καὶ τὰ κρυπτὰ ἐλέγχει διὰ τὴν ὀδμήν. ἰατροὺς δὲ ἰδεῖν καὶ χαλεπώτατον ἁπάντων. χρυσοχοεῖν δὲ πανουργίας περὶ τὸν ἰδόντα σημαίνει διὰ τὰ ὑποκείμενα τῶν ἰῶν, καὶ τοὺς ὑποπεπλεγμένους ὅρμους. πλάσσειν καὶ πυξογραφεῖν καὶ τορνεύειν, καὶ ποιεῖν ἀγάλματα ἀγαθὸν μοιχοῖς καὶ ῥήτορσι καὶ πλαστογράφοις, καὶ πᾶσι τοῖς ἀπατεῶσι, διὰ τὸ τὰ μὴ ὄντα ὡς ὄντα δεικνύειν τὰς τέχνας ταύτας. τοῖς δὲ λοιποῖς περιβοήσεις σημαίνει, καὶ ὄχλων συνδρομάς, διὰ τὸ τὰ ἔργα ταῦτα πολλοῖς ἐπιδείκνυσθαι.

Περὶ τοῦ χαλκεύειν. νδ'.

Χαλκεύειν δὲ καὶ παρεστάναι ἄκμονι ταραχὰς καὶ δίκας τῷ ἰδόντι σημαίνει. τῷ δὲ γῆμαι βουλομένῳ εὔνουν μὲν τὴν γυναῖκα διὰ τὰς φύσας, συμπνέουσι γάρ, μάχιμον δὲ διὰ τὰς σφύρας, ἠχοῦσι γάρ. περὶ δὲ τῶν ἄλλων τεχνῶν ἔχοντα τὰ ὑποδείγματα ὁμοίως συμβάλλειν χρὴ πρὸς τὰς ὑποστάσεις ἀμφοτέρων, τάς τε τῶν τεχνῶν, καὶ τὰς τοῦ ἰδόντος. ἔτι κἀκεῖνο, ὅσα σημαίνουσιν αἱ τέχναι ἤν τις αὐτὰς ἐργάζεσθαι δόξῃ τὰ αὐτὰ σημαίνουσι καὶ οἱ τεχνῖται ὁρώμενοι, καὶ τὰ ἐργαστήρια αὐτῶν, καὶ τὰ ἐργαλεῖα μικρᾶς ἐπὶ τῶν ἐργαλείων ὑπεξαιρέσεως τηρουμένης, ὅσα γὰρ τέμνει καὶ διχάζει, ταῦτα πάντα διχόνοιαν καὶ στάσιν καὶ βλάβας σημαίνει, ὅσα δὲ τῶν ἐργαλείων ἑνοῖ ἢ συνδεῖ, ταῦτα ὠφελείας καὶ γάμους καὶ κοι-

demiare ac putare quocunque tandem tempore huiuſmodi quis facere ſibi videatur, actiones & aggreſſus omnes in illud ipſum tempus ac horam differũt, quo ea ipſa fieri ſolent. Gubernare nauẽ omnibus bonum eſt, ſiquidem probè ſuccedat, & citra periculum perducantur, non tamen vt ſine timore & labore ſit ſucceſſurum. Si verò tempeſtatibus diuexentur aut naufragium faciant, ingens malorum exceſſus denuntiatur, quam rem ego ſæpe obſeruaui. Coriariam artẽ exercere omnibus iuxta legem viuentibus bonum eſt ob meſuras: bonum eſt & nuptias aut ſodalitatem inſtituere volentibus propter ſuturas & iuncturas. Verùm coria tingere omnibus malum eſt: Nam mortua corpora tractat coriarius tinctor, & ab vrbe ſemotus habitat: Quin & occulta reuelat propter odorem. At verò medicos videre peſſimum omnium eſt. Aurifuſorem eſſe maleficia circa eum qui vidit ſignificat ob venena, quę ſub manibus habet & monilium implicationes. Plaſticen exercere, & buxum tornare, & ſculpere, & ſtatuas facere bonum eſt mœchis, & rhetoribus, & falſarijs, & omnibus fraudulosis hominibus: Propterea quòd hæ artes ea quæ non ſunt velut vera & exiſtentia oſtentent. Reliquis celebritatẽ nominis, & turbarũ concurſus ſignificat, propterea quòd hæc opera multis oſtendantur.

Artem fabrilem ferrariam exercere. CAP. 54.

ARtem fabrilem ferrariam exercere, & incudi adſtare turbas & lites ei qui vidit portendit: Verum ſi quis nuptias celebrare velit, ei benignam vxorem præſagit, atque id propter folles: Ipſi enim conſpirant: ſed & pugnantem habebit propter malleos, ſonum enim hi edunt. Porrò circa alias artes iuxta hęc exempla ſimiliter coniectationem facere oportet, ita vt ad vtriuſque ſubſtantias reſpectus habeamus tum ipſarum artium, tum eius qui vidit. Sed & illud obſeruare oportet: Quòd quęcunque ſignificant artes ſi quis ipſas operari videatur, eadem ſignificant etiam artifices viſi, & ipſorum officinæ, ac inſtrumẽta modica exceptione in inſtrumentis ſeruata: Quæcunque enim ſecant & diuidunt, ea omnia diſcordiam, & ſeditionem, ac damnum ſignificant: Quæ verò vniunt aut colligant, ea vtilitates & nuptias, &

sodalitates prædicunt, verùm peregrè proficisci prohibent: Quæ autem leuigant, inimicitias sedant: Quæ dirigunt aut directionem indicant, occulta reuelãt. Quapropter etiam Geometriam ad huiuscemodi aptam iudico: Itemque geometras per somnium visos.

De Literis. CAP. 55.

Literas discere eum qui ipsarum ignarus est bonum est; prænuntiat enim quiddam ei qui vidit affuturum cũ labore & timore: Nam & timent, & simul laborant, qui literas discunt, & tamen ob vtilitatem discũt. Si verò quis literarum gnarus literas rursus discat malum & absurdũ censendum est, puerile enim est discere: quapropter rerũ ac actionum improsperum successum cum timoribus & laboribus significat. Soli verò ei qui filium sibi nasci cõcupiscit bonum hoc est somniũ: Non enim ipse, sed filius qui ex ipso nascetur, literas discet. Si verò quis Græcas literas discat ex Romana gente, aut Romanas generis Græci, alter ad Romana, alter ad Græca exercitia & cõuersationes perueniet. Et sanè multi Romani Græcas vxores, & vicissim Greci Romanas duxerunt ab hoc somnio viso. Noui quendam qui existimauit se Romanas literas discere, & in seruitutem damnatus est: Nullus enim Græcus in seruitute docendus emãdatur. Cæterum Barbaras literas legere bene ac dispositè in Barbaras nationes transgressum, in eisque conuersationem significat, atque istic splẽdidum quiddam designare. Verùm malè legere literas barbarorum etiam malè inter barbaros conuersaturum esse significat, aut ægrotum deliraturum esse, atque hoc ob vocis peregrinitatem. Qualescũque autem literas quis neque scribere neque legere posse sibi videtur, rerum & actionum successu carebit, siquidẽ paucæ fuerint ad aliquot dies, sin multæ ad menses.

De Pubertate siue Tyrocinio. CAP. 56.

Pubescere id est puberum ac tyronum habitũ gestare si seruus sibi videatur, liber erit, quandoquidem solis liberis id

γωνίας προαγορεύει, ἀποδημεῖν δὲ κωλύει, ὅσα δὲ λεῖοι, τὰς ἔχθρας παύει, ὅσα δὲ ἀπευθύνει, ἢ τὴν εὐθεῖαν δείκνυσι, τὰ κρυπτὰ ἐλέγχει. διὸ καὶ τὴν γεωμετρίαν πρὸς τὰ τοιαῦτα ἐπιτήδειον νενόμικα, καὶ τοὺς γεωμέτρας ὄναρ ὁρωμένους.

Περὶ γραμμάτων. νέ.

Γράμματα μανθάνειν μὴ εἰδότα ἀγαθόν. εἰ γὰρ μετὰ πόνου καὶ φόβου τῷ ἰδόντι ἐσόμενον προαγορεύει. φοβοῦνται γὰρ ἅμα καὶ πονοῦσιν οἱ μανθάνοντες, πλὴν ἐπὶ τῷ συμφέροντι μανθάνουσιν. εἰ δέ τις εἰδὼς γράμματα πάλιν μανθάνει πονηρὸν καὶ ἄτοπον νομίζειν χρή, παιδαριῶδες γὰρ τὸ μανθάνειν. διὸ ἀπραξίας ἅμα τοῖς φόβοις καὶ πόνοις σημαίνει. μόνῳ δὲ τῷ ἐπιθυμοῦντι παιδὸς ἀγαθὸν τὸ τοιοῦτον, οὐ γὰρ αὐτὸς ἀλλ' ὁ ἐξ αὐτοῦ γενησόμενος παῖς μαθήσεται γράμματα. εἰ δέ τις ἑλληνικὰ μανθάνοι γράμματα ῥωμαῖος ὤν, ἢ ῥωμαϊκὰ ἕλλην, ὁ μὲν εἰς ῥωμαϊκὰς διατριβὰς, ὁ δὲ εἰς ἑλληνικὰς ἀφίξεται. πολλοὶ δὲ ἔγημαν ῥωμαῖοι μὲν ἑλληνίδας, ἕλληνες δὲ ῥωμαίας τοιοῦτον ἰδόντες ὄνειρον. οἶδα δέ τινα ὃς ἔδοξε ῥωμαϊκὰ γράμματα μανθάνειν, καὶ εἰς δοῦλον κατεκρίθη, οὐδὲν γὰρ ἐν δούλῳ ἑλληνικὸν διδάσκεται. βαρβαρικὰ δὲ γράμματα ἀναγινώσκειν δοκεῖν καλῶς καὶ ἐντέχνως εἰς βαρβάρους χώρας σημαίνει καὶ διατριβὰς ἀφικέσθαι, κἀκεῖ πρᾶξαί τι λαμπρόν. τὸ δὲ κακῶς ἀναγινώσκειν τὰ βαρβαρικὰ γράμματα καὶ κακῶς ἐν βαρβάροις ἀπαλλάξαι σημαίνει, ἢ νοσήσαντα παρακόψαι διὰ τὸ ξένον τῆς φωνῆς. οἷα δ' ἄν τις γράμματα μὴ δύνηται γράψαι ἢ ἀναγνῶναι, ἀπρακτήσει. καὶ εἰ μὲν ὀλίγα, πρὸς ἡμέρας. εἰ δὲ πολλά, πρὸς μῆνας.

Περὶ ἐφηβείας. ιϛ'.

Ἐφηβεύειν δοῦλος ἐὰν δόξῃ, ἐλεύθερος ἔσται, ἐπειδὴ μόνοις ἐλευθέροις ἐφίησιν

ὀνόμιος. παντὶ δὲ χειροτέχνῃ καὶ ῥήτορι σχολὴν καὶ ἀργίαν εἰς ἐνιαυτὸν σημαίνει, χρὴ γὰρ τὸν ἔφηβον ἐν τῇ χλαμύδι καὶ τὴν δεξιὰν ἐνειλημμένην ἔχειν, διὰ τὸ ἀργὴν μὴ εἶναι καὶ πρὸς ἔργα καὶ πρὸς λόγους τὴν χεῖρα. πρὸς ἐνιαυτὸν δὲ εἶπον διὰ τὸν τῆς ἐφηβείας χρόνον. πρὸς τὸν τόπον ἐξετάζειν χρή. ἀποδημεῖν δὲ κωλύει, καὶ τὸν ἐπὶ ξένης ὄντα εἰς τὴν ἰδίαν ἐπάγει, ἐν δήμῳ γὰρ χρὴ εἶναι τὸν ἔφηβον. καὶ τῷ ἀγάμῳ γάμον προσημαίνει, νόμῳ γὰρ ἡ χλαμὺς περιτίθεται. νόμῳ δὲ καὶ ἡ γυνὴ γαμεῖται. καὶ εἰ μὲν ἡ χλαμὺς εἴη λευκή, ἐλευθέραν ὁ ἰδὼν γαμήσει, εἰ δὲ πορφυρᾶ, εὐγενεστέραν ἑαυτοῦ, οὐδαμῶς δὲ δούλην. εἰ δέ τις ἐπιθυμῶν τέκνων, ἢ καὶ γεγονότα υἱὸν ἔχων ἴδοι τὸν ὄνειρον, οὐκ αὐτὸς ἀλλ' ὁ υἱὸς αὐτοῦ ἐφηβεύσει. ἀνδρὶ πρεσβύτῃ καὶ ὑπὲρ ἡλικίαν θάνατον μαντεύεται τὸ ὄναρ, καὶ τοὺς παρανομοῦντας ἐλέγχει. τοῖς δὲ δικαιοπραγοῦσι συλλαμβάνει· σχεδὸν γὰρ ἡ ἐφηβεία κανών ἐστιν ὀρθοῦ βίου τινὸς καὶ ὑγιοῦς. ἀθλητῇ δὲ πρὸ μὲν ἐκκρίσεως πονηρόν, ἐπειδὴ ἔκκρισιν ὡς ὑπὲρ ἡλικίαν προαγορεύει, οὐδὲ γὰρ εἰς μακρὰν ὁ ἔφηβος ἔσται ἀνήρ. παλαιστῇ δὲ καὶ ἀθλοῦντι τὸ μὴ καταλαβεῖν τὸν ἀγῶνα σημαίνει. εἰ δὲ καταλάβοιτο, μὴ ἀγωνίσασθαι, οὐ γὰρ ὑπερόριοι οἱ ἔφηβοι ἀγωνίζονται.

lege permissum est: Omnibus autem artificibus manuarijs, & rhetoribus otium & cessationem in annum significat: Oportet enim Ephebum siue Tyronem in chlamide manum dexterã inuolutam habere, propterea quòd minimè sit otiosa tum ad opera, tum ad sermones hęc manus. Dixi autem in annum propter pubertatis tempus, quod iuxta locum expẽdere oportet. Cæterùm à peregrinando prohibet hoc somnium, & eum qui apud exteros degit, in patriam reducit: Nam Ephebus in populo sit oportet. Et à nuptijs libero nuptias portendit: Nam ex legis sancito chlamys circundatur: Et ex lege etiam vxor ducitur: Et si quidem chlamys fuerit alba, liberam ducet is qui somnium vidit: Sin nigra, libertam: Si purpurea, sese generosiorem: Nequaquam autẽ seruam. Si verò quis liberorum gignendorum desiderio captus, aut etiam iam natũ filium habens hoc somnium videat, non ipse sed filius ipsius pubescet, & pubertatis habitum geret. Viro seni & supra ætatem existenti mortem præsagit somniũ, & eos qui præter leges agunt prodit: Iustè autem agentibus prodest: Nam ipsa pubertas ferme regula est rectæ ac sanæ vitæ. Athletę autem antequam in ordinem lectus sit malũ est, quandoquidem emotionem ex ordine velut supra ætatem prædicit: Neque enim longè postea ephebus vir erit. Luctatori verò & certatori significat quod ad certamen non sit peruenturus: si verò perueniat, quod non sit decertaturus: Non enim decertant Ephebi extra patriæ terminos egressi.

Περὶ γυμνασίων κατ' εἶδος. νζ'.

Τροχὸν ἐλαύνειν πόνοις περιπεσεῖν σημαίνει, ἐξ ὧν ἀπόλαυσις τῷ ἰδόντι περιέσται. ἁρπαστὸν δὲ καὶ σφαῖρα φιλονεικίας ἀπεράντους σημαίνουσι. πολλάκις δὲ καὶ εἰς ἑταίρας ἔρωτα. ἔοικε γὰρ ἡ σφαῖρα καὶ τὸ ἁρπαστὸν ἑταίρᾳ, διὰ τὸ μηδαμοῦ μένειν καὶ πρὸς πολλοὺς φοιτᾶν. ἁλτῆρες δὲ καὶ τὰ ἴδια τούτων γυμνάσια τὸ μὲν παρὸν ἀπραξίας καὶ πόνους, αὖθις δὲ πράξεις μετὰ ῥᾳστώνης προαγορεύουσιν. ἔστι γὰρ τὸ τοιοῦ-

De Gymnasiis secundum species CAP. 57.

TRochum agitare laboribus implicatum iri significat, ex quibus tamen fructus ad eum qui somnium vidit perueniat. Harpastum & pila contentiones nunquam finiendas significant: Plerunq; etiam amorem erga meretrices: Similis est enim pila itémque Harpastum meretrici, propterea quod nullibi maneant, & ad multos perueniant. Arteres autem siue halteres & gymnasia ipsorũ propria in pręsens quidem improsperum actionũ successum & laboaes, rursus autem actiones cum quiete prædicunt. Est enim huiusmodi

iusmodi exercitium nihil aliud quàm manuum præparatio. Vtriculi verò, & scyphi, & translationes, & quæcunque alia eius generis exercitamenta puerilia, contentiones præsagiunt. At verò de lucta in tractatu de certaminibus dicemus, vt ne eadem bis scribamus.

De Certaminibus. CAP. 58.

BVccinare sibi videri tuba sacra, bonũ est volentibus quibusdam congredi, & eis qui mancipia perdiderunt aut aliquos famulos. Nam in bello congregat hoc organum dispersos. Verùm occulta reuelat, ob soni magnitudinem, & ægrotos tollit. Compositum est enim ex osse & ære, per quæ prodit quidem spiritus, non autem reuertitur. Seruos & ministeriis addictos, seruitute liberat. proprium enim liberorum est instrumentum. At verò rotunda tuba buccinare, malum est. Neque enim sacrum est organum, sed bellicum, & alia omnia quæcunque per os dicit is qui hoc organo vtitur, in caput ipsius recurrunt, quare nemini litem intendere permittit. Qualecunque autem instrumentum quis inflari audiuerit, turbabitur. Si verò ipsam solum viderit tubam, vanum incurret timorem. Cæterùm præconem agere, eadem quæ buccinare significat. præterquam quòd seruos inuitis dominis liberat, & præconio publico liberatum iri dicit. Tibia canere tibiis præsertim pythicis, luctum significat, aut similem luctui tristitiam. Idem ægrotos occidit. Calamos inflare omnibus bonum est, item in libationibus ac sacrificiis canere, & psallere, & citharam pulsare, bonum est ad nuptias & sodalitatem, propter harmoniam. Verùm ad alias aggressiones & conatus malum & seditionum causa, propter intensionem. In plerisque etiam podagram innuit, propter neruos. Ipsum etiam cithara canere ad eandem rationem referendum est. Tragœdiam agere, aut tragica habere dramata aut figmenta, aut tragœdos audire, aut Iambica dicere aut facere, reminiscenti quidem dictorum, euentus omnes iuxta argumentum contentum fient, non reminiscenti autem erumnæ, pugnę, iniuriæ, & pericula euenient, & si quid

τον γυμνάσιον οὐδὲν ἄλλο ἢ παρασκευὴ χειρῶν. θύλακοι δὲ καὶ σφαιρίδες καὶ ὑποβάλματα, καὶ ὅσα ἄλλα τοιαῦτα γυμνάσια παιδικά, φιλονεικίας προαγορεύουσι. περὶ δὲ πάλης, ἐν τοῖς περὶ ἀγώνων ἐροῦμεν. ἵνα μὴ τὰ αὐτὰ δὶς γράφωμεν.

Περὶ ἀγώνων. νή.

ΣΑλπίζειν δοκεῖν σάλπιγγι τῇ ἱερᾷ, ἀγαθὸν τοῖς βουλομένοις συγγενέσθαι τισί. καὶ τοῖς ἀπολελωκόσιν ἀνδράποδα. ἤ τινας τῶν οἰκετῶν· καὶ γὰρ ἐν πολέμῳ συνάγει τοὺς ἐσκορπισμένους τὸ ὄργανον τοῦτο· τὰ δὲ κρυπτὰ ἐλέγχει διὰ τὸ μεγαλόφωνον. καὶ τοὺς νοσοῦντας ἀναιρεῖ. σύγκειται γὰρ ἐξ ὀστοῦ καὶ χαλκοῦ. δι' ὧν ἔξεισι μὲν τὸ πνεῦμα. οὐχ ὑποστρέφει δέ. δούλοις δὲ καὶ πάντας τοὺς ἐν ὑπηρεσίᾳ ὄντας, τῆς δουλείας ἐλευθεροῖ. ἴδιον γὰρ ἐλευθέρων τὸ ὄργανον. στρογγύλῃ δὲ σάλπιγγι σαλπίζειν, πονηρόν. οὐ γὰρ ἱερὸν τὸ ὄργανον, ἀλλὰ πολεμικόν. καὶ ἄλλα ὅσα τῷ στόματι λέγει, ὁ τῷ ὀργάνῳ τούτῳ χρώμενος, ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀναστρέφει· ὅθεν οὐδὲ ἐγκαλεῖν τισὶν ἐπιτρέπει. οἷον δ' ἂν ὄργανον σαλπίζον τὶς ἀκούσῃ, ταραχθήσεται. εἰ δὲ αὐτὸ μόνον ἴδοι, σάλπιγγα, κενῷ περιπεσεῖται φόβῳ. τὸ δὲ κηρύσσειν, τὰ αὐτὰ τῷ σαλπίζειν σημαίνει. πλὴν ὅτι τοὺς δούλους οὐ χάριτι τῶν δεσποτῶν ἐλευθεροῖ. ἀλλὰ ἀναφωνήσαντας ἐλευθερωθῆναι λέγει· αὐλεῖν δὲ πυθικοῖς αὐλοῖς, πένθος σημαίνει. ἢ ἀνάλογον πένθει λύπην σημαίνει. καὶ τοὺς νοσοῦντας ἀναιρεῖ. καλάμοις δὲ αὐλεῖν, ἀγαθὸν πᾶσι, καὶ σπονδαυλεῖν. ψάλλειν καὶ κιθαρίζειν, πρὸς γάμους καὶ κοινωνίαν ἀγαθὸν, διὰ τὴν ἁρμονίαν. πρὸς δὲ τὰς ἄλλας ἐγχειρήσεις, πονηρόν. καὶ στάσεων αἴτιον, διὰ τὴν ἐπίτασιν. ἐν πολλοῖς δὲ καὶ ποδάγραν ἠνίξατο διὰ τὰ νεῦρα. καὶ τὸ κιθαρῳδεῖν, εἰς τὸν αὐτὸν καταντακτέον λόγον. τραγῳδεῖν δὲ ἢ τραγικὰ ἔχειν δράματα ἢ πλάσματα, ἢ τραγῳδῶν ἀκούειν, ἢ ἰαμβεῖα λέγειν, ἢ ποιεῖν, μεμνημένῳ μὲν τῶν εἰρημένων, κατὰ τὴν περιοχὴν τὰ ἀποτελέσματα ἅπαντα γίνεται· οὐ μεμνημένῳ δὲ, ταλαιπωρίαι καὶ μάχαι καὶ ὕβρεις καὶ κίνδυνοι. καὶ εἴτι

τούτων δεινότερον ἢ ὠμότερον. τοιούτων γάρ εἰσιν αἱ τραγῳδίαι μεσταί. τὸ δὲ κωμῳδῶν ἀκούειν, ἢ κωμικὰ ἔχειν ἀναπλάσματα ἢ βιβλία, τὰ μὲν τῆς παλαιᾶς κωμῳδίας, σκώμματα καὶ ταραχὰς καὶ στάσεις καὶ αἰσχρολογίας σημαίνει. τὰ δὲ τῆς καθ' ἡμᾶς κωμῳδίας, τὰ μὲν ἄλλα ἴσα τῇ τραγῳδίᾳ σημαίνει. τὰ δὲ τέλη χρηστὰ καὶ ἀγαθὰ ὑπαγορεύει. τοιαῦται γὰρ αἱ ὑποθέσεις τῶν κωμικῶν δραμάτων. χοροὶ δὲ καὶ ὑμνῳδίαι, ὑποκρίσεις καὶ ἀπάτας σημαίνουσι. τὰ γὰρ οὐ προσόντα τινί, κέρδους χάριν ἰδίου, οἱ ποιηταὶ σεμνύνουσι. ποιητὰς δὲ καὶ ἐγκωμιογράφους καὶ πάντας λογοποιούς, εἰς τὴν αὐτὴν τοῖς χοροῖς ἀνακτέον μοῖραν. οὐδὲν δὲ διαφέρειν ἡγοῦμαι, ἐάν τε αὐτός τι τούτων ποιεῖν ὑπολάβῃ, ἢ γινομένοις παρατυγχάνῃ. περὶ δὲ πυρρίχης καὶ ὀρχήσεως μεταστροφῆς, ἐν τοῖς περὶ στεφάνων ἐροῦμεν. ἔνθα καὶ περὶ ᾀσμάτων καλῶς ἔχει διαλαβεῖν. νυνὶ δὲ περὶ τῶν ἱππικῶν καὶ γυμνικῶν ἑξῆς λέξομεν. ἵππον κέλητα ἐλαύνειν καλῶς πειθόμενον τῷ ῥυτῆρι καὶ αὐτῷ τῷ ἐλαύνοντι, ἀγαθὸν ἐπίσης πᾶσιν. ἵππος γὰρ γυναικὶ μὲν καὶ ἐρωμένῃ, τὸν αὐτὸν ἔχει λόγον. ὅτι καὶ ἐπὶ κάλλει μέγα φρονεῖ, καὶ τὸν ἐλατῆρα βαστάζει. ὁμοίως δὲ ἐστὶ καὶ πλοίῳ. ἄλλη μὲν γὰρ ἵπποις καὶ ὁ ποιητὴς τὰς ναῦς εἶπε. καὶ ἡμεῖς δὲ τὸν ποσειδῶνα ἵππιον καλοῦμεν. καὶ ὃν ἔχει λόγον ἐπὶ γῆς ἵππος, τὸν αὐτὸν ἐν θαλάσσῃ ναῦς. ὁμοίως δ' ἂν εἴη καὶ δεσπότῃ καὶ ἐργοδότῃ καὶ φίλῳ τρέφοντι, καὶ παντὶ τῷ βαστάζοντι. ὅπως οὖν ὁ ἵππος τὸν ἰδόντα φέρει, οὕτω καὶ γυνὴ καὶ ἐρωμένη, καὶ δεσπότης καὶ φίλος, καὶ ναῦς, τὸν ἰδόντα διαθήσουσι. ξυνωρὶς οὐδὲν ἵππου κέλητος διαφέρει, εἰ μὴ τοῖς νοσοῦσι. θάνατον γὰρ αὐτοῖς προαγορεύει. ὥσπερ καὶ ἅρμα τέτρωρον. ὃ καὶ αὐτὸ τὰ μὲν ἄλλα ἐπίσης τῷ κέλητι σημαίνει. ἀθλητῶν δὲ τοῖς μὲν τὰ βαρέα καὶ μεγάλα ἀσκοῦσιν, ἀγαθὸν ἂν εἴη καὶ νικηφόρον. εἰσελάσουσι γάρ. τοῖς δὲ τρέχουσιν, ἧτταν σημαίνει. οὐ γὰρ ἱκανοὺς εἶναι τοῖς ποσὶ τοῖς ἰδίοις χρῆσθαι φησὶ τὸ ὄναρ. φημὶ δὲ ἀγαθὸν ἐλευθέραις γυναιξὶν ἅμα καὶ παρθένοις πλουσίαις, τὸ διὰ πόλεως ἅρμα

etiam his grauius aut crudelius existit. Talibus enim Tragœdiæ sunt refertæ. At verò comœdos audire, aut comicos habere lusus siue libros, si quidem veteris comœdiæ fuerit, cauillos, & turbas, & seditiones & vituperia significat. Si verò nostræ ætatis comœdiæ erunt, reliqua quidem tragœdiæ similia significat, fines verò commodos & bonos prædicit. Eiusmodi enim sunt argumenta comicorum dramatum. Chori autem & hymni, simulationes & deceptiones significant. Quæ enim non adsunt alicui, proprij lucri gratia, poëtæ laudibus vehere solent. Poëtas verò & encomiorum scriptores, & dicendi artifices, in eundem cum choris locum referre oportet. Neque quicquã interesse arbitror, siue quis seipsum aliquid horum facere putet, siue iisdem dum fiũt adsit. At verò de pyrricha saltatione, & reliquo tripudij genere, vbi de coronis agemus, tractabimus, quo loco & de cantilenis agere commodum fuerit. Nunc verò de equestribus & gymnicis certaminibus cõsequẽter dicemus. Equũ desultoriũ, celetem Græcis appellatum, agitare, tum habenæ, tũ agitatori probè obedientem, ex æquo omnibus bonũ est. Equus enim eandem cum vxore & amica rationẽ habet. Nã & ob pulchritudinem superbit, & agitatorẽ gestat. Similis autem & nauibus equus est. Nã & poëta naues equos dixit. Et nos Neptunũ Hippion, id est equestrem vocamus: & sanè quã rationem in terra equus habet, eandem habet nauis in mari. Similis itẽ existit hero & operarũ imperatori, & amico nutrienti, & omni baiulanti. Quomodo igitur equus eum qui somniũ videt fert, sic etiã vxor, & amica, & herus, & amicus, & nauis, eũdem tractabũt. Bigæ similiter nihil à desultorio equo differũt, exceptis ægrotis, quibus mortẽ prædicunt quẽadmodũ etiã currus quadrigarius siue quadriga, quæ & ipsæ alia quidem æqualiter equo desultorio significant, verũ Athletis qui grauib. & magnis exercitiis exercentur, bonæ sunt, & victoriã prędicunt. agitatione enim & impulsu vtuntur. Cursoribus verò victoriæ amissionem significant. Ait enim quodãmodo somniũ, ipsos non sufficiẽtes esse quo propriis pedibus vtantur. Cæterùm liberis mulieribus, simulq; virginib. opulentis, currũ per vrbẽ

agitare, bonum esse assero. bona enim sacerdotia ipsis acquirit. verùm pauperculis scortationem prænuntiat, si sibi per vrbem equis vectari videâtur. Seruis autem libertatem, proprium enim liberis hominibus est per vrbem equitare. In vrbem equos agitare bonum est athletæ & ægrotanti. Ille enim sacrorum certaminum victor erit, hic verò non morietur. At verò ex vrbe agitare equos, vtrisque malum est. hic enim effertur, ille verò victor non erit. Currum autem per desertum agitare, omnibus quicunque hoc somnium viderint, mortem annuntiat non ita longè insecuturam.

De Pentathlo, siue Quinquertio. CAP. 59.

QVinquertium siue pentathlos, hoc est quinque gymnicorum certaminũ generibus exerceri, obseruaui in omnibus primum quidem peregrinationẽ, aut motum ex loco in locum significare, atque id ob cursum. Deinde damnum aliquod, aut intempestiuos sumptus, aut expensas quasdam præter animi sententiam, propter discum, qui æreus existens è manibus abiicitur. Sæpe verò & anxietates & curas supra prædicta, ob saltus qui haltérum adminiculo fiunt. Exilire enim dicimus etiam eos qui in accidentibus derepentè anguntur. Insuper verò & pugnas & contétiones aduersus aliquos significat, propter iacula, & strepitum, & celeritatem, quæ verbis contentiosis similia existunt. Postremum etiam de locis aut terra contra quosdam litem, opulentis præsertim significat: egenis autem morbum, propter luctam. Horum causa sequenti sermone explicabitur.

De Cursu. CAP. 60.

CVrrere cursum simpliciter, omnibus bonum est, exceptis ęgrotis vbi vincere se putauerint: omnes enim ad terminum propositum peruenient. Quapropter etiam serui liberantur ex hoc somnio. Ægroti verò vita decedétes hoc modo ad metem vitæ peruenient. Diaulus autem cursus, qui duorum stadiorum circuitionem habet, hoc est stadium per-

ἐλαύνειν. ἀγαθὰς γὰρ ἱερωσύνας αὐταῖς περιποιεῖται. πενιχραῖς δὲ πορνείαν τὸ διὰ πόλεως ἱππάζεσθαι προαγορεύει. δούλοις δὲ ἐλευθερίαν. ἴδιον γὰρ ἐλευθέροις, τὸ διὰ πόλεως ἱππεύειν. εἰσελαύνειν δὲ εἰς πόλιν, ἀγαθὸν ἀθλητῇ καὶ νοσοῦντι. ὁ μὲν γὰρ, ἱερονίκης ἔσται. ὁ δὲ τεθνήξεται. τὸ δὲ ἐξελαύνειν πόλεως, ἀμφοτέροις κακόν. ὁ μὲν γὰρ ἐξενεχθήσεται. ὁ δὲ, οὐ νικήσει. διὰ δὲ τῆς ἐρήμου ἅρμα ἐλαύνειν, πάντῃ δήπουθεν τῷ ἰδόντι, θάνατον οὐκ εἰς μακρὰν ἐσόμενον προδηλοῖ.

Περὶ πεντάθλου. νθʹ.

Τὸ δὲ πενταθλεῖν, δοκεῖν ἐπὶ πάντων ἐτήρησα, ἀποδημίαν μὲν πρῶτον, ἢ τὴν ἐκ τόπου εἰς τόπον κίνησιν σημαίνειν, διὰ τὸν δρόμον. ἔπειτα δὲ ζημίας τινὰς ἢ δαπάνας ἀκαίρους. ἢ ἐξοδιασμούς τινας παρὰ γνώμην διὰ τὸν δίσκον. ὃς χάλκεος ὢν, τῶν χειρῶν ἀπορρίπτεται. πολλάκις δὲ ἀνίας τε καὶ φροντίδας ἐπὶ τούτοις διὰ τὰ πηδήματα τὰ ἐν τῇ ἁλτηρείᾳ. συνάλλεσθαι γὰρ φαμὲν καὶ τοῖς ἀνιωμένοις ἐπὶ τοῖς προσπεσοῦσιν αἰφνίδιον. ἔτι δὲ καὶ μάχας καὶ ἀντιλογίας πρός τινας. διὰ τοὺς ἄκοντας καὶ τὸν ῥοῖζον, καὶ τὸ τάχος. ἃ λόγοις ἐοίκασιν εὐτόνοις. ἔπειτα περὶ τόπων ἢ γῆς πρός τινας μάχην, τοῖς εὐπόροις. τοῖς δὲ ἀπόροις, νόσον διὰ τὴν πάλην. τὴν δὲ αἰτίαν, ὁ ἐπιὼν λόγος δηλώσει.

Περὶ δρόμου. ξʹ.

Τρέχειν δὲ δρόμον, ἁπλῶς πᾶσιν ἀγαθόν. πλὴν νοσούντων, ὅταν γε νικᾶν ὑπολάβωσιν. οἱ μὲν γὰρ, ἐπὶ τέρμα τῶν προκειμένων ἀφίξονται. διὸ καὶ οἱ δοῦλοι ἐλευθεροῦνται ἐπὶ τούτῳ τῷ ὀνείρῳ. οἱ δὲ, ἐπὶ πέρας τοῦ βίου τὸ ζῆν τελευτήσαντες ἀφίξονται. ὁ δὲ δίαυλος, τὰ αὐτὰ

τῷ σταδίῳ σημαίνῃ. ὧν ἐξ ὑπερθέσεως ἕκαστα ποιεῖν εἴωθεν. ὡς καὶ ὁ δόλιχος ἐκ πολλῶν ὑπερθέσεων ἐξαίρετον. μόναις δὲ γυναιξὶν ὁ δόλιχος, πορνείαν καὶ ἑταιρικὸν βίον δηλοῖ.

Περὶ ἐγκρίσεως. ξα΄.

Ἐγκρίνεσθαι δὲ δοκεῖν, πᾶσι κακόν. ἀθληταῖς δὲ πᾶσι μὲν οὐκ ἐπίσημον. διὰ τὴν τῆς ἐγκρίσεως ἡλικίαν. ἀνδράσι δὲ ἄπρακτον. παιδικὴ γὰρ ἡ ἔγκρισις. τὸ δὲ δοκεῖν ἐγκρίνεσθαι πάντας βλάπτον, ἔτι καὶ τοὺς νοσοῦντας ἀναιρεῖ. οἶδα δέ τινα ὃς ἔδοξεν ὀλυμπιάσιν ἐγκρίνεσθαι. καὶ εἰς μέταλλον κατεκρίθη. διὰ τὸ τοῦ ἱεροῦ ἀγῶνος μὴ μετεῖναι αὐτῷ.

Περὶ πάλης. ξβ΄.

Παλαίειν δὲ τινὶ τῶν ἀφ' αἵματος ἢ φίλων, στασιάσαι πρὸς αὐτὸν ἢ φιλονεικῆσαι σημαίνει. ἐπὶ δὲ τῶν ἤδη στασιαζόντων, ὁποτέρου παλαίοντος κατ' ὄναρ ἡ νίκη φύσαιτο, τούτου καὶ μεθ' ἡμέραν τὸ κράτος ἔσται. εἰ μὴ περὶ γῆς μάχοιντο. ἐν γὰρ ταῖς τοιαύταις ἀμφισβητήσεσιν, ἄμεινον πίπτειν. εἰ μὴ καὶ ῥήσσων κάτωθεν τις εἴη. τοῦ γὰρ πρὸς τῇ γῇ ἐπιμενομένου, καὶ ἡ γῆ γίνεται. οἶδα δέ τινα ὃς ἔδοξε παλαίειν. καὶ ἐκ δακτύλων δύο * περὶ μίαν τὸ λεγόμενον ποιήσας, ῥῆξαι τὸν ἀντίπαλον. τούτῳ συνέβη νικῆσαι. γραμμάτων ἐπιλαβόμενος ὑπὸ τοῦ ἀντιδίκου γεγραμμένων. τὸ δὲ πρός τινα τῶν οὐ γνωρίμων παλαίειν, κινδύνους διὰ νόσον ἐπιφέρει. ὅπερ γὰρ ὁ παλαιστὴς βούλεται τὸν ἀντίπαλον διαθεῖναι, τοῦτο καὶ ἡ νόσος τὸν κάμνοντα. τουτέστι, τῇ γῇ δοῦναι. πεσόντι μὲν οὖν ἀπόκειται θάνατος. ῥήξαντι δὲ, σωτηρία. ἔτι δὲ τὸ ἄνδρα ὄντα παλαίειν παιδὶ, οὐδαμῶς ἀγαθόν. ἐὰν γὰρ ῥήξῃ τὸν παῖδα, καταθάψει τινά. ἐὰν δὲ πρὸς τοῦ παιδὸς καταπαλαισθῇ, πρὸς τῇ ματαιοπονίᾳ, καὶ χλεύην καὶ νόσον ὑπομενεῖ. χλεύην

mensum repetit, ac recurrit, eadem quæ stadium significat, quorum singula ex dilatione & prolongatione inducere consueuit, quemadmodum Dolichus hoc est longus appellatus cursus, ex multis dilationibus excellenter eadem facere solet. Solis autem mulieribus dolichus scortationem, & vitam meretricariam præsagit.

De Reprobatione. CAP. 61.

Reprobari & ordine moueri sibi videri, omnibus malum est. Athletis autem omnibus minimè gloriosum est, propter reprobationis ætatem. Viris verò improsperum rerum ac actionum successum significat, puerilis est enim ipsa reprobatio. Atqui cùm reprobari sibi videri omnibus damnosum sit, insuper etiã ægrotantes occidit. Noui autem quẽdam qui sibi visus est in olympiis ordine moueri, & in metallum damnatus est, propterea quòd sacri certaminis iura non haberet.

De Lucta. CAP. 62.

Luctari cum aliquo sanguine iuncto aut amico, seditionẽ aduersus ipsum aut contentionem significat. In his verò qui iam seditionem agunt, vtrius luctantis per somnium victoria fuerit, huius etiam robur postridie præcellet, nisi de terra pugnent. in eiusmodi enim controuersiis & disceptationibus, melius est cadere, nisi quis sit qui ex infernis detrahat. eius enim qui terram tenet, etiam terra ipsa futura est. Noui quendam qui sibi visus est luctari, & ex digitis, duo alternatim, quòd dici solet, faciẽdo, aduersarium deiicere. huic contigit victoria, acceptis literis ab aduersario scriptis. At verò cum aliquo ignoto luctari, pericula ob morbum inducit. Quomodo enim luctator aduersarium tractare cupit, sic etiã morbus ægrotum, nimirum ad terram demittere. Lapso itaque mors imminet, deiicienti verò salus. Insuper & virum luctari cum puero, nequaquam bonum est. Si enim prostrauerit puerum, sepeliet aliquem. Si verò à puero fuerit prostratus, supra irritum laborem, etiam ludibrium & morbum sustinebit, & ludibriũ

quidem propter consequens. Morbum autem propterea quod à teneriore corpore est superatus. Verum puero bonum est cũ viro luctari, res enim magnas præter expectationem assequetur. Sed tamẽ Athletæ puerũ colluctari, nõ est bonum. Significat enim pueris reprobationem, & ex ordine emotionem. Cùm mortuo luctari, ægritudinem significat, aut contentionem cum aliquo filiorum aut hæredum ipsius mortui. Porrò in luctando semper melius est hoste deiecto, victorem sibi videri.

De Pugillatu. CAP. 63.

PVgillatu decertare omnibus nociuũ est, supra turpitudinem enim etiam damnum significat. Nam & facies indecora inde fit, & sanguis effunditur, qui argentum esse iudicatur. Bonum autem est somnium hoc solis his qui ex sanguine victum quærunt, nimirum medicis, laniis, cocis, & victimariis.

De Pancratio. CAP. 64.

PAncratium eadem quæ pugillatus significat, damno excepto. Validiores enim seditiones inducit, ob pugnam. pręstat autem semper in vtrisque vincere. Quomodocunque porrò certauerit seruus in certamine sacro, & vicerit, & coronatus fuerit, præconis voce proclamatus libertatem assequitur. Sunt enim hęc propria liberorum. Verùm meminisse oportet, quod in sacro certamine solum hoc contingit, nam in aliis non similiter habet. Sed & aliis hominibus certaminum præmia, tum bona, tum mala ad finem perducunt cùm quis vsque ad coronam peruenerit.

De Scuto. CAP. 65.

QVod scutum appellatur, moras ac dilationes significat. est enim vltimum, & in omnibus præmium. Ægrotantibus idem hoc mortem portendit.

μένῳ, διὰ τὸ ἀκόλουθον. νόσον δέ, διὰ τὸ ἁπαλωτέρῳ σώματι ἡττᾶσθαι. παιδὶ δὲ ἀγαθὸν, τὸ ἄνδρα παλαῖσαι. τὴν γὰρ παρὰ προσδοκίαν μεγάλων τεύξεται. ἀλλ᾽ οὐκ ἀθλητῇ παιδὶ ἀγαθόν. οὐ γὰρ ἐγκριθῆναι σημαίνει τοῖς παισί. νεκρῷ παλαίειν, νοσῆσαι σημαίνει. ἢ τῶν τοῦ νεκροῦ ἐκγόνων τινὶ ἢ κληρονόμων φιλονεικῆσαι. ἀεὶ δὲ ἄμεινον τὸ ῥήασειν.

Περὶ πυγμῆς. ξγ'.

ΠΥκτεύειν, παντὶ βλαβερόν. πρὸς γὰρ ταῖς αἰσχύναις, καὶ βλάβας σημαίνει. καὶ γὰρ ἄσχημον γίνεται τὸ πρόσωπον. καὶ αἷμα ἀποκρίνεται. ὅπερ ἀργύριον εἶναι νενόμισται. ἀγαθὸν δὲ μόνοις τοῖς ἐξ αἵματος πορίζομένοις. λέγω δὲ, ἰατροῖς, θύταις, μαγείροις.

Περὶ παγκρατίου. ξδ'.

ΤΟ δὲ παγκράτιον, τὰ αὐτὰ τῇ πυγμῇ σημαίνει. πλὴν τῆς βλάβης. ἀντισχυρωτέρας γὰρ τὰς στάσεις ἐπιφέρει διὰ τὴν μάχην, ἀεὶ δὲ ἄμεινον, ἐν ἀμφοτέροις νικᾶν. ὅπως δὲ ἂν ἀγωνίσηται ἐν ἱερῷ ἀγῶνι καὶ νικήσῃ καὶ στεφανωθῇ ἀνακηρυχθεὶς, ἐλευθερωθήσεται, ἴδια γὰρ ταῦτα ἐλευθέρων. μεμνῆσθαι δὲ χρή, ὅτι ἐν ἱερῷ ἀγῶνι μόνον. ἐπεὶ ἀλλαχόθι γε οὐκ ἔστι τὸ αὐτό. καὶ τοῖς ἄλλοις δὲ ἀνθρώποις τὰ ἆθλα καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ ἐπὶ τέλος ἄγει, ὅταν μέχρι στεφάνου, τις ἀφίκηται.

Περὶ ὅπλου. ξε'.

ΤΟ δὲ ὅπλον τὸ λεγόμενον, παρολκὰς σημαίνει. τελευταῖον γάρ. καὶ ἐπὶ πᾶσι τὸ ἆθλον. τοῖς δὲ νοσοῦσιν αὐτὸ τοῦτο, θάνατον δηλοῖ.

Περὶ βαλανείου καὶ λουτροῦ παντοδαποῦ. ξϛ'.

Οἱ μὲν πάνυ παλαιοὶ τὸ λούεσθαι, οὐ κακὸν ἐνόμιζον εἶναι. βαλανεῖα γὰρ οὐκ ᾔδεσαν. ἐπεὶ ἐν ταῖς λεγομέναις ἀσαμίνθοις ἐλούοντο. οἱ δὲ μεταγενέστεροι, ἤδη καὶ βαλανείων ὄντων, τὸ λούεσθαι κακὸν ἐνόμιζον, καὶ βαλανεῖον ἰδεῖν. καὶ εἰ μὴ λούοιτό τις. καὶ ἐδόκουν ταραχὴν μὲν σημαίνειν τὸ βαλανεῖον, διὰ τὸν ἐν αὐτῷ γινόμενον θόρυβον. βλάβην δὲ, διὰ τὸν ἀποκρινόμενον ἱδρῶτα. ἔτι δὲ ἀγωνίαν καὶ δεῖμα* τῆς ψυχῆς. διὰ τὸ τρέπεσθαι τὸν χρῶτα καὶ τὴν ἐπιφάνειαν τοῦ σώματος ἐν τῷ βαλανείῳ, εἰς ἑτέραν χροίαν. καὶ τῶν νῦν τινὲς ἀκολουθοῦντες τῇ παλαιᾷ γνώμῃ, κατὰ ταῦτα κρίνουσι. πεπλανημένοι, καὶ μὴ τῇ πείρᾳ ἀκολουθοῦντες. πάλαι μὲν γὰρ εἰκὸς εἶναι πονηρὰ τὰ βαλανεῖα, ἐπεὶ μὴ συνεχῶς ἐλούοντο οἱ ἄνθρωποι. μὴ δὲ εἶχον τοσαῦτα βαλανεῖα. ἀλλὰ ἢ πόλεμον καταστρεψάμενοι, ἢ μεγάλου παυσάμενοι πόνου, ἐλούοντο. ἦν οὖν αὐτοῖς ὑπόμνημα πόνου ἢ πολέμου τὸ βαλανεῖον. καὶ αὐτὸ τὸ λούεσθαι. νῦν δὲ οἱ μὲν, οὐ πρότερον ἐσθίουσιν, εἰ μὴ λούσοιντο. οἱ δὲ, καὶ ἐμφαγόντες. εἶτα δὴ λούονται μέλλοντες δειπνήσειν. καὶ ἔστι νῦν τὸ βαλανεῖον οὐδὲν ἄλλο, ἢ ὁδὸς ἐπὶ τροφήν. τοιγαροῦν λούεσθαι ἐν βαλανείοις καλοῖς καὶ φωτεινοῖς καὶ ἀέρων εὐκράτως ἔχουσιν, εὐπορίαν καὶ εὐπραξίαν ἅμα τοῖς ἐρρωμένοις σημαίνει. καὶ τοῖς νοσοῦσιν ὑγείαν. ἐρρωμένων γὰρ τὸ λούεσθαι, ἢ πρὸς ἀνάγκην γε ὄντων. εἰ δέ τις λούοιτο πυκνῶς καὶ κατὰ ὥραν. καθ' ὃν οὐ προσήκει τρόπον, οὐκ ἀγαθὸν αὐτῷ. ἔτι εἴ τις ἅμα τοῖς ἱματίοις εἰς τὸ θερμὸν εἰσίοι, νόσον σημαίνει καὶ μεγάλας ἀγωνίας αὐτῷ τὸ ὄναρ. οἱ γὰρ νοσοῦντες εἰσίασιν ἐνδεδυμένοι. ἢ οἱ περὶ μεγάλων ἀγωνιῶντες, καὶ ἐν τοῖς ἱματίοις ἱδροῦσι. πονηρὸν δὲ καὶ πένητι, τὸ μετὰ θεραπείας καὶ πολλῶν τινῶν περιεπόντων αὐτὸν λούεσθαι. νόσον γὰρ αὐτῷ

De Balneo, & Lauacro omnis generis.

CAP. 66.

Valde veteres lauari non malum esse iudicabant. Balnea enim non nouerunt, quandoquidem in labris domesticis, Asaminthis Græcis appellatis, lauabantur. Posteriores iam balneis existentibus lauari malum indicabant, itémque balneum videre, etiam si quis non lauaretur. & censuerunt sanè balneum significare quidem turbationem, propter tumultum qui in ipso fieri solet. damnum verò, propter sudorem qui istic excerni solet. Insuperque animæ solicitudinem ac contentionem, propterea quod color & superficies cprporis in balneo mutatur in alium colorem. Et certè quidam nostræ ætatis horum placita sequentes, eandem iudicationem faciunt, errantes & experientiam non animaduertentes. Quondam enim verisimile est balnea mala fuisse, cùm non assiduè homines lauarentur, neque tot balnea essent, sed aut à bello reuersi, aut magno labore transacto digressi lauarentur. Erat igitur ipsis balneum laboris aut belli monumentum, sicut etiam ipsum lauari. Nunc verò alij non prius edunt, quàm lauerint, alij verò etiam accepto cibo lauantur, inde videlicet sumpturi cœnam. Et est nunc balneum nihil aliud quàm via ad cibum. Proinde lauari in balneis pulchris & lucidis, & aërem temperatum habentibus, opulentiam & prosperitatem simul, sanis & valentibus significat, ipsisque ægris sanitatem. Sanorum enim est lauari, & eorum qui eo opus habent. Si verò quis lauetur frequenter, & debita hora, non tamen conuenienti modo, non est bonum ipsi, velut si quis vnà cum vestimentis in calidam ingrediatur, morbum & magnas solicitudines somnium ipsi præsagit. Ægrotantes enim induti ingrediuntur. & de rebus magnis soliciti, etiam in vestibus exsudant. Malum est & pauperi, si cum multa curatione, & multis ipsum tractantibus lauetur. Morbum enim ipsi

longum annuntiat. Neque enim aliàs pauper multis ipsi ministrantibus lauatur. Similiter autem & diuiti malum est, si solus lauetur. In communi verò omnibus absurdum est non posse exudare, aut balneum sub diuo paratum videre, aut veterem formam perdidisse, aut aquã in soliis non reperire. hoc enim omnino absurdum est. Et quæ quis sperat, non perficiet, & præsertim si in turba, aut ex turba speret. Noui autem quendam citharœdum qui Smyrnæ certamen Adriani decertaturus erat, & visus est sibi dum lauaret aquam in balneo non reperire, & contigit ipsi vt deprehenderetur, velut qui certamen corrupisset, & mulctaretur, & à certamine eiiceretur: atque hoc erat quod somnium ipsi significabat, non inuenturum videlicet esse quod quærebat, balneo theatrum significante. Aquis calidis: naturalibus inquam: lauari ægrotis quidem sanitatem, Sanis verò actionum impedimentum & otium significat. Aut enim se recolligentes à morbo, aut otiosi, ad calida lauacra proficiscũtur. Bonum autem est & in fontibus, & in stagnis, & in salientibus, & in fluminibus, puram ac perspicuam aquam habentibus lauari, sed non natare. Nam natare omnibus malum est, & periculi & morbi signum. Causam refert Panyasis Halicarnasseus diligenter in hac parte versatus. Strigiles & instrumenta destringendi, ac detergẽdi seruos significant. Quare si quis ex his aliquod per somniũ perdiderit, mancipium perdet ministerio commodum. Priuatis autem strigiles damnum præsagiunt. propterea quod sudorem deradũt, & corpori nihil apponunt. Aliquando etiam amicam insinuauerũt. Idem enim amica corpori admota facit. Lecythus autem in quo oleum, & xystrophylax in quo strigilis seruatur, aliis vxorem domum seruantem, aut fidelem, aut etiam famulam significat, aliis verò etiam famulum frugi & commodum.

De Cibo & Potu.

CAP. 67.

DE cibo & potu tractaturi, necessariò distinguimus claræ doctrinæ

μακρὰν σημαίνει. οὐ γὰρ, ἄλλως πένης μετὰ πολλῶν λούεται. ὁμοίως δὲ καὶ πλουσίῳ πονηρὸν, τὸ μόνον λούεσθαι. κοινῇ δὲ πᾶσιν ἄτοπον, τὸ μὴ δύνασθαι ἱδροῦν. ἢ ὕπαιθρον τὸ βαλανεῖον γινόμενον ἰδεῖν. ἢ ἀπολέσαντα τὴν ἀρχαίαν μορφήν. ἢ μὴ εὑρίσκειν ὕδωρ ἐν ταῖς δεξαμεναῖς· τοῦτο γὰρ καὶ παντελῶς ἄτοπον. ἃ γάρ τις ἤπιζε, οὐ τελέσει. καὶ μάλιστά γε, εἰ ἐν ὄχλῳ ἢ ἐξ ὄχλου ἤπιζοι. οἶδα δέ τινα κιθαρῳδὸν ἐν Σμύρνῃ μέλλοντα ἀγῶνα τὸν Ἀδριανοῦ ἀγωνίζεσθαι. ὃς ἔδοξε λουόμενος ὕδωρ μὴ εὑρίσκειν ἐν τῷ βαλανείῳ. καὶ συνέβη αὐτῷ διαφθείραντι τὸν ἀγῶνα καταφανεῖ γεγονέναι καὶ ζημιωθῆναι καὶ ἐκβληθῆναι τοῦ ἀγῶνος. καὶ τοῦτο ἦν ὅπερ ἐσήμαινεν αὐτῷ τὸ ὄναρ, μὴ εὑρεῖν ὃ ἐζήτει, σημαίνοντος τοῦ βαλανείου τὸ θέατρον· λούεσθαι θερμοῖς ὕδασι λέγω δὴ τοῖς αὐτοφυέσι, τοῖς μὲν νοσοῦσιν, ὑγείαν. τοῖς δὲ ἐρρωμένοις, ἀπραξίαν σημαίνει. ἢ γὰρ ἀναλαμβάνοντες ἢ ἀπραγοῦντες εἰς θερμὰ πορεύονται. ἀγαθὸν δὲ καὶ ἐν πηγαῖς, καὶ ἐν λίμναις καὶ ἐν κρήναις καὶ ἐν ποταμοῖς καθαρὸν καὶ διειδὲς ἔχουσιν ὕδωρ, λούεσθαι, ἀλλ' οὐ νήχεσθαι. ἐπεὶ τό γε νήχεσθαι, πᾶσι πονηρόν· καὶ κινδύνου καὶ νόσου σύμβολον. τὴν δὲ αἰτίαν, Πανύασις ὁ ἁλικαρνασεὺς, ἐπιμελῶς ἐξηγήσατο. στλεγγίδες καὶ ξύστραι καὶ καταμάγματα, θεράποντας σημαίνουσιν. ὅθεν εἴ τις ἀπολέσειε τι τούτων κατ' ὄναρ, ἀνδράποδον ἀπολέσει τῶν εἰς θεραπείαν ἐπιτηδείων. ἰδίως δὲ αἱ ξύστραι, καὶ βλάβης εἰσὶ σημαντικαί. διὰ τὸ ἀποξύειν τὸν ἱδρῶτα, καὶ μὴ προστιθέναι τι τῷ σώματι. ἔστι δὲ ὅτε καὶ ἑταίραν ἐμήνυσαν. τὸ αὐτὸ γὰρ καὶ ἑταίρα τῷ σώματι προσιοῦσα ποιεῖ. λήκυθος δὲ καὶ ξυστροφύλαξ, οἷς μὲν, γυναῖκα οἰκουρὸν ἢ πιστὴν, ἢ θεράπαιναν. οἷς δὲ, οἰκέτην χρήσιμον σημαίνουσιν.

Περὶ τροφῆς καὶ ποτοῦ. ξζ.

ΠΕρὶ τροφῆς καὶ ποτοῦ διαλαμβάνοντας, ἀναγκαῖον ἐστὶ διελθεῖν, ὑπὲρ εὐσήμου

διδασκαλίας. καὶ μὴ συγχεῖν τὰ ξηρὰ τοῖς ὑγροῖς. ἐπὶ δὲ τῆς ὑγρᾶς τὸ ποιὸν ἅμα καὶ τῆς ξηρᾶς ἰδίᾳ ἕκαστον διαληψόμεθα. καὶ πρότερον μὲν περὶ τῆς ὑγρᾶς ἐροῦμεν τροφῆς.

Περὶ ποτοῦ. ξή.

Πίνειν ὕδωρ ψυχρὸν, ἀγαθὸν πᾶσι. θερμὸν δὲ ὕδωρ, νόσους ἢ ἀπραξίας σημαίνει τῶν ἔθος ἐχόντων ὑδροποτεῖν. οὐ γὰρ κατὰ φύσιν ἔχει τὸ θερμὸν ὕδωρ. οἶνον δὲ πίνειν ὀλίγον μὴ ἐν μεγάλοις ποτηρίοις καὶ μὴ μεθύσκεσθαι, ἀγαθόν. δοκεῖ δέ μοι ἐν καιρῷ ἄν τις εἰπεῖν, τὸ ξενοφῶντος τοῦ Σωκρατικοῦ. οἶνος τὰς μὲν λύπας ὥσπερ μανδραγόρας ἀνδρὸς κοιμίζει. τὰς δὲ φιλοφροσύνας ὥσπερ ἔλαιον φλόγα ἐγείρει. Τούτου δὲ ἕνεκεν προσκεῖται τὸ αὐτὰρ καὶ ὀλίγον πίνειν δοκεῖν. ἐπεί τοι γε πολὺν καὶ ἄμετρον πίνειν, πολλῶν κακῶν αἴτιον καθίσταται πᾶσιν ὁμοίως ἐπίσης. ἐνταῦθα δὴ ἄν τις ὀρθῶς τὸ θεόγνιδος εἴποι.

Οἶνος πινόμενος πουλὺς, κακός. ἢν δέ τις αὐτὸν
Πίνῃ ἐπισταμένως, οὐ κακὸς ἀλλ' ἀγαθός.

Ἐγὼ δὲ φημὶ οὐ μόνον τὸ πίνειν πολὺν οἶνον πονηρὸν, ἀλλὰ καὶ ἐν πολλοῖς πίνουσιν ἀναστρέφεσθαι. ἕπεται γὰρ ἀεὶ μέθῃ παροινία. ἐξ ἧς στάσις ἡ πολέμου μήτηρ γίνεται. οἰνόμελι μὲν καὶ μηλίμηλον καὶ ὑδρόμηλον καὶ μυρτίτην, καὶ πάντα τὸν ἐσκευασμένον οἶνον πίνειν, πλουσίοις μὲν ἀγαθὸν διὰ τὸ τρυφᾶν. πένησι δὲ, μοχθηρόν. οὐ γὰρ πρότερον ὁρμῶσιν ἐπὶ τὰ τοιαῦτα πόματα, εἰ μὴ ὑπὸ νόσου ἀναγκάζοιντο. ὄξος δὲ πίνειν δοκεῖν, στασιάσαι σημαίνει πρὸς τοὺς οἰκείους. διὰ τὴν τοῦ σώματος συστροφήν. γάρον δὲ πίνειν, φθίσιν σημαίνει. ἔστι γὰρ οὐδὲν ἄλλο ὁ γάρος, ἢ σηπεδών. ἔλαιον δὲ πίνειν, φαρμακίαν τινὰ ἢ νόσον σημαίνει. ἀεὶ δὲ ἀγαθὸν τὸ διψῶντα πίνειν. τὸ δὲ μὴ εὑρεῖν ὅ,τι τις πίῃ, καὶ ἐπὶ ποταμὸν ἢ κρήνην ἢ φρέαρ ἥκοντα μὴ καταλαβεῖν ὕδωρ, οὐδὲν τῶν κατ' ἐπιθυμίαν πρᾶξαι σημαίνει. τὸ μὲν γὰρ διψᾶν οὐδὲν ἄλλο ἐστὶν, ἢ ἐπιθυμεῖν.

gratia, vt ne arida cum humidis & liquidis confundamus, sed & liquidorum simulque aridorum qualitatem seorsim singulorum explicabimus, & primùm de liquido alimento dicemus.

De Potu. CAP. 68.

AQuam bibere frigidam omnibus bonum est, aqua verò calida morbos & impeditas actiones significat, his qui in consuetudine habent aquam potare. Non enim secundum naturam habet calida aqua. Vinum bibere modicũ, non in magnis poculis, & non inebriari, bonum est. Videtur autem mihi opportunè vsurpari posse illud Xenophontis Socratici. Vinum tristitias, velut Mandragoras dolores sopit: beneuolentias autem, velut oleum flammam excitat. Atque ea gratia additum est, modicum bibere sibi videri, quandoquidem multum & immoderatè bibere, multorum malorum causa est omnibus ex æquo. Hic verò rectè quis Theognid. illud dixerit.

Vinum potatum multum malum: at hauriat ipsum
Si quis prudenter, non malum: at hinc bonum erit.

Ego verò nõ solũ multum vinũ bibere, malũ esse dico, sed etiã inter multos potores versari. Sequitur enim semper ad ebrietatem cõtumelia, ex qua seditio belli mater generatur. Vinum mulsum & melimelum & hydromelum, & vinum Myrtites, omnéque aliud præparatum vinũ bibere diuitibus quidem bonum est, ob delicias. Pauperibus verò malum. Non enim prius appetunt huiusmodi potiones, quàm à morbo cogantur. Acetum bibere sibi videri, seditionem aduersus domesticos significat, & hoc ob corporis contractionem. Garum bibere phthisim significat. Est enim garum nihil aliud quàm putredo. Oleum bibere venenum quoddam aut morbum significat. Semper autem bonum est sitientem bibere. Verum non reperire quod quis bibat, & ad fluuium, aut fontem, aut puteum venire, & non inuenire aquam, nihil pro voto & cupiditate efficere significat: sitire enim nihil aliud est, quàm cõcupiscere,

bibere

bibere autem, quietem & sedationem concupiscentiæ habet, quod est nancisci. Quin & hoc considerare oportet, quod ex poculis aurea & argentea & testacea, omnibus bona sunt, & multæ securitatis significatiua existunt. partim vt ex materia solida, partim vt ex familiari & consueta. Insuper & cornea, tum propter antiquitatem, cùm quòd infracta sint, bona sunt. Vitrea verò mala, propter materiam existunt, quandoque verò & pericula annuntiant, propterea quòd facilè franguntur, & occulta reuelant, propter perspicuitatem. Est autem & alia quædam ratio non malè etiam ipsa habens. Quòd videlicet pocula significent eos quos labiis admouemus. cùm itaque franguntur, aliquem ex his moriturum esse indicant: si verò quis solitarius sit, illi ipsi mortem præsagiunt. At verò hoc ego ipse in nauigãtibus obseruaui, quòd videre poculum frangi, naufragium significat. Atque hæc quidem igitur vetus est discriminatio, nunc verò sæpe eueniens, etiam ad nos eiusmodi somnium peruenit. Sũt quædam pocula angustioris, non ita dudum ab hominibus inuenta, hæc si frangantur, omnis tribulationis & angustiæ solutionem pollicentur.

De Oleribus. CAP. 69.

CONsequenter de alimento sicco verba facturi, initiũ ab oleribus sumemus. Quęcunque olent à comestione, occulta reuelant, & aduersus cohabitantes odium operantur. velut est raphanus, seris, porri sectiui. Quæ verò deraduntur, & cruda comeduntur, damnũ significant, propter superfluitatum reiectionem. Lactucæ autem & si quod aliud simile est olus, velut etiam ea species quæ picris appellatur, tũ propter spinositatem, tum ob acumen, dolores significant, & rerum agendarum difficultatem, propterea quòd ægrè concoquuntur: sunt enim minimi hæc ipsa alimenti. Betæ, malua, rumices, oxylaphathum, atriplex, solis obæratis bona sunt, propterea quòd ventrẽ turbãt, & insidentia ipsi stercora subducũt, propriè enim venter & intestina creditoribus similia existunt. Capitata autem olera & pastinaca, & quæcunque probè nutriunt,

τὸ δὲ πίνειν, παῦλαν τῆς ἐπιθυμίας ἔχει. ὅπερ ἐστὶν ἐπιτυχεῖν. Χρὴ δὲ καὶ τοῦτο σκοπεῖν. ὅτι τῶν ποτηρίων τὰ μὲν χρυσᾶ καὶ ἀργυρᾶ καὶ ὀστράκινα, πᾶσιν ἀγαθὰ, καὶ ἀσφαλείας πολλῆς σημαντικὰ καθίσταται. τὰ μὲν, ὡς ἐξ ὕλης στερεᾶς. τὰ δὲ, ὡς ἐκ συντρόφου. ἔτι τὰ κεράτινα καὶ διὰ τὴν ἀρχαιότητα καὶ διὰ τὸ ἄθραυστον, ἀγαθά. τὰ δὲ ὑάλινα, μοχθηρὰ διὰ τὴν ὕλην ἐστίν. ὅτε δὲ καὶ κινδύνων προαγορευτικὰ διὰ τὸ εὐκατέακτον καὶ τὰ κρυπτὰ ἐλέγχει διὰ τὸ διαφανές. ἔστι δέ τις καὶ ἕτερος λόγος ὀρθῶς ἔχων. ὡς ἄρα τὰ ποτήρια σημαίνει τοὺς προσιόντας τοῖς χείλεσιν. ὅθεν ἂν κατεαγῆται τούτων τινὰ, ἀποθανεῖσθαι δηλοῖ. εἰ δέ τις εἴη μόνος, αὐτῷ θάνατον σημαίνει. τοῦτο δὲ καὶ αὐτὸς ἐτήρησα τοῖς πλέουσι, τὸ δοκεῖν κατεαγῆναι ποτήριον, ναυάγιον σημαίνειν. αὕτη μὲν οὖν παλαιὰ διαίρεσις. νυνὶ δὲ πολλάκις ἀποβὰν εἰς ἡμᾶς ἦλθεν ὄνειρον τοιοῦτον. ἔστι τινὰ τῶν ποτηρίων στενόστομα οὐ πάλαι ὑπὸ ἀνθρώπων εὑρημένα. ταῦτα καταγνύμενα, πάσης θλίψεως καὶ στενοχωρίας λύσιν ὑπισχνεῖται.

Περὶ λαχάνων. ξθʹ.

Ἑξῆς δὲ περὶ τροφῆς ξηρᾶς ποιούμενοι τὸν λόγον, ἀρξώμεθα ἀπὸ λαχάνων. ὅσα ὄδωδε μετὰ τὴν βρῶσιν, τὰ κρυπτὰ ἐλέγχει, καὶ πρὸς τοὺς συνοικοῦντας μῖσος ἐργάζεται. οἷον ῥάφανος, σέρις, πράσα τὰ κειρόμενα. ὅσα δὲ ἀποξύεται ὠμὰ ὄντα, βλάβην σημαίνει διὰ τὴν ἀποβολὴν τῶν περισσῶν. θριδακίναι καὶ εἴ τι ἄλλο ὅμοιον. πικρίδια τε καὶ διὰ τὸ ἀκανθῶδες καὶ ὀξὺ, ὀδύνας σημαίνει, καὶ δυσεργασίας διὰ τὸ δύσπεπτον. ἔστι γὰρ ἄτροφα. σεῦτλα, μαλάχη, λάπαθα, ὀξυλάπαθα, ἀνδράφαξις, καταχρέοις μόνοις ἐστὶν ἀγαθὰ διὰ τὸ τὴν γαστέρα ἐκταράσσειν. καὶ τὰ ὑποκείμενα σκύβαλα ὑπεξάγειν. ἰδίως γὰρ ἡ γαστὴρ καὶ τὰ ἔντερα, δανεισταῖς ἐοίκασι. κεφαλωτὰ τε καὶ σταφυλῖνος καὶ ὅσα ἐστὶ τρόφιμα,

ὠφελειῶν ἐστὶ σημαντικά. μόνοις δὲ ἐναντιοῦνται τοῖς περὶ γῆς δικαζομένοις. πρόρριζα γὰρ ἀνασπᾶται. κράμβαι δέ, πρὸς οὐδὲν εἰσὶ χρήσιμοι. μάλιστα δὲ καπήλοις καὶ ἀμπελουργοῖς καὶ πᾶσι τοῖς περὶ τὸν Διόνυσον τεχνίταις, πονηραὶ καθεστᾶσιν. ἐπειδὴ ἄμπελος μόνῃ κράμβῃ οὐ περιπλέκεται. τῶν δὲ λευκῶν λεγομένων λαχάνων, γογγύλη μὲν καὶ βουνιὰς καὶ κολόκυνθα, ματαίας ἐλπίδας σημαίνουσιν. ἔστι γὰρ πάντα ὀγκώδη καὶ ἄτροφα. τοῖς δὲ νοσοῦσι καὶ τοῖς ὁδεύουσι, κατατομὰς καὶ διαιρέσεις ὑπὸ σιδήρου γενέσθαι σημαίνει. διὰ τὸ κατακόπτεσθαι τὰ τοιαῦτα. σίκυοι δὲ καὶ περιτεμνόμενοι, νοσοῦσιν εἰσὶν ἀγαθοί. διὰ τὸ τὰ ὑγρὰ ἀποκρίνειν. πέπονες πρὸς μὲν τὰς φιλίας καὶ συμβιβάσεις εἰσὶν ἀγαθοί. πέπονα γὰρ τὸ προσφιλὲς οἱ ποιηταὶ καλοῦσι. πρὸς δὲ τὰς ἄλλας πράξεις, ἄπρακτοι. καὶ γὰρ τὸ ἔκλυτον, πέπον καλεῖται. κρόμμυα δὲ καὶ σκόροδα ἐσθίειν μὲν πονηρόν· ἔχειν δὲ ἀγαθόν. μόνοις δὲ τοῖς νοσοῦσι διαφόρως τὰ κρόμμυα ἀποβαίνει. καί τοι περὶ αὐτῶν Ἀλέξανδρος ὁ μύνδιος ἰσχυρῶς ἀπορήσας, τὸ τέλος οὐ κατείληφε. φημὶ δὲ ἐγώ. εἴ τις πολλὰ κρόμμυα δόξειεν ἐσθίειν, τύχοι δὲ νοσῶν, ἀναστήσεται. εἰ δὲ ὀλίγα, τεθνήξεται. δακρύουσι γὰρ οἱ ἀποθνήσκοντες ὀλίγα· οἱ δὲ πενθοῦντες, πολλά. ἐπειδὴ καὶ ἐπὶ πολὺ δακρύουσι.

Περὶ ὀσπρείων. ο'.

ΤΩΝ ὀσπρίων πλὴν πισοῦ, πάντα μοχθηρά, διὰ τὸ ὄνομα. ἔστι γὰρ πειθοῦς σημαντικόν. μάλιστα δὲ κυβερνήταις καὶ ῥήτορσιν. οἷς μὲν γὰρ τὰ πηδάλια, οἷς δὲ οἱ δικασταὶ πεισθήσονται. ἐρεγμὸς δὲ καὶ κύαμος, στάσεως εἰσὶ σημαντικοί. ὃς μέν, διὰ τὸ δεδιῆχθαι. ὃς δέ, διὰ τὸ πνεύματος εἶναι ποιητικὸς ἀτόπου. οὐ μόνον δὲ τοῦτο, ἀλλ' ὅτι καὶ πάσης τελετῆς καὶ παντὸς ἱεροῦ ἀπελήλαται. φακὴ δέ, πένθος προαγορεύει, καὶ πτισάνη κάματον, διὰ τὸ δύστριπτον καὶ δύσπεπτον. κέγχρος δὲ καὶ ἔλυμος καὶ ζειά, πενίας καὶ ἀπορίας

commoditatum significatiua sunt, solis verò his qui de terra litigant contraria sunt, radicitus enim euelluntur. Brassicæ nullius vtilitatis existunt. Maximè autem cauponibus, & vinitoribus, & omnibus dionysiacis artificibus, malæ sunt: quoniam vitis soli brassicæ non circumplicatur. Ex albis appellatis oleribus, rapum & napi, & cucurbita, vanas spes significant. Sunt enim hæc omnia magnæ molis, & nullum alimentum sufficiunt. Aegrotis autem & viatoribus concisiones & dissectiones per ferrum imminere significant, propterea quòd talia concidantur. Cucumeres autem etiam circumcisi ægrotis boni sunt, propter humiditatum excretionem. Pepones ad amicitias quidem & concordias boni sunt. Pepon enim dilectum & amabile poëtæ vocant. Verùm ad alias actiones inefficaces existunt. Nam & exolutum pepon appellatur. Cepas & alia edere malum est, habere autem bonum. Solis verò ægrotis cepæ diuersos euentus habent. Tametsi Alexander Myndius, validis quæstionibus de ipsis motis, finem minimè attigit. Verùm ego sic sentio. Si quis multas cepas edere sibi videatur, & fortè ægrotet, conualescet. Si verò paucas, morietur. Qui enim moriuntur parum lacrymãtur. Qui verò lugent, multum itémque diu.

De Leguminibus.

CAP. 70.

LEgumina omnia mala sunt, præter pisum, propter nomen: est enim persuasionis quæ peitho Græcis appellatur, significatiuum, nauium præsertim gubernatoribus & rhetoribus: illis enim gubernacula, his iudices obedient. Faba fresa & ipsa integra faba, seditionem significant: illa propterea quòd fracta sit, hæc quòd flatum absurdum gignit. Nec solum ea gratia, sed quòd etiam ab omni festiuitate ac sacrificio exclusa sit. Lenticula luctum præsagit, & ptisana laborem, propterea quòd difficulter conteratur, & ægrè concoquatur. Milium & panicum, & zea, paupertates & egestates

significant, Solisque his qui ex turba rem & victum sibi comparant bona sunt. Alica verò & Tragus quoniam probè nutriunt, ob id etiam lucrosi sunt, quandoquidem verò cum labore fiunt, labores excellentes significant, pauperi verò morbum. Sesanum & lini semen & sinapi, solis medicis bona sunt. Reliquis acres labores inducunt, & occulta reuelant.

De Panibus. CAP. 71.

PAnes consuetos edere sibi videri, bonum est. Conuenientes autem sunt pauperi quidem panes sordidi. Diuiti autem omnino puri. Quod si vice versa videre contingat, non modò non boni sunt, sed etiam mali. puri enim pauperibus morbum. Sordidi opulentis desperationem significant, aut certè ea quæ nunc sperantur non perficiunt. Panes ordeacei omnibus boni sunt. Primùm enim cibum hunc hominibus à dijs datum esse proditur. Farinæ autem & polentæ eadem quæ panes significant, verùm minora & tardiora.

De Carnibus. CAP. 72.

CArnes quas quis edit & parat, bonæ obseruatæ sunt, paucis exceptis. Ouillæ enim omnibus absurdæ sunt, & luctum domesticũ portẽdunt. Sunt enim oues nihil aliud quam homines, ex his autem viuentibus carnes nõ fiunt. Quin & bubulæ malæ sunt, propterea quòd ægrè conteri possunt, & paruum quæstum, ob vilitatem significant. Seruis verò tormenta, propter lorum & flagrum taurinum. Eis verò qui in tempestate versantur bonæ obseruatæ sunt. Verùm aliis lucri quidem priuationem significãt, pericula autẽ dissoluunt, propterea quòd animalia tẽpestati apud Græcos cognomina & æquiuoca, sublata & occisa sunt, quãdo sanè alias nõ comederentur. Quibusdam verò propter ossa, paruũ lucrũ exhibent. Optimæ omnibus sunt carnes porcinæ, atque id verisimiliter. Porcus enim viuus nullius vtilitatis hominibus existit, mactatus verò magis aliis animalib⁹ nutrit.

σημαντικά. μόνοις δὲ τοῖς ἐξ ὄχλου περιποιουμένοις εἰσὶν ἀγαθοί. χόνδρος δὲ καὶ τράγος ἐπεὶ τρόφιμοί εἰσι, διὰ τοῦτο καὶ κερδαλέοι. ἐπεὶ δὲ μετὰ καμάτου γίνονται, πόνους ὑπερβάλλοντας σημαίνουσι· πένητι δὲ νόσον. σήσαμον δὲ καὶ λινόσπερμον καὶ σίνηπι, ἰατροῖς μόνοις εἰσὶν ἀγαθά. τοῖς δὲ λοιποῖς, δριμεῖς ἐπάγουσι πόνους, καὶ τὰ κρυπτὰ ἐλέγχουσιν.

Περὶ ἄρτων. οα΄.

Ἄρτους δὲ δοκεῖν ἐσθίειν τοὺς ἐξ ἔθους, ἀγαθόν. κατάλληλοι μὲν γὰρ πένητι, οἱ ῥυπαροί. πλουσίῳ δὲ, οἱ παντελῶς καθαροί. οἱ δὲ ἐναλλὰξ, οὔτε ἀγαθοί, καὶ προσέτι κακοί. οἱ μὲν γὰρ, νόσον τοῖς πένησιν· οἱ δὲ, ἀπονοίαν τοῖς πλουσίοις σημαίνουσιν. ἢ τά γε νῦν ἐλπιζόμενα, οὐ τελειοῦσιν. ἄρτοι κρίθινοι, πᾶσιν ἀγαθοί. πρώτην γὰρ τροφὴν ταύτην ἀνθρώποις δεδόσθαι παρὰ θεῶν λόγος ἔχει. ἄλευρα δὲ ἢ ἄλφιτα, τὰ αὐτὰ μὲν τοῖς ἄρτοις σημαίνει· ἥττονα δὲ καὶ βραδύτερα.

Περὶ κρεῶν. οβ΄.

Κρεῶν, τὰ μὲν ὅσα τις ἐσθίει καὶ ποιεῖ, ἀγαθὰ τετήρηται, πλὴν ὀλίγων. προβάτεια μὲν γὰρ, πᾶσιν ἄτοπα· καὶ πένθος οἰκεῖον σημαίνει. ἔστι δὲ τὰ πρόβατα, οὐδὲν ἄλλο ἢ ἄνθρωποι. τούτων δὲ ζώντων, οὐ γίνεται κρέα. ἤδη δὲ καὶ τὰ βόεια διὰ τὸ δύστριπτον. καὶ μικρὰς ἐργασίας διὰ τὴν εὐτέλειαν σημαίνει. δούλοις δὲ βασάνους διὰ τὸν ἱμάντα καὶ τὴν ταυρέαν. τοῖς δὲ ἐν χειμῶνι διάγουσιν, ἀγαθὰ τετήρηται. τοῖς δὲ ἄλλοις ἀκέρδειαν μέν· τὰ δὲ δεινὰ διαλύει. ὅτι χειμῶνι ὁμώνυμα ὄντα τὰ ζῶα ἀνῄρηται. ἐπεὶ οὐκ ἂν ἐβιβρώσκετο. οἷς δὲ διὰ τὸ ὀστῶδες, μικρὰς τὰς ἐργασίας παρέχει. ἄριστα δὲ πᾶσι τὰ χοίρεια. καὶ γὰρ εἰκός. ζῶν μὲν γὰρ χοῖρος, οὐδὲν εὔχρηστος ἀνθρώποις.

ἀποθανὼν δὲ, μᾶλλον ἐδώδιμος τῶν ἄλλων. τὰ δὲ ἄλλα ζῶντα, βελτίονα ἢ ἀναιρεθέντα καὶ τὸ μὲν ὀπτὰ δοκεῖν ἐσθίειν τὰ χοίρεια, παντελῶς ἀγαθόν. προσίθησι δὲ τάχος τῶν ὠφελείαις διὰ τὸ πῦρ. τὰ δὲ ἑψημένα λιτῶς, βράδιον τὰς αὐτὰς προαγορεύει ὠφελείας. τὰ δὲ κατηρτυμένα οὕτως ὑπὸ ὀψοποιῶν, μετὰ κακουχίας τὰς ὠφελείας ἢ μετὰ * προαναλωμάτων φέρει. οὐδαμῶς δὲ τὰ ὠμὰ ἐσθιόμενα κρέα ἀγαθά. προσαπολέσαι γάρ τι τῶν ὄντων σημαίνει· ἐπεὶ μὴ κρατεῖ ἡ ἡμετέρα φύσις ὠμῶν κρεῶν. τὸ δὲ μέγιστον καὶ ὑπερβολῇ ἀγαθὸν, ὡς ἐγὼ ἐτήρησα, ἀνθρωπίνας ἐσθίειν σάρκας, ἀνδρὸς οὐ γνωρίμου, οὐδὲ οἰκείου. ἐπεὶ ὅ γε τινὸς τῶν οἰκείων φαγὼν σάρκας, καὶ τὸν οὗ ἔφαγε κατορύξει, καὶ αὐτὸς δι' οὐδὲν μέγα τῶν ἐσθιομένων παραμενεῖ· εἰκός γε ὑπὸ πολλῆς ἀπορίας. ὥς γε φιλεῖ γίνεσθαι ἐν πολέμῳ καὶ λιμῷ, ἐπὶ τοιαύτας ὁρμῆσαι τροφάς. πάντων δ' ἂν εἴη σκαιότατον, τὸ παιδὸς ἰδίου σάρκας ἐσθίειν. σύντομον γὰρ ὄλεθρον μαντεύεται· εἰ μὴ ἄρα τις ἀπὸ τοιούτων ἐσθίειν νομίσοι μερῶν τοῦ παιδὸς, ἀφ' ὧν ὁ παῖς πορίζεται· οἷον εἰ δρομαίου τοὺς πόδας, ἢ χειροτέχνου τὰς χεῖρας, ἢ παλαιστοῦ τοὺς ὤμους φάγοι. τότε γὰρ τῷ μὲν παιδὶ εὐπορίαν τὸ ὄναρ τοῦτο. τῷ δὲ πατρὶ ὄνασθαι τοῦ παιδὸς προαγορεύει. τῶν δὲ ἄλλων ἀνθρώπων αἱ σάρκες ἐσθιόμεναι ἀγαθαί. τρόπον γάρ τινα οἱ ἄνθρωποι ὅταν ὠφελῶνται παρ' ἀλλήλων, ἐσθίουσιν ἀλλήλους. ἀεὶ δὲ ἄμεινον, τὸ ἀνδρῶν ἢ γυναικῶν ἐσθίειν. καὶ τὸ παίδων ἢ πρεσβυτέρων. ὀρνίθια δὲ καὶ χήνεια κρέα ἐσθίειν, πᾶσιν ἀγαθόν. φέρει δὲ τὰ μὲν ὀρνίθια, τὰς ὠφελείας ἀπὸ γυναικῶν, ἢ δικῶν. ὅτι ἐκ γυναικῶν μετέβαλον αἱ ὄρνις· ἢ ὅτι ἀγκάλλουσι. τὰ δὲ χήνεια, ἀπὸ ἀνδρῶν ἀλαζόνων. ἀγαθὸν δὲ καὶ παντὸς θηρίου σάρκας ἐσθίειν. πολλὰ γὰρ ἐκ τῶν τῶν ἐχθρῶν οὐσίας ὠφεληθῆναι σημαίνει. τὸ δὲ ποδαπῶν ἐχθρῶν, ἐπιδείξειεν ἡ τοῦ βρωθέντος ἰδέα τε καὶ μορφή. περὶ ὧν, ἐν τῷ περὶ κυνηγίου λόγῳ ἐπιμνησθήσομαι. ἀγαθὸν δὲ καὶ ἰχθύας ἐσθίειν. μάλιστα μὲν ὀπτούς. οὐδὲν ἧττον δὲ καὶ τοὺς ἄλλους γεγονότας πάντας πλὴν τῶν μικρῶν. οὗτοι γὰρ πλεῖον τὸ ἀκανθῶδες ἔχοντες, τῷ ἐδωδίμῳ, οὐδαμῶς ὠφελείας σημαίνουσιν.

Reliqua animalia meliora sunt viuentia quàm mactata. Sed suillas carnes assatas edere, omnino bonum est, accedit autem & celeritas vtilitatibus propter ignem. Quæ verò simpliciter coctæ sunt, tardius easdem vtilitates præsagiunt. Conditæ autem probè à cocis, cum molestia aut vnà cum sumptibus vtilitates ferunt. Nequaquam verò crudæ comestæ carnes bonæ sunt, perditionem enim cuiusdam ex rebus nostris significat. Nam nostra natura crudas carnes superare non potest. At verò maximum & excellenter bonum est, velut ego obseruaui, humanas carnes edere, hominis non familiaris, neque domestici. Nam qui cuiusdam domestici carnes edit, eum de quo edit defodiet, & ipse nullius magnæ rei gratia iisdem vesci sustinet, verisimileque est eum id præ magna inopia facere, quemadmodum in bello & fame fieri solet, vt ad tales cibos perueniamus. Inauspicatissimum autem omnium fuerit, proprij filij carnes edere, compēdiarium enim interitū præsagit. Nisi sanè quis se de his filij partibus edere putet, è quibus victum ac rem filius parat. velut si cursoris, pedes, aut artificis manuarij, manus, aut luctatoris, humeros comedat. Tunc enim filio quidem opulentiam, patri verò fructum & vtilitatem ex filio somnium prædicit. Si porrò aliorum hominum carnes edantur, bonum est. Cùm enim mutuò iuuantur homines, quodam modo se inuicem comedunt. Præstat autem semper virorum quàm mulierum carnem edere, & puerorum quàm seniorum. At verò auicularum & anserum carnes edere omnibus bonum est. Afferunt autem auiculæ vtilitates ex fœminis, aut litibus, propterea quòd ex fœminis sunt transmutatæ, aut quòd blandæ sint alites, anserinæ verò à viris petulantibus & superbis. Bonum est etiam omnis feræ carnes edere, multam enim ex inimicorum substantia & opibus vtilitatem significat. qualium autem inimicorum, ostenderit ipsa comesi species ac forma, de quibus in sermone de venatione mētionem faciam. Bonum est & pisces edere, maximè assatos, neq; minus alios legitimè pręparatos omnes, exceptis paruis: hi enim multum spinarum habentes, esu suo nequaquam vtilitates significant,

verùm inimicitias aduersus familiarissimos, & spes vanas. Ceterùm particulatim de piscibus in sermone de piscatura exactè explicabo.

De Salsamentis, & salsis carnibus. CAP. 73.

SAlsamenta, & omnes carnes, itémque pisces salsi, in propositis quidem moras ac dilationes significant. Sale enim diutius hæ carnes adseruantur. In aliis verò tabem ac tristitiam, sæpe verò etiam morbum significant, propterea quòd à sale tales colliquefactæ sunt, & aliquo modo consumptæ.

De Placentis. CAP. 74.

PLacentæ quibus caseus non est admixtus, bonę sunt. Quæ verò caseum receperunt, dolum & insidias significāt, hæc enim & ipse caseus portendit. Placētæ autem coptæ dictæ, tum ex sesamo, tū ex tritico coactæ, sesamides & pyrami Græcis appellatæ, omnibus bonæ sunt, maximè his qui litem habent. Erat enim apud veteres pyramos victorialis. In reliquis placentis quæ in festiuitatibus ac sacrificiis confici solent, iudicationes ex ratione festorum faciēdæ sunt. Cæterùm de capparibus, & oliuis, & omnibus oleribus reposititiis, item de intritis quæ hypotrimata Græcis appellantur, déque omnibus consimilibus, vltrò hic dicere præteriui, vt de quibus constet, quòd bona non existant.

De Fructibus. CAP. 75.

MAla verna dulcia & matura, & videre & comedere bonum est. Multam enim venerem & iucunditatem significant, his præsertim qui de vxore aut amica curiosi sunt. Hæc enim in veneris tutela existūt. Acida autem mala seditiones & contentiones significāt. Sunt enim liti dicata. Hyemalia verò cydonia appellata, tristitiam inducūt, ob adstringendi facultatem. Amygdalæ, & nuces,

ἔχθρας δὲ πρὸς τοὺς οἰκειοτάτους καὶ ματαίας ἐλπίδας. τὸ δὲ κατὰ μέρος περὶ ἰχθύων, ἐν τῷ περὶ ἁλιείας ἀκριβώσω λόγῳ.

Περὶ ταρίχων καὶ ἁλιστῶν κρεῶν. ογ'.

ΤΆριχοι δὲ καὶ πάντα τὰ ἁλιστὰ κρέα καὶ ἰχθύες, ἐν μὲν τοῖς προκειμένοις, παρολκὰς καὶ ἀναβολὰς σημαίνουσι. διὰ γὰρ τῶν ἁλῶν ἐπιπολὺ τηρεῖται. ἐν δὲ τοῖς ἄλλοις, τηκεδόνα καὶ λύπην. πολλάκις δὲ καὶ νόσον σημαίνει, διὰ τὸ ὑπὸ τῶν ἁλῶν τετῆχθαι.

Περὶ πλακούντων. οδ'.

ΠΛακοῦντες οἱ μὴ τετυρωμένοι, ἀγαθοί. οἱ δὲ τετυρωμένοι, δόλον καὶ ἐνέδραν σημαίνουσι. ταῦτα γὰρ καὶ ὁ τυρὸς προαγορεύει. κοπταὶ δὲ σησαμίδες καὶ πυραμοὶ, ἀγαθαὶ πᾶσι. μάλιστα δὲ τοῖς δίκην ἔχουσιν. ἦν γὰρ ὁ πυραμὸς παρὰ τοῖς παλαιοῖς ἐπινίκιος. ἐπὶ δὲ τῶν ἄλλων πεμμάτων τῶν ἐν ἑορταῖς καὶ θυσίαις γινομένων, τὰς κρίσεις ἀπὸ τοῦ λόγου τῶν ἑορτῶν ποιητέον. περὶ δὲ καππάρεων ἢ ἐλαιῶν καὶ λαχάνων ἀποθέτων πάντων, καὶ ὑποτριμμάτων καὶ πάντων τῶν ὁμοίων, ἑκὼν παρέλιπον, ὡς φανερῶν, ὅτι μὴ ἐστὶν ἀγαθά.

Περὶ ὀπώρας. οε'.

ΜΗλα μὲν ἐαρινὰ γλυκέα καὶ πεπανὰ, καὶ ἰδεῖν καὶ φαγεῖν ἐστὶν ἀγαθόν. πολλὴν γὰρ ἐπαφροδισίαν σημαίνει· μάλιστα τοῖς περὶ γυναικὸς ἢ ἐρωμένης φροντίζουσι. ταῦτα γὰρ ἀνάκειται τῇ Ἀφροδίτῃ. τὰ δὲ ὀξέα μῆλα, στάσεις καὶ φιλονεικίας σημαίνει. ἔστι γὰρ ἔριδος. τὰ δὲ χειμερινὰ κυδώνια καλούμενα, λυπηρὰ διὰ τὸ στύφον. ἀμυγδάλαι δὲ καὶ κάρυα

καὶ τὰ λεγόμενα λεπτοκάρυα, καὶ ὅσα πατάσσεται, ταραχὰς διὰ τὸν ψόφον σημαίνει. καὶ λύπας διὰ τὸ εἶναι πικρὰ φύσει. οἶδα δέ τινα ἄνδρα τῶν εὐπαρύφων ἐν Ἑλλάδι, ὃς ἔδοξε παρά τινος ὄναρ λαμβάνειν κάρυον. καὶ διυπνίσας, ἐν τῇ χειρὶ ἔτυχε κρατῶν τὸ κάρυον, ὃ εἶδε κατ᾽ ὄναρ· συνέβη αὐτῷ πολλὰ μὲν καὶ ἄλλα κακά. τέλος δέ, ἄτιμον γενέσθαι. ἀλλὰ τούτῳ διὰ τὸ ἐναγές, ὡς τέρας τὸ τοιοῦτο, εἰς μεγάλα ἀπέβη. σῦκα κατὰ μὲν τὴν ὥραν τὴν ἰδίαν, ἀγαθά. καὶ τούτων τὰ λευκὰ ἡδίονα τῶν μελάνων. παρὰ δὲ τὸν καιρὸν φαινόμενα, συκοφαντίας καὶ ἐπηρείας προαγορεύει. συκάζειν γὰρ καὶ τὸ ἐπηρεάζειν ἔλεγον οἱ παλαιοί. μόνοις δὲ τοῖς ὑπαιθρίοις ἐργαζομένοις, τὰ μὲν λευκά, εὐδίαν. τὰ δὲ μέλανα, χειμῶνα καὶ ὄμβρον σημαίνει. ἐπεὶ τοῖς γε ἄλλοις οὐδὲν ἂν μαντεύοιτο τῇ ψυχῇ, ἢ τὸ τοῦ ἀέρος, ὅπως ἕξει καταστήματος. σταφυλὴ δὲ καὶ παρὰ τὸν καιρόν, ἀγαθή. καὶ κατὰ τὴν ὥραν. ὡς δὲ ἐπὶ τὸ πλεῖστον, τὰς διὰ γυναικῶν ἢ ἀπὸ γυναικῶν ὠφελείας σημαίνει. φανερὰς μέν, ἡ λευκή· λαθραίας δὲ ἡ μέλαινα. ῥοαὶ δὲ τραυμάτων εἰσὶ σημαντικαὶ· διὰ τὸ χρῶμα, καὶ βασάνων διὰ τὰς ἀκάνθας. καὶ δουλείας καὶ ὑποταγῆς, διὰ τὸν ἐν Ἐλευσῖνι λόγον. περσικὰ δὲ καὶ * βρόκκια, καὶ κεράσια, καὶ πάντα τὰ ὅμοια πλὴν συκαμίνων, προσκαίρους ἡδονὰς καὶ ἀπάτας σημαίνει. παρὰ δὲ τὸν καιρόν, ματαιοπονίας. συκάμινα δέ, τὰ αὐτὰ ταῖς ῥοαῖς σημαίνει. ὁ δὲ καρπός, ἐπεὶ τὸ δένδρον τὴν γενεὰν τοῦ ἰδόντος σημαίνει. ὅθεν εὐθαλὲς μὲν ὄν, ἀγαθόν τι ἐσόμενον προαγορεύει. πρόρριζον δὲ ἀνατρεπόμενον, τὴν γενεὰν τοῦ ἰδόντος διαφθείρει. ἄπιοι δὲ οἱ μὲν ἥμεροι, ἀγαθοί. τούτων γὰρ ὁ καρπὸς καὶ ἀποθησαυρισθείς, ἄσηπτος μένει· καὶ παραυτίκα ἐσθιόμενος, πρὸς τῷ τροφίμῳ, καὶ τὸ οἰνῶδες ἔχει. οἶδα δὲ ἐξ αὐτῶν παρά τισι καὶ ποτὸν σκευαζόμενον. ἀχράδες καὶ ὄχναι γεωργοῖς μόνοις συμφέρουσι. τοῖς δὲ ἄλλοις εἰσὶν ἀηδεῖς. Περὶ δὲ ταώνων καὶ ἀλεκτρυόνων, ἐν τῷ περὶ ζώων

& auellanæ, tenues siue paruæ nuces Græcis dictæ, & quæcunque confringũtur, turbationes ob strepitum significant, & tristitias, propterea quòd ex natura amara existant. Noui autem quendam præminentis loci ac sumptuosi vestitus virum in Græcia, qui sibi visus est per somniũ ab aliquo nucem accipere, & vbi iam expergefactus esset, contigit vt nucem manu teneret, quam per somnium viderat, huic euenerũt multa quidem alia mala, ad finem verò infamis ac ignominiosus factus est, verùm huic ob scelera & impietatem, huiusmodi somnium, velut monstrum, in tam magnos euentus euasit. Ficus circa proprium tempus bonæ sunt, & ex his albæ nigris iucũdiores. Verùm extra tempus oportunum apparentes, calumnias & detractiones prædicunt. συκάζειν enim quasi dicas ficare, veteres Græci calumniari dicebant. Solis vero his qui sub dio operantur, albæ serenitatem, nigrę tempestatem & hymbrẽ significant, quandoquidem per has aliud nihil denuntiatur animæ, quàm qualis constitutio aëris sit futura. Vua autem & extra tempus oportunum bona est, & tempore proprio conspecta. Vt plurimũ verò vtilitates per mulieres, aut ex mulieribus significat, apertas quidem alba, occultas verò nigra. Mala punica vulnerum sunt significatiua, propter colorem, & tormentorum, propter spinas, & seruitutis & subiectionis, propter sermonem qui fertur Eleusine. Persica, & præcocia, & cerasa, omniáque similia, exceptis moris, temporaria voluptates & deceptiones significãt: Extra tempus oportunum, vanos labores. Mora autem eadem quæ mala punica portendunt, de fructu sanè loquor. Nam arbor progeniem eius qui somnium vidit significat. Vnde si florida existat, bonum quid futurum prædicit, si verò radicitus euertatur, progeniẽ eiusdem pessundat. Pira satiua bona sunt, horum enim fructus etiam reconditus & adseruatus, integer & non putrescens permanet, & si etiam statim edatur supra alimentum etiam vinosum quiddam habet. Scióque ex ipsis aliquas gẽtes etiam potum præparare. Pyra syluestria & pirastra solis agricolis conferunt, aliis iniucunda existunt. Porrò de pauonibus & gallis, in sermone de animalibus

dicemus. Oportet autem exépla eorum de quibus dictum est, sic proposita habere, vt ex ipsis de eis quæ non sunt scripta coniecturam faciamus, ratione iuxta similitudinem translata.

De Vasis, ac reliqua supellectile. CAP. 76.

QVandoquidem ad sermonem de cibo & alimento, sequitur sermo de vasis domesticis ac reliqua supellectile, iustum arbitror & de his dicere. Habet autem hoc modo. Pocula quidem quemadmodum antea dictum est, vitam significant. Patinæ verò & paropsides ipsum vitæ actum ductum, qualis sanè focus est significant. Accipere autem eiusmodi oportet à sumptuositate, aut ab eo, quod maiora facta sunt ex minoribus, aut minora ex maioribus, aut ex integris fracta, aut ex fractis integra. Ita vt permutationem in melius, bonam iudicemus, in peius verò contrariam & malam. Eadem ratio & in aliis vasis seruetur. Candelabrum vxorem significat. Lucerna domus principem, & spiritum eius qui somnium vidit. Aut quòd ea quæ intus sunt inspiciat, aut propter facilem extinctionem. Significat etiam amorem, propter splendorem. Tripes & focus vitam significant, & totam constitutionem, & vxorem. Quicquid igitur patietur tripes, & focus, ad illa damnum referendum est. Mensa autem à tripode nihil differt, sicut neque aliud quodcunque vas, in quo quis cœnat. Puluinus & lectus, omniaque ad cubile pertinentia, vxorem eius qui somnium vidit significant & totam vitam, Idem etiam grabatum & scabellum significat. horum autem pedes famulos designant. Clauiculorum verò externa pars propriè vxorem. Interna virum significat, pars ad caput liberos masculos, pars ad pedes, fœmellas. Eodem modo cum clauiculis & parietes lectorum distinguantur. Sextarij, seruos. Amphoræ, ministros, fulcra mensæ, Trapezophori Græcis dicti, œconomos ac villicos. Vasa frumentaria, custodes penus in domo significant. Similiter etiam ipsum promptuariũ. Ancones & cubiti siue angulorũ flexus, omniáque quæ applicãtur,

ἐρουμένῳ λόγῳ. δεῖ δὲ τὰ παραδείγματα ἔχοντας ἀπὸ τῶν εἰρημένων, περὶ τῶν ἀγράφων τεκμαίρεσθαι κατὰ τὸ ὅμοιον μετάγοντας τὸν λόγον.

Περὶ σκευῶν. ος.

ΕΠεὶ δὲ τῷ περὶ τροφῆς λόγῳ ἕπεται ὁ περὶ σκευῶν τῶν κατ' οἶκον, δίκαιον εἰπεῖν ἡγοῦμαι καὶ περὶ τούτων. ἔχει δὲ ὧδε. ποτήρια μὲν καθὼς ἔμπροσθεν εἴρηται, σημαίνει τὸν βίον· πίνακες δὲ καὶ παροψίδες, αὐτὴν τὴν τοῦ βίου διαγωγήν. οἷα τις ἐστὶν ἡ ἑστία σημαίνει. λαμβάνειν δὲ χρὴ τὸ τοιοῦτον, ἀπὸ τῆς πολυτελείας, ἢ ἀπὸ τοῦ μείζονα γενέσθαι ἐκ μικροτέρων ἢ μικρότερα ἐκ μειζόνων, ἢ ἐξ ὑγιῶν, οὐχ ὁλόκληρα· ἢ ἐκ κατεαγότων, ὑγιᾶ. τὴν μὲν ἐπὶ τὸ κρεῖττον μεταβολὴν, πρὸς ἀγαθοῦ τιθεμένους· τὴν δὲ ἐπὶ τὸ χεῖρον, πρὸς αὐτοῖς. ὁ δ' αὐτὸς καὶ περὶ τῶν ἄλλων σκευῶν ἔστω λόγος. Λυχνία, γυναῖκα σημαίνει. λύχνος δὲ, τὸν τῆς οἰκίας ἄρχοντα. καὶ τὸ πνεῦμα τοῦ ἰδόντος, ἢ διὰ τὸ ἐπιβλέπειν τὰ ἔνδον, ἢ διὰ τὸ εὐαπόσβεστον· καὶ ἔρωτα διὰ τὸ ἀναλάμπειν. τρίπους δὲ καὶ ἑστία, τὸν βίον. καὶ ὅλην κατάστασιν. καὶ τὴν γυναῖκα τοῦ ἰδόντος. ὅ,τι οὖν πάθῃ ὁ τρίπους ἢ ἑστία, εἰς ταῦτα τὴν βλάβην ἀνακτέον. τράπεζα δὲ τρίποδος οὐδὲν διαφέρει. οὐδὲ ἄλλο τι σκεῦος, ᾧ τις ἐπιδειπνεῖ. τύλη καὶ κλίνη καὶ πάντα τὰ πρὸς κοίτην, τὴν γυναῖκα τοῦ ἰδόντος σημαίνει· καὶ τὸν ὅλον βίον. τὸ δ' αὐτὸ καὶ σκίμπους. τούτων δὲ οἱ μὲν πόδες, οἰκέτας σημαίνουσι. τῶν δὲ ἐνηλάτων τὸ μὲν ἔξω, ἰδίως τὴν γυναῖκα· τὸ δὲ ἔσω, τὸν ἄνδρα. τὸ δὲ πρὸς τῇ κεφαλῇ, τέκνα ἀρσενικά. τὸ δὲ πρὸς τοῖς ποσὶ, θηλυκὰ τέκνα. κατὰ ταὐτὰ δὲ τοῖς ἐνηλάτοις, καὶ οἱ τοῖχοι τῶν κλινῶν διαλαμβανέσθωσαν. ξέσται, θεράποντας. ἀμφορεῖς, τοὺς ὑπηρέτας· τραπεζοφόροι, τοὺς οἰκονόμους. τὰ δὲ σιτοδόχα σκεύη, τοὺς κατὰ τὸν οἶκον ταμίας σημαίνει. ὅμοιον δὲ καὶ τὸ ταμεῖον. ἀγκῶνες δὲ καὶ πάντα τὰ προσαπτόμενα

τὸ κόσμιον τοῦ βίου σημαίνουσι. κίσται δὲ πυργίσκοι, καὶ θησαυροφυλάκια, τὴν γυναῖκα τοῦ ἰδόντος· διὰ τὸ τιμιώτατον πιστεύεσθαι. στρωματόδεσμοι καὶ ἐνειλήματα, παλακίδας ἢ ἀπελευθέρας. περὶ δὲ τῶν ἄλλων σκευῶν, μακρὸν ἂν εἴη λέγειν· καὶ ταῦτα ἀπαιτοῦμεν παρὰ τῶν ἐντυγχανόντων τοῖς βιβλίοις, τὸ μὴ ἀβασανίστως ἀναγνόντας, καὶ παρ' αὐτῶν τι προσφιλοτεχνεῖν.

ornatum vitæ significant. Cistæ & turriculæ & thesaurariæ, vxorem eius qui somniauit designant, propterea quòd res pretiosissimæ eis concredantur. Stragulorum fasciculi & inuolucra, pellices aut libertas significant. At verò de aliis vasculis ac supellectile longum esset dicere. Quare petimus ab his quibus libri hi obuenient, vt non citra experimentum legant, & ex seipsis aliquid studiosè affingere conentur.

Περὶ μύρων. οζ'.

De Vnguentis. CAP. 77.

Μυρίζεσθαι, γυναιξὶ πάσαις ἀγαθὸν πλὴν μοιχευομένων. ἀνδράσι δὲ, πρὸς αἰσχύνης ἔσται, πλὴν τῶν ἔθος ἐχόντων μυρίζεσθαι.

Vnguentis illini, mulieribus omnibus bonum est, præterquam adulteris. Viris verò pudefactionem portendit, exceptis his quibus consuetudo est vnguento delibutis esse.

Περὶ ὀρχήσεως, καὶ πυρρίχης, καὶ ᾀσμάτων. οη'.

De Saltatione, & Pyrricha, & Cantilenis. CAP. 78.

Ὀρχεῖσθαι δοκεῖν ἔνδον παρ' ἑαυτῷ, τῶν οἰκείων παρατυγχανόντων μόνων καὶ μηδενὸς ἀλλοτρίου παρόντος καὶ θεωμένου, ἀγαθὸν ἐπίσης πᾶσιν. ἀλλὰ καὶ τὸ γυναῖκα τὴν ἑαυτοῦ καὶ παιδία καὶ τῶν συγγενῶν ἰδεῖν τινὰ ὀρχούμενον, ἀγαθόν. εὐφροσύνην γὰρ πολλὴν καὶ δαψίλειαν βίου δηλοῖ. ἐπεὶ οἱ ἄνθρωποι οὐ πρότερον ὀρχοῦνται, εἰ μὴ ὥσπερ δεσπότῃ ἀποτόμῳ καὶ ὠμῷ, τῇ ἀρχῇ* τὴν ἀποφορὰν ἀποδῶσι· τότε δὲ, ὀρχοῦνται, καὶ ἁπλοῦσι τὰ σώματα. ἀσθενοῦντι δὲ ἀνθρώπῳ, καὶ ἀνδρὶ, καὶ γυναικὶ, πονηρόν. διὰ γὰρ τὴν πολλὴν κίνησιν τῆς ὀρχήσεως, παραφρονῆσαι καὶ παρακόψαι δηλοῖ. πονηρὸν δὲ καὶ τῷ νοσοῦντά τινα ἔχοντι. τὰ γὰρ αὐτὰ τῷ κοπουμένῳ καὶ ὁ ὀρχούμενος πάσχει τε καὶ δρᾷ. ἀλλοτρίων δὲ τινῶν παρόντων ἀνθρώπων πολλῶν ἢ ὀλίγων δοκεῖν ὀρχεῖσθαι, ἢ τινὰ τῶν ἰδίων ὀρχούμενον ἰδεῖν, οὐδενὶ ἀγαθὸν, οὔτε ἐρρωμένῳ, οὔτε νοσοῦντι. τῷ μὲν γὰρ, τὶς ἔνδον ἐν τῷ οἴκῳ τεθνήξεται. ὁ δὲ ὀρχησάμενος, ἀσχημονήσει μεγάλως. παιδίον δὲ ἰδεῖν ὀρχούμενον, κωφὸν ἅμα καὶ ἄλαλον

Saltare sibi videri intus apud seipsum, domesticis solis præsentibus, nullo externo adsistente & spectante, omnibus ex æquo bonum est. Sed & vxorem suã, & filios, & aliquem ex cognatis videre saltantem, bonum est. Lætitiam enim multam & rerum abundantiam significat. Cùm non saltent prius homines, quàm principi parti, velut domino seuero ac crudeli, pensionem persoluerint. Tunc autem saltant, & corpora expandunt. At verò ægrotanti homini, tum viro, tum mulieri, malum est. Propter multam enim motionem saltationis, desipientiam & delirium significat. Malum est & ei qui ægrotum aliquem habet. Eadem enim quæ anxius solet, & patitur & facit is qui saltat. Cæterùm peregrinis & alienis hominibus præsentibus, multis siue paucis, saltare sibi videri, aut quendam ex propriis saltantem videre, nemini bonum est, neque sano, neque ægroto. alter enim quispiam intra domum morietur. alter in saltando magnopere turpiter se geret. Puerulum autem saltantem videre, surdum simul ac mutum puerulum

puerulū fore significat, quo videlicet nutibus indicet quę significare velit. In theatro sibi videri saltare, cōpositum ad hoc, & alio apparatu instructum, probariq́; ac laudari, pauperi quidem opulentiā significat, sed non vsque ad senectam. Regias enim personas exprimit ac imitatur, & multos ministros habet saltator. Verùm post actum & finitum drama, solus relinquitur. Diuiti viro turbas quasdam, aut lites plurimas prædicit, propter varias dramatum implicationes. Mulieri autem neque diuiti neque pauperi, bonum hoc somnium obseruatum est. Magnas enim & famosas turpitudines cōmittent. Quomodocunque autem saltauerit seruus, & quocunque loco, multas plagas accipiet, & nauigans aut naufragium faciet, aut etiam solus elapsus natabit. atque ille quidem vapulans, hic verò natans, toto corpore mouebitur. Atqui viro captiuo bonum est saltare, liberabitur enim propter motus facilitatem & corporis laxitatem. Si verò quis in alto aliquo loco saltet, in timorē, & terriculamenta incidet. Quòd si is malefactor sit, crucifigetur, propter altitudinem, & manuum extensionem. Pyrricha saltatio eadē quæ saltatio aliâs significat. Trocho ludere, aut gladiis circumuolui, aut in caput deuolui, manibus ac pedibus adductis, his qui hæc in consuetudine habent non malū est. Reliquis ad extremum periculū progressum præsagit. Idē adhuc magis hoc ludos exercentem videre denuntiat. Mimologi qui hominū sermones ac mores ridiculè exprimere conantur, omnésque qui risum hominum captāt, deceptiones & insidias significant. Verùm idē facere, risum concitare, homines ridiculè imitari, personā agere, decipere aliquos significat. Cantilenas sibi videri canere, atque id bene & concinnè, tum cantoribus, tum musicis, omnibúsque aliis bonū est. Verum malè & non consonanter canere, improsperi rerum ac actionum successus ac paupertatis signum est. Quando verò cantilenas ipsas quis memoria tenuerit, ab ipsis cātilenis iudicationem facere oportet. Canere in via bonum est, præsertim si quis iugū sequatur. Verum in balneo canere, bonum non est. Illud enim decenter & hilariter vitam trāsacturum esse significat. Hoc verò, non clara voce vsurū esse:

τὸ παιδίον γενέσθαι δηλοῖ· ἵνα διανεύσῃ ὅσα βούλεται σημαίνειν. ἐν θεάτρῳ δὲ δοκεῖν ὀρχεῖσθαι, ἀναπεπλασμένον καὶ τὴν ἄλλην ἔχοντα σκευὴν, εὐδοκιμεῖν τε καὶ ἐπαινεῖσθαι, πένητι μὲν πλουτῆσαι σημαίνει· ἀλλ' οὐ μέχρι γήρως. βασιλικὰ μὲν πρόσωπα μιμεῖται· καὶ πολλοὺς ὑπηρέτας ἔχει ὁ ὀρχηστής· ἀλλὰ μετὰ τὸ δρᾶμα μόνος καταλείπεται. πλουσίῳ δὲ, ταραχάς τινας ἢ δίκας πλείστας προαγορεύει. διὰ τὰς ποικίλας τῶν δραμάτων πλοκάς. γυναικὶ δὲ οὐ πλουσίᾳ οὔτε πένητι ἀγαθὸν τοῦτο τετήρηται. μεγάλας γὰρ καὶ περιβοήτους ἀσχημοσύνας ποιοῦνται. ὅπως δ' ἂν ὀρχήσηται δοῦλος καὶ ὅπου ἂν, πολλὰς λήψεται πληγάς. καὶ ὁ πλέων, ἤτοι ναυαγήσει. ἢ καὶ μόνος ἐκπεσὼν κολυμβήσει, ὁ μὲν γὰρ, παιόμενος. ὁ δὲ νηχόμενος, κινηθήσεται δι' ὅλων τῶν σωμάτων. ἀγαθὸν δὲ ἀνδρὶ δεδεμένῳ τὸ ὀρχεῖσθαι· λυθήσεται γὰρ διὰ τὸ εὐκίνητον καὶ εὔλυτον τοῦ σώματος. εἰ δέ τις ὑψηλὸς ἐπί τινος ὀρχοῖτο, εἰς φόβον καὶ δέος πεσεῖται. κακοῦργος δὲ ὤν, σταυρωθήσεται διὰ τὸ ὕψος καὶ τὴν τῶν χειρῶν ἔκτασιν. τὸ δὲ πυρριχίζειν, τὸ αὐτὸ τῷ ὀρχεῖσθαι σημαίνει· τροχοπεκτεῖν δὲ, ἢ μαχαίρας περιδινεῖσθαι, ἢ ἐκκυβιστᾶν, τοῖς μὲν ἔθος ἔχουσιν, οὐ πονηρόν· τοῖς δὲ λοιποῖς, εἰς ἔσχατον ἐλάσαι κίνδυνον προσημαίνει. τὸ δ' αὐτὸ καὶ μᾶλλον παίζοντα ἰδεῖν προαγορεύει. μιμολόγοι δὲ καὶ ἅπασι τοῖς γελωτοποιοῖς, ἀπάτας καὶ ἐνέδρας σημαίνουσι. τὸ αὐτὸ ποιεῖν, γελωτοποιεῖν, μιμολογεῖν, ὑποκρίνεσθαι, ἐξαπατῆσαί τινας σημαίνει. ᾄσματα δὲ δοκεῖν ᾄδειν καλῶς καὶ εὐφώνως, καὶ τοῖς ᾠδικοῖς καὶ μουσικοῖς καὶ τοῖς ἄλλοις πᾶσιν ἀγαθόν. τὸ δὲ πονηρῶς καὶ ἀφώνως ᾄδειν, ἀπραξιῶν ἐστὶ καὶ πενίας σύμβολον. ὁπόταν δὲ τῶν ᾀσμάτων μεμνημένος ᾖ τις, ἀπ' αὐτῶν τῶν ᾀσμάτων χρὴ ποιεῖσθαι τὴν κρίσιν. ᾄδειν ἐν ὁδῷ, ἀγαθὸν μάλιστα, ἑπόμενον ὑποζυγίᾳ. ᾄδειν δὲ ἐν βαλανείῳ, οὐκ ἀγαθόν. τὸ μὲν γὰρ, εὐπρεπῶς καὶ εὐθύμως τὸν βίον διεξάγειν σημαίνει. τὸ δὲ, μὴ σαφεῖ χρήσασθαι τῇ φωνῇ·

πολλοὶ δὲ καὶ εἰς δεσμὰ κατεκρίθησαν. τὸ δὲ ἐν ἀγορᾷ ἢ πλατείαις ᾀσματολογεῖν, πλουσίοις μὲν, ἀσχημοσύνας καὶ καταγέλωτας σημαίνει. πένητι δὲ, μανίαν.

Περὶ στεφάνων παντοδαπῶν. οθ'.

Στέφανον ἀναδεδέσθαι πεποιημένον ἐξ ἀνθέων, τὸ μὲν καθόλου καὶ κοινὸν τὸν κατὰ τὴν ὥραν, ἀγαθόν. τὸν δὲ παρὰ τὴν ὥραν, πονηρόν. ἐπειδὴ δὲ ἀναγκαῖον ὑπὲρ σαφηνείας περὶ ἑκάστου εἰπεῖν, ἐντεῦθεν ἄρξομαι. στέφανοι ναρκίσσου πεποιημένοι, πᾶσι κακοί. κἂν κατὰ τὴν ὥραν βλέπωνται. μάλιστα δὲ διὰ τὴν ἱστορίαν. μάλιστα τοῖς ἐξ ὕδατος ἢ δι' ὕδατος τὸν πορισμὸν ποιουμένοις, καὶ τοῖς μέλλουσι πλεῖν. οἱ δὲ ἐκ τῶν ἴων γεγονότες, κατὰ μὲν τὴν ὥραν, ἀγαθοί. παρὰ δὲ τὴν ὥραν, μοχθηροί. καὶ τούτων οἱ μὲν ἐκ τῶν λευκῶν ἴων, φανερὰ τὰ δυσχερῆ τε καὶ ἐπίσημα, σημαίνουσιν. οἱ δὲ ἐκ τῶν κροκίνων, ἀσημότερα· οἱ δὲ ἐκ τῶν πορφυρῶν, καὶ θάνατον σημαίνουσιν. ἔχει γὰρ τινὰ τὸ πορφυροῦν χρῶμα συμπάθειαν καὶ πρὸς τὸν θάνατον. οἱ δὲ ἐκ τῶν ῥόδων, παρὰ μὲν τὸν καιρὸν, πᾶσιν ἀγαθοί. πλὴν τῶν νοσούντων, καὶ τῶν λανθάνειν πειρωμένων. οὓς μὲν γὰρ ἀναιροῦσι, διὰ τὸ εὐμάραντον· οὓς δὲ ἐλέγχουσι διὰ τὴν ὀσμήν. ὅπου γε καὶ χειμῶνος ἔστι ῥόδοις χρήσασθαι, ἐνταῦθα πάντοτε ὡς περὶ ἀγαθῶν χρὴ ποιεῖσθαι τὸν λόγον. οἱ δὲ τοῦ ἀμαράντου, πᾶσιν ἀγαθοί. καὶ μάλιστα δικαζομένοις· ἐπεὶ μέχρι παντὸς* ἀμάραντοι διὰ τὸ ὄνομα καὶ τὸ χρῶμα φυλάττει. νοσοῦσι δὲ οὗτοι κακοί. ἢ γὰρ ἱεροῖς, ἢ θεοῖς ἀνατίθενται· σπάνιον δὲ ἀνθρώποις. οἱ δὲ ἐκ τῶν κρίνων γεγονότες, εἰς ἐλπίδας ἀναβάλλονται πράγματα. σισυμβρίου δὲ καὶ ἀμαράκου, καὶ λαπάθου, φρυγίου, καὶ ἑλενίου, καὶ ἀνεμώνης, καὶ σαμψύχου στεφάνοις ἀναδεῖσθαι, πᾶσι πονηρόν. ὡς γὰρ ἐπὶ τὸ πολὺ νόσον σημαίνουσι. τὸ δὲ τῆς μαλάχης ἄνθος καὶ τῆς ῥοδοδάφνης, κηπουροῖς καὶ γεωργοῖς μόνον ἀγαθόν. τοῖς δὲ

multi verò etiam in vincula ex hoc somnio damnati sunt. At verò in foro aut plateis cātiones modulari, diuitibus quidem turpitudinem & derisiones præsagit. Pauperi vero insaniam.

De Coronis omnis generis.

CAP. 79.

Corona cinctum esse ex floribus facta, in vniuersum quidem & summatim si tempestiui sunt flores, bonum est. Si intempestiui, malum. Quando verò maioris claritatis gratia necessarium est de singulis dicere, hinc initium sumam. Coronæ ex narcisso factæ, omnibus malæ sunt, etiam si tempestiuè videantur, atque hoc maximè propter historiam, quæ de Narcisso fertur, præsertim his qui ex aqua, aut per aquam victum sibi parant, & nauigaturis. Quæ verò ex violis factæ sunt, iuxta opportunum tempus bonæ sunt, præter tempus verò malæ. Et ex his sanè quæ albis violis constant, manifestas & insignes incommoditates significant, quæ ex croceis, minus insignes, quæ ex purpureis, etiam mortem portendunt. Habet enim purpureus color consensum quendam ad mortem. Coronæ ex rosis iuxta tempus opportunum, omnibus bonæ sunt: exceptis ægrotis, & his qui latere conantur. Illos enim occidunt, propterea quòd facilè marcescunt. hos verò manifestant, propter odorem. Vbi verò etiam hyeme rosis vti datur, ibi semper vt de bonis iudicare oportet. Quæ ex Amaranto factæ sunt, omnibus bonæ existunt, & maximè lites agentibus, quoniam immarcescibilem penitus propter nomen suum, colorem seruant. Ægrotantibus autem hæ ipsæ malæ sunt. Nam aut tēplis aut diis dicatæ suspenduntur, hominibus verò rarò. Coronæ ex liliis concinnatæ res in spes differunt ac prolatant. Ex Sisymbrio autem & amaraco, & rumice, & Phrygio, & Helenio, & Fremio, & Samsucho, coronas circundatas habere, omnibus malum est. Vt plurimum enim morbum significant. At verò Maluæ flos, itē q; rhododaphnes, hortulanis & agricolis solis bonus est. Reli-

quis labores & peregrinationes significat. Eadem significatio & thymi, & epithymi, & meliloti est, exceptis medicis, quibus bona existunt. Apij corona ægrotos occidit, & ferè eos qui aqua inter cutem laborant, propter frigiditatem & humiditatem, & quod certamini sepulcrali hæc corona dicata sit. Athletis autem bona est, reliquis absurda. Palmæ & oleæ coronæ, mulierum liberarũ nuptias conciliant, propter nexum. liberos etiam præsagiunt diuturnos & longæuos, propter perpetuam floriditatem: & filium quidem palma, filiam verò olea. Conferunt etiam principatum appetentibus & athletis, & pauperibus hos enim opulẽtos, illos verò confidentes, & intrepidos faciunt. Seruos etiam liberant. propriæ enim liberorum sunt coronæ, & præsertim cùm à certamine ipsas accepisse sibi videntur. Occulta autem reuelant, propter coronarum celebritatem. Eadem significatio coronæ querneæ existit, itémque laureæ. Myrtea verò eadẽ quæ oleacea significat. Verùm agricolis magis commodat, propter Cererem, & mulieribus, propter Venerem. Est autem communis vtrique deæ hæc planta. Coronæ cereæ omnibus malæ sunt, maximè verò ægris. Quoniam & mortem poëtæ κῆρα vocant. Quæ verò ex lanis factæ sunt, propter varietatem, venena ac vincula significant. Ex sale autem aut sulphure aggrauationem ex aliquibus super eminẽtibus significant. Sunt enim natura graues, & nihil iucundi habentes. Coronam auream habere sibi videri, malum est seruo, nisi etiam simul ea quæ ad coronam pertinent habeat, purpuram dico & comitatum. Malum est & pauperi, propter ea quòd est præter dignitatem. Proinde ille quidem torquebitur, verisimile est autem & hunc tormenta subiturum esse. Ægrotãti verò compendiariam mortem præsagit. Pallidum enim est aurum, & graue, & frigidum, & propterea morti simile existit. Reuelat etiam occulta, penitus enim conspicuum esse oportet eum qui coronam auream gestat. Cæterùm opulentis, & tribunis plebis, & his qui principatum assequi meditantur, hanc coronam commodam esse obseruaui per somnium oblatam. Corona vitis & hederæ, solis Dionysiacis artificibus cõfert.

ἄλλοις, μόχθους καὶ ἀποδημίας σημαίνει. κατὰ τὰ αὐτὰ δὲ τούτοις καὶ τὸ θύμον καὶ τὸ ἐπίθυμον καὶ τὸ μελίλωτον σημαίνει· πλὴν ἰατρῶν, τούτοις γὰρ ἔνεσιν ἀγαθά. σελίνων δὲ στέφανος, νοσοῦντας τε ἀναιρεῖ, καὶ ὡς τὸ πολὺ ὑδρωπιάσαντας* διὰ τὸ ψυχρὸν καὶ κάθυγρον· καὶ ὅτι ἐπιταφίῳ ἀγῶνι ἐπιτήδειός ἐστιν ὁ στέφανος οὗτος. ἀθληταῖς δὲ, ἀγαθός. τοῖς δὲ λοιποῖς, ἄτοπος. φοίνικος δὲ καὶ ἐλαίας στέφανοι, γάμους ἐλευθέρων προξενοῦσι γυναικῶν, διὰ τὴν πλοκήν. καὶ τέκνα προαγορεύουσι πολυχρόνια, διὰ τὸ ἀειθαλές· υἱὸν μὲν ὁ φοῖνιξ. θυγατέρα δὲ, ἡ ἐλαία. καὶ τοῖς ἐπὶ τὸ ἄρχειν ὁρμωμένοις καὶ ἀθληταῖς συλλαμβάνουσι, καὶ πένησιν. οὓς μὲν γὰρ εὐπόρους· οὓς δὲ ἀπόρους ποιοῦσι. καὶ δούλους ἐλευθεροῦσιν. ἴδιον γὰρ ἐλευθέρων οἱ στέφανοι· καὶ μᾶλλον ὅταν ἀγωνισάμενοι δοκοῦσιν εἰληφέναι αὐτούς. τὰ δὲ κρυπτὰ ἐλέγχουσι. διὰ τὸ περιβοήτους εἶναι τοὺς στεφάνους. τὰ δὲ αὐτὰ τούτοις καὶ ὁ δρύϊνος στέφανος σημαίνει, καὶ ὁ δάφνινος· καὶ ὁ μυρσίνης, τὰ αὐτὰ ταῖς ἐλαίαις σημαίνει. γεωργοῖς δὲ καὶ μᾶλλον ἀγαθοὶ διὰ τὴν Δήμητραν· καὶ γυναιξὶ, διὰ τὴν Ἀφροδίτην. κοινὸν δὲ τῶν θεαῖς τὸ φυτόν. στέφανοι κήρινοι,* πᾶσι κακόν· μάλιστα δὲ νοσοῦσιν. ἐπεὶ καὶ τὸν θάνατον κῆρα καλοῦσιν οἱ ποιηταί. οἱ δὲ τῶν ἐρίων πεποιημένοι διὰ τὸ ποικίλον, φαρμακείας καὶ καταδέσμους σημαίνουσιν. οἱ δὲ τῶν ἁλῶν ἢ τοῦ θείου, βαρυνθῆναι πρός τινων ὑπερεχόντων τὸν ἰδόντα σημαίνουσιν. εἰσὶ γὰρ φύσει βαρεῖς, καὶ οὐδὲν ἔχοντες τερπνόν. στέφανον δοκεῖν ἔχειν χρύσεον, πονηρὸν δούλῳ· εἰ μὴ καὶ τὰ ἅμα τῷ στεφάνῳ ἔχειν· πορφύραν λέγω καὶ παραπομπήν. πονηρὸν δὲ καὶ πένητι, διὰ τὸ παρ᾽ ἀξίαν. τοιγαροῦν, ὁ μὲν βασανισθήσεται, εἰκὸς δὲ καὶ τοῦτον βασανισθῆναι. νοσοῦντι δὲ, σύντομον προαγορεύει θάνατον. χλωρὸς γὰρ ὁ χρυσὸς, καὶ βαρὺς, καὶ ψυχρός· καὶ διὰ τοῦτο θανάτῳ προσείκασται. καὶ κρυπτὰ ἐλέγχει· πάντως γὰρ ἀπόβλεπτον χρὴ εἶναι τὸν χρυσοφοροῦντα. πλουσίοις δὲ καὶ δημαγωγοῖς, καὶ τοῖς ἄρχειν πειρωμένοις, ἀγαθὸν ἐτήρησα τὸν στέφανον ὄναρ. ἀμπέλου δὲ καὶ κισσοῦ, μόνοις τοῖς περὶ τὸν Διόνυσον τεχνίταις συμφέρει.

τοῖς δὲ ἄλλοις, δεσμὰ σημαίνει διὰ τοὺς ἕλικας καὶ τὰς περιπλοκὰς τοῦ κισσοῦ· ἢ νόσον διὰ ταῦτα. κακούργοις δὲ, τραχηλοκοπηθῆναι σημαίνει· διὰ τὸ τέμνεσθαι ταῦτα σιδήρῳ. κρομμύοις δὲ ἐστεφανῶσθαι δοκεῖν, τὸν μὲν ἰδόντα, ὠφελεῖ· τοὺς δὲ περὶ αὐτὸν, βλάπτει.

Reliquis vincula significat, propter pampinos retortos, & hederæ amplexus, aut morbum, eadem gratia. Malefactoribus autem decollationé portendit, propterea quòd eiusmodi ferro resecentur. Cepis coronatum esse videri, ei qui somnium vidit prodest, verùm his qui circum ipsum sunt, obest.

Περὶ συνουσίας καὶ ἀφροδισίων. π.

Ἐν τῷ περὶ συνουσίας ἀφροδισίων λόγῳ διαίρεσιν τὴν ἀρίστην ποιούμενος, εἴποι τις ἂν πρῶτον, περὶ τῆς κατὰ φύσιν καὶ νόμον καὶ ἔθος συνουσίας. εἶτα περὶ τῆς παρὰ νόμον· καὶ τρίτον, περὶ τῆς παρὰ φύσιν. πρῶτον μὲν περὶ τῆς κατὰ νόμον συνουσίας, ὧδέ πως ἔχει. γυναικὶ τῇ ἑαυτοῦ μιγῆναι ἑκούσῃ καὶ προσιεμένῃ, καὶ πρὸς τὴν συνουσίαν μὴ ἀντιβαινούσῃ, ἀγαθὸν ἐπίσης πᾶσιν. ἔστι γὰρ ἡ γυνὴ, ἤτοι τέχνη τοῦ ἰδόντος, ἢ πραγματεία, ἀφ᾽ ἧς τὰς ἡδονὰς πορίζεται· ἢ οὗ προΐσταται καὶ ἄρχει, ὡς καὶ τῆς γυναικός. σημαίνει ὁ ὄνειρος τὴν ἀπὸ τῶν τοιούτων ὠφέλειαν· ἥδονται μὲν οἱ ἄνθρωποι τοῖς ἀφροδισίοις· ἥδονται δὲ καὶ ταῖς ὠφελείαις. εἰ δὲ ἀντιβαίνοι ἡ γυνὴ, ἢ μὴ παρέχοι ἑαυτὴν, τὰ ἐναντία σημαίνει. ὁ δ᾽ αὐτὸς καὶ περὶ ἐρωμένης ἔστω λόγος. γυναιξὶ δὲ ἑταίραις ταῖς ἐπὶ καυσηέλοις ἑστώσαις μίγνυσθαι, μικρὰν μὲν αἰσχύνην, καὶ βραχὺ ἀνάλωμα σημαίνει· αἰδοῦνται γὰρ ἅμα καὶ ἀναλοῦσι ταύταις πλησιάζοντες οἱ ἄνθρωποι. πρὸς δὲ πᾶσαν ἐπιχείρησιν εἰσὶν ἀγαθαί. καὶ γὰρ πρός τινων ἐργάσιμοι λέγονται· καὶ οὐδὲν ἀρνησάμεναι παρέχουσιν ἑαυτάς. εἴη δ᾽ ἂν ἀγαθὸν τὸ εἰσιέναι εἰς τὰ πορνεῖα καὶ ἐξιέναι· ἐπεὶ τό γε μὴ δύνασθαι ἐξιέναι, πονηρόν. οἶδα δέ τινα ὃς ἔδοξεν εἰσελθεῖν εἰς πορνεῖον, καὶ μὴ δύνασθαι ἐξελθεῖν· καὶ ἀπέθανεν οὐ μετὰ πολλὰς ἡμέρας· κατὰ λόγον γε τούτου ἀποβάντος αὐτῷ. κοινὸς γὰρ ὁ τόπος οὗτος καλεῖται, ὡς καὶ ὁ τοὺς νεκροὺς δεχόμενος, καὶ πολλῶν σπερμάτων ἀνθρωπί-

De coitu & rebus venereis.

CAP. 80.

In tractatu de coitu venereo si quis optimam distinctionem facere velit, primum sanè de coitu secundum naturam, & legem, & consuetudinem dixerit. Deinde de eo qui præter legem est, & tertio loco de eo qui est præter naturam. Et primum quidem de coitu secundum legem hoc modo res habet. Vxori suæ misceri volenti, & appetenti, & non repugnanti, omnibus ex æquo bonum est. Est enim vxor, aut ars eius qui somnium vidit, aut negotiatio, ex qua voluptates comparat, aut cui præest & imperat, velut etiam vxori. Significat igitur somnium vtilitatem ex talibus, delectantur enim homines rebus venereis. delectantúrque etiam vtilitatibus. Si verò repugnet vxor, aut se non exhibeat, contraria significat. Eadem ratio & amicæ est. At verò meretriculis in lupanari prostantibus misceri, paruam pudefactionem, & modicum sumptum significat. Nam & pudefiunt simúlque sumptus faciunt homines has accedentes. Verùm ad omnem aggressionem commodæ sunt, etiam à quibusdam quæstuariæ dicuntur, & nihil negantes seipsas exhibent. Bonum autem fuerit ingredi lupanaria & exire. Quoniam exire non posse malum est. Noui ego quendam, qui visus est sibi ingredi in lupanar, & egredi non posse, & non ita post multos dies mortuus est, rationabiliter hoc ipsi eueniente. Communis enim locus ille vocatur, veluti etiam is qui mortuos suscipit, & sanè multorum seminum humano-

norum istic contingit corruptio. Meritò igitur locus ille morti similis est, ipsæ tamen mulierculæ nihil cum loco commune habent. Ipsæ enim bona significant, locus autem non est bonus. Quare vagabundæ meretrices commodiores sunt, si per somnium videantur. Bonæ sunt etiam in officinis desidentes, vendentésque aliquid & mercimonia suscipientes, tum si videantur, tum si misceantur. Si verò quis mulierem ignotam se inire existimet, si quidem formosa fuerit & gratiosa, supellectilémque habuerit vestium pretiosarum & mollium, & monilium aureorum, & seipsam exhibuerit, bonum est ei qui somnium vidit, neque paruum actionum euentum promittit. Si verò anicula fuerit, aut turpis, aut etiam deformis, & malis vestibus induta, in tristitia vitam deget. Et si nõ exhibuerit seipsam, contraria prioribus significat. Oportet enim opinari mulieres ignotas imagines esse actionum obuenientium ei qui somnium vidit. Qualis igitur fuerit mulier, & quomodo affecta, taliter etiam actio afficiet ipsum somniatorem. Seruæ propriæ & seruo proprio misceri, bonum est. Sunt enim serui possessiones eius qui somniauit, quapropter significant ipsum ex propriis possessionibus voluptatem percepturum esse, vt verisimile sit ipsas ampliores & pretiosiores euasuras. Iniri à seruo bonum nõ est, cõtẽptum enim significat, & damnum ab ipso famulo. quæ significatio item fratris existit, siue iunior sit qui sub agitat, siue senior. Nec aliud iudicium de inimico ferendum est. Mulieri notæ & familiari misceri, si quidem amanter erga ipsam affectus fuerit, eámque appetiuerit qui somnium uidit, nihil prædicit, propter intentam concupiscentiam. Si verò mulierem non concupierit, bonum est ipsi, si mulier opulenta fuerit. Omnino enim aliquid commodi sibi ab ipsa comparabit, aut per ipsam mulierẽ, quã vir vidit. Quæ enim corpus suum alicui exhibet, meritò etiam ea quæ circum corpus sunt exhibuerit. Sæpe verò huiuscemodi somnium oblatum, etiã in arcanis mulieris, cũ qui vidit iuuit. Exhibet enim se eiusmodi mulier hoc modo, vt etiam secreta reuelet. Cæterùm maritatã & iuxta leges nuptam inire, non est bonũ, propter legẽ.

νων ἐνταῦθα γίνεται φθορά. εἰκότως οὖν ὁ τόπος οὗτος ἔοικε θανάτῳ. οὐδὲν μέν τοι κοινὸν * γυναῖκες ἔχουσι τῷ τόπῳ. αὗται μέν τοι ἀγαθὰ σημαίνουσιν· ὁ δὲ τόπος, οὐκ ἀγαθός. ὅθεν αἱ πλαζόμεναι τῶν ἑταίρων λυσιτελέστεραι ὄναρ ὀφθῆναι. ἀγαθαὶ δὲ καὶ ἐπὶ ἐργαστηρίων καθεζόμεναι, καὶ πιπράσκουσαί τι καὶ δεχόμεναι ἐμπολάς, καὶ ὁραθεῖσαι καὶ μιγεῖσαι. εἰ δέ τις γυναῖκα ἣν οὐκ οἶδεν ὑπολάβοι περαίνειν, εἰ μὲν εὔμορφος εἴη καὶ χαρίεσσα, καὶ σκευὴν ἔχουσα ἱματίων πολυτελῶν καὶ μαλακῶν, καὶ ὅρμων χρυσέων, καὶ ἑαυτὴν παρέχουσα, καλὸν τῷ ἰδόντι· καὶ οὐ μικρὸν τελεσθησόμενον δείκνυσιν· εἰ δὲ πρεσβῦτις εἴη, ἢ καὶ ἄμορφος καὶ κακοείμων εἴη, λυπηρῶς διάγοι. καὶ εἰ μὴ παρέχοι ἑαυτὴν, τἀναντία τοῖς προτέροις σημαίνει. χρὴ γὰρ ἡγεῖσθαι τὰς ἀγνοουμένας γυναῖκας, εἰκόνας εἶναι πράξεων * τῶν συμβεβηκυιῶν τῷ ἰδόντι. οἵα οὖν ἐὰν ᾖ ἡ γυνὴ, καὶ ὅπως διακειμένη, οὕτως καὶ ἡ πρᾶξις διαθήσει τὸν ἰδόντα. δούλῃ ἰδίᾳ καὶ δούλῳ ἰδίῳ μιγῆναι, ἀγαθόν· εἰσὶν οἱ δοῦλοι κτήματα τοῦ ἰδόντος. διὸ σημαίνουσιν ἐπὶ τοῖς ἑαυτοῦ κτήμασιν ἡσθῆναι τὸν ἰδόντα, ὡς εἰκὸς πλείοσι * καὶ πολυτελεστέροις γινομένοις. περαίνεσθαι δὲ ὑπὸ οἰκέτου, οὐκ ἀγαθόν. καταφρονηθῆναι γὰρ σημαίνει, καὶ βλαβῆναι παρὰ τοῦ οἰκέτου. τοῦτο δὲ καὶ ὑπὸ τοῦ ἀδελφοῦ, ἐάν τε νεώτερος ᾖ ὁ περαίνων, ἐάν τε πρεσβύτερος, ἢ καὶ ὑπὸ ἐχθροῦ. γυναικὶ δὲ γνωρίμῃ καὶ συνήθει μίγνυσθαι, εἰ μὲν ἐρωτικῶς διακείμενός τις καὶ ἐπιθυμῶν τῆς γυναικὸς ἴδοι τὸν ὄνειρον, οὐδὲν προαγορεύει, διὰ τὴν ἐπιτεταμένην ἐπιθυμίαν. εἰ δὲ μὴ ἐπιθυμοίη τῆς γυναικὸς, ἀγαθὸν αὐτῷ, ὅταν ἡ γυνὴ εὔπορος ᾖ. πάντως γάρ τι πράξει λυσιτελὲς παρὰ τῇ γυναικὶ, ἢ διὰ τῆς γυναικὸς ἣν εἶδεν ὁ ἀνήρ. ἡ γὰρ τὸ σῶμα τὸ ἑαυτῆς τινὶ παρέχουσα, εἰκότως καὶ τὸ περὶ σῶμα παρέχοι ἄν. πολλάκις δὲ τὸ τοιοῦτον ὄναρ καὶ ἐν μυστηρίοις τῆς γυναικὸς γινόμενον, τὸν ἰδόντα ὠφέλησε. παρέχει γὰρ ἡ τοιαύτη καὶ τῶν ἀπορρήτων ἀπολαῦσαι. ὕπανδρον δὲ κατὰ νόμους γεγαμημένην περαίνειν, οὐκ ἀγαθὸν διὰ τὸν νόμον.

ἴσοις γὰρ τὸν ἐπὶ μοιχείᾳ ἁλόντα ὁ νόμος ὑπάγει, τοῖς αὐτοῖς καὶ τὸ ὄναρ. περαίνεσθαι δὲ ὑπό τινος γνωρίμου, γυναικὶ μὲν ἡδὺ καὶ λυσιτελές, οἷος ἂν ᾖ ὁ περαίνων. ἀνδρὶ δὲ ὑπὸ πλουσιωτέρου καὶ πρεσβυτέρου περαίνεσθαι, ἀγαθόν. παρὰ γὰρ τῶν τοιούτων ἔθος ἐστὶ λαμβάνειν. ὑπὸ δὲ νεωτέρου καὶ ἀπόρου περαίνεσθαι, πονηρόν. τοῖς γὰρ τοιούτοις ἔθος ἐστὶ προσδιδόναι. τὸ δ' αὐτὸ σημαίνει καὶ ἐὰν πρεσβύτερος ᾖ ὁ περαίνων, ἢ πτωχός. χειροκοπεῖν δὲ τὸ αἰδοῖον εἴ τις ὑπολάβοι, δοῦλον ἢ δούλην περανεῖ. διὰ τὸ τὰς χεῖρας τὰς προσαγομένας τῷ αἰδοίῳ ὑπηρετικὰς εἶναι. εἰ δὲ μὴ ἔχοι θεράποντας, ζημίαν ὑπομενεῖ· διὰ τὴν εἰς ἄχρηστον τοῦ σπέρματος ἀπόκρισιν. οἶδα δέ τινα δοῦλον, ὃς ἔδοξε τὸν δεσπότην αὐτοῦ δέφειν· καὶ ἐγένετο τῶν παίδων αὐτοῦ παιδαγωγὸς καὶ τροφός. ἔσχε γὰρ ἐν ταῖς χερσὶ τὸ τοῦ δεσπότου αἰδοῖον, ὃ τῶν οἰκείων τέκνων σημαντικόν. καὶ πάλιν αὖ οἶδα, ὃς ἔδοξεν ὑπὸ τοῦ δεσπότου δέφεσθαι. καὶ προσδεθεὶς κίονι, πολλὰς ἔλαβε πληγάς. καὶ οὕτως ὑπὸ τοῦ δεσπότου ἐνετάθη.

Περὶ τῆς παρανόμου συνουσίας. πα'.

ΟΥτω κρίνειν δέον ἐστίν. υἱὸν περαίνειν οὐδέπω πενταετῆ γεγονότα, θάνατον τῷ παιδὶ σημαίνει· καθὼς πολλάκις ἐτήρησα. εἰκὸς δὲ τοῦτο σημαίνειν, διὰ τὸ φθείρεσθαι τὸ βρέφος· φθορὰν δὲ καλοῦμεν τὸν ὄλεθρον. εἰ δὲ ὑπὲρ τὰ πέντε ἔτη ὁ παῖς εἴη γεγονώς, ἔτι δὲ τῶν δέκα ἐντός, νοσήσει μὲν ὁ παῖς. ἀφρόνως δέ τι πραγματευσάμενος ὁ ἰδὼν τὸν ὄνειρον, βλαβήσεται. ὁ μὲν γάρ, διὰ τὸ παιδικὸν τῆς ἡλικίας πρὸ τῆς ὥρας περαινόμενος, διὰ τὸ ἀλγεῖν, νοσήσει. ὁ δέ, βλαβήσεται δι' ἀφροσύνην. οὐ γάρ ἐστιν ἐρρωμένου* τὴν γνώμην, οὐχ ὅτι γέγονεν αὐτῷ υἱός, ἀλλ' οὐδὲ ἄλλον τηλικοῦτον περαίνειν. εἰ δὲ ἀντιπάσχοι ὁ υἱός, ἐὰν μὲν πένης ᾖ ὁ πατήρ, εἰς διδασκάλους πέμπων τὸν υἱόν,

Qualibus enim pœnis lex subiicit deprehensum in adulterio, iisdem etiam somnium obiicit. Iniri autem à quopiam familiari, mulieri quidem iucundum & vtile est, quicunque tandem initor ipse fuerit. Verùm viro ab opulentiore & seniore iniri bonum est. Ab huiusmodi enim mos est accipere. A iuniore autem & inope iniri, malum est. huiusmodi enim mos est dare. Eadem significatio est etiã, si senior fuerit initor, & mendicus. Masturbari si quis sibi videatur, seruum aut seruam inibit. propterea quòd manus pudendo admotæ ministerio funguntur. Si verò non habeat seruos, damnum sustinebit, propterea quòd inutiliter semen excernit. Noui quendam seruum qui sibi visus est, heri sui virilia tractare, & factus est filiorum ipsius pædagogus & nutritor habuit enim in manibus domini pudẽdum propriorum eius liberorum existens significatiuum. Et rursus noui qui sibi visus est, virilia sua ab hero tractari, & alligatus columnæ, multas plagas accepit, atque sic ab hero intentus, & ad tentiginem excitatus est.

De coitu præter legem.

CAP. 81.

DE coitu præter legem sic iudicare oportet. filium inire nondum quinque annos natum, puero mortem præsagit, quemadmodum sæpe obseruaui. Verisimile est autem hoc significare, propter pueri corruptionem, corruptionem autem interitum vocamus. Si verò quintum annum puer fuerit trãsgressus, & adhuc intra decimum consistat, ægrotabit quidem puer, qui verò somnium vidit, insipienter se in aliqua re gerens, damnum perpetietur. atque ille quidem ob puerilem ætatem intempestiuè initus, ex dolore ægrotabit. hic verò ob insipientiam damnum incurret. Non est enim viri sana mente præditi, non dico filium, sed ne alium quidem tantillum puerulum inire. Si verò reluctetur filius, si quidem pauper fuerit pater, ad magistros mittens filium,

mercedémque ipsi suppeditans, in ipsum excretiones & expensas faciet. Si verò diues somnium hoc viderit, multa filio largiens, & bona sua ipsi adscribens, hoc modo excretiones faciet. At verò si vir perfectæ iam ætatis filio misceatur, peregrinanti quidem bonum est. conuentionem enim & conuersationem somnium significat, propter ipsum coitus nomen. præsenti verò & simul degenti, malum. Necesse est enim ipsos inuicem separari, propterea quòd virorum inter se coitus vt plurimum ex auersione fiunt. Iniri autem à filio per vim damnum per filium accessurum significat, ex quo damno etiam filius plorabit. Si verò quis patrem suum sibi videatur inire, fugitiuus à patria sua erit, aut à patre in regionem aliquam relegabitur. Aut enim ipse pater eum auersabitur, aut populus, qui cum patre eandem rationem habet. Filiola parua omnino, & nondum quinque annos nata, item quæ intra decimum annum consistit, eadem quæ filius significat. Cùm autem circa nubiles annos puella fuerit, in viri domum transibit, & qui somnium vidit dotem ei dabit, atque sic in filiam substantiam suam disperget. Noui autem quendam qui ob hoc somnium vxore priuatus est, rectè & pro ratione: reliqua enim ipsi filia erat, quæ per custodiam domus & vxoris & filiæ opera exhibuit ac subiuit. Si verò quis filiæ suæ iam virum habenti se coire existimet, separata à viro filia ad ipsum perueniet, quo cum ipso sit & conuersetur. Bonum est pauperi diuitem filiam habenti, ipsi commisceri. Multum enim emolumenti à filia capiens, voluptate proinde fruetur ex ipsa. Sæpe verò opulenti etiam citra voluntatem filiabus aliquid dederunt, hoc somnio viso. Et ægrotantes mortui sunt, filiabus hæredibus relictis. Porrò de sorore superuacaneum est dicere. Eadem enim quæ filia significat. Fratrem autem inire, tum iuniorem, tum seniorem, bonum est ei qui hoc somnium vidit. Superior enim fratre erit, ipsúmque contemnet. Qui verò amicum inierit, inimicus eius fiet, læsus prius ab ipso.

μισθούς τε αὐτῷ χορηγῶν, εἰς αὐτὸν ἀποκρίσεις ποιήσεται. εἰ δὲ πλούσιος τὸ τοιοῦτον ἴδοι, πολλὰ τῷ υἱῷ δωρούμενος, καὶ καταγράφων τὰς εἰς αὐτὸν ἀπουσίας, ποιήσεται καὶ ἀποκρίσεις. ἀνδρὶ δὲ τελείῳ ἤδη ὄντι τῷ υἱῷ μιγῆναι, ἀποδημοῦντι μὲν, ἀγαθόν. συνελθεῖν γὰρ καὶ συναναστραφῆναι σημαίνει τὸ ὄναρ, διὰ τὸ τῆς οὐσίας ὄνομα. συνόντι δὲ καὶ συνδιατρίβοντι, πονηρόν. χωρὶς γὰρ ἀλλήλων γενέσθαι αὐτοὺς ἀνάγκη. διὰ τὸ τὴν ἀνδρῶν συνουσίαν ὡς ἐπὶ τὸ πλεῖστον ἐξ ἀποστροφῆς γίνεσθαι. περαίνεσθαι δὲ ὑπὸ τοῦ υἱοῦ βίᾳ, βλαβῆναι ὑπὸ τοῦ υἱοῦ σημαίνει. ἐφ᾽ ᾗ βλάβῃ, καὶ ὁ υἱὸς οἰμώξει. εἰ δὲ τὸν ἑαυτοῦ πατέρα δόξοι τις περαίνειν, φυγὰς ἔσται τῆς ἑαυτοῦ· ἢ πρὸς τὸν πατέρα εἰς χώραν καταστασιασθήσεται. ἢ γὰρ αὐτὸς ἀποστραφήσεται αὐτὸν ὁ πατὴρ, ἢ ὁ δῆμος, ὁ τῷ πατρὶ τὸν αὐτὸν ἔχων λόγον. θυγάτριον μικρὸν μὲν παντελῶς, καὶ οὐδέπω πενταετὲς γεγονὸς, ἐντὸς δέ τι τῶν δέκα, ἐπίσης τῷ υἱῷ σημαίνει. ὅταν δ᾽ ὥρᾳ γάμων ἡ παῖς τύχοι οὖσα, εἰς ἀνδρὸς πορεύσεται. καὶ ὁ ἰδὼν τὸν ὄνειρον φερνὴν ἐπιδοὺς, οὕτως εἰς τὴν θυγατέρα ἀπουσιάσει. οἶδα δέ τινα ὃς ἐπὶ τούτῳ τῷ ὀνείρῳ, τῆς γυναικὸς ἐστερήθη. ὀρθῶς καὶ κατὰ λόγον. λοιπὸν γὰρ ἦν αὐτῷ ἡ θυγάτηρ διὰ τῆς οἰκουρίας, καὶ τὰ γυναικὸς καὶ τὰ θυγατρὸς ἔργα παρέχουσα. εἰ δὲ παρ᾽ ἀνδρὶ οὔσῃ τῇ θυγατρὶ τῇ ἑαυτοῦ τις ὑπολάβοι συνιέναι, χωρισθεῖσα τοῦ ἀνδρὸς ἡ θυγάτηρ, πρὸς αὐτὸν ἀφίξεται. ἵνα αὐτῷ συνῇ καὶ συναναστρέφηται. ἀγαθὸν δὲ πένητι πλουσίαν ἔχοντι θυγατέρα, μιγῆναι αὐτῇ. πολλὰ γὰρ ἀπὸ τῆς θυγατρὸς ὠφελημένος, ἡσθήσεται ἐπ᾽ αὐτῇ. πολλάκις δὲ οἱ πλουτοῦντες, καὶ παρὰ προαίρεσιν ἔδωκαν τι ταῖς θυγατράσι. τοῦτον ἰδόντες τὸν ὄνειρον καὶ οἱ νοσοῦντες ἀπέθανον. ἐπὶ κληρονόμοις ταῖς θυγατράσι. περὶ δὲ ἀδελφῆς, περιττὸν λέγειν. τὰ αὐτὰ γὰρ τῇ θυγατρὶ σημαίνει. ἀδελφὸν δὲ περαίνειν καὶ πρεσβύτερον καὶ νεώτερον, ἀγαθὸν τῷ ἰδόντι. ὑπέρτερος γὰρ τοῦ ἀδελφοῦ ἔσται, καὶ καταφρονήσει αὐτοῦ. καὶ φίλον δὲ ὁ περαίνων, εἰς ἔχθραν αὐτῷ καταστήσεται, βλαβεὶς πρότερον ὑπ᾽ αὐτοῦ.

Περὶ μητρός. πβ'.

Ὁ περὶ μητρὸς λόγος περὶ ἀφροδισίων, ποικίλος καὶ πολυμερής· καὶ πολλὴν ἐπιδεχόμενος διαίρεσιν, πολλοὺς τῶν ὀνειροκριτικῶν διέφυγεν. ἔχει δὲ ὧδε. οὐχ ἡ μίξις αὐτὴ καθ' ἑαυτὴν ἱκανή ἐστι τὰ σημαινόμενα δεῖξαι. ἀλλὰ καὶ αἱ συμπλοκαὶ, τὰ σχήματα τῶν σωμάτων διάφορα ὄντα, διαφόρους ἀποβάσεις ποιεῖ. πρῶτον μὲν οὖν περὶ τῆς συγχρωτὰ περαινομένης καὶ ἅμα ζώσης, λεκτέον. ἐπειδὴ καὶ ἡ ζῶσα οὐ τὰ αὐτὰ τῇ νεκρᾷ σημαίνει. εἴ τις οὖν τὴν ἑαυτοῦ μητέρα συγχρωτὰ, ὅπερ καὶ κατὰ φύσιν τινὲς λέγουσι, ζῶσαν ἐπιπεραίνοι, εἰ μὲν εἴη ἔτι πατὴρ ἐῤῥωμένος, ἔχθρα αὐτῷ πρὸς τὸν πατέρα ἔσται· διὰ τὴν καὶ ἐπὶ τῶν ἄλλων ἀνθρώπων γινομένην ζηλοτυπίαν. ἢ μᾶλλον ἂν ἐπὶ τούτων γένοιτο. εἰ δὲ νοσῶν ὁ πατὴρ τύχοι, τεθνήξεται. προστήσεται γὰρ τῆς μητρὸς υἱὸς ἅμα καὶ ἀνήρ. ἀγαθὸν δὲ παντὶ χειροτέχνῃ καὶ ἐργοπόνῳ· καὶ γὰρ τὴν τέχνην μητέρα καλεῖν ἔθος ἐστί. τί δὲ ταύτῃ πλησιάζοντι ἂν εἴη ἄλλο, ἢ τὸ μὴ * σχολὴν, ἀλλ' ἀπὸ τῆς τέχνης πορίζειν. ἀγαθὸν δὲ καὶ παντὶ δημαγωγῷ καὶ πολιτευτῇ· σημαίνει γὰρ τὴν πατρίδα ἡ μήτηρ· ὥσπερ οὖν ὁ μιγνύμενος κατὰ νόμον Ἀφροδίτης, παντὸς ἄρχει τοῦ σώματος τῆς συνούσης πειθομένης καὶ ἑκούσης· οὕτως ὁ ἰδὼν, πάντων προστήσεται τῶν τῆς πόλεως πραγμάτων· καὶ εἰ ἐχθρὸς ὢν τῇ μητρὶ, εἰς φιλίαν καταστήσεται διὰ τὴν μίξιν· καὶ γὰρ φιλότης καλεῖται. πολλάκις δὲ καὶ τοὺς χωρὶς οἰκοῦντας, ἐπὶ τὸ αὐτὸ συνήγαγε τὸ ὄναρ τοῦτο, καὶ ἐποίησε συνεῖναι. διὸ καὶ τὸν ἀπόδημον, εἰς τὴν οἰκίαν ἐπανάγει. ὅταν δὲ ἡ μήτηρ ἐν τῇ πατρίδι τυγχάνῃ οὖσα, εἰ δὲ μὴ, ὅπου ἂν ἡ μήτηρ διάγῃ, ἐκεῖ σημαίνει πορευθῆναι τὸν ἰδόντα. καὶ εἴ τις πενομένων καὶ ἐν ἐνδείᾳ ὄντων ἐπιτηδείων, πλουσίαν ἔχοι μητέρα, λήψεται παρ' αὐτῆς ὅσα βούλεται· ἢ ἀποθανοῦσαν μετ' οὐ πολὺ κληρονομήσει.

De Matre. CAP. 82.

CÆterum de matre, quod ad rem veneream attinet, ratio varia & in multas partes distracta, multámque diuisionem admittens, multos somniorum interpretes latuit & fefellit. Habet autem hoc modo. Ipsa mixtura per se non est sufficiens ad ea quæ per ipsam significantur demonstranda, sed & complexus, qui diuersæ corporum figuræ sunt, diuersos euentus faciũt. Primùm igitur de ea quæ iuxta consuetam hominibus corporum figuram initur, simúlque viuit, dicendum est, quandoquidem etiam viua nõ eadem quæ mortua significant. Si quis igitur matrem suam, iuxta consuetam hominibus corporum figuram, quod etiam iuxta naturam quidam appellant, viuentem ineat, siquidem pater adhuc fuerit sanus, inimicitia ipsi aduersus patrem orietur, propter zelotypiam, quæ etiam in aliis hominibus oboriri solet, & sanè magis in his continget. Si verò ægrotus fuerit pater, morietur, præficietur enim matri filius simul & vir. Bonum est autem hoc somnium omni opifici manuario & operario. Nam matrem appellare mos est ipsam artem. Matri autem misceri quid tandem aliud sit, quam non vacare & nõ otiosum esse, sed ab arte rem parare? Bonum est etiam omni tribuno plebis, & Rempub. administranti. Significat enim patriam mater. Quemadmodum igitur is qui iuxta legem Veneris miscetur, toti coëuntis corpori imperat, ea quam init obediente & voluntariè se exhibente: sic is qui somnium vidit omnibus vrbis rebus ac negotiis præficietur: & si inimicus fuerit matri, in amicitiam redigetur, propter mixturam, nam hęc amicitia vocatur. Sępe verò & segregatos habitatione, in idem reduxit hoc somnium, & cohabitare ac simul esse fecit, quapropter etiam peregrinum ad domum reducit, vbi sanè mater in patria vixerit. Si verò non, vbicunque mater ipsa vitam degerit, eo profecturum somniantem significat. Et si quis pauper & inops rei familiaris, diuitem habuerit matrem, accipiet ab ipsa quæcunque volet, aut non ita multo post defunctæ hæres erit.

atque sic ex matre voluptatem capiet. Multi verò etiam vice versa matres exceperunt ac nutrierunt, ita vt illæ ex ipsis voluptatem ferrent. At verò ægrotantem erigit hoc somnium, significátque ipsum secundum naturam habiturum esse. Mater enim communis omnium est natura. Dicimus autem sanos, & non ægros, secundum naturam habere. Meminit eius & Apollodorus Telmissensis, vir doctrina & eloquentia clarus. Cæterùm non similis significatio contigerit in ægris, si mortua fuerit mater. Nam statim omnino morietur qui somnium vidit. Mortuæ enim corpus resolutũ est in materiam, ex qua conflatum est & concretum, & plurima eius pars terrea existens, in propriam materiam transmutatur, & sanè ipsam terram nihilominus matrem vocamus. Quare misceri matri mortuæ, quid aliud ægro significet, quàm terræ misceri? Bonum est autem somnium ei qui de terra litigat, & terram emere volenti, & agriculturam exercere volenti, mortuæ matri misceri. Quanquam alij dicant quod agricolę non conferat. Nam tanquam in mortuam terram coniiciet semina, hoc est fructum nõ feret. Verum mihi hoc nequaquã verum esse videtur, nisi quis vtique in coitu pœnitere aut tristari se putet. Quin & peregrinus apud exteros degens ad domum reuertetur, & qui de substantia & bonis matris litigat, ex hoc somnio vincet, atque sic ille domum reuersus, hic verò non ex corpore, sed ex rerum substantia ipsius matris voluptatem capiet. Si verò quis in patria sua viuens hoc somnium viderit, patria exibit. Non enim licet in tanto crimine ad maternum focum diutius manere, & si quidem tristetur in coitu, aut pœniteat, patria exulabit, sin minus, vltro peregrinabitur. Matrem auersam inire, non est bonum. Aut enim ipsa mater auersabitur eum qui somnium vidit, aut patria, aut ars, aut qualecunque tandem propositũ habuerit. Malum est etiam rectè adstare matri iuxta coitionem, penuria enim cubilis & stragulorũ huiusmodi figura homines vtuntur, quapropter tribulationes & angustias significat. Sed & in genua innixæ matri misceri, malum est, insupérque indecorum est etiam supinæ prostratæ misceri. Multam enim rerum diffi-

καὶ οὕτως ἐπὶ τῇ μητρὶ ἡσθήσεται. πολλοὶ δὲ καὶ ἀναλαβόντες τὰς μητέρας ἔθρεψαν, ἐκείνων ἐπ' αὐτοῖς ἡδομένων. νοσοῦντα δὲ ἀνίστησι τὸ ὄναρ, καὶ σημαίνει κατὰ φύσιν ἕξειν. μήτηρ γὰρ κοινὴ πάντων ἡ φύσις· φαμὲν δὲ τοὺς ἐρρωμένους καὶ οὐχὶ νοσοῦντας, κατὰ φύσιν ἔχειν. μέμνηται δὲ τούτου, καὶ Ἀπολλόδωρος ὁ Τελμισσεύς, ἀνὴρ ἐλλόγιμος. γίνοιτ' ἂν ἐπὶ τῶν νοσούντων οὐχ ὅμοιον τὸ σημαινόμενον, εἴπερ εἴη νεκρὰ ἡ μήτηρ. ἐπεὶ αὐτίκα μάλα τεθνήξεται ὁ ἰδών. τῆς γὰρ νεκρᾶς τὸ σύγκριμα ἀναλέλυται εἰς τὴν ὕλην, ἐξ ἧς συνέστη καὶ συνεκρίθη· καὶ τὸ πλεῖστον γεῶδες ὄν, εἰς τὴν οἰκείαν ὕλην μεταβάλλει· καὶ τὴν γῆν οὐδὲ* αὐτὴν οὐδὲν ἧττον μητέρα καλοῦμεν. τὸ δὲ μιγῆναι νεκρᾷ τῇ μητρί, νοσοῦντι τί ἂν ἄλλο σημαίνει, ἢ τὸ τῇ γῇ μιγῆναι. ἀγαθὸν δὲ τῷ περὶ γῆς ἔχοντι δίκην, καὶ τῷ τὴν γῆν πρίασθαι βουλομένῳ· καὶ τῷ γεωργεῖν ἐθέλοντι, τὸ νεκρᾷ τῇ μητρὶ μιγῆναι. λέγουσι δ' ἔνιοι, ὅτι γεωργῷ μόνῳ.* ὡς ἐπὶ νεκρὰν γὰρ τὴν γῆν καταβάλλει τὰ σπέρματα τουτέστιν, οὐ καρπίσει. ἐμοὶ δὲ οὐδαμῶς ἀληθὲς εἶναι δοκεῖ. εἰ μὴ ἄρα τις ἐπὶ τῇ συνουσίᾳ μεταγινώσκειν ἢ ἀνιᾶσθαι νομίζοι. ἔτι καὶ ὁ ἀπόδημος ὤν, ἐπὶ τὴν οἰκίαν ἀνακομισθήσεται· καὶ ὁ περὶ τῆς οὐσίας τῆς μητρὸς ἀμφισβητῶν, νικήσει ἐπὶ τούτῳ τῷ ὀνείρῳ. ὁ μὲν, εἰς τὴν οἰκίαν ἀνακομισθείς· ὁ δέ, οὐκ ἐπὶ τῷ σώματι, ἀλλὰ τῇ οὐσίᾳ τῆς μητρὸς τερπόμενος. εἰ δέ τις ἐν τῇ πατρίδι τῇ ἑαυτοῦ ὢν ἴδοι τὸν ὄνειρον τοῦτον, ἐξελεύσεται τῆς πατρίδος· οὐ γὰρ ἔνεστιν ἐπὶ τοιούτῳ ἁμαρτήματι μένειν ἔτι ἐπὶ τῆς μητρῴας ἑστίας. καὶ εἰ μὲν ἀνιῷτο ἐπὶ τῇ συνουσίᾳ, ἢ μεταγινώσκοι, φεύξεται τὴν πατρίδα. εἰ δὲ μή γε, ἑκὼν ἀποδημήσει. ἀπεστραμμένην δὲ τὴν μητέρα περαίνειν, οὐκ ἀγαθόν. ἢ γὰρ αὐτὴ ἡ μήτηρ ἀποστραφήσεται τὸν ἰδόντα, ἢ ἡ πατρίς, ἢ ἡ τέχνη ἢ ὅ, τι ἂν ᾖ τὸ προκείμενον τῷ ἰδόντι. πονηρὸν δὲ καὶ ὀρθὴν παρεστάναι τῇ μητρὶ κατὰ τὴν συνουσίαν· ἀπορίᾳ γὰρ κοίτης ἢ στρωμάτων, τοιούτῳ χρῶνται σχήματι ἄνθρωποι· διὸ θλίψεις καὶ στενοχωρίας σημαίνει. καὶ εἰς τὰ γόνατα τῇ μητρὶ κειμένῃ μιγῆναι, πονηρὸν ἔτι καὶ ἀσχήμων, καὶ ὑπτίᾳ βεβλημένῃ. πολλὴν γὰρ ἀπο-

ρίαν σημαίνει, διὰ τὸ τῆς μητρὸς ἀκίνητον. γένεσιν γὰρ ἢ τύχην ἢ δαίμονά τινα τοῦ ἰδόντος τὸν διέποντα καὶ τῶν ὅλων αἴτιον νομίζομεν εἶναι τὴν μητέρα. τὸ δὲ ἄνωθεν ἐπικειμένην καὶ ἐφιππαζομένην τὴν μητέρα περαίνειν λέγουσιν ἔνιοι θάνατον τῷ ἰδόντι σημαίνειν. γῆ γὰρ ἔοικε μήτηρ. ἐπειδὴ τροφὸς πάντων καὶ γενέτειρα ἡ γῆ· αὕτη δὲ τῶν νεκρῶν ἄνωθεν καὶ οὐχὶ τῶν ζώντων γίνεται μήτηρ. ἐγὼ δὲ ἐτήρησα τοὺς μὲν νοσοῦντας ἐπὶ τούτῳ τῷ ὀνείρῳ πάντοτε ἀποθανόντας· τοὺς δὲ ἐρρωμένους, μετὰ πολλῆς ῥαστώνης καὶ κατὰ προαίρεσιν τὸ λοιπὸν τοῦ βίου διαγαγόντας. ὀρθῶς καὶ εὐλόγως τοῦ τοιούτου γινομένου. ἐν μὲν γὰρ τοῖς ἄλλοις σχήμασι, καὶ ὁ κάματος καὶ τὸ ἆσθμα, περὶ τὸν ἄρσενα ὡς ἐπιπολὺ συνίσταται. ἡ δὲ θήλεια, ἀπονωτέρα διατελεῖ. ἐν δὲ τούτῳ τῷ σχήματι, ὁ μὲν πόνος, περὶ τὴν θήλειαν. τῷ δὲ ἄρρενι συμβαίνει ἀπραγμόνι καὶ ἀποπεπαυμένῳ ἥδεσθαι καὶ τέρπεσθαι. ἀλλὰ καὶ ἧττον τοὺς πόνους ποιεῖ τοῦτο τὸ σχῆμα· διὰ τὸ χωρὶς σαλευμάτων γίνεσθαι. καὶ τοὺς πλησίον λαθεῖν ἐπιτρέπει, μὴ ἐν φωτὶ γενόμενον. διὰ καὶ τοῦ ἄσθματος πολὺ ἀφαιρεῖν. πολλοῖς δὲ καὶ ἄλλοις σχήμασιν οὐ συμφέρει χρῆσθαι ἐπὶ μητρός· οὔτε γὰρ ἐνυβρίζειν δίκαιόν ἐστι μητρί. ὅτι δὲ τὰ μὲν ἄλλα πάντα σχήματα διὰ ὕβριν καὶ ἀκολασίαν καὶ παροινίαν εὗρον ἄνθρωποι· τὸ δὲ συγχρῶνται μόνον ὑπὸ τῆς φύσεως διδαχθέντες, δῆλον ἀπὸ τῶν ἄλλων ζώων. πάντα γὰρ τὰ γένη, συνήθει τινὶ χρῶνται σχήματι, καὶ οὐ μεταβάλλει. διὰ τὸ τῷ κατὰ φύσιν λόγῳ ἀκολουθεῖν. οἷον τὰ μὲν, ὄπισθεν προσαναπίπτει, ὡς κάμηλος, καὶ κύνες. τὰ δὲ, ἄνωθεν ἐπιβαίνει, ὡς ἵππος, ὄνος, αἴξ, ὗς, πρόβατον, ἔλαφος, καὶ τὰ λοιπὰ τετράποδα. τὰ δὲ, συμβάλλει πρότερον τὰ στόματα. ὡς ἔχιδναι καὶ περιστεραί, καὶ γαλαῖ. τὰ δὲ, κατὰ βραχὺ συνέρχεται, ὡς στρουθός. τὰ δὲ ἐπιβαίνοντα, βάρει τὰς θηλείας συνιζάνειν ἀναγκάζει, ὡς πάσας ὄρνεις. τὰ δὲ οὐ προσίασιν ἀλλήλοις· ἀλλ' ὑπὸ τῶν ἀρρένων ἀποθλιβὲν τὸ σπέρμα, ἀναλέγουσιν αἱ θήλειαι, ὡς ἰχθύες. οὕτως εἰκὸς καὶ ἀνθρώπους, τὸ μὲν οἰκεῖον σχῆμα, τὸ πρὸς

cultatem & penuriam significat, propter matris immobilitatem. Natiuitatē enim aut fortunam aut dæmonem aliquē, eius qui somnium vidit res dispensantem, & vniuersorum causam existētem, matrem esse putamus. At verò supernè incumbētem & inequitatem matrem inire, aiunt aliqui mortem ei qui vidit portendere. Terræ enim similis est mater, quandoquidem nutrix omnium & generatrix terra existit. atque hæc mater super mortuos, non super viuos incumbere solet. Ego verò obseruaui, ægrotos quidem semper ex hoc somnio defunctos vita esse. Verum sanos in multa quiete, & ex animi sententia, reliquam vitam transegisse, rectè & rationabiliter hoc sic eueniente. In aliis enim figuris & labor, & anhelatio, circa marem ferè consistit, fœmina verò nullo labore defatigatur. In hac autem figura, labor circa fœminam est, mari verò citra negotium & extento contingit iucunditas & voluptas, sed & minores labores exhibet hęc figura, propterea quòd citra cōcussiones fiat: & eos etiam qui propè sunt latet, si non in luce fiat, propterea quòd plurimum anhelationis aufert. Multis porrò & aliis figuris non expedit vti in matre, neque enim iustum est contumelia afficere matrem. Quòd verò alias quidem omnes figuras ob contumeliam, & lasciuiam, & petulātiam ex ebrietate, repererint homines, eam verò solam quæ iuxta consuetam hominibus corporum figuram fit, ex natura edocti sint, ex aliis animalibus manifestum fit. Omnia enim ipsorum genera, consueta quadam vtuntur figura, & eam non transmutant, propterea quòd rationem quæ secundum naturam est sequantur. Velut exempli gratia. Alia quidem pone coëūt, velut camelus, & canes, Alia verò supernè inscendūt, velut equus, asinus, taurus, hircus, verres, aries, ceruus, & reliqua quadrupedia. Alia ora prius conferunt, velut viperæ, & columbæ, & feles. Alia paulatim conueniunt, velut passer. Alia inscēdentia grauitate sua fœminas cōsidere cogūt, velut omne auium genus. Alia inuicem non coëunt, sed expressum à masculis semen fœminæ colligunt, velut pisces. Eodem modo verisimile est etiam homines propriam figuram naturalem, corpori videlicet aptam

& congruam habere, reliquas autem excogitasse, contumelia porteruitatéque ac libidine persuasos & inductos. Cæterùm quòd omnium grauissimum & absurdissimum obseruaui, est fellari sibi videri à matre. Nam & liberorum interitum, & possessionum amissionem significat, & morbum magnum ipsi qui somnium vidit. Noui etiam quẽdam qui ex hoc somnio pudendo priuatus est. Verisimile enim erat eũ ea parte corporis plecti, qua peccabat. Si verò quis à propria vxore aut amica sibi videatur fellari, inimicitia & nuptiarum aut amicitiæ solutio ipsi continget. Non enim honestum est cùm eiusmodi, neque mensa, neque osculis communicare, nisi sanè vterum gestet vxor: tunc enim perdet fœtum, propterea quòd præter naturam semina suscepit. Insuper verò si locupletior viro fuerit multum æs alienum viri persoluet. Et si seruo cohabitauerit, de suo pecunias cõferens, virum liberabit, atque sic continget viri necessarium, (sic enim etiam ipsum pudendum appellatur) hoc est ipsam necessitatem putam & mundam esse. Qui verò ab amico, aut cognato, aut filio non amplius infante fellatus est, in inimicitiam cum fellatore veniet. Verùm à puero infante fellatus, infantem defodiet. Neque enim possibile est vt talem infantem amplius osculetur. Qui verò à quopiam ignoto fellatus est, damnum aliquod qualecũque tandem incurret (neque enim exactè id dici potest) propter inutilem seminis excretionem. Quod si quis videatur sibi aliquem alium fellare, atque is notus sibi sit & familiaris, siue mulier, inimicitiam cum ipso suscipiet, propterea quòd per ora communionem amplius habere nõ possunt. Si verò ignotus fuerit quem quis fellat, omnibus nocuum est, exceptis his qui per ora quæstum faciunt, velut sunt tibicines, & tubicines, & rhetores, & sophistæ, & si qui alij his similes existunt.

De Coitu præter naturam.

CAP. 83.

DE coitu præter naturam hæc sanè dici possunt. Sibi ipsi misceri sibi

χρῶνται ἔχειν· τὰ δὲ λοιπὰ ἐπιτεχνάσασθαι, ὕβρει καὶ ἀκολασίᾳ εἴκοντας. πάντων δὲ δεινότατον καὶ ἀπορώτατον ἐτήρησα, τὸ δοκεῖν ὑπὸ τῆς μητρὸς ἀρρητοποιεῖσθαι. καὶ γὰρ τέκνων ὄλεθρον, καὶ κτήσεως ἀπώλειαν σημαίνει· καὶ νόσον μεγάλην τῷ ἰδόντι· οἶδα καί τινα ἐπὶ τούτῳ τῷ ὀνείρῳ ἀφαιρεθέντα τὸ αἰδοῖον· καὶ γὰρ εἰκὸς ἦν ᾧ ἡμάρτανεν ἐν μέρει τοῦ σώματος, τούτῳ καὶ κολασθῆναι. εἰ δὲ ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς ἢ ἐρωμένης δόξειέ τις ἀρρητοποιεῖσθαι, ἔχθρα καὶ λύσις αὐτῷ τοῦ γάμου ἢ τῆς φιλίας ἔσται. οὐ γὰρ ἔνεστι τῇ τοιαύτῃ, οὔτε τραπέζης, οὔτε φιλημάτων κοινωνῆσαι. εἰ μὴ ἄρα ἐν γαστρὶ ἔχοι ἡ γυνή· φθερεῖ γὰρ τὸ κατὰ γαστρὸς διὰ τὸ παρὰ φύσιν δέχεσθαι τὰ σπέρματα. ἔτι καὶ εἰ εὐπορωτέρα τοῦ ἀνδρὸς εἴη, πολλὰ δάνεια διαλύσει τοῦ ἀνδρός. καὶ εἰ δούλῳ συνοικοῦσα, παρ' ἑαυτῆς εἰσφέρουσα χρήματα, ἐλευθερώσει τὸν ἄνδρα. καὶ οὕτω συμβήσεται τὸ ἀνδρὸς τὸ ἀναγκαῖον· τοῦτο γὰρ καὶ τὸ αἰδοῖον καλεῖται· τουτέστι τὴν ἀνάγκην καθαρὰν γενέσθαι. ὁ δὲ ὑπὸ φίλου ἢ συγγενοῦς ἢ τέκνου μηκέτι βρέφους ὄντος ἀρρητοποιηθεὶς, εἰς ἔχθραν τῷ ἀρρητοποιήσαντι καταστήσεται. ὁ δὲ ὑπὸ βρέφους ἀρρητοποιηθεὶς, κατορύξει τὸ βρέφος. οὐ γὰρ τὸ τοιοῦτον δή τι ἔστι φιλῆσαι. ὁ δὲ ὑπὸ ἀγνῶτός τινος ἀρρητοποιηθεὶς, ζημιωθήσεται ζημίαν ἥντινοῦν. οὐ γάρ ἐστιν ἐπ' ἀκριβὲς εἰπεῖν, διὰ τὴν εἰς ἄχρηστον ἀπόκρισιν τοῦ σπέρματος. εἰ δὲ αὐτὸς δόξειέ τις ἀρρητοποιεῖν, εἰ μὲν γνώριμόν τινα καὶ συνήθη, εἴτε ἄνδρα εἴτε γυναῖκα, εἰς ἔχθραν καταστήσεται αὐτῷ. διὰ τὸ μὴ δύνασθαι στομάτων ἔτι κοινωνεῖν. εἰ δὲ εἰς ἀγνῶτα, πᾶσι βλαβερόν. πλὴν τῶν διὰ τοῦ στόματος ἐχόντων τὴν ἐργασίαν. δὴ αὐλητὰς λέγω καὶ σαλπικτὰς, καὶ ῥήτορας καὶ σοφιστὰς καὶ εἴ τινες ἄλλοι τούτοις εἰσὶν ὅμοιοι.

Περὶ τῆς παρὰ φύσιν συνουσίας. πγ.

ΠΕρὶ δὲ τῆς παρὰ φύσιν συνουσίας, ταῦτα ἄν τις λέγοι. ἑαυτῷ μιγῆναι

δοκεῖν, πλουσίῳ μὲν ἀπώλειαν τῆς οὐσίας καὶ πολλὴν ἀπορίαν, καὶ λοιμὸν μαντεύεται τὸ ὄναρ, ὡς οὐ παρόντος ἄλλου σώματος· πένητι δὲ, νόσον μεγάλην, ἢ βασάνους ὑπερβαλλούσας. ἄνευ γὰρ μεγάλης βασάνου, οὐκ ἄν τις ἑαυτῷ μιγῇ. εἰ δέ τις ὑπολάβοι καταφιλεῖν τὸ ἑαυτοῦ αἰδοῖον, εἰ μὲν ἄπαις εἴη, παῖδες ἔσονται αὐτῷ. εἰ δὲ ἀποδημοῦντας ἔχοι παῖδας, ἀνακομισθέντας ὄψεται, καὶ τούτους καταφιλήσει. πολλοὶ δὲ καὶ ἔγημαν ἐπὶ τούτῳ τῷ ὀνείρῳ, γυναῖκας οὐκ ἔχοντες. εἰ δ' ἑαυτόν τις ἀρρητοποιεῖν ὑπολάβοι, πένητι μὲν καὶ δούλῳ καὶ καταχρέῳ, συμφέρει· τὴν γὰρ ἑαυτῶν ἀνάγκην περιελοῦσι. κακὸν δὲ τῷ παῖδας ἔχοντι, καὶ τῷ τεκνῶσαι βουλομένῳ· οἱ μὲν γὰρ ὄντες παῖδες, φθαρήσονται, οἱ δὲ, οὐκ ἔσονται. τὸ μὲν γὰρ αἰδοῖον, παισὶν ἔοικε, τὸ δὲ στόμα, τάφῳ. ὅσα γὰρ ἂν λάβοι τὸ στόμα, διαφθείρει καὶ οὐ φυλάττει. ἔτι δὲ καὶ γυναικὸς στερίσκει καὶ ἐρωμένης τοῦτο τὸ ὄναρ. ὁ γὰρ ἑαυτῷ δυνάμενος τὰ ἀφροδίσια παρέχειν καὶ τὰ ἄρρητα, γυναικὸς οὐ δεῖται. τοῖς δὲ λοιποῖς ἀπορίαν βαρεῖαν σημαίνει, καὶ λοιμὸν ἢ νόσον· ἵνα ἐπὶ τὰ ἀναγκαῖα τροφῆς ἕνεκεν ἔλθωσι. τουτέστιν, ὅσα μὴ βούλονται ἀποδοῦναι. ἢ ἵνα ὑπὸ τῆς νόσου τακέντος τοῦ σώματος, δύνωνται διὰ τὴν ἰσχνότητα τὸ στόμα τῷ αἰδοίῳ προσενεγκεῖν. γυνὴ δὲ γυναῖκα ἐὰν περαίνειν δοκῇ, τὰ ἑαυτῆς μυστήρια τῇ περαινομένῃ κοινώσεται. ἐὰν δὲ ἀγνοῇ τὴν περαινομένην, ματαίοις ἐγχειρήσει πράγμασιν. ἐὰν δὲ γυνὴ ὑπὸ γυναικὸς περαίνηται, χωρισθήσεται τοῦ ἀνδρὸς ἢ χηρεύσει. τὰ μέντοι μυστήρια τῆς μιγνυμένης, οὐδὲν ἧττον μαθήσεται. θεῷ δὲ ἢ θεᾷ μιγῆναι ἢ ὑπὸ θεοῦ περανθῆναι, νοσοῦντι μὲν, θάνατον σημαίνει. τότε γὰρ ἡ ψυχὴ τὰς τῶν θεῶν συνόδους τε καὶ μίξεις μαντεύεται, ὅταν ἐγγὺς ᾖ τοῦ καταλιπεῖν τὸ σῶμα, ᾧ ἐνοικεῖ· τοῖς δὲ ἄλλοις ἐὰν μὲν ἥδωνται ἐπὶ τῇ συνουσίᾳ, τὰς ἀπὸ τῶν βελτιόνων ὠφελείας σημαίνει· ἐὰν δὲ μὴ ἥδωνται, φόβους καὶ ταραχάς. ἀρτέμιδι τε καὶ ἀθηνᾷ, καὶ ἑστίᾳ καὶ ῥέᾳ, καὶ ἥρᾳ καὶ ἑκάτῃ μιγῆναι μόναις, οὐ συμφέρει, κἂν ἥδηταί τις· ὄλεθρον γὰρ οὐκ εἰς μακρὰν τῷ ἰδόντι τὸ ὄναρ μαντεύεται.

videri, diuiti quidem amissionem bonorum, & multam inopiam, & pestem præsagit, tanquam videlicet non sit aliud corpus, pauperi autem morbum magnum, aut tormenta superexcellentia portendit. Citra magnam enim torturam, nemo sibiipsi misceri potest. Si verò quis existimet se pudendum suum osculari, si quidem liberis careat, filij ipsi nascentur. Si autem apud exteros habuerit, reuersos videbit, eósque osculabitur. Multi autem & vxores duxerunt ob hoc somnium, qui prius non habuerunt. Si verò quis sese fellare putet, pauperi quidem, & seruo, & obærato conducit, etenim ex sua ipsorum necessitate sese excitabunt. Malum est autem filios habenti, & liberos generare meditanti: quos enim iam habet amittet, & nulli amplius generabuntur. Nam pudendum simile est pueris, os verò sepulcro. Quæ enim acceperit os, ea corrumpit, & non seruat. Insuper & vxore & amico spoliat hoc somnium. Qui enim sibiipsi rem veneream exhibere potest, itémque fellationem, vxore non habet opus. Reliquis grauem indigentiam ac inopiam protendit, & pestem, aut morbum, vt ad pudenda alimenti gratia perueniant, hoc est ad ea quæ dare non possunt. Aut vt corpore per morbum consumpto, præ gracilitate queant os pudendo adhibere. Porro si mulier mulierem inire sibi videatur, sua arcana initæ communicabit. Si verò non noscat initam, vana negotia aggredietur. Si verò mulier à muliere ineatur, separabitur à viro, aut vidua reddetur, & tamen arcana eius cum qua mixta fuit, nihilominus discet. Deo aut deæ misceri, aut à deo iniri, ægrotanti quidem mortem præsagit. Tunc enim anima deorum congressus ac mixturas vaticinatur, cùm propè iam adest tempus vt corpus relinquat, cui inhabitat. Reliquis verò si quidem delectentur in coitu, à præstantioribus vtilitates significat. Si verò non delectentur, timores & turbationes. Verùm Dianæ & Mineruæ, Vestæque ac Rheæ, Iunoni etiam atque Hecatæ, solis his misceri, non conducit, etiam si quis inde voluptatem capere sibi videatur. Interitum enim non ita longè abesse somnianti somnium præsagit.

Castæ enim sunt hæ deæ, & eos qui ipsas tentarunt, non bonas aggressiones tentasse deprehendimus. Lunæ misceri, naucleris & nauium gubernatoribus, mercatoribúsque & his qui cœlestium rerum speculationi intenti sunt, itémque peregrinationis studiosis, & vagabundis hominibus valde prodest, reliquis aquam inter cutem portẽdit, atque illis quidem propter motum, & quòd Theoremata ac speculationes absque ipsa non consistũt, conducit. hos verò humida existens corrumpit. Mortuo misceri & viro, & fœminæ, excepta matre, & sorore, & vxore, & amica. Item à mortuo iniri, valde absurdum est. Mortui enim in terram transmutati sunt. Inire igitur ipsos, nihil aliud est, quàm in terram impelli: & iniri ab iisdem, nihil aliud est, quàm terram in corpus suscipere: quæ ambo mortem significant, exceptis his qui in aliena regione sunt, & nõ vbi mortui sepulti existunt: his enim reuersionẽ in illam terrã significat. Sed & eos qui ex sua terra abitionem moliũtur, retinet somnium hoc. Qualicunque autem feræ seu bestię mixtus esse sibi quis videatur, si quidem ipse ineat, vtilitates aliquas capiet à tali quopiam, qualis sanè fuerit fera. Demonstrabimus autem singulatim has ipsas in tractatu de venatione, & de animalibus. Si verò ipse ineatur, violenta & grauia negotia sustinebit. Multi autem & in huiusmodi mortui sunt. Et de coitu quidem hactenus.

σεμναὶ γὰρ αἱ θεαί· καὶ τοὺς ἐπιχειρήσαντας αὐταῖς, οὐκ ἀγαθῶν τῶν ἐπιχειρήσεων τυχεῖν ὑπειλήφαμεν. σελήνῃ δὲ ἐπιμιγῆναι, ναυκλήροις καὶ κυβερνήταις, ἐμπόροις καὶ τοῖς τὰ οὐράνια διασκεπτομένοις, καὶ φιλαποδήμοις καὶ πλάνησι, πάνυ συμφέρει· τοῖς δὲ λοιποῖς, ὑδρωπιάσαι σημαίνει· τοῖς μὲν γὰρ διὰ τὴν κίνησιν· τοῖς δὲ, τὸ μὴ ἄνευ αὐτῆς τὰ θεωρήματα συνεστάναι, συλλαμβάνεται. τοὺς δὲ, ὑγρὰ οὖσα, διαφθείρει· νεκρῷ δὲ μιγῆναι, καὶ ἀνδρὶ καὶ γυναικὶ, πλὴν μητρὸς καὶ ἀδελφῆς καὶ γυναικὸς καὶ ἐρωμένης, καὶ τὸ περανθῆναι ὑπὸ νεκροῦ, πάνυ ἄτοπον· οἱ μὲν γὰρ ἀποθανόντες, μετέβαλλον εἰς γῆν. τὸ περαίνειν οὖν αὐτοὺς οὐδέν ἐστιν ἄλλο, ἢ εἰς γῆν ὠθεῖσθαι. καὶ τὸ περαίνεσθαι, γῆν εἰς τὸ σῶμα παραδέχεσθαι. ἃ δὴ ἀμφότερα, θάνατον σημαίνει· πλὴν τῶν ἐν ἀλλοδαπῇ ὄντων καὶ μὴ ἔνθα οἱ νεκροὶ κατατεθαμμένοι εἰσί. τούτοις γὰρ εἰς ἐκείνην τὴν γῆν ἀνακομιδὴν σημαίνοι. καὶ τοὺς ἐκ τῆς γῆς ἑαυτῶν ἀπαλλακτικῶς ἔχοντας, κατέχει. ὅτῳ δ' ἂν τις ὑπολάβοι θηρίῳ μεμίχθαι, ἐὰν μὲν αὐτὸς ὀχεύῃ, ὠφεληθήσεταί τινας ὠφελείας ἀπὸ τοιούτου τινὸς, οἷον ἂν ᾖ τὸ θηρίον. δείξομεν δὲ τούτων ἕκαστον, ἐν τῷ περὶ κυνηγίου καὶ ζώων λόγῳ. ἐὰν δὲ ὀχεύηται, βίαια καὶ πονηρὰ πράγματα ὑπομενεῖ. πολλοὶ δὲ καὶ ἐπὶ τοιούτοις, ἀπέθανον. περὶ μὲν συνουσίας, ταῦτα.

De Somno & Dormitione.

CAP. 84.

IPsum quidẽ dormire sibi videri actiones impedit. Et parare vt dormias, etiã ipsum actionibus obstat, & omnibus malum est, exceptis his qui timent, & tormenta expectant. Ab omni enim cura & timore liberat somnus. At verò exurgere à somno, actiones & operas prædicit. Solis verò timentibus malum est. In templo dormire sibi videri, ægrotanti quidem sanitatem, sano verò morbũ aut magnas curas præsagit. Ille enim quietẽ à morbo habebit, propterea quòd

Περὶ ὕπνου καὶ τοῦ καθεύδειν. πδʹ.

ΑΥτὸ μὲν τὸ καθεύδειν δοκεῖν, ἄπρακτον. καὶ τὸ μέλλειν ὑπνοῦν, καὶ αὐτὸ ἄπρακτον καὶ πονηρὸν πᾶσι, πλὴν τῶν φοβουμένων καὶ προσδοκώντων βασάνους. πάσης γὰρ ἀπαλλάττει φροντίδος καὶ δέους παντὸς ὁ ὕπνος. τὸ δὲ ἀνίστασθαι ἐξ ὕπνου, πράξεις καὶ ἐργασίας προαγορεύει. μόνοις δὲ τοῖς φοβουμένοις ἐστὶ πονηρόν. Ἐν ἱερῷ δὲ καθεύδειν δοκεῖν, νοσοῦντι μὲν, ὑγείαν· ἐρρωμένῳ δὲ, νόσον ἢ μεγάλας φροντίδας προαγορεύει. ὁ μὲν γὰρ, ἀνάπαυλαν ἕξει τῆς νόσου, διὰ τὸ τοὺς

καθεύδοντας μὴ ἀντιλαμβάνεσθαι πόνων. ὁ δὲ, ἐπὶ λατρείαν θεῶν κατελεύσεται, ὥς τε τούτων δεηθῆναι ἕνεκεν ἰάσεως· ἐν μνήμασι δὲ καὶ τάφοις καὶ ἐν ὁδῷ καθεύδειν, τοῖς μὲν νοσοῦσι, θάνατον προαγορεύει. τοῖς δὲ ἐρρωμένοις, ἀπραξίαν. ἄπρακτοι γὰρ αἱ τοιαῦται διατριβαί τε καὶ τὰ χωρία.

dormientes non capessunt labores. hic verò ad deorum cultum perueniet, vt eos roget pro impetranda sanatione. In monumentis autem & sepulcris & in via dormire, ægrotantibus quidem mortem prædicit. Sanus verò actionum impedimentum. Otiosæ enim sunt eiusmodi conuersationes ac regiones.

Περὶ τοῦ ἔρρωσο καὶ ὑγίαινε. πε.

Ἔρρωσο δὲ καὶ ὑγίαινε, οὔτε λέγειν οὔτε ἀκούειν ἀγαθόν. οὐ γὰρ προσιόντες ἀλλήλοις, οὔτε μέλλοντές τι πράττειν, ταῦτα λέγουσιν ἄνθρωποι, ἀλλὰ ἀπαλλαττόμενοι ἀλλήλων, καὶ πρὸς ὕπνον τρεπόμενοι. διὸ καὶ γάμους καὶ κοινωνίας διΐστησι, καὶ τοὺς νοσοῦντας ἀναιρεῖ. Ἡ μὲν οὖν πρώτη τῆς πραγματείας βίβλος Κάσσιε Μάξιμε, τὸν ἐπιβάλλοντα λόγον ἀποχρεώντως, καὶ ὡς μήτε ἐνδεῖν τι τῶν ἀναγκαίων, μήτε ὑπερβάλλειν τι τῶν ἀναγκαίων, ἀπείληφεν. ἐν δὲ τῇ δευτέρᾳ βίβλῳ, ὃν ἐπηγγειλάμεθα ἐν ἀρχῇ τῆσδε τῆς βίβλου, λόγον, ἀποδώσομεν.

De Vale & Salue.

CAP. 85.

Vale & salue, neque dicere, neque audire bonum est. Non enim accedentes se, neque aliquid facere parantes homines talia dicunt, sed inuicem discedentes, & ad somnum se conuertentes. Quapropter etiam nuptias & societates dirimunt, & ægrotantes occidunt. Primus quidem igitur liber huius tractationis Cassi Maxime, pertinentem ad se & debitum sermonem sufficienter, & vt neque necessarium quid desit neque eorundem quid superfluat, accepit. In secundo autem libro eum quem in principio huius libri promisimus, sermonem exequemur.



ΤΑ ΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩι ΔΕΥΤΕΡΩι ΒΙΒΛΙΩι ΤΩΝ Ἀρτεμιδώρου Ὀνειροκριτικῶν.

QVÆ IN SECVNDO LIBRO ARTEMIDORI DE SOMNIORVM interpretatione contineantur.

De nu-

ἈΡΤΕΜΙΔΩΡΟΥ ΔΑΛΔΙΑΝΟΥ ὈΝΕΙΡΟΚΡΙΤΙΚΩΝ, ΒΙ-βλίον δεύτερον.

ΠΡΟΟΙ'ΜΙΟΝ.

ARTEMIDORI DE SOMNIORVM INTERPRETAT. LIB. II.

PRÆFATIO.

IN primo libro, Cassi Maxime, de artis documentis, & de doctrina quomodo somnia iudicare oportet, & de his de quibus in vtroque libro à me scribetur, & de omnibus circa hominem communibus, & in vsu existentibus, sermonem feci, semper hoc obseruans, vt nisi magna vrgente necessitate, veteres non contingerem, nihil relinquens eorum quæ ad rem spectare videntur, nisi si quid veteres nos anticipantes eruditè exposuerũt, de quo me verba facere non erat necesse,

Ἐν τῇ προτέρῃ βίβλῳ, Κάσιε Μάξιμε, τὰς τεχνικὰς ὑποθήκας καὶ τὴν τοῦ ὅπως δεῖ κρίνειν τοὺς ὀνείρους διδασκαλίαν καὶ ἐπαγγελίαν τῶν ἐν ἀμφοτέραις ταῖς βίβλοις γραφησομένων, καὶ περὶ πάντων τῶν περὶ ἀνθρώπων κοινῶν τε καὶ ἐν χρήσει ὄντων, ἐποιησάμην τὸν λόγον. ἀεὶ φυλαττόμενος ὅπου γε μὴ μεγάλη ἀνάγκη ἤπειγε, μὴ συμπεσεῖν τοῖς παλαιοῖς· παραλείπων οὐδὲν τῶν δεόντων, ἢ εἴ τι προλαβόντες οἱ παλαιοὶ διδασκαλικῶς ἐξηγήσαντο· περὶ ὧν οὐκ ἐχρῆν ἐμὲ λέγειν,

ἵνα μὴ ἀντιλέγειν ἐπιχειρῶν, ψεύδεσθαι ἀναγκάζωμαι, ἢ τὰ αὐτὰ λέγων ἀποκλείω τῆς εἰς μέσον παρόδου τὸν πόνον τῶν παλαιῶν. ἐν δὲ ταύτῃ τῇ βίβλῳ τὴν ὀφειλομένην διαίρεσιν ἀποδώσω. αἰτοῦμαι δὲ παρὰ σοῦ τὴν τῶν πραγμάτων ἀκολουθίαν, καὶ τὴν ἀκρίβειαν τῶν κρίσεων, ἐφ' ᾧ καὶ μέγα φρονῶ, παρακολουθεῖν· κατὰ τὴν φράσιν δὲ, μὴ παραβάλλειν τοῖς σοῖς λόγοις, ἀλλ' ὅσον ἐν νυκτὶ λύχνος τὴν ἡλίου χρείαν τοῖς χρῄζουσι παρέχει, τοσαύτην ἡγήσασθαι πρὸς τὴν τῶν νοουμένων ἐπαγγελίαν δύναμιν ἐμὲ ἔχειν. λοιπὸν δὲ, καιρὸς γὰρ καλεῖ, ἐπὶ τὰς κρίσεις τρέψομαι.

vt ne contradicere aggrediens, mentiri cogerer, aut eadem dicens, laborem veterum ab accessu in medium excluderẽ. Verùm in hoc libro promissam diuisionem ex debito persoluam. Peto autem à te vt rerum consequentiam, etiam ad iudicationum certitudinem, in qua magnopere mihi placeo, rectè habere ac sequi iudices, & vt ipsam dictionem cum tua eloquentia non conferas, sed quantum noctis tempore lucerna solis vsum exhibet, his qui eo opus habent, tantam putes me habere facultatem, ad ea quæ intelligo & mente concepi prodenda. Cæterum tempus iam vocat, vt ad iudicationem conuertar.

Περὶ ἐγρηγόρσεως. α'.

Περὶ μὲν τοῦ δοκεῖν ἐξ ὕπνου ἐγείρεσθαι, ἐν τῷ περὶ τοῦ ὕπνου προειρήκαμεν λόγῳ. αὐτὸ δὲ τὸ ἐγρηγορέναι δοκεῖν νυκτὸς κατακεκλιμένον ἐν κοίτῃ, φροντίδας ὑπερβαλλούσας τινὰς τοῖς εὐπορουσι προαγορεύει· πένησι δὲ καὶ τοῖς ἐπιτιθεμένοις τισὶν, ἀγαθόν. οἱ μὲν γὰρ, οὐχ ἕξουσι σχολήν. οἱ δὲ, μετὰ πολλῆς προνοίας ἐπιτιθέμενοι, οὐκ ἀστοχήσουσιν. ὅμοιον δ' ἂν εἴη τούτῳ, καὶ τὸ ὀξὺ τοῖς ὀφθαλμοῖς ὁρᾶν, καὶ τὸ ἐν νυκτὶ καὶ σκότει φῶς ἰδεῖν αἰφνίδιον ἀναλάμψαν.

De Vigilia. CAP. I.

De eo quod quis sibi videatur ex somno excitari, in sermone de somno prædiximus. Verùm vigilare sibi videri aliquem noctu reclinatum in cubili, curas quasdam superexcellentes opulentis præsagit. Pauperibus verò, & his qui aliquibus insidias struũt, bonum est. Illi enim vacationem non habebunt. Hi verò cum multa prouidentia struentes insidias, à proposito scopo non aberrabunt. Huic simile est somnium, quum quis se noctu acutè cernere oculis putat, & in nocte ac tenebris, luminis repentinum splendorem videre.

Περὶ προόδου καὶ ἀσπασμοῦ. β'.

Προϊέναι δὲ εὐμαρῶς ἕωθεν, καὶ μὴ κωλύεσθαι ὑπό τινος τῶν ἔνδον, μήτε ἐναποκλείεσθαι, ἀγαθόν. τὰς γὰρ κατὰ προαίρεσιν καὶ γνώμην πράξεις σημαίνει. τὸ δὲ μὴ δύνασθαι προϊέναι, τὰς ἐξόδους τῆς οἰκίας τῆς ἑαυτοῦ ἢ ἧστινοσοῦν, ἐν ᾗ ἂν ὑπολάβοι τίς εἶναι μὴ εὑρίσκειν, κατοχὰς μὲν τοῖς ἀποδημεῖν προαιρουμένοις, ἐμπόδια δὲ τοῖς πράττειν τι βουλομένοις, μακρὰν δὲ νόσον, τῷ κάμνοντι, καὶ τῷ πάλαι νοσοῦντι, θάνατον προαγορεύει. ἀσπάζεσθαι δὲ τοὺς συνήθεις

De Progressu, & Salutationibus. CAP. 2.

Progredi manè facilè, & neque prohiberi, neque includi, ab aliquo eorum qui intus sunt, bonum est. Iuxta voluntatem enim & ex animi sententia actiones processuras significat. At verò progredi non posse, & domus proprię aut cuiuscũque in qua quis se esse putat, exitus non reperire, detentiones quidẽ peregrinari volentibus, impedimenta autem agere quid destinatibus, longũ verò morbum ægrotanti, & ei qui diu ægrotauit, mortẽ præsagit. Salutare autẽ familiares

& compellare, & osculari, bonum est. Iucundos enim sermones tum dicturum, tum auditurum esse significat. Verùm non familiares, aliâs autem notos alloqui, minus bonum est. Hostes verò & inimicos compellare & osculari sibi videri, inimicitiæ solutionem facit. Mortuos osculari, ægrotanti quidem interitum præsagit. sano autem sermonibus seriis in præsens vti interdicit, propterea quòd mortuo ori labra coniunxit. Eos verò qui in vita amicissimi & iucundissimi nobis fuerunt, mortuos osculari, non impedit neque sermonibus vti, neque aliud quid facere.

De Vestitu, & Mundo omnis generis, virili, ac muliebri.

CAP. 3.

DE vestitu, & ornatu omnigeno verba facturus, primùm de virili supellectile, tum vernaculo, tum peregrino, opinor tractare oportere. Vestitus consuetus, omnibus bonus est, & qui iuxta anni tempus commodus existit. Æstatis enim tempore lintea, & vestimenta detrita gestare sibi videri, bonum vtique fuerit, & sanitatis signum. hyeme verò lanea, eaque noua. Soli verò litem habenti, & ex seruitute manumiti cupienti, nouæ vestes malæ sunt, etiam si hyeme videantur, propterea quòd operosum sit ipsas deterere, & plurimum reluctentur. Alba vestimenta solis sacrificis conferunt, & seruis Græcorum, reliquis turbationes significant. propterea quòd hi qui in turba versantur albo vestitu vtantur. Opificibus autem manuarijs cessationem & otium portendunt, & quantò pretiosiora fuerint vestimenta, tantò plus otij prædicunt. Neque enim operas obeuntes homines, & maximè qui mechanicas artes exercent, albis vestibus vtuntur. Seruis autem Romanorum solis his qui rectè agunt conferunt, reliquis mala sunt. Manifestos enim faciunt malè facientes, & propterea quòd eundem cum dominis vt plurimum vestitum habent, ob hoc somnium liberi non fiunt,

καὶ προσαγορεύειν καὶ καταφιλεῖν, ἀγαθόν. ἡδεῖς γὰρ λόγους καὶ εἰπεῖν καὶ ἀκοῦσαι σημαίνει. τοὺς δὲ μὴ συνήθεις ἄλλως δὲ γνωρίμους προσαγορεύειν, ἧττον ἀγαθόν. ἐχθροὺς δὲ προσαγορεύειν, καὶ φιλεῖν δοκεῖν, τῆς ἔχθρας λύσιν ποιεῖ. νεκροὺς δὲ καταφιλεῖν δοκεῖν, νοσοῦντι μὲν, ὄλεθρον μαντεύεται. ἐρρωμένῳ δὲ παραγγέλλει λόγοις σπουδαίοις κατὰ τὸ παρὸν μὴ κεχρῆσθαι· διὰ τὸ νεκρῷ στόματι συμβάλλειν τὰ χείλη. τοὺς δὲ ὅτε ἔζων φιλτάτους τε καὶ ἡδίστους γεγονότας, νεκροὺς καταφιλεῖν, οὐ κωλύει οὔτε λόγοις χρῆσθαι, οὔτε ἄλλό τι πράττειν.

Περὶ ἐσθῆτος καὶ κόσμου παντοδαποῦ ἀνδρείου τε καὶ γυναικείου. γʹ.

ΠΕρὶ ἐσθῆτος καὶ κόσμου παντοδαποῦ ποιούμενος τὸν λόγον, πρότερον περὶ ἀνδρείας σκευῆς ἐγχωρίου τε καὶ ξένης ἡγοῦμαι δεῖν διαλαβεῖν. ἐσθὴς ἡ συνήθης, πᾶσιν ἀγαθή· καὶ ἡ κατὰ τὴν ὥραν τοῦ ἔτους. θέρους μὲν γὰρ ὄντος, ὀθόνια τε καὶ τρίβακα ἱμάτια δοκεῖν φορεῖν, ἀγαθὸν ἂν εἴη, καὶ ὑγιείας σύμβολον. χειμῶνος δὲ ἔρεινα ἱμάτια καὶ ταῦτα καινά. μόνῳ δὲ τῷ δίκην ἔχοντι καὶ δουλείας ἀπαλλαγῆναι ποθοῦντι, πονηρὰ τὰ καινὰ ἱμάτια. καὶ χειμῶνος βλέπεται, διὰ τὸ πολλὴν ἔχειν τρίψιν, καὶ ἐπιπολὺ ἀντέχειν· λευκὰ δὲ ἱμάτια, τοῖς ἱερεῦσι μόνοις συμφέρει· καὶ δούλοις Ἑλλήνων. τοῖς δὲ ἄλλοις ταραχὰς σημαίνει, διὰ τὸ τοὺς ἐν ὄχλῳ ἀναστρεφομένους, λευκὰ ἔχειν ἱμάτια. χειροτέχναις δὲ, ἀργίαν καὶ σχολὴν. καὶ ὅσῳ ἂν πολυτελέστερα ᾖ τὰ ἱμάτια, τοσούτῳ πλείονα. οὐ γὰρ πρὸς ἔργῳ ὄντες οἱ ἄνθρωποι, καὶ μάλιστα οἱ τὰς βαναύσους τέχνας ἐργαζόμενοι, λευκοῖς ἱματίοις χρῶνται. δοῦλοι δὲ ῥωμαίων μόνοις τοῖς εὖ πράσσουσι· τοῖς δὲ ἄλλοις, πονηρόν. ἐλέγχει γὰρ τοὺς κακῶς πράσσοντας, διά τε τὴν αὐτὴν τοῖς δεσπόταις ὡς ἐπιτοπλεῖστον ἔχειν ἐσθῆτα, ἐπὶ τούτῳ τῷ ὀνείρῳ οὐ γίνονται ἐλεύθεροι,

ὥσπερ οἱ τῶν Ἑλλήνων. ἀνδρὶ δὲ νοσοῦντι λευκὰ ἔχειν ἱμάτια, θάνατον προαγορεύει· διὰ τὸ τοὺς ἀποθανόντας ἐν λευκοῖς ἐκφέρεσθαι· τὸ δὲ μέλαν ἱμάτιον, σωτηρίαν σημαίνει· οὐ γὰρ οἱ ἀποθανόντες, ἀλλ' οἱ πενθοῦντες τοὺς ἀποθνήσκοντας, τοιούτοις χρῶνται. οἶδα δὲ ἐγὼ πολλοὺς καὶ πένητας καὶ δούλους καὶ δεσμώτας νοσοῦντας, οἳ καὶ μέλανα δοκοῦντες ἔχειν ἱμάτια, ἀπέθανον· ἦν γὰρ εἰκὸς τούτους μὴ ἐν λευκοῖς διὰ τὴν ἀπορίαν ἐκκομισθήσεσθαι. ἔστι δὲ ἄλλως ἡ μέλαινα ἐσθὴς, πᾶσι πονηρά· πλὴν τῶν τὰ λαθραῖα ἐργαζομένων· ποικίλην δὲ ἐσθῆτα ἔχειν ἢ ἁλουργίδα, ἱερεῦσι μὲν καὶ θυμελικοῖς, καὶ σκηνικοῖς, καὶ τοῖς περὶ τὸν Διόνυσον μόνοις τεχνίταις συμφέρει. τοῖς δὲ λοιποῖς, ταραχὰς καὶ κινδύνους μόνους ἐπιφέρει, καὶ τὰ κρυπτὰ ἐλέγχει. τοὺς δὲ νοσοῦντας ὑπὸ δριμέων χυμῶν καὶ πολλῆς χολῆς, ἐνοχληθῆναι σημαίνει. πορφυρᾶ δὲ ἐσθὴς, δούλοις ἀγαθὴ καὶ πλουσίοις· οἷς μὲν γὰρ διὰ τὸ μὴ μετεῖναι, ἐλευθερίαν σημαίνει· οἷς δὲ διὰ τὸ μὴ ἐπιτάττειν, καὶ τῷ ἀξιώματι κατάλληλον εἶναι, τιμὴν καὶ εὐδοξίαν προαγορεύει. νοσοῦντα δὲ ἀναιρεῖ, καὶ πένητα βλάπτει· πολλοῖς δὲ καὶ δεσμὰ προήγγειλε. χρὴ γὰρ τὸν ἔχοντα πορφύραν, πάντως διάδημα ἢ στέφανον ἔχειν· καὶ πολλοὺς ἀκολούθους ἢ φύλακας. τοῖς δὲ περὶ τὸν Διόνυσον τεχνίταις, τὰ αὐτὰ τῇ ἁλουργίδι σημαίνει. κοκκίνη δὲ ἐσθὴς καὶ πᾶσα ἡ τοιαύτη ἐσθὴς, ἢ πορφυροβαφὴς, οἷς μὲν τραύματα, οἷς δὲ πυρετὸν ἐπιφέρει. γυναικεία δὲ ἐσθὴς, ἀγάμοις μόνοις συμφέρει· καὶ τοῖς ἐπὶ θυμέλην ἀναβαίνουσιν· οἱ μὲν γὰρ γαμήσουσιν οὕτω κατὰ θυμὸν γυναῖκας, ὥστε τοῖς αὐτοῖς χρῆσθαι κόσμοις. οἱ δὲ, διὰ τὸ ἐν τῇ ὑποκρίσει ἔθος, μεγάλας ἐργασίας καὶ μισθοὺς λήψονται. τοὺς δὲ λοιποὺς, ἢ τῶν γυναικῶν στερίσκει, ἢ νόσῳ μεγάλῃ περιβάλλει. διὰ τὸ μαλθακὸν καὶ ἀσθενὲς τῶν τὰ τοιαῦτα φορούντων. ἐν μὲν ταῖς ἑορταῖς καὶ πανηγύρεσιν, οὔτε ποικίλη, οὔτε γυναικεία βλάπτει τινὰ ἐσθής. βαρβαρικὴν δὲ ἐσθῆτα ἔχειν ἐνεσκευασμένον ὥσπερ οἱ βάρβαροι, ἐκεῖ μὲν ἀπιέναι βουλομένῳ ὅπου τοιαύτῃ ἐσθῆτι χρῶνται οἱ ἐκεῖ διαβιοῦντες, ἀγαθὰς τὰς ἐκεῖ γενέσθαι διατριβὰς

serui Græcorum. Viro ægrotanti alba vestimenta habere, mortem prædicit. propterea quòd mortui in albis efferantur. Niger vestitus salutem prænuntiat. Non enim mortui, sed mortuos lugentes eiusmodi vtuntur. Noui autem ego multos & pauperes, & seruos, & vinctos ægrotantes, qui etiam quum viderentur sibi nigra habere vestimenta, mortui sunt. Verisimile enim erat hos non in albis propter inopiam efferendos esse. Est autem alias niger vestitus omnibus malus, exceptis his qui clancularia operantur. Variam autem habere vestem aut purpuream, Halurgidem Græcis appellatam, sacrificis quidem & Thymelicis, histrionibúsque & scenicis, & Dionysiacis artificibus confert. Aliis turbationes & pericula sola inducit, & occulta reuelat. Ægrotos verò ab acribus humoribus & multa bile infestari significat. Purpurea vestis, seruis bona est, & diuitibus. Illis enim propterea quòd aliâs ius gestandi non habent, libertatem & manumissionem significat. his verò propterea quòd aliâs imperium & iubendi potestatem non habent, & quòd dignitati purpura conueniens existat, honorem & celebritatem præsagit. Ægrotantem autem occidit, & pauperi damnosum est somnium. Multis etiam vincula annuntiauit. Oportet enim eum qui purpuram gerit, omnino diadema aut coronam habere, & multos comites ac custodes. Verùm Dionysiacis artificibus eadem quæ Halurgis significat. Coccina & omnis vestis huiusmodi, aut purpurei tinctus, aliis quidem vulnera, aliis verò febrem inducit. Fœminea vestis solis his qui vxores non habent conducit, & his qui in orchestram conscendunt. Illi enim vxores ducent adeò ex animi sententia, vt iisdem vtantur ornatibus. hi verò ex consuetudine agendi personas, magnos quæstus ac lucrum facient. Reliquos aut vxoribus spoliat, aut morbo magno obiicit, propter mollitiem & debilitatem eorum qui talia gestant. Et tamen in festiuitatibus & conuentibus, neque varia, neque mulieribus vestis quenquam lædit. Barbaricam vestē habere eo quo Barbari solent modo præparatam, ei quidem qui ad eos abire constituit, qui tali vestitu vtuntur, bonas cōuersationes

istic futuras significat. Sæpè verò & vitam istic finiturum & transacturum esse prænuntiat. Reliquis morbum aut actionum impedimentum indicat. Eadem significat & vestis Romana, toga videlicet, quàm nunc Tibenum vocant, à Timeno Arcade, qui primus suam chlamydem hoc modo circundedit, quum per sinum Ionium nauigasset, & ab his qui istic habitant susceptus esset, à quo indigenæ edocti eodem modo præparauerunt, & vestitum Timenium vocauerunt, cognominem Timeno inuentori. Verùm posterioribus temporibus corrupto nomine Tibenus appellatus est. Molli & sumptuosa veste vti, diuitibus & pauperibus bonum est. Illis enim præsentes delitiæ perseuerabunt, his verò res luculentiores erunt. Seruis autem & egenis morbum prædicunt. Mutilæ & indecoræ vestes, damnum & improsperum rerum agendarum successum significant. Chlamys quàm aliqui Mandyan, alij Ephestridem, alij Bercon vocant, tribulationem & angustias, & litigantibus damnationem significat, propterea quòd corpus circumamplectatur. Idem etiam penula, & si quod aliud vestimenti genus his simile sit significat. quare tales vestes perdere melius est quàm habere. Verùm nullius alterius vestimenti perditio confert, præterquam pauperibus, & seruis, & vinctis, & obæratis, & omnibus in captiuitate detentis. Deperdita enim hæc, malorum corpus occupantium perditionem significant. Aliis verò neque nudari, neque vestimenta perdere bonum est. Quicquid enim ad ornatum alicuius spectat periturum esse prædicit. Mulieri autem florida & varia vestis conducit, maximè meretrici & opulentæ. Illa enim ob quæstum, hæc ob delitias, floridis vestibus vtitur. Vestimenta coloris natiui, omnibus bonum significant, maximè verecundis. Hic enim color manifestari non sinit. Præstat autem semper munda & splendida vestimenta habere, itémque probè lota, quàm sordida & illota, exceptis his qui sordida opificia exercent.

σημαίνει. πολλάκις δὲ καὶ τὸ ἐκεῖ καταβιῶναι προαγγέλλει· τοῖς δὲ λοιποῖς νόσον ἢ ἀπραγίαν δηλοῖ. τὰ δ᾽ αὐτὰ καὶ ἡ ῥωμαϊκὴ ἐσθὴς, ἣν νῦν τήβεννον καλοῦσιν· ἀπὸ Τημένου τοῦ ἀρκάδος, ὃς πρῶτος τὴν ἑαυτοῦ χλαμύδα τοῦτον περιεβάλλετο τὸν τρόπον, εἰσπλεύσας κατὰ τὸν Ἰόνιον κόλπον, καὶ ὑποδεχθεὶς ὑπὸ τῶν ταύτῃ κατοικούντων· ἀφ᾽ οὗ μαθόντες καὶ οἱ ἐγχώριοι, τὸν αὐτὸν ἐσκευάσαντο τρόπον· καὶ ἐκάλουν τὴν ἐσθῆτα τημένιον, ἐπώνυμον Τημένου τοῦ εὑρόντος. ὕστερον δὲ τῷ χρόνῳ διαφθαρὲν τὸ ὄνομα, τήβεννος ἐκλήθη. μαλακῇ δὲ ἐσθῆτι καὶ πολυτελεῖ χρῆσθαι, πλουσίοις μὲν, ἀγαθὸν καὶ πένησιν. οἷς μὲν γὰρ ἡ παροῦσα διαμένει τρυφή· οἷς δὲ, φαιδρότερα τὰ πράγματα ἔσται. δούλοις δὲ καὶ ἀπόροις, νόσον προαγορεύει. κολοβαὶ δὲ καὶ ἀπρεπεῖς ἐσθῆτες, ζημίας καὶ ἀπραξίας σημαίνουσι. χλαμὺς δὲ ἣν ἔνιοι μανδύην, οἱ δὲ ἐφεστρίδα, οἱ δὲ, βύρρον καλοῦσι, θλίψιν καὶ στενοχωρίαν καὶ τοῖς δικαζομένοις καταδίκην μαντεύεται, διὰ τὸ ἐμπεριέχειν τὸ σῶμα. τὸ δὲ αὐτὸ καὶ ὁ λεγόμενος φαινόλης· καὶ εἴτι ἄλλο τούτοις ὅμοιον εἴη· ὅθεν ἀπολύειν τὰ ἱμάτια ταῦτα ἢ ἔχειν βέλτιον· τῶν δὲ ἄλλων ἱματίων οὐδὲν ἀπολλύμενον συμφέρει· εἰ μή που τοῖς πένησι καὶ δούλοις, καὶ δεδεμένοις, ἢ καταχρέοις, καὶ πᾶσι τοῖς ἐν συνοχῇ οὖσιν. ἀπολλύμενα γὰρ ταῦτα, τῶν περιεχόντων τὸ σῶμα κακῶν ἀπώλειαν σημαίνει· τοῖς δὲ ἄλλοις, οὔτε γυμνοῦσθαι, οὔτε ἱμάτια ἀπολλύειν ἀγαθόν. πᾶν γὰρ τὸ πρὸς κόσμον τινὸς ἀπολέσθαι σημαίνει. γυναικὶ δὲ ποικίλη καὶ ἀνθηρὰ ἐσθὴς συμφέρει. μάλιστα δὲ ἑταίρᾳ καὶ πλουσίᾳ. ἡ μὲν γὰρ διὰ τὴν ἐργασίαν, ἡ δὲ, διὰ τὴν τρυφὴν, ἀνθηραῖς ἐσθῆσι χρῶνται. τὰ δὲ ἰδιόχροα ἱμάτια, πᾶσιν ἀγαθὸν σημαίνουσι. καὶ μάλιστα τοῖς εὐλαβουμένοις· ἐξελεγχθῆναι γὰρ οὐκ ἐᾷ τὸ τοιοῦτον χρῶμα. ἀεὶ δὲ ἄμεινον, καθαρὰ καὶ λαμπρὰ ἱμάτια ἔχειν, καὶ πεπλυμένα καλῶς, ἢ ῥυπαρὰ καὶ ἄπλυτα, πλὴν τῶν τὰς ῥυπώδεις ἐργασίας ἐργαζομένων.

Περὶ τοῦ δοκεῖν τὰ ἑαυτοῦ ἱμάτια πλύνειν. δ'.

Τὸ δὲ δοκεῖν τὰ ἑαυτοῦ πλύνειν ἱμάτια, ἢ τὰ ἄλλου, ἀποθέσθαι τι τῶν δυσχερῶν κατὰ τὸν βίον σημαίνει· διὰ τὸ καὶ τὰ ἱμάτια τὸν ῥύπον ἀποβάλλειν. καὶ τὰ κρυπτὰ ἐξελέγξαι καὶ ἐκμαθεῖν ποιεῖ. πλύνειν γὰρ καταχρηστικῶς τὸ ἐλέγχειν ἔλεγον οἱ παλαιοί, ὥς που καὶ Μένανδρος,

Ἢν γὰρ κακῶς μου τὴν γυναῖκ' οὕτω λέγῃς,
Τὸν πατέρα καὶ σὲ τούς τε σοὺς ἐγὼ πλυνῶ.

ἀντὶ τοῦ ἐλέγξω. ὅθεν καὶ τοῖς φοβουμένοις ἐλεγχθῆναι, φοβερὸν τὸ πεπλυμένα ἱμάτια φορεῖν καὶ ἰδεῖν.

Περὶ τοῦ κόσμου τοῦ ἐκτός. ε'.

Δακτύλιοι ἐκτὸς σιδηροῖ, ἀγαθὸν μὲν, οὐκ ἄνευ δὲ καμάτου τὰ ἀγαθὰ σημαίνουσι. πολύκμητον γὰρ ὁ ποιητὴς τὸν σίδηρον ἐκάλει. ἀγαθοὶ δὲ καὶ οἱ χρυσοῖ οἵ γε ψήφους ἔχοντες· ἐπεὶ οἵ γε ἄψηφοι, ἀκερδεῖς τὰς ἐγχειρήσεις σημαίνουσι· διὰ τὸ ἄψηφον. ψῆφον γὰρ καλοῦμεν ὥσπερ λίθον τὸν ἐν δακτυλίῳ, οὕτω δὴ καὶ τὸν τῶν χρημάτων ἀριθμόν. ἀεὶ δὲ ἀμείνονες οἱ ὁλόσφυροι· οἱ γὰρ κενοὶ καὶ θεῖον ἔνδον ἔχοντες, δόλους καὶ ἐνέδρας σημαίνουσι· διὰ τὸ ἐμπεριέχειν τὸ ἐγκεκρυμμένον. οἱ δὲ, μείζονας τὰς προσδοκίας τῶν ὠφελειῶν· διὰ τὸ μείζονα τὸν ὄγκον τοῦ βάρους ἔχειν. σούκινοι δὲ καὶ ἐλεφάντινοι καὶ ὅσοι ἄλλοι δακτύλιοι γίνονται, γυναιξὶ μόνοις συμφέρουσιν. ὅρμοι δὲ καὶ ἁλύσεις καὶ ἐνώπια καὶ λίθοι πολυτελεῖς, καὶ πᾶς κόσμος περιδέρραιος γυναικεῖος, γυναιξὶν ἀγαθόν. καὶ γὰρ ἀγάμοις γάμον προαγορεύει· καὶ ταῖς ἀτέκνοις τέκνα, καὶ ταῖς ἀμφότερα ἐχούσαις, προσκτῆσιν καὶ περιουσίαν πολλήν. ὥσπερ γὰρ ὑπὸ τούτων κοσμοῦνται γυναῖκες, οὕτως

Videri sibi sua vestimenta lauare. CAP. 4.

VIderi sibi sua ipsius vestimenta lauare, aut etiam alterius, incommodi alicuius circa vitam depositionem significat. propterea quod etiam vestimenta sordes abiiciunt. Occulta etiam deprehendere ac condiscere facit. Lauare enim abusiuè etiam redarguere veteres dicebant, velut alicubi etiam Menander:

Si tu meæ vxori malè inde dixeris,
Patrem tuum, tèque & tuos ego lauero.

Hoc est, redarguam. Vnde etiam his, qui deprehendi ac redargui timent, terribile est vestimenta lota gestare ac videre.

De Mundo externo.

CAP. 5.

ANnuli extra ferrei, bonum quidem, sed non citra laborem ipsa bona significant. Poëta enim πολύκμητον, hoc est multo labore factum, ferrum vocat. Boni sunt etiam aurei qui lapillos habēt. Nam qui lapillis carent, minimè lucrosas aggressiones significant, propterea quod calculos non habent. Calculum enim vocamus tum lapillum in anulo, tum etiam pecuniarum numerum. Semper autem meliores sunt anuli ex toto fabrefacti, nulla inanitate & completi. Vacui enim cauique & qui diuinum ac sacrum quippiam intra se habent, dolos & insidias significant, ob id quod in se continent occultatum. Vacui verò ac caui etiā maiores expectationes quàm commoditates præsagiunt, propterea quod maiorem molem quàm grauitatem habent. Anuli Succinei & Eburnei, & quicunque alij fieri solent, solis mulieribus conferūt. Monilia verò & catenulæ, & inaures, & lapides pretiosi, omnisq; ornatus muliebris circuncollaris, mulieribus bonus est. Nam & innuptis nuptias portēdit, & liberos eis quæ liberis carent, & his quæ vtraque habent, possessionum acquisitionem & opulentiam magnam. Quemadmodū enim ab illis ornātur mulieres, sic

à viris, & liberis, & diuitiis. Etenim à natura diuitias amant mulieres, velut etiam ornatus sunt studiosæ. Insuper collo illa circundantur, velut etiam vir ac liberi solent. At verò viro dolos, & insidias, & pecuniarum implicationẽ significant, non ob materiã, sed ob figuram & structurã. Est enim aurum non vt quidam prodiderunt, malum ob materiam, sed omnino vice versa bonum, velut sæpè obseruaui: sed tamen non immodicum, neque multum, neque inconueniens propter figuram, quemadmodum viris monilia, neque suprà dignitatem, velut pauperibus coronæ, & magna vasa, & multa numismata. Nam quum tale quid aliquis viderit, nõ amplius ob materiam, sed ob structuræ & opificij qualitatem, aurum malum existit. Porrò si frangantur aut perdantur aut dissoluantur ornamenta collaria, perditionem mulieri vt prius dixi significant. Viro autem ornamenta manualia, non solum perditionem eorum quibus rem familiarem potissimum concredidit, vxoris inquam & villici, sed etiam ipsarum possessionum ac rerum corruptionem portendunt, & quòd his quibus iam aliquid credidit, de cætero non amplius sit concreditutus. Non enim amplius tales anulis opus habent. Multis verò etiam oculorum cæcitatem somnium annunciauit. Habent enim consensum quendam oculi ad anulos, propter lapillos. At verò calciamenta eadem quæ vestitus præsagiunt.

ὑπὸ ἀνδρῶν καὶ ὑπὸ τέκνων καὶ ὑπὸ πλούτου. καὶ γὰρ φύσει εἰσὶ φιλόπλουτοι, ὥσπερ καὶ φιλόκοσμοι. ἔτι καὶ ταῦτα περιπλέκεται τῷ τραχήλῳ, ὥσπερ ἀνὴρ καὶ τέκνα. ἀνδρὶ δὲ δόλους καὶ ἐνέδρας καὶ καταπλοκὴν τῶν χρημάτων σημαίνει, οὐ διὰ τὴν ὕλην, ἀλλὰ διὰ τὸ σχῆμα καὶ τὴν κατασκευήν. ἔστι γὰρ ὁ χρυσὸς, οὐχ ὥσπερ τινὲς ἔλεγον, πονηρὸς διὰ τὴν ὕλην. ἀλλὰ πᾶν τοὐναντίον ἀγαθὸς, ὡς πολλάκις ἐτήρησα. ἀλλ' ὅγε μὴ ἄμετρος, μὴ δὲ πολὺς, μήτε ἀνοίκειος διὰ τὸ σχῆμα ὡς τοῖς ἀνδράσιν οἱ ὅρμοι, μήτε ὑπὲρ τὴν ἀξίαν, ὡς τοῖς πένησιν οἱ στέφανοι, καὶ τὰ μεγάλα σκεύη, καὶ τὰ πολλὰ νομίσματα. ἐπεὶ ὅταν τοιοῦτον ἴδῃ τις, οὐκέτι διὰ τὴν ὕλην. ἀλλὰ διὰ τὸ ποιὸν τῆς κατασκευῆς, πονηρὸς γίνεται ὁ χρυσός. ἀπολλύμενα δὲ ἢ καταγνύμενα ἢ διαλυόμενα τὰ περὶ τὸν τράχηλον, ἀπώλειαν τῇ γυναικὶ, ὡς πρόσθεν εἶπον, σημαίνει· ἀνδρὶ δὲ τὰ περὶ τὴν χεῖρα, οὐ μόνον ἀπώλειαν τῶν πιστευομένων κατὰ τὸν οἶκον, γυναικὸς λέγω καὶ οἰκονόμου, ἀλλὰ καὶ αὐτῶν τῶν ὑπαρχόντων φθορὰν προδηλοῖ. καὶ τοῖς πιστευομένοις τι, τὸ μηκέτι πιστεύεσθαι· οὐ γὰρ ἔτι δεῖ τοῖς τοιούτοις δακτυλίων. πολλοῖς δὲ καὶ ὀφθαλμῶν πήρωσιν προηγόρευσε τὸ τοιοῦτον ὄναρ. ἔχει γάρ τινα συμπάθειαν τὰ ὄμματα πρὸς τοὺς δακτυλίους διὰ τὰς ψήφους. τὰ δ' αὐτὰ τῇ ἐσθῆτι καὶ τὰ ὑποδήματα σημαίνουσιν.

De Pectinando, & complicatione capillorum.

CAP. 6.

PEctinari & viro & mulieri conducibile est, est enim tempus quoddam dura omnia dissoluens ac corrigens. Complicare capillos solis mulieribus confert, & viris qui hunc morem habent. Reliquis æris alieni implicationes, & debita multa prædicit. Aliquando etiam vincula & seditiones præsagit.

Περὶ τοῦ κτενίζεσθαι καὶ ἐμπλέκεσθαι. ϛ.

ΚΤενίζεσθαι, καὶ ἀνδρὶ καὶ γυναικὶ συμφέρει, ἔστι γάρ τις χρόνος τὰ σκληρὰ διαλύων καὶ ἀπευθύνων ἅπαντα. Πλέκεσθαι δὲ, γυναιξὶ μόναις συμφέρει, καὶ ἀνδρῶν τοῖς ἔθος ἔχουσι· τοῖς δὲ λοιποῖς καταπλοκὰς τῶν χρεῶν, καὶ δάνεια πολλὰ προαγορεύει. ἐνίοτε δὲ καὶ δεσμὰ καὶ στάσεις προαγορεύει.

Περὶ τοῦ κατοπτρίζεσθαι. ζ.

Κατοπτρίζεσθαι δὲ καὶ ὁρᾶν τὴν ἑαυτοῦ εἰκόνα ὁμοίαν ἐν κατόπτρῳ, ἀγαθὸν τῷ γῆμαι βουλομένῳ καὶ ἀνδρὶ καὶ γυναικί. σημαίνει δὲ τὸ κάτοπτρον, ἀνδρὶ μὲν γυναῖκα, γυναικὶ δὲ ἄνδρα. ἐπεὶ πρόσωπα δείκνυσιν ὥσπερ οὗτοι ἀλλήλοις τὰ τέκνα. ἀγαθὸν δὲ καὶ λυπουμένοις· ἄλυπον γάρ ἐστι τὸ κατοπτρίζεσθαι. νοσοῦντας δὲ ἀναιρεῖ. γήϊνον γάρ ἐστι τὸ κάτοπτρον, ἐξ οἵας ἂν εἴη πεποιημένον ὕλης. τοὺς δὲ λοιποὺς μεθίστησιν. ἵνα ἐν ἄλλῃ γῇ τὰ ἑαυτῶν πρόσωπα ἴδωσιν. ἀνόμοιον δὲ ἐν κατόπτρῳ δοκεῖν ὁρᾶν ἑαυτὸν. νόθων γὰρ ἢ ἀλλοτρίων παίδων πατέρα κληθῆναι προαγορεύει. κακίονα δὲ ἢ ἀμορφότερον ἰδεῖν, οὐ συμφέρει. νόσους γὰρ καὶ ἀθυμίας σημαίνει. ὥσπερ καὶ τὸ ἐν ὕδατι κατοπτρίζεσθαι, θάνατον προαγορεύει αὐτῷ τῷ ἰδόντι, ἢ τινὶ τῶν οἰκειοτάτων αὐτῷ.

De Vsu speculi. CAP. 7.

Ad speculum stare, & suam imaginem similem videre in speculo, bonum est & viro & mulieri nuptias celebrare volentibus: significat enim speculum viro quidem vxorem, mulieri verò maritum, quoniam facies ostendit, quemadmodum hi vicissim liberos alter alteri ostendunt. Bonum est & tristitia affectis, tristitiæ enim expers res est speculo vti. Verùm ægrotos tollit. terreum est enim speculum ex qualicunque materia fuerit factum. Alios autem in alienam regionem transfert, quò in alia terra suas facies contemplentur. Cæterùm dissimilem sibiipsi in speculo se videre, spuriorum aut alienorum puerorum patrem aliquem vocandum esse præsagit. At verò turpiorem aut deformiorem videre seipsum, non confert. Morbos enim & tristitias significat. Quemadmodum etiam in aqua se contemplari, mortem ipsi qui somnium vidit prædicit, aut alicui familiarissimo ipsi.

Περὶ ἀέρος καὶ τῶν περὶ ἀέρα. η.

Ἀὴρ καθαρὸς καὶ λαμπρὸς, πᾶσιν ἐστὶν ἀγαθός. μάλιστα δὲ τοῖς ἀπολωλότα ζητοῦσι, καὶ τοῖς ἀποδημεῖν βουλομένοις. πάντα γὰρ ἐν καθαρῷ τῷ ἀέρι, εὔοπτα γίνεται. ὁ δὲ ζοφερὸς ἢ σκοτεινὸς ἢ συννεφὴς, πρὸς ταῖς ἀπραξίαις, καὶ λύπας σημαίνει. εἰς ὁποίαν δ' ἂν ὕλην αὐτὸν μεταβάλλῃ ὁ ἀὴρ, τοῖς μὲν αὐτὴν ἐργαζομένοις ὕλην, ἀγαθός· τοῖς δὲ λοιποῖς, πονηρὸς τετήρηται. καὶ ὁ ταπεινὸς γενόμενος, μόνοις τοῖς τὰ οὐράνια διασκοπουμένοις καὶ μάντεσιν, ἀγαθός. τῶν δὲ λοιπῶν τὸν βίον εἰς ταπεινὸν κατάγει. ὑετὸς ἄνευ χειμῶνος καὶ πολλοῦ ἀνέμου, πᾶσιν ἀγαθός. πλὴν τῶν εἰς ἀποδημίαν στελλομένων, καὶ τῶν τὰς ὑπαιθρίους ἐργασίας ἐργαζομένων· τούτοις γὰρ ἐμπόδιος γίνεται. ψακάδες καὶ πάχναι, γεωργοῖς μὲν, σφόδρα ἀγαθαί· τοῖς δὲ λοιποῖς, μικρὰς ἐργασίας προαγορεύουσιν. ὄμβροι δὲ καὶ λαίλαπες καὶ χει-

De Aëre, & his quæ circa aërem fiunt. CAP. 8.

Aer purus & clarus omnibus bonus est, maximè autem his qui perdita quærunt, & qui peregrinari volunt. Omnia enim in puro aëre conspicua fiunt. Verùm aër caliginosus, aut tenebricosus, aut nebulosus, supra actionum impedimentum, etiam tristitias significat. In qualemcunque autem materiam transmutatus fuerit aër, bonus est his qui eandem materiam tractant. Reliquis malus obseruatus est. Humilis factus aër, solis cœlestia contemplantibus & vatibus bonus est. Reliquorum vitam humilem reddit. Pluuia citra tempestatem ac multum ventum, omnibus bona est: exceptis his qui ad exteros homines dimittuntur, & his qui sub dio opificia sua exercent. His enim impedimento est. Minutæ pluuiæ, guttæ, & pruinæ, agricolis quidem valde bonæ sunt: reliquis paruum quæstum prædicunt. Imbres & nimbi, & tempestates,

ſtates, omnibus turbationes, & pericula ac damna inducunt. Solis verò ſeruis, & egenis, & qui aliqua incommoditate vexantur, alterationes ac liberationem à malis quæ pedibus ſubiacent prædicunt. Nam poſt magnas tempeſtates, ſtatim ſerenitas ſequitur. Nix & glacies ſi ſuo tempore videantur, nihil ſignificant. Meminit enim diurni frigoris etiam dormiente corpore anima ipſa. Verùm ſi extra tempus videantur, agricolis quidem conferunt, reliquis frigidas aggreſſiones & propoſitas actiones futuras ſignificant, & iter facere prohibent. Grando turbationes & triſtitias indicat, & occulta reuelat propter colorem. Tonitru citra fulgur, ſeruis turbationes & inſidias, propter inexpectatum, fulgur verò citra tonitru, vanum timorem ſignificat. Nam poſt fulgur rurſus expectare tonitru timorem indicat. Nihil enim aliud eſt quàm minæ inanes: quando igitur non ſuccedit tonitru, inutilem timorem facit. Sequitur autem hanc tractationem etiam de igne ſermo, de quo duplicem iudicationem facere ex re eſt, partim quidem vt de cœleſti & diuino, partim verò vt terreſtri & vſuali. Primùm quidem igitur de cœleſti hoc modo iudicationes facere oportet. Ignem in cœlo videre, ſplendidum, purum, & modicum, minas ex quibuſdam præminentibus ſignificat. Multas autem & hoſtium incurſum, & egeſtatem, & famen præſagit. Vbicunque verò fuerit ignis, aut vbi ſurſum fertur, velut à ſeptentrione, aut meridie, aut occidente, aut oriente, inde ſanè hoſtes veniunt, aut iuxta illas regiones ſterilitas erit. Verùm peius omnino fuerit ignem deferri videre. Idem ſignificant etiam ex cœlo deſcendentes faces, item ligna & arbores ardentes videre, quæ omnia periculum circum caput eius qui ſomnium vidit conſtituunt. Quemadmodum enim cœlum, omnem mundum ſuperminet, ſic caput corpus. Fulmen citra tempeſtatem propè allapſum, & non contingens corpus, eum qui vidit extra locos eijcit, in quibus degit. Neque enim propinquum fulmen quiſquam ſuſtinere poteſt. ſi verò ante aliquem ceciderit, prorſum progredi prohibet. At verò extremis partibus à fulmine

μένες, ταραχὰς πᾶσι καὶ κινδύνους καὶ ζημίας ἐπάγουσι. μόνοις δὲ δούλοις καὶ πένησι καὶ τοῖς ἔν τινι περιστάσει οὖσιν, ἀπαλλαγὰς τῶν ἐν ποσὶ κακῶν προαγορεύουσι. μετὰ γὰρ τοὺς μεγάλους χειμῶνας, ταχέως εὐδία γίνεται. χιὼν δὲ καὶ πάγος, κατὰ μὲν τὴν οἰκείαν ὥραν ὁρώμενα, οὐδὲν σημαίνει. μέμνηται γὰρ τοῦ μεθ' ἡμέραν ψύχους, καὶ καθεύδοντος τοῦ σώματος, ἡ ψυχή. παρὰ δὲ τὴν ὥραν ὁρώμενα, γεωργοῖς μὲν συμφέρει· τοῖς δὲ λοιποῖς, ψυχρὰς τὰς ἐγχειρήσεις καὶ τὰς προκειμένας πράξεις ἔσεσθαι προαγορεύει· ὁδεύειν δὲ κωλύει. χάλαζα δὲ, ταραχὰς καὶ δυσθυμίας δηλοῖ, καὶ τὰ κρυπτὰ ἐλέγχει διὰ τὸ χρῶμα. βροντὴ δὲ χωρὶς ἀστραπῆς, δούλοις ταραχὰς καὶ ἐνέδρας, διὰ τὸ ἀπροσδόκητον· ἀστραπὴ δὲ χωρὶς βροντῆς, φόβον μάταιον σημαίνει. ὅτι μετὰ τὴν ἀστραπὴν, προσδοκῆσαι αὖτις βροντὴν, ἢ διὰ τὸν φόβον* οὐδὲν ἄλλο ἐστὶν, ἢ ἀπειλή. ἐπειδὰν οὖν μὴ γένηται, ἀπειλὴ τὸν φόβον ποιεῖ. ἕπεται δὲ τούτῳ τῷ λόγῳ, ὁ περὶ πυρὸς λόγος. περὶ οὗ διπλῇ τῇ κρίσει χρήσασθαι καλῶς ἔχει. τῇ μὲν ὡς περὶ οὐρανίου καὶ θείου· τῇ δὲ ὡς περὶ ἐπιγείου καὶ τοῦ ἐν χρήσει. πρότερον μὲν οὖν περὶ τοῦ οὐρανίου ὧδε χρὴ ποιεῖσθαι τὰς κρίσεις. πῦρ ἐν οὐρανῷ ἰδεῖν λαμπρὸν καὶ καθαρὸν καὶ ὀλίγον, ἀπειλὴν ἔκ τινων ὑπερεχόντων σημαίνει. τὸ δὲ πολὺ, καὶ πολεμίων ἔφοδον καὶ ἀπορίαν, καὶ λιμὸν μαντεύεται. ὅπου δ' ἂν εἴη τὸ πῦρ, ἢ ὅπου ἀναφέρηται, οἷον ἀπ' ἄρκτου ἢ μεσημβρίας ἢ δύσεως ἢ ἀνατολῆς, ἐκεῖθεν ἔρχονται πολέμιοι. ἢ κατ' ἐκεῖνα τὰ κλίματα ἡ ἀφορία ἔσται. πονηρότερον δ' ἂν εἴη, καταφερόμενον τὸ πῦρ ἰδεῖν. τὸ δὲ αὐτὸ σημαίνουσι καὶ λαμπάδες ἐξ οὐρανοῦ κατιοῦσαι, καὶ ξύλα καὶ δένδρα καιόμενα ἰδεῖν. ἃ δὴ πάντα τοῖς ἰδοῦσι περὶ τὴν κεφαλὴν τὸν κίνδυνον συνίστησιν. ὥσπερ γὰρ ὁ οὐρανὸς τοῦ παντὸς ὑπερέχει κόσμου, οὕτω καὶ ἡ κεφαλὴ τοῦ σώματος. Κεραυνὸς δὲ ἄνευ χειμῶνος πλησίον πεσὼν καὶ μὴ ἁψάμενος τοῦ σώματος, ἐκβάλλει τῶν τόπων τὸν ἰδόντα ἐν οἷς ἐστιν. οὐ γὰρ ἂν ὑπομείνειέ τις πλησίον κεραυνοῦ. εἰ δὲ ἔμπροσθεν πέσοι, κωλύει προϊέναι εἰς τοὔμπροσθεν. τὸ δὲ κατὰ ἄκρας ὑπὸ κεραυνοῦ

πεπληγέναι, οἱ μὲν πάνυ παλαιοὶ, διχῆ διαιροῦσι λέγοντες, πένησι μὲν εἶναι ἀγαθὸν· πλουσίοις δὲ κακόν· λόγῳ τοιῷδε. ἐοίκασι γὰρ οἱ πένητες, χωρίοις λεπτοῖς καὶ ἀσήμοις, εἰς ἃ ἡ κοπρία ῥίπτεται, ἢ ἄλλο τι τῶν φαύλων. οἱ δὲ πλούσιοι, τεμένεσι θεῶν, ἢ ἀνθρώπων, ἢ ναῶν οἴκοις, ἢ ναοῖς θεῶν, ἢ ἄλσεσιν, ἢ ἄλλῳ τινὶ χωρίῳ εὐπόρῳ. ὥσπερ οὖν ὁ κεραυνὸς τὰ μὲν ἄσημα τῶν χωρίων ἐπίσημα ποιεῖ διὰ τοὺς ἐνιδρυμένους βωμοὺς, καὶ τὰς ἐν αὐτοῖς γινομένας θυσίας, τὰ δὲ πολυτελῆ χωρία ἔρημα καὶ ἄβατα ποιεῖ, οὐδεὶς γὰρ ἐν αὐτοῖς ἐνδιατρίβειν ἔτι θέλει· οὕτως ὁ ὄνειρος πένητα μὲν ὠφελεῖ, πλούσιον δὲ βλάπτει. ὅτι καὶ ὁ κεραυνὸς οὐδὲν ἐστὶν ἄλλο, ἢ πῦρ, ἴδιον δὲ πυρὸς πᾶσαν ὕλην φθείρειν· ἔχει δὲ ὁ μὲν πένης, πενίαν· ὁ δὲ πλούσιος, πλοῦτον. τοιγαροῦν ὁ μὲν, τὴν πενίαν. ὁ δὲ, τὸν πλοῦτον φθερεῖ. ἐπεὶ καὶ ὁ κεραυνωθεὶς, αἰφνίδιον περισημότερος γίνεται. ὁμοίως δὲ καὶ πένης αἰφνίδιον πλουτήσας. καὶ πλούσιος αἰφνίδιον ἀπολέσας τὴν ὕπαρξιν, περισημότεροι γίνονται. τούτοις μὲν οὖν τοῖς λόγοις ἐπείθοντο οἱ πρῶτοι. οἱ δὲ μεταγενέστεροι, ἤδη τινὰ καὶ περὶ δούλων ἔλεγον. καὶ ἔφασκον εἶναι ἀγαθὸν δούλοις, τὸ κεραυνοῦσθαι. ὅτι οὔτε δεσπότας ἔτι οἱ κεραυνωθέντες ἔχοισιν, οὔτε κάμνοισι. λαμπρὰ δὲ ἱμάτια αὐτοῖς περιτίθεται, ὡς ὑπὸ Διὸς τετιμημένοις· πολλὰ δὲ καὶ Ἀλέξανδρος ὁ Μύνδιος, καὶ Φοῖβος ὁ Ἀντιοχεὺς περὶ τοῦ δοκεῖν κεραυνοῦσθαι ἀπὸ πείρας ἰδίας προσέθεσαν· πλὴν οὐ πάντα γε ἀκριβῶς ἐξίσχυσαν εὑρεῖν. ἔχει δὲ ὧδε. δούλων μὲν τοὺς μὴ ἐν πίστει ὄντας ἐλευθεροῖ. τοὺς δὲ ἐν τιμῇ παρὰ τοῖς δεσπόταις, ἢ πολλὰ κτήματα ἔχοντας, ἀφαιρεῖται τῆς πίστεως καὶ τῆς τιμῆς καὶ τῶν κτημάτων. ἐλευθέρων δὲ, πένητας μὲν τοὺς μὴ λανθάνειν βουλομένους, ἐφ' οἷς ἂν ἁμαρτάνοισιν, ὠφελεῖ. τοὺς δὲ ἀποκρυπτομένους καὶ λανθάνειν βουλομένους, ἐλέγχει. οὔτε γὰρ λάθρα πίπτει κεραυνὸς, ἀλλὰ τὸ μετὰ μεγάλων βροντῶν καὶ πολλοῦ χειμῶνος καταφέρεσθαι, οὔτε κεραυνωθέντα λαθεῖν ἔσται. πλουσίων δὲ τοὺς μὲν χρυσοφορεῖν μέλλοντας, διά τινα ἀρχὴν ἢ ἱερωσύνην, οὐ βλάπτει,

pene percuti, valde quidem veteres bifariam distinguunt, pauperibus quidem bonum esse pronunciantes, diuitibus verò malum, atque hoc hac ratione. Similes etenim sunt pauperes locis vilibus & ignobilibus, in quos sterquilinia abijciuntur, aut aliud quid vitiosum. Diuites verò nemoribus deorum aut hominum, aut ædibus templorum, aut templis deorum, aut saltibus, aut alij cuipiam loco luculẽto. Quemadmodum igitur fulmen ignobiles locos nobiles facit, propter aras quę in ipsis extruuntur, & ob sacrificia quæ in ipsis fiunt, & contra sumptuosos locos, desertos & inaccessos reddit. nemo enim in ipsis deinceps conuersari ac degere expetit. Sic somnium pauperi quidem prodest, diuiti autem obest. Præterea fulmen nihil aliud est quàm ignis, proprium autem ignis est omnem materiam corrumpere: habet autem pauper paupertatem, diuites diuitias: proinde ille quidem paupertatem, hic verò diuitias corrumpet: quoniam autem & fulmine ictus statim insignior redditur, similiter etiam pauper repentè ditatus, & diues repentè amissa rerum substantia, insigniores fiunt. His igitur rationibus primi persuasi sunt. Verùm posteriores etiam quædam de seruis dixerunt, & pronuntiauerunt fulmine feriri seruis bonum esse, propterea quòd fulmine icti neque dominos amplius habent, neque laborant. Splendida autem vestimenta eis circundantur, velut honore à Ioue affectis. Multa etiam Alexander Myndius & Phœbus Antiochensis, de eo quod quis fulmine icitur, ex propria experientia exposuerunt: veruntamen non omnia exactè potuerunt inuenire. Habet autem res hoc modo. Seruos quidem non magna autoritate præditos, liberos facit: verùm eos qui alicuius pretij sunt apud dominos, aut multas possessiones habent, priuat & fide, & autoritate, & possessionibus. Ex liberis autem pauperes quidem, non volentes latere infelicitatem & peccata sua, iuuat: eos verò qui ea celant & latere volunt, redarguit & manifestat. Neque enim occultè cadit fulmen, propterea quòd cum magno tonitru, & multa tempestate deferatur. Neque enim fulmine ictus latere potest. Diuites autem qui aurum gestaturi sunt, propter principatum, aut sacerdotium, non lædit,

sed magis insigniter principatum, aut sacerdotium administraturos esse præsagit. Simile enim aurum igni, juxta colorem sanè: velut etiam Pindarus dixit,

Candentis aurum ignis modo.

reliquis bonorum substātia spoliat, propter superiorem rationē: nisi quid aliud impediat. Cæterùm his qui vxore carent nuptias prædicit, tum pauperibus, tum diuitibus. Nihil enim adeò corpora calefacit, velut ignis & mulier. At verò iam contracta matrimonia dissociat, & sodales, & fratres, & amicos, inimicos facit: fulmen enim non vnit, sed etiam vnita separat. Insuper & liberos habentem, liberis priuat, ita vt moriantur, si doleat ad hoc vt fulmine sit ictus: aut aliàs discedant, si non doleat. Nam & arbores vbi fulmine ictæ sunt exarescunt, & germina perdunt. Quemadmodum autem arborum filij sunt germina, sic virorum germina sunt filij. Athletas porro celebres fulmen facit, omnésque philologos, & in medium prodire volentes. Confert etiam in litibus de fama & nomine, si quis sibi videatur fulmine feriri. Nullus enim fulmine ictus infamis & ignominiosus existit: vnde etiam velut deus colitur. Qui verò de possessionibus omnis generis litigant, his damnationem præsagit, excepta terra, & his quæ intra existunt. Etenim damnatos consueto more fulmine ictos dicimus. Cæterùm in litibus de terra, possidentes quidem terram, & timentes expulsionem, permansuros esse significat. Non enim transferuntur fulmine icti, sed vbicunque ab igne deprehensi & tacti sunt, istic sepeliuntur. Qui verò alienæ terræ adhærent, eámque sibi vendicare student, eos non peruenturos esse in ipsam prædicit, sed vbicunque fuerint, istic mansuros esse, hoc est extra: nisi sanè quis non se putet fulmine ictum esse, sed in terram, alicubi fulmen viderit dilapsum. Nam huiusmodi somnium semper inhabitantibus inaccessam terram facit. Insuper verò fulmen etiam apud exteros degentes ad domum reducit: & qui domi viuunt, eos domi retinet. Verùm meminisse oportet, eandem significationem esse, si quis sibi videatur fulmine ictus esse, & si quis se à fulmine exustum esse putet, aut in caput vel pectus fulmen cecidisse,

ἀλλὰ ἐπισημοτέρως ἄρξαι, ἢ ἱερώσασθαι προαγορεύει. ἔοικε γὰρ τὸ χρυσίον πυρὶ κατά γε τὴν χροιάν. ὡς καὶ Πίνδαρος,

Ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ ἅτε.

Τοῖς δὲ λοιποῖς, ἀφαιρεῖ τῆς οὐσίας, διὰ τὸν ἔμπροσθεν λόγον. εἰ μή τι ἄλλο κωλύοι· ἀγάμοις δὲ γάμον προαγορεύει, καὶ πένησι καὶ πλουσίοις· οὐδὲν γὰρ οὕτως τὰ σώματα θερμαίνει, ὡς πῦρ καὶ γυνή. γεγαμηκότας δὲ διΐστησι καὶ κοινωνοὺς καὶ ἀδελφοὺς καὶ φίλους ἐχθροὺς ποιεῖ· οὐ γὰρ ὁ κεραυνὸς ἑνοῖ, ἀλλὰ καὶ τὰ ἡνωμένα χωρίζει· ἔτι καὶ τὸν παῖδας ἔχοντα, τῶν παίδων στερίσκει. ἤτοι ἀποθανόντων, ἐὰν ἀλγῇ πρὸς τὸ κεραυνοῦσθαι, ἢ ἄλλως ἀπαλλαγέντων, ἐὰν μὴ ἀλγῇ. καὶ γὰρ τὰ δένδρα ὅταν κεραυνωθῇ αὖα γίνεται. καὶ τοὺς βλαστοὺς ἀπόλλυσιν. ὥσπερ δὲ τῶν δένδρων τέκνα εἰσὶν οἱ βλαστοὶ, οὕτω καὶ τῶν ἀνδρῶν τέκνα εἰσὶν οἱ βλαστοί. ἀθλητὰς δὲ ἐνδόξους ὁ κεραυνὸς ποιεῖ· καὶ πάντας φιλολόγους, καὶ τοὺς εἰς τὸ μέσον προέρχεσθαι βουλομένους· ἐν δὲ ταῖς δίκαις ταῖς περὶ ἐπιτιμίας συμφέρει τὸ δοκεῖν κεραυνοῦσθαι· οὐδεὶς γὰρ κεραυνωθεὶς ἄτιμός ἐστιν. ὅθεν γε καὶ ὡς θεὸς τιμᾶται. ταῖς δὲ περὶ κτημάτων πάντων πλὴν γῆς καὶ τῶν ἐν γῇ, καταδίκην μαντεύεται. καὶ γὰρ τοὺς καταδικασθέντας ἐν τῇ συνηθείᾳ, κεραυνοῦσθαι φαμέν. ἐν δὲ ταῖς περὶ γῆς δίκαις, τοὺς μὲν νεμομένους τὴν γῆν καὶ δεδιότας, ἐκβληθῆναι σημαίνει. οὐ γὰρ οἱ κεραυνωθέντες μετατίθενται· ἀλλ' ὅπου ἂν ὑπὸ τοῦ πυρὸς καταληφθῶσιν, ἐνταῦθα θάπτονται. τοὺς δὲ ἀντιποιουμένους γῆς ἀλλοτρίας, μὴ εἰσελθεῖν εἰς αὐτὴν προαγορεύει. ἀλλ' ὅπου ἐὰν ὦσιν, ἐκεῖ μεῖναι. τουτέστιν, ἔξω. εἰ μὴ ἄρα τις οὐκ αὐτὸς δόξειε κεκεραυνῶσθαι· ἀλλ' εἰς τὴν γῆν ὅπου ἴδοι σκηπτὸν πεσόντα. καὶ γὰρ τὸ τοιοῦτον ὄνειρον, ἀεὶ τοῖς ἐνοικοῦσιν ἄβατον τὴν γῆν καθίστησιν. ὅτι δὲ ὁ κεραυνὸς τοὺς μὲν ἀποδήμους εἰς τὴν οἰκίαν ἐπανάγει, τοὺς δὲ ἐνδήμους ἐν τῇ οἰκίᾳ κατέχει. μεμνῆσθαι δὲ χρὴ τοῦτο· ὅτι τὰ αὐτὰ σημαίνει τὸ δοκεῖν κεραυνοῦσθαι ὅσα εἰρήκαμεν

Ἐπειδὰν τις ἢ καταπεφλέχθαι ὑπὸ τοῦ κεραυνοῦ νομίσῃ, ἢ κατὰ κεφαλῆς ἢ κατὰ στέρνου τὸν κεραυνὸν πεπτωκέναι. ἐπεὶ δὲ ὅταν ἄλλο τι μέρος τοῦ σώματος ὁ κεραυνὸς καταφλέξῃ, ἢ * μὴ ὅλον τὸ σῶμα, εἰ μὴ τοιοῦτον καταλάβοι, ἐξ οὗ εἰκὸς θάνατον παρακολουθεῖν τῷ κεκεραυνωμένῳ, τότε μικρότερα τὰ ἀποτελέσματα γίνεται. καὶ οὕτω χρὴ ποιεῖσθαι τὰς κρίσεις. ὥσπερ εἰ βλαπτομένων μερῶν, καὶ οὐχὶ περὶ τοῦ παντός. περὶ ὧν ἀκριβῶς καὶ ἀνενδεῶς ἐν τῷ περὶ σώματος λόγῳ κατὰ μέρος ἐν τῷ πρώτῳ βιβλίῳ διείρηκα. ἔτι κἀκεῖνο· οὔτε πλέοντα οὔτε ἐν κοίτῃ κατακείμενον, οὔτε ἐπὶ γῆς ὕπτιον ἢ πρηνῆ ὑπὸ κεραυνοῦ καταφλέγεσθαι συμφέρει. ἀπολείπεται δὲ μόνον ἀγαθὸν εἶναι, τὸ ὀρθὸν ἑστάναι, ἢ ἐπὶ θρόνου καθεζόμενον, ἢ ἐπ' ἄλλου τινὸς ἑτέρου κεραυνοῦσθαι. οἶδα δέ τινα ὃς ἔδοξε τῆς κλίνης τὸ ἔξω ἐνήλατον, ὑπὸ κεραυνοῦ διεφθάρθαι, καὶ ἡ γυνὴ αὐτοῦ ἀπέθανεν.

Περὶ πυρὸς τοῦ ἐν χρήσει. θ΄.

ΠΥΡ δὲ τὸ ἐν χρήσει, ὀλίγον μὲν καὶ καθαρὸν ἰδεῖν, ὑφειμένον λέγω ἀγαθὸν εἶναι. πολὺ δὲ καὶ ἄμετρον, πονηρόν. ἔστιν οὖν ἄριστον τὸ ἐφ' ἑστίας πῦρ, λαμπρὸν καὶ καθαρὸν ὁρώμενον. πολλὴν γὰρ εὐπορίαν σημαίνει. ἄνευ γὰρ τοῦ τροφὰς παρασκευάζεσθαι, οὐκ ἔστιν ἐφ' ἑστίας πῦρ ἰδεῖν. σβεννύμενον δὲ τοῦτο, ἀπορίαν σημαίνει. καὶ εἴ τις κατὰ τὸν οἶκον νοσεῖ, θάνατον αὐτῷ προαγορεύει. ἀγαθὸν δὲ καὶ λαμπάδας δοκεῖν ἔχειν καιομένας νυκτός. μάλιστα τοῖς νέοις· ὡς γὰρ ἐπὶ τὸ πολὺ ἔρωτας οὐκ ἀηδεῖς σημαίνει καὶ πράξεις προαγορεύει· διὰ τὸ δύνασθαι τὰ πρὸ ποδῶν ὁρᾶν. ἄλλον δὲ ὁρᾶν ἔχοντα λαμπάδα, πονηρὸν τοῖς λανθάνειν ἐθέλουσι. λύχνος δὲ καιόμενος ἐν οἰκίᾳ λαμπρὸς, ἀγαθός· προσκτῆσιν γὰρ σημαίνει καὶ εὐπορίαν πᾶσι· καὶ τοῖς ἀγάμοις, γάμον. καὶ τοῖς νοσοῦσιν, ὑγίειαν. ὁ δὲ μὴ λαμπρὸς ἀλλὰ ἀμαυρὸς, δυσθυμίαν σημαίνει. καὶ τοὺς νοσοῦντας οὐκ εἰς μακρὰν ἀναιρεῖ. ὁ δὲ ἐσβεσμένος, σώζει. μέλλει γὰρ ἅπτεσθαι. λύχνος χάλκεος, καὶ τὰ ἀγαθὰ βεβαιότερα

Quoniam cùm aliam quandam corporis partem fulmen combusserit (modò non sit totum corpus, ex quo verisimile est mortem fulmine icto sequi) tunc sanè minores euentus fiunt: atque sic iudicationes facere oportet, velut partibus læsis, & non de toto corpore pronuntiare, de quibus exactè & vt nihil desit, in sermone de corpore, in primo libro particulatim tractaui. Sed & eius meminisse conuenit: Quòd neque nauigantem, neque in cubili decumbentem, neque in terra supinum aut pronum à fulmine comburi confert. Reliquum est igitur solum bonum esse, erectum stare, aut in throno, aut alio quopiam sedili sedentem, fulmine feriri. Noui autem quendam qui per somnium existimauit, externum clauiculum lecti à fulmine tactum esse ac consumptum, & sanè vxor ipsius mortua est.

De Igne vsuali.

CAP. 9.

IGnem vsualem modicum, & purum, ac submissum videre, bonum esse dico. Multum verò & immodicum, malum est. Est igitur optimus ignis qui in foco clarus ac purus conspicitur. Multam enim opulentiam significat. Nam citra ciborum præparationem, non temere ignem in foco videre datur. Idem extinctus, inopiam portendit, & si quis in domo ægrotat, mortem ipsi prædicit. Bonum est & faces noctu ardentes habere sibi videri, maximè iuuenibus. Vt plurimum enim amores non iucundos significat, & actiones prædicit, propterea quòd possint pedibus subiecta videre. Verùm alium facem habentem videre, malum est latere cupientibus. Lucerna ardens in domo splendida, bona est: acquisitionem enim & opulentiam omnibus significat, & innuptis nuptias, & ægrotis sanitatem. Verùm non splendida sed obscura, tristitiam significat: & ægrotos non longè post occidit, extincta autem conseruat. Nam postea accendatur. Lucerna ærea, & bona firmiora,

& mala fortiora præsagit. Testacea verò minus. Vtraque autem occulta reuelat. Lucerna in nauigio conspecta ingentem tranquillitatem à ventis portendit.

De partibus domus ardentibus.

CAP. 10.

DOmus ardētes puro igne, & nō collabentes, & corruptionem non sentientes, pauperibus opulentiam, diuitibus principatus comparant. Quæ verò ardent puro igni, & comburuntur, & concidunt, & ab igne corrumpuntur, omnibus malæ sunt, & talium interitum hominum significant, quales fuerint domus, aut parietes. Velut verbi gratia. Thalamus vxorem significat si extet, sin minus, dominum domus. Andrones verò in quibus viri versantur homines qui in domo sunt significant, tum cognatos, tum seruos. Gynæcium verò seruas. Vestibulum domus, dominos significat: promptuaria & apothecæ, possessiones & opes, aut etiam promos siue villicos significant. Atque hæc quidem in totis domibus. Ex parietibus verò, is qui ianuam habet, dominum designat, qui fenestram, dominam. Vbi autem non est fenestra, medius paries, dominum: dexter, liberos: sinister vxorem. Cùm verò domus multas habuerit fenestras, & fratribus, & sociis mortem præsagit, senioribus quidem partes domus ad orientem, iunioribus partes ad occidentem, partes septentrionales similiter orienti, meridionales similiter occidenti iudicandæ sunt. Qui verò magnum ignem augent parietes, & splendidiores apparent, sumptuosiorem vitam in melius transferunt. Ianuæ ardentes, vxoris interitum significant, & vitam eius qui somnium vidit non in tuto positam esse. Ex his autem ea quæ seram ac vectem habet, liberam vxorem significat, quæ verò facilè aperiri * potest & admittit, vxorem: columnæ puro igne ardentes & non pereuntes, liberos significant somniantis ad meliorem & splendidiorem fortunam transgressuros esse. Si verò corrumpantur,

καὶ τὰ κακὰ ἰσχυρότερα μαντεύεται. ὁ δὲ ὀστράκινος, ἔλαττον. ἀμφότεροι δὲ τὰ κρυπτὰ ἐλέγχουσι. λύχνος ἐν πλοίῳ ὁρώμενος, μεγάλης νηνεμίας ἐστὶ σημαντικός.

Περὶ μερῶν οἰκίας καιομένων. ι.

ΟἶΚοι καιόμενοι καθαρῷ πυρὶ, καὶ μὴ συμπίπτοντες, καὶ μὴ διαφθειρόμενοι, πένησι μὲν εὐπορίαν· πλουσίοις δὲ ἀρχὰς περιποιοῦσιν. οἱ δὲ συγκαιόμενοι καθαρῷ πυρὶ καὶ καταναλούμενοι καὶ συμπίπτοντες, καὶ ὑπὸ τοῦ πυρὸς διαφθειρόμενοι, πᾶσι πονηροί. καὶ τοιούτων ὄλεθρον σημαίνουσιν ἀνθρώπων, οἷοι ἂν ὦσιν οἱ οἶκοι ἢ οἱ τοῖχοι. οἷον ὁ μὲν θάλαμος, τὴν γυναῖκα σημαίνει, ὅταν ὑπάρχῃ. εἰ δὲ μὴ, τὸν δεσπότην τῆς οἰκίας. οἱ δὲ ἀνδρῶνες, τοὺς κατὰ τὸν οἶκον ἀνθρώπους, συγγενεῖς τε καὶ θεράποντας. ἡ δὲ γυναικωνῖτις, θεραπαίνας. καὶ τὰ πρόθυρα τῆς οἰκίας τοὺς δεσπότας. ταμιεῖα δὲ καὶ ἀποθῆκαι, τὰ κτήματα, ἢ τοὺς ταμίας ἢ τοὺς οἰκονόμους σημαίνουσι. ταῦτα μὲν ἐφ' ὅλων οἴκων· τοίχων δὲ ὁ μὲν τὴν θύραν ἔχων, τὸν δεσπότην σημαίνει. ὁ δὲ τὴν θυρίδα, τὴν δέσποιναν. ὅπου δὲ μή ἐστι θυρὶς, ὁ μὲν μέσος τὸν δεσπότην. ὁ δὲ δεξιὸς, τέκνα. ὁ δὲ εὐώνυμος, τὴν γυναῖκα. ἐπειδὰν δὲ πολλὰς ἔχῃ θυρίδας ὁ οἶκος, καὶ ἀδελφοῖς καὶ κοινωνοῖς θάνατον προαγορεύει. πρεσβυτέροις μὲν, τὰ πρὸς ἀνατολὴν τοῦ οἴκου. νεωτέροις δὲ, τὰ πρὸς ἑσπέραν. τὰ δὲ πρὸς ἄρκτον, ὁμοίως τῇ ἀνατολῇ· καὶ τὰ πρὸς μεσημβρίαν, ὁμοίως τῇ δύσει κρινέσθω. οἱ δὲ μέγα πῦρ αὐξάνοντες τοῖχοι καὶ λαμπρότεροι φαινόμενοι, πολυτελέστερον τὸν βίον ἐπὶ τὸ βέλτιον μετάγουσι. θύραι δὲ καιόμεναι, γυναικὸς ὄλεθρον σημαίνουσι. καὶ τὸν βίον τοῦ ἰδόντος, οὐκ ἐν ἀσφαλεῖ κεῖσθαι. τούτων δὲ ἡ μάνδαλον ἔχουσα, ἐλευθέραν γυναῖκα σημαίνει. ἡ δὲ * δεχομένην, τὴν γυναῖκα. κίονες δὲ καθαρῷ πυρὶ καιόμενοι καὶ μὴ διαφθειρόμενοι, τὰ τέκνα σημαίνουσι τοῦ ἰδόντος, ἐπὶ τὸ βέλτιον καὶ λαμπρότερον μεταβῆναι. οἱ δὲ συντριβόμενοι,

υἱῶν ὄλεθρον σημαίνουσι·

Στῦλοι γὰρ οἴκων, παῖδές εἰσιν ἄρσενες.

ὥς πού φησιν Εὐριπίδης. τέρεμνα δὲ καὶ ὑπέρθυρα καὶ δρύφρακτοι κατακαέντες, παίδων ὄλεθρον καὶ οὐσίας ἀπώλειαν μαντεύονται. οἱ δὲ θεμέλιοι, δεσποτῶν· οἱ δὲ θριγκοί, συγγενῶν καὶ φίλων. δένδρα δὲ τὰ μὲν πρὸ τῆς οἰκίας πεφυκότα, δεσποτῶν. τὰ δὲ ἔνδον ἐν τῇ οἰκίᾳ, τὰ μὲν μεγάλα καιόμενα, ὁμοίως δεσποτῶν. τὰ μὲν ἀρσενικὰ, ἀνδρῶν, τὰ δὲ θηλυκὰ, γυναικῶν· τὰ δὲ μικρὰ, φίλων καὶ συγγενῶν. τὰ δὲ παντελῶς χθαμαλὰ, οἷον πύξοι καὶ μυρρίναι, οἰκετῶν. ἀνακαίειν δὲ δοκεῖν πῦρ ταχέως ἀναπτόμενον, καὶ ἐφ' ἑστίας καὶ ἐν κλιβάνῳ, ἀγαθὸν, καὶ παίδων σημαίνει γονήν. ἔοικε γὰρ καὶ ἡ ἑστία καὶ ὁ κλίβανος, γυναικί· διὰ τὸ δέχεσθαι τὰ πρὸς τὸν βίον εὔχρηστα· τὸ δὲ ἐν αὐτοῖς πῦρ, ἔγκυον ἔσεσθαι τὴν γυναῖκα μαντεύεται· τότε γὰρ καὶ ἡ γυνὴ θερμοτέρα γίνεται. τὸ δὲ καταβαλεῖν τὸ πῦρ ἐν τούτοις, εἶτα ἀποσβεννύειν, ἑαυτῷ αἴτιον ζημιῶν σημαίνει γενέσθαι. ταῦτα μὲν οὖν τῷ περὶ πυρὸς λόγῳ ἀκόλουθα ὄντα, ἱκανῶς εἴρηται.

Περὶ κυνηγίου καὶ κυνῶν. ια.

Ἑξῆς δὲ περὶ κυνηγίου καλῶς ἔχειν εἶναι μοι δοκεῖ διασαφῆσαι. λίνα, καὶ στάλικες, ποδάγραι, βρόχοι, καὶ πᾶσα ἀρκυοστασία, καὶ αἱ νεφέλαι λεγόμεναι, καὶ ὅσα πρὸς θήραν ἄνθρωποι κατεσκευασμένα ἔχουσι, κακόν. μόνοις δὲ ἀγαθὰ, τοῖς δραπέτας διώκουσι, καὶ τοῖς ἀπολωλός τι ζητοῦσι. ταχεῖαν γὰρ τούτων εὕρεσιν προαγορεύει. τοῖς δὲ λοιποῖς ἐμποδισμοὺς τῶν χρειῶν διὰ τὰς καταπλοκὰς, καὶ κινδύνους καὶ ἐνέδρας σημαίνει. ἐπὶ γὰρ βλάβῃ ζώων ταῦτα κατασκευάζουσιν. ἀεὶ δὲ ἄμεινον αὐτὸν ἔχειν ταῦτα, ἢ ἄλλον ἔχοντα ἰδεῖν· ὅσῳ καὶ κρεῖττον τὸ κακοῦν τοῦ κακοῦσθαι. κύνες δὲ θηρευτικοὶ ἐπὶ μὲν θήραν ἐξιόντες, ἀγαθοὶ πᾶσι, καὶ πράξεων προαγορευτικοί. τοῖς φεύγουσι

filiorum interitum portendunt. Etenim velut Euripides alicubi ait:

Domus columnæ liberi sunt masculi.

Altæ domus partes, & superior ianuæ pars, & cancelli combusti, filiorum interitum, & bonorum perditionem præsagiunt. Fundamenta verò dominorum, murorum ambitus ac sepium munimenta, cognatorum & amicorum. Arbores antè ædes enatæ, dominorum. Quæ verò intra domum sunt, magnæ quidem ardentes similiter dominorum, & masculæ sanè virorum: fœminæ verò fœminarum, paruæ autem amicorum & cognatorum. Quæ verò penitus humiles sunt, velut buxi, & myrti, famulorum. Si quis sibi videatur ignem accendere, isque cito ardeat, tum in foco, tum in clibano, bonum est & filiorum generationem promittit. Similis est enim focus & clibanus mulieri, propterea quòd suscipiant ea quæ ad vitam commoda existunt. Ignis autem in ipsis prægnantem fore mulierem vaticinatur, tunc enim etiam ipsa mulier callidior redditur. At verò immittere ignem his, deinde extinguere, sibiipsi damni causam fore significat. Hæc quidem igitur ad ignis rationem consequentia abunde dicta sunt.

De Venatione, & Canibus.

CAP. II.

Consequenter de venatione & canibus agere, commodum mihi videtur. Lina & furcillæ, pedicæ, laquei, & totus plagarum ac indaginis ordo, & quæ nubeculæ siue plagulæ appellantur, omniáque quæ ad venationem homines comparare solent, mala sunt, & solum his bona qui fugitiuos persequuntur, & qui perditum aliquid quærunt: celerem enim horum inuentionem prædicunt. Reliquis impedimenta rerum necessariarum propter complicationes, & pericula & insidias significant. In perniciem enim animalium homines hæc præparant: præstat autem talia habere, quàm alium habentem videre, quantò etiam melius est lædere quàm lædi. Canes venatici ad venationem exeuntes, omnibus boni sunt, & actionum prænuntij. Verùm reis & in

iis vocatis, mali. A venatione autem redeuntes, intrepidi & otiosi obseruati sunt, hoc est pauorem eximunt, & actionem impediunt. Sequitur porrò ad sermonem de venatione, sermo de animalibus omnibus terrestribus bipedibúsque & apodibus, ac quadrupedibus. Initium autem à quadrupedibus faciam. Canes alij sunt qui ad uenationem educantur, & ex his alij sunt vestigatores, alij feras persequuntur & capiunt. Alij ad possessionum custodiam habentur, quos domus custodes & vinctos appellamus. Alij ad delicias, qui Melitæi vocantur. Qui igitur ad venationem aluntur, ea quæ foris comparantur bona significāt, itémque actiones. Quare bonum est ipsos videre venantes, & quid accipientes, aut iam accepisse, & ad venationem exituros. Actionum enim significatiui sunt. Qui verò in vrbem redeunt actionum impeditionem significant. Ab operis enim cessant. Custodes domus canes, vxores & famulos, & quæsitas possessiones significant. Quare valentes & adulantes bonam domus custodiam, tum circa vxorem, tum circa domesticos portendunt, & possessionum multam securitatem. Aegrotantes iidem, morbum denunciant, & damnum rei pecuniariæ. Asperi verò aut latrantes, iniurias ex huiusmodi personis præsagiunt, & damna magna. Alieni canes blandientes quidem, dolos & insidias ex malis viris, aut mulieribus alienis significant, mordentes verò aut latrantes, aduersitates & iniurias: & si albi fuerint, apertas. Sin nigri, clancularias. Si verò rufi, non omnino apertas. Si varij, grauiores aduersitates significant. Similes sunt autem non penitus generosis, neque liberis, sed valde violentis & impudentibus. Tales enim sunt canum mores. Sæpe verò & febres portenderunt, propter astrum, sirium videlicet ipsum, qui febris causa existens, à quibusdam canis appellatur. Etenim violentum est & blandum animal, & febri simile. Porrò Melitæi, quæ iucundissima in uita sunt significant, & quicquid inde voluptatis emergit. Proinde quicquid perpessi fuerint mœroris ac tristitiæ significationem habent.

δὲ πονηροί. ἀπὸ δὲ θήρας ἐπανιόντες, ἄφοβοι καὶ ἄπρακτοι τετήρηνται. ἐπεὶ δὲ τῷ περὶ κυνηγίου, ὁ περὶ ζώων τῶν ἐπιγείων πάντων λόγος· διπόδων τε καὶ ἀπόδων, καὶ τετραπόδων· ἄρξομαι δὲ ἀπὸ τῶν τετραπόδων. Τῶν κυνῶν οἱ μὲν, ἐπὶ θήραν τρέφονται, καὶ τούτων οἱ μέν εἰσιν ἰχνευταί. οἱ δὲ, ὁμόσε τοῖς θηρίοις χωροῦσιν. οἱ δὲ, ἐπὶ φυλακῇ τῶν κτημάτων· οὓς οἰκουροὺς καὶ δεσμίους λεγομένους. οἵτε ἐπὶ τρυφῇ, καὶ οἱ μελιταῖοι λεγόμενοι. σημαίνουσιν οὖν οἱ ἐπὶ θήραν τρεφόμενοι, τὰ ἔξωθεν πορίζόμενα καὶ τὰς πράξεις. ὅθεν ἀγαθὸν ἰδεῖν αὐτοὺς θηρῶντας, καὶ λαμβάνοντάς τι, καὶ ἤδη εἰληφότας. καὶ μέλλοντας ἐπὶ θήραν ἐξιέναι. πράξεων γάρ εἰσι σημαντικοί. οἱ δὲ εἰς πόλιν ἐρχόμενοι, ἀπραξίαν σημαίνουσι. παύονται γὰρ τῶν ἔργων, οἱ δὲ οἰκουροί, σημαίνουσι γυναῖκας, καὶ οἰκέτας, καὶ πεπορισμένα κτήματα. ὅθεν ἐρρωμένοι καὶ σαίνοντες τοὺς δεσπότας, ἀγαθὴν οἰκουρίαν καὶ περὶ τὴν γυναῖκα καὶ περὶ τοὺς οἰκείους σημαίνουσι. καὶ τῶν κτημάτων πολλὴν ἀσφάλειαν, νοσοῦντες δὲ οὗτοι, νόσον προαγορεύουσι. καὶ τοῖς χρήμασι βλάβας. ἀγριαίνοντες δὲ ἢ ὑλακτοῦντες, ἀδικίας τὰς ὑπὸ τῶν τοιούτων μαντεύονται προσώπων, καὶ βλάβας μεγάλας. ἀλλότριοι δὲ κύνες σαίνοντες μὲν, δόλους καὶ ἐνέδρας ὑπὸ πονηρῶν ἀνδρῶν ἢ γυναικῶν, ἀλλοτρίων σημαίνουσι. δάκνοντες δὲ ἢ ὑλακτοῦντες, ἐπιθέσεις καὶ ἀδικίας, καὶ ἐὰν μὲν ὦσι λευκοί, φανεράς. ἐὰν δὲ μέλανες, λαθραίους. ἐὰν δὲ πυρροί, οὐ παντελῶς φανεράς. ἐὰν δὲ ποικίλοι, δεινοτέρας τὰς ἐπιθέσεις μαντεύονται. ἐοίκασι δὲ οὐ παντελῶς εὐγενέσιν, οὐδὲ ἐλευθέροις· σφόδρα δὲ βιαίοις καὶ ἀναιδέσι. τοιαῦτα γὰρ τὰ τῶν κυνῶν ἤθη. πολλάκις δὲ καὶ πυρετοὺς ἠνίξαντο, διὰ τὸ ἄστρον τὸν σείριον, ὃς πυρετοῦ αἴτιος ὤν, πρός τινων κύων καλεῖται. καὶ γὰρ, βίαιόν ἐστι καὶ εὔγνωμον τὸ ζῶον, καὶ πυρετῷ ὅμοιον. οἱ δὲ μελιταῖοι, τὸ τερπνότατον τῶν ἐν τῷ βίῳ σημαίνουσι, καὶ τὸ ἥδιστον τῶν παρ' αὐτοῖς. τοιγάρτοι ὅ, τι ἂν πάθωσι, λύπης καὶ ἀνίας εἰσὶ σημαντικοί.

Περὶ ζώων παντοίων. ιβ'.

Πρόβατα ὡς μὲν οἱ παλαιοὶ * συνέχεον, λευκὰ μὲν ἀγαθά· μέλανα δὲ πονηρά. ὡς δὲ ἐγὼ ἐτήρησα, πρόβατα ἀνθρώποις ἐοίκασι, διὰ τὸ πείθεσθαι τῷ ποιμένι καὶ συναυλίζεσθαι, καὶ προβιβασμοῦ, καὶ τῆς ἐπὶ τὸ βέλτιον προκοπῆς, ἀπὸ τοῦ ὀνόματος εἰσὶ σημαντικοί. ἄριστον οὖν καὶ ἴδια ἔχειν πολλὰ πρόβατα, καὶ ἀλλότρια ἰδεῖν καὶ ποιμαίνειν· μάλιστα τοῖς ὄχλου προΐστασθαι βουλομένοις, καὶ τοῖς ἐπὶ τὸ ἄρχειν σελλομένοις, καὶ σοφισταῖς καὶ διδασκάλοις, ἔργων εἰσὶ σημαντικοί. ἔτι δὲ καὶ κριός, πρὸς δεσπότην ἐστὶ ληπτέος, καὶ πρὸς ἄρχοντα, καὶ πρὸς βασιλέα. κραίνειν γὰρ τὸ ἄρχειν ἔλεγον οἱ παλαιοί. καὶ τῆς ἀγέλης δὲ ἡγεῖται ὁ κριός. ἀγαθὸν δὲ καὶ ἐποχεῖσθαι τούτοις δοκεῖν ἀσφαλῶς, δι' ὁμαλῶν χωρίων, καὶ μάλιστα φιλολόγοις, καὶ τοῖς ἐπὶ τὸ πλουτεῖν ὁρμωμένοις. καὶ γὰρ ταχὺ τὸ ζῶον, καὶ Ἑρμοῦ νενόμισται εἶναι σχῆμα. Αἶγες δὲ, οὔτε λευκαὶ ἀγαθαί, οὔτε μέλαιναι· ἀλλὰ πᾶσαι πονηραί. λευκαὶ μὲν ἧττον· μέλαιναι δὲ, μᾶλλον. καὶ μάλιστα τοῖς πλέουσι καὶ γὰρ τὰ μεγάλα κύματα, αἶγας ἐν τῇ συνηθείᾳ λέγομεν, καὶ λάβρος ἐπαιγίζων, φησὶν ὁ ποιητής. περὶ σφοδροῦ ἀνέμου λέγων, καὶ τὸ φοβερώτατον πέλαγος, αἰγαῖον λέγεται. γάμοις δὲ καὶ φιλίας καὶ κοινωνίας οὔτε συνάγουσιν, οὔτε τὰς οὔσας φυλάττουσιν· οὐ γὰρ συναγελάζονται, ἀλλὰ χωρὶς ἀλλήλων νομούμεναι κατὰ κρημνῶν καὶ πετρῶν, αὐταί τε πράγματα ἔχουσι, καὶ τῷ ποιμένι παρέχουσιν. ὅθεν καὶ ὁ ποιητὴς πλατέα τὰ αἰπόλια καλεῖ, λέγων·

Οἱ δ' ὡς τ' αἰπόλια πλατέα αἰγῶν.

Καὶ αἰγιβόταν ἀεὶ τὴν ἀγαθὴν κουροτρόφον. Περὶ δὲ ἵππων, ἐν τῷ περὶ ἀγῶνος λόγῳ προείρηται. ἔλεγε δέ τις θεασαμένῳ τινὶ ἐπὶ κριοῦ καθῆσθαι, καὶ πεσόντι ἐξ αὐτοῦ ἐκ τῶν ἔμπροσθεν, μνηστευομένῳ δὲ καὶ μέλλοντι ἐν αὐταῖς ταῖς ἡμέραις τοὺς γάμους ἐπιτελεῖν,

De Animalibus omnis generis.
CAP. 12.

OVes velut veteres prodiderunt, albæ quidem bonæ sunt, nigræ verò malæ. Verùm vt ego obseruaui, oues hominibus similes sunt, propterea quòd obediunt pastori, & in eadem caula cohabitant. Suntque progressus & profectus in melius, ex ipso nomine quo Græcis appellantur πρόβατα videlicet, significatiuæ. Optimum igitur est & multas proprias oues habere, & alienas videre ac pascere, maximè his qui turbæ præesse volunt, & qui ad magistratus peruenerunt, & sophistis, & doctoribus ac magistris, opera enim significant. Insuper autem & aries ad dominum referendus est, & ad principem, & ad regem. κραίνειν enim imperare veteres dicebant, & Græci sanè arietem κριὸν appellant, & Græcis dux aries existit. Bonum est etiam super ipsos vehi sibi videri, securè & per planos locos, præsertim philologis, & his qui ad diuitias parandas animum adiecerunt. Nam & velox est animal, & Mercurij figuram referre creditur. Capræ neque albæ neque nigræ bonæ sunt, sed omnes malæ: albæ quidem minus, nigræ autem amplius, & maximè nauigantibus. Nam & magnos fluctus caprarum vocabulo, αἶγας videlicet, Græci appellare solent, & sanè poëta inquit: λάβρος ἐπαιγίζων, hoc est, fortis caprissans, id est, Fortis & vndosus, de vehementi vento loquens. Et pelagus maximè omnium horrendum Ægæum vocatur. Nuptias autem, & amicitias, ac societates, neque consiliant, neque iam contractas conseruant. Non enim gregatim pascuntur, sed seorsim in rupibus ac præcipitiis pascentes, & sibiipsis & pastori negotia exhibent. Vnde etiam poëta latos caprarum greges dixit, quum inquit:

Hi verò, caprarum grex velut amplus.

Et rursus:

Capras pascentē, & natos pulchros generantē.

At verò de equis in sermone de certaminib. prædictū est. Fuit quispiā somniorū interpres, qui cuidā qui sibi visus fuit desidere super ariete, & ex ipso ex anteriori parte cecidisse: erat autem is procus, puellamque desponsatam sibi habens, in illis ipsis diebus nuptias celebrare statuerat: hoc

hoc somnium sic exposuit. Nimirũ prædicere ipsi somnium, vxor tua scortabitur, & quod dici solet, cornua tibi faciet, atque sic euenit: & sanè ob somnij præsagium recusatis nuptiis, & tandem vix post multum tempus ab amicis persuasus, duxit quidem illam ipsam quæ antea ipsi erat desponsata. Verùm præ somnij timore, vxorem custodiebat, & omnem diligentiam eius tutandæ gratia adhibebat: & illa quidem quum annum superuixisset, inculpata vita decessit. Quum autem aliam rursus duxisset vxorem, & putaret somnij minas iam prætergressas esse, & impetum suum id perfecisse, in infortunium incidit. Hęc enim ad vltimam scortationem progressa est.

Asini onus quoddam ferentes, & agitatori obedientes, valentésque & velociter ambulantes, boni sunt & ad amicitiã, & ad societatem. Ad hoc enim vt non sũptuosa sit vxor, & sodalis, ac amicus, etiam alacriter obedituros esse eosdem significant, itémque beneuolos futuros. Sed & ad alias actiones commodãt, propter nomen ὄνοι, quo Gręcis appellantur. ὄνασθαι enim, id est vtilitatem, ex prædictis significant, & voluptatem ex iisdem. Nam suauissimo dæmoni dicati sunt Sileno. Boni sunt etiam ad timores, propter historiam quæ de ipsis fertur, & fabulam apud omnes diuulgatam. Ad peregrinationes autem multam securitatem prædicunt: Verùm moras & tarditates operantur, ob ambulandi tarditatem.

Muli ad omnia commodi sunt, propterea quòd ad operas commonefaciunt, & maximè ad agriculturam.

Nãq; bobus parte hac multũ sunt anteferẽdi.

Solis nuptiis resistunt & filiorum generationi, ob id quòd semine gignitiuo hoc animal caret. Vbi verò efferati fuerint asini aut muli, insidias ex subditis significant. Muli verò etiam morbum, quemadmodum sæpe obseruaui.

Boues operarij omnibus boni sunt. Gregarij verò turbationes & diuulgationes significant, propter nomẽ, quo Gręcis βόες appellãtur: sed neq; periculũ minus.

Taurus autẽ non vulgarẽ aliquẽ significat, maximè si minetur, aut persequatur. Item minas ex præminentibus, si pauper sit qui somniũ vidit aut seruus. Nauigantibus autem tempestatem significat, &

προειπεῖν αὐτῷ ὅτι ἡ γυνή σου πορνεύσει. καὶ τὸ λεγόμενον, κέρατά σοι ποιήσει, καὶ οὕτως ἀπέβη. καὶ διὰ μὲν τὴν πρόρρησιν τοῦ ὀνείρατος παραιτησάμενος τὸν γάμον, καὶ μόλις ποτὲ πεισθεὶς ὑπὸ φίλων μετὰ χρόνον ἱκανὸν, ἔγημε μὲν τὴν πρότερον αὐτῷ μεμνηστευμένην. δεδιὼς δὲ τὸ ὄναρ, ἐφύλαττε τὴν γυναῖκα, καὶ διὰ πάσης ἀσφαλείας διεγίνετο. καὶ ἐκείνη μὲν ἐνιαυτὸν ἐπιζήσασα, διετέλεσεν ἄμεμπτος. ἄλλην δὲ ἐπιγήμας γυναῖκα, ὡς καὶ νομίσαι αὐτὸν ἀποσκῆψαι τὸ ὄναρ, περιέπεσε τῷ δυστυχήματι. ἀπέβη γὰρ ἐκείνη, εἰς ἔσχατον πορνείας ἐκπέπλευσα.

Ὄνοι φέροντες μὲν τι ἄχθος καὶ πειθόμενοι τῷ ἐλαύνοντι, καὶ ἐρρωμένοι καὶ ταχέως βαδίζοντες, ἀγαθοὶ καὶ πρὸς φιλίαν καὶ κοινωνίαν. πρὸς γὰρ τὸ μὴ εἶναι πολυτελῆ τὴν γυναῖκα καὶ τὸν κοινωνὸν, καὶ προθύμως ὑπακούεσθαι σημαίνουσι καὶ εὐνόησιν. καὶ πρὸς τὰς ἄλλας δὲ πράξεις εἰσὶν ἀγαθοὶ διὰ τὸ ὄνομα. ὄνασθαι γὰρ τῶν προειρημένων σημαίνουσι, καὶ ἡσθῆναι ἐπ' αὐτοῖς. τῷ γὰρ ἡδίστῳ ἀνάκεινται δαίμονι Σιληνῷ. καὶ πρὸς τοὺς φόβους δὲ ἀγαθοὶ, διὰ τὴν περὶ αὐτοὺς ἱστορίαν, καὶ τὸν ἐν συνηθείᾳ λόγον. πρὸς δὲ τὰς ἀποδημίας, πολλὴν προαγορεύουσιν ἀσφάλειαν. παρολκὰς δὲ καὶ βραδυτῆτας ἐργάζονται, διὰ τὸ νωθρὸν τοῦ βαδίσματος.

Ἡμίονοι δὲ πρὸς πάντα ἐπιτήδειοι, διὰ τὸ ὑπομονητικὸν τῶν ἔργων, μάλιστα δὲ πρὸς γεωργίαν.

Αἵ γάρ τε βοῶν προφερέστεραί εἰσιν.

Μόνον ἀντιβαίνουσι γάμῳ καὶ παιδοποιΐᾳ, διὰ τὸ ἄσπερμον εἶναι τὸ ζῶον. ὅταν δὲ ἀγριαίνωσιν οἱ ὄνοι ἢ ἡμίονοι, ἐπιβουλὴν ἐκ τῶν ὑποτεταγμένων σημαίνουσιν. ἡμίονοι δὲ καὶ νόσον ὡς πολλάκις ἐτήρησα.

Βόες ἐργάται, πᾶσιν ἀγαθοί. ἀγελαῖοι δὲ βόες ταραχὰς καὶ περιβοήσεις σημαίνουσι διὰ τὸ ὄνομα καὶ κίνδυνον.

Ταῦρος δὲ οὐ τὸν τυχόντα σημαίνει, μάλιστα ἀπειλῶν ἢ διώκων. καὶ τὴν ἐκ τῶν ὑπερεχόντων ἀπειλὴν, ἐὰν ἢ πένης ὁ ἰδὼν ἢ δοῦλος. ναυτιλλομένοις δὲ, χειμῶνα σημαίνει, καὶ

πλήξας, ναυάγιον, τῆς ἱστοκεραίας παθούσης τι δεινόν. ἔοικε γὰρ τῷ ἱστῷ, καὶ τῇ κατασκευῇ τῆς νεὼς ὅλης, διὰ τὰς βύρσας καὶ τὰ κέρατα· καὶ τοῦτο ἐγὼ πάνυ ἐτήρησα, καὶ πάντοτε συμφώνως ἀπέβη. Ταῦτα μὲν περὶ τῶν ἡμέρων καὶ συντρόφων ζώων. λοιπὸν δὲ περὶ τῶν ἀγρίων ζώων εἰπεῖν.

Λέοντα ἰδεῖν ἥμερον μὲν καὶ σαίνοντα καὶ προσιόντα ἀβλαβῶς, ἀγαθὸν ἂν εἴη, καὶ φέρον ὠφελείας, στρατιώτῃ μὲν, ἀπὸ βασιλέως· ἀθλητῇ δὲ, ἀπὸ τῆς τοῦ σώματος εὐεξίας, δημότῃ δὲ, ἀπὸ ἄρχοντος, καὶ δούλῳ, ἀπὸ δεσπότου. τούτοις γὰρ καὶ τὸ ζῶον ἔοικε διὰ τὸ δυνατὸν καὶ ἰσχυρόν. ὅταν δὲ ἀπειλῇ ἢ ἀγριαίνηταί τι ὁ λέων, φόβον τε ἐπάγει καὶ νόσον μαντεύεται. * ἔοικε γὰρ καὶ ἡ νόσος θηρίῳ· καὶ τὰς ἀπὸ τοιούτων ἀνδρῶν ἀπειλὰς μαντεύεται, ἢ τοὺς ἀπὸ πυρὸς κινδύνους. σκύμνους δὲ λέοντος καὶ ἔχειν καὶ ἰδεῖν, ἀγαθὸν ἐπίσης πᾶσιν. ὡς δὲ ἐπὶ τὸ πολὺ, καὶ παιδίου γένεσιν προαγορεύει.

Λέαινα δὲ, τὰ αὐτὰ τῷ λέοντι σημαίνει, πλὴν ἧττον καὶ τὰς ὠφελείας σημαίνουσα καὶ τὰς βλάβας ἀπειλοῦσα καὶ δάκνουσα, οὐχ ὑπὸ ἀνδρῶν ἀλλ᾽ ὑπὸ γυναικῶν γίνεσθαι μαντεύεται. ἐτήρησα δὲ πολλάκις καὶ ἄνδρας πλουσίους σημαίνουσαν διαβεβλημένους· ἐπεὶ κιναιδίαιά ἐστι.

Πάρδαλις δὲ, καὶ ἄνδρα καὶ γυναῖκα σημαίνει, πανούργους τε καὶ κακοτρόπους, διὰ τὸ ποικίλον τοῦ χρώματος. πολλάκις δὲ καὶ ἀπὸ ἐθνῶν ὄντας, ἐν οἷς οἱ πλεῖστοι στίζονται. καὶ νόσον καὶ ἄλλον τινὰ φόβον οὐ τὸν τυχόντα σημαίνει· καὶ περὶ ὄμματα κίνδυνον.

Ἄρκτος δὲ, γυναῖκα σημαίνει· φασὶ γὰρ ἐκ Καλλιστοῦς τῆς Ἀρκαδικῆς μεταβαλεῖν τὸ ζῶον οἱ περὶ μεταμορφώσεων μυθολογήσαντες, καὶ νόσον διὰ τὸ θηριῶδες· καὶ κίνησιν καὶ ἀποδημίαν· ἐπειδὴ ὁμώνυμός ἐστι τῷ ἀεὶ κινουμένῳ ἄστρῳ, πάλιν δὲ τὴν ἐπὶ τὸ αὐτὸ ἀποστροφὴν μαντεύεται· καὶ τὸ ἄστρον ἀεὶ ἐν τῷ αὐτῷ κινούμενον οὐ καταδύεται.

Ἐλέφας ἔξω μὲν Ἰταλίας καὶ Ἰνδίας ὁρώμενος, κίνδυνον καὶ φόβον σημαίνει, διὰ τὸ χρῶμα,

si percusserit, naufragium, ex mali apice graue aliquid perpesso. Similis est enim malo nauis, & toti ipsius structuræ, ob coria & cornua, atque hoc ego valde sæpe obseruaui, & semper concorditer in omnibus euenit. Hæc quidem de mansuetis & familiaribus nobis animalibus. Restat autem vt & de feris dicamus.

Leonem videre mansuetum, & blandientem, & innocuè accedentem, bonum est & vtilitatem ferens, militi quidem à rege, Athletæ verò à bona corporis habitudine, plebeio ex principe, & seruo ex hero. His enim hoc animal simile est, ob potentiam & fortitudinem. Quum autem minatur, aut aliquo modo efferatur leo, timorem inducit, & morbum præsagit. Similis est enim morbus ipsi feræ, sed & minas ab huiusmodi viris portendit, aut pericula ex igne. Catulos leonis & habere & videre, ex æquo omnibus bonum est. Vt plurimum verò & filij generationem prædicit.

Leæna eadem quæ leo significat, præterquam quòd minores commoditates blandiens, & minora damna minans ac mordens portendit, eáque non ex viris sed fœminis oritura. Obseruaui autem sæpe & viros opulentos criminosos per ipsam significari. Est enim cinæda.

Pardalis & virum & fœminam significat, maleficósq; & malis moribus præditos, propter varietatem coloris. Sæpe verò & gentes externarum nationum, in quibus plurimi plagis insigniuntur. Sed & morbum, & aliquem alium timorem non vulgarem significat: & periculum circa oculos.

Vrsa mulierem significat. Aiunt enim ex Calistone Arcadica trãsformatum esse animal ipsum, qui de transformationibus fabulati sunt. Significat & morbum, propter feritatem & motum, & peregrinationem quoniam cognominis est syderi quod semper mouetur, & rursus propter illud ipsum, reditum præsagit. Etenim sydus hoc semper in eodem mouetur, & non occidit neque mergitur.

Elephas extra Italiam & Indiam per somnium visus, periculum & timorem significat, propter colorem,

& ob magnitudinem. Horrendum enim est animal, & maximè non assuetis. Verùm in Italia dominum significat & regem, & virum præminentem. Quare vbi portauerit intrepidè, obediens ei qui in ipso vehitur, lucrum ab huiusmodi hominibus & beneficia præsagit. Vbi verò læserit, damnum ex iisdem portendit. Sæpe autem obseruaui, quòd Elephas persequens & minans, morbum prædicit, & si apprehenderit ac interfecerit, mortem somnianti significat. Si verò non prehenderit, tum demum seruandum præsagit, vbi ad extremum periculum fuerit redactus. Aiunt enim Plutoni sacrum hoc animal esse: At verò mulieri nequaquam bonus est Elephas, neque visus, neque accedens neque portans. Noui autem quandam fœminam in Italia opulentam & non ægrotantem, quæ sibi visa erat super Elephante vehi, & non ita diu post vita decessit.

Onagri inimicitiam aduersus aliquem beneuolum non valde generosum significant. Habent enim aliquam asinorum significationem. Meminisse porrò oportet, quod omnia syluestria animalia in communi ad inimicos referuntur. Semper igitur melius est superare ea, quàm ab ipsis superari. Inimicis enim superiorem fore significat, ita vt & vita illis supersit.

Lupus annum significat, atque hoc propter Lycabantem, id est anni tempus, qui ei cognominis apud Græcos existit, veluti poëtæ appellant. Contigit autem hoc ex eo quod circa hæc animalia accidere comperimus. Semper enim in ordine quodam se mutuo sequentia flumen transmittunt. Vt anni tempestates inuicem succedentes annum perficiunt. Significat etiam inimicum quendam violentum, rapacémque ac maleficum, qui palàm aduersum insurgat.

Vulpes eadem quæ lupus significat, verum in hoc differt, quod inimicos non palàm adorientes, sed clandestinè insidiantes portendit. Vt plurimum verò mulieres insidiantes significat.

Simia virum maleficum & impostorem significat.

Cynocephalus eadem quæ simia significat, apponit autem euentui etiã morbũ vt plurimum illum qui sacer appellatur.

καὶ διὰ τὸ μέγεθος. φοβερὸν γὰρ τὸ ζῶον, καὶ μάλιστα τοῖς μὴ εἰθισμένοις αὐτοῦ. ἐν Ἰταλίᾳ δὲ, δεσπότην σημαίνει καὶ βασιλέα, καὶ ἄνδρα μέγιστον. ὅθεν ἐπειδὰν βαστάζῃ ἀφόβως πειθόμενος τῷ ἐποχουμένῳ, τὰς ἀπὸ τοιούτων ἐργασίας τε καὶ εὐεργεσίας μαντεύεται. ὅταν δὲ βλάπτῃ, τὰς ἀπὸ τῶν τοιούτων βλάβας. πολλάκις δὲ ἐτήρησα. ἐλέφας διώκων καὶ ἀπειλῶν, νόσον προαγορεύει. καὶ καταλαβὼν μὲν καὶ διαχρησάμενος, τῷ ἰδόντι θάνατον σημαίνει· μὴ καταλαβὼν δὲ, εἰς ἔσχατον κίνδυνον ἥξαντα, σωθῆναι. καὶ γάρ φασι τὸ ζῶον ἀνακεῖσθαι τῷ Πλούτωνι· γυναικὶ δὲ, οὐδαμῶς ἀγαθόν ἐστιν, οὔτε ὁρώμενος, οὔτε προσιὼν, οὔτε βαστάζων. οἶδα δέ τινα γυναῖκα ἐν Ἰταλίᾳ πλουσίαν καὶ μὴ νοσοῦσαν, ἣ ἐδόκει ἐλέφαντι ὀχεῖσθαι, καὶ οὐκ εἰς μακρὰν ἀπέθανεν.

Ὄναγροι δὲ, ἔχθραν πρός τινα εὐγνώμονα οὐ πάνυ εὐγενῆ. ἔχει γάρ τι ὄνου σύμβολον. μεμνῆσθαι δὲ χρὴ, ὅτι κοινὸν ἔχει πάντα τὰ ζῶα τὰ ἄγρια, πρὸς τοὺς ἐχθρούς. ἀεὶ οὖν ἄμεινον κρατεῖν τούτων, ἢ κρατεῖσθαι ὑπ᾽ αὐτῶν. τῶν γὰρ ἐχθρῶν περιγενέσθαι σημαίνει καὶ ὑπέρτερον ἔσεσθαι.

Λύκος δὲ, ἐνιαυτὸν σημαίνει, διὰ τὸν λυκάβαντα, τουτέστι τὸν χρόνον· ὡς οἱ ποιηταὶ ὀνομάζουσιν· ἀπὸ τοῦ περὶ τὰ ζῶα ταῦτα συμβεβηκότος. ἀεὶ γὰρ ἑπόμενα ἀλλήλοις ἐν τάξει, διεξιᾶσι τὸν ποταμόν. ὥσπερ αἱ τοῦ ἔτους ὧραι ἑπόμεναι ἀλλήλαις τελοῦσι τὸν ἐνιαυτόν. καὶ ἐχθρὸν δὲ βίαιόν τινα καὶ ἁρπακτικὸν καὶ πανοῦργον, καὶ ἐκ τοῦ φανεροῦ ὁμόσε χωροῦντα.

Ἀλώπηξ δὲ, τὰ μὲν αὐτὰ τῷ λύκῳ σημαίνει, διαφέρει δὲ, ἐν τῷ τοὺς ἐχθροὺς οὐκ ἐκ τοῦ φανεροῦ τοὺς ἐπιθησομένους σημαίνειν, ἀλλὰ λάθρα ἐπιβουλεύοντας. ὡς δὲ ἐπὶ τὸ πλεῖστον, γυναῖκας σημαίνει τὰς ἐπιτιθεμένας.

Πίθηκος δὲ, ἄνδρα πανοῦργον καὶ γόητα σημαίνει.

Καὶ ὁ κυνοκέφαλος, τὰ αὐτὰ τῷ πιθήκῳ σημαίνει, προστίθησι δὲ τῷ ἀποτελέσματι καὶ νόσον, ὡς ἐπὶ τὸ πλεῖστον τὴν ἱερὰν καλουμένην.

ἀνάκειται γὰρ τῇ σελήνῃ. φασὶ δὲ καὶ τὴν νόσον ταύτην, οἱ παλαιοὶ, ἀνακεῖσθαι τῇ σελήνῃ.

Σφίγγας δὲ καὶ λύγγας, καὶ κερκοπιθήκους τοὺς τὰς οὐρὰς ἔχοντας, καὶ εἴ τι ἄλλο ζῶον τοιοῦτον, εἰς τὴν αὐτὴν τούτοις ἀνακτέον μοῖραν.

Ὕαινα δὲ, γυναῖκα σημαίνει ἀνδρόγυνον, ἢ φαρμακίδα, καὶ ἄνδρα κίναιδον οὐκ εὐγνώμονα.

Σύαγρος, ὑετόν τε σημαίνει καὶ χειμῶνα βίαιον, τοῖς ὁδεύουσιν ἢ πλέουσιν, καὶ τοῖς δικαζομένοις δὲ, ἐχθρὸν δυνατὸν ἅμα καὶ βίαιον, καὶ ἀγνώμονα, φωνῇ μιαρᾷ πολλάκις κεχρημένον· γεωργοῖς δὲ, ἀφορίαν, διὰ τὸ λυμαίνεσθαι τὰ φυτά· καὶ τῷ γαμοῦντι οὔτε εὔνουν, οὔτε ἐπιεικῆ τὴν γυναῖκα παρίστησιν. οὐδὲν δὲ θαυμαστὸν, εἰ καὶ σύαγρος γυναῖκα σημαίνει. καὶ γὰρ εἰ κακόζηλον, ἀλλ᾽ οὖν εὑρήσεται εἰς ἐπίδειξιν ὡς πολλάκις ἐτήρησα καὶ προκαλεῖται τὸ ζῶον. καὶ εἰκότως γυναῖκα σημαίνει· οὕτω γὰρ λέγονται αἱ κατωφερεῖς. καὶ τὸ κάπριον κακόδαιμον Μένανδρος φησίν.

Ἔλαφος ἐν μὲν νηῒ, τὰ πηδάλια σημαίνει, καὶ τὸ τάχος τῆς νεώς· ἐν ὁδῷ δὲ, τὸ κατὰ τὴν ὁδὸν καὶ τὴν ἀποδημίαν εὐκίνητον, ἢ πάλιν αὖ δυσεργές, δείξει δὲ τοῦτο, ὅπως ἂν ἔχοι διαθέσεως ἡ ἔλαφος. ἐν δὲ τοῖς λοιποῖς, τοὺς ἀποδιδράσκοντας, καὶ τοὺς ἐν δίκαις φεύγοντας, καὶ τοὺς καταλιπόντας τὰς συμβιώσεις, ἀγνώμονας μὲν. δειλοὺς δὲ καὶ ἀτόλμους παρίστησιν. εἰ δέ τι τῶν μὴ ἐπιπολαζόντων ἀλλὰ σπανίων, ἢ ἐν Λιβύῃ, ἢ παρ᾽ ὠκεανῷ, ἢ ἐν τῇ δύσει γίνεται ζῶον, ὃ μὴ ἐν τῷ λόγῳ τῷδε κατείλεκται, ἀπὸ τῶν εἰρημένων, ἐπὶ τὸ ὅμοιον ἀεὶ, καὶ μὴ πολὺ τὴν φύσιν διεστὸς μεταγαγόντας, χρὴ τὰς κρίσεις ποιεῖσθαι. ταῦτα μὲν οὖν περὶ τῶν τετραπόδων ἡμέρων τε καὶ ἀγρίων, κανονίζειν χρή· μάλιστά γε τὸν μὴ πομπὴν λόγων ἀποδεχόμενον, ἀλλ᾽ αὐτὰ τὰ ἀληθῆ ἐξετάζοντα κἀκεῖνο σκοπεῖν προσήκει. ὅτι ταῦτα ἐξ ἡμέρων μὲν ἄγρια γινόμενα, πονηρὰ ἂν εἴη· ἐξ ἀγρίων δὲ ἥμερα γινόμενα, ἀγαθὰ καὶ ὠφέλιμα γίνεται. μεγάλα

Est enim Lunæ dicatus. Produnt autem veteres etiam morbum hunc lunæ sacrum esse.

Sphingas & lyaces & cercopithecos, hoc est simias quæ caudas habent, & si quod aliud est huiuscemodi animal, ad eandem cum prædictis rationem referre oportet.

Hyæna mulierem significat semiuirum, androgynon Græcis dictum, aut veneficam, aut virũ cinædũ non beneuolũ.

Syagros siue aper pluuiam & tempestatem violentam significat, his qui iter faciunt, aut nauigant, & litigantibus aduersarium potentem simúlque violentum, ac perfidum, scelesta voce sæpe vtentem: agricolis autem sterilitatem, propterea quòd plantas pessundet: & ducenti vxorem, neque benignam, neque mansuetam coniugem copulat. Nihil verò miri est, si etiam syagros mulierem significat. Nam si ineptè æmulatur mulier, certè reperietur & aper exemplum sui edens, velut sępe obseruaui. Quin & prouocatur hoc animal. Et meritò vxorem significat, sic enim dicuntur quæ ad libidinem sunt procliues. Sed & κάπριον, id est, aprinum, infelix, Menander dixit.

Ceruus in naui quidem gubernacula significat, & nauis celeritatem: in via verò promptitudinem motus ad eundum, & profectionem absoluendam, aut vice versa difficultatem, prout ceruus fuerit dispositus. In cæteris verò locis, fugitiuos, & eos quibus lis in iudicio intenta est, eámque fuga euitarunt: & quibus cõuictus hominum relinquuntur, perfidos quidem, verùm timidos & pusillanimos, reddit. Quòd si quod est animal ex infrequentibus & raris, quod aut Africa, aut Oceanus, aut Occidens gignat, & in hoc sermonis censu non reperiatur, id ipsum iuxta dictorum rationem, semper ad simile, aut non multum distans animal referre oportet, atque sic de ipso iudicationes facere. Hæc igitur de quadrupedibus tum mãsuetis, tum feris, regulariter pronunciare oportet, præsertim eos qui põpam sermonis non valde probant aut expectant, sed ipsam rei veritatem expendunt. Quin & illud considerare cõuenit, quòd animalia ex mansuetis quidem fera facta, mala existunt, ex feris autẽ mansuefacta, bona & vtilia fiũt. Verũ magnas

omnino vtilitates significant ea quæ etiã vocem humanam edunt, & maximè vbi quid boni & iucundi dicere videantur. Quicquid autem dixerint, omnino vera dicunt, fidémque ipsis habere oportet. Et siquidem simplex fuerit quod dictum est, ipsi per se animum adhibere. Sin ænigmatis specie obscuratum fuerit, tentare ac eniti vt interpretemur. Cæterùm de apodibus deinceps agam.

De Reptilibus. CAP. 13.

DRaco visus regem significat, ob potentiam: dominum item & magistratum, & tempus, propter longitudinem, & quod exuat senectam, & rursus iuuenescat. Idem enim etiam tempori contingit iuxta certas anni horas, vt videlicet senescat, ac rursus adolescat. Diuitias item & pecunias, propterea quòd thesauris incumbit, & deos omnes, quibus est sacratus. Sunt autem hi. Iupiter reuerẽdus, Sol, Ceres, Proserpina, Hecate, Æsculapius, Heroës. Quando autem accesserit, aut dederit aliquid, aut dixerit quidpiam, ingentia bona significat, à relatis, aut per relatos deos aut dæmonas. Si verò contraria faciat, malus est. Circũplicatus autem & perterrefaciens aliquẽ, grauia portendit & vincula, & ægrotantibus perniciem, ferè enim ad terram ducit. Nam & ipse terræ filius est, & conuersationes suas in terra habet.

Serpens morbum significat, & inimicitiam inducit. Quomodo autem affecerit aliquem, sic & morbus, & inimicus eum qui somnium vidit tractabunt ac excipient.

Aspis & vipera, argentum significant, propter multam rubiginem, & opulentas mulieres, ob eandem rationem. Hæ verò etiam mordentes bonæ à me obseruatæ sunt, item accedentes & circumplicatæ & circumuolutæ. Qualemcunque autem feram mulier habens in sinu occultauerit, & ex ipsa delectetur, stuprabitur ab amico eius qui somnium vidit. Si verò timeat aut tristetur, ægrotabit. Et si vterum gestauerit, corrumpet & non conseruabit fœtum.

Hydri eadem quæ serpens significant, & morbũ ex humoribus & liquidis, aut

δὲ ἀγαθὰ σημαίνει, τὰ καὶ φωνὴν ῥήξαντα ἀνθρωπίνην, καὶ μάλιστα ὅταν τι εὔφημον καὶ ἡδὺ λέγειν δόξωσιν. ὅ, τι δὲ ἂν εἴπωσι, πάντως ἀληθῆ λέγουσι. καὶ χρὴ πιστεύειν. καὶ μὲν ἁπλοῦν τὸ εἰρημένον, αὐτόθεν προσέχειν· ἐὰν δὲ αἴνιγμά τι, πειρᾶσθαι ἑρμηνεύειν. περὶ δὲ τῶν ἀπόδων ἑξῆς ποιήσομαι τὸν λόγον.

Περὶ ἑρπετῶν. ιγʹ.

ΔΡάκων ὁρώμενος, βασιλέα σημαίνει, διὰ τὸ δυνατόν, καὶ δεσπότην καὶ ἄρχοντα· καὶ χρόνον, διὰ τὸ μῆκος, καὶ διὰ τὸ ἀποδιδύσκεσθαι τὸ γῆρας, καὶ πάλιν νεάζειν. τὸ γὰρ αὐτὸ καὶ τῷ χρόνῳ συμβέβηκε κατὰ τὰς τοῦ ἔτους ὥρας, γηρᾶν τε καὶ νεάζειν. καὶ πλοῦτον καὶ χρήματα, διὰ τὸ ἐπὶ θησαυροῖς ἱδρύεσθαι. καὶ θεοὺς πάντας, οἷς ἐστιν ἱερός. εἰσὶ δὲ οἵδε· Ζεὺς σεβάσμιος, ἥλιος, δημήτηρ, καὶ κόρη, ἑκάτη, ἀσκληπιός, ἥρωες. ἐπειδὰν δὲ προσίῃ, ἢ διδῷ τι ἢ λέγῃ τι, ἀγαθὰ μεγάλα σημαίνει. ἀπὸ τῶν εἰρημένων ἢ διὰ τοὺς εἰρημένους θεοὺς ἢ δαίμονας. τὰ δὲ ἐναντία πράττων, πονηρός. περιπλακεὶς δὲ καὶ δείσας τινά, δεινὰ προαγορεύει καὶ δεσμά· καὶ νοσοῦσιν ὄλεθρον. καὶ σχεδὸν εἰς γῆν ἄγει. γῆς γάρ ἐστι καὶ αὐτὸς παῖς, καὶ τὰς διατριβὰς ἐν γῇ ποιεῖται.

Ὄφις δὲ νόσον σημαίνει, καὶ ἔχθραν ἐπάγει. ὅπως δ' ἂν διαθῇ τινά, οὕτω καὶ ἡ νόσος καὶ ὁ ἐχθρὸς τὸν ἰδόντα διαθήσουσιν.

Ἀσπὶς καὶ ἔχιδνα, ἀργύριόν τε σημαίνουσι, διὰ τὸν πολὺν ἰόν. καὶ γυναῖκας πλουσίας διὰ τὸν αὐτὸν λόγον. αὗται γὰρ καὶ δάκνουσαι ἀγαθαὶ παρά γε ἐμοὶ τετήρηνται, καὶ προσιοῦσαι καὶ περιπλεκόμεναι καὶ περιστρεφόμεναι. ὃ δ' ἂν γυνὴ θηρίον ἔχουσα ἐν τῷ κόλπῳ κρύπτῃ καὶ ἐπ' αὐτῷ τέρπηται, μοιχεύεται ὑπὸ ἐχθροῦ τοῦ ἰδόντος. ἐὰν δὲ φοβῆται ἢ ἀνιῶτο, νοσήσει. καὶ ἐὰν ἐν γαστρὶ ἔχῃ, φθερεῖ καὶ οὐ διασώσει τὸ ἔμβρυον.

Ὕδροι δέ, τὰ μὲν αὐτὰ τῷ ὄφει σημαίνουσι, καὶ νόσον ἐξ ὑγρῶν, ἢ ἐν

ὕδατι τὸν κίνδυνον ποιοῦσι. καὶ τοὺς ἐχθροὺς σημαίνουσιν ἐξ ὕδατος ἢ δι' ὕδατος ἔχειν τὴν ἐργασίαν. Δρύϊναι δὲ καὶ Παρεῖαι καὶ Φύσαλοι, πονηροὶ πάντες· καὶ τὰς ἀδικίας ἔκ τινων σημαίνουσιν, οὐκ ἀστικῶν οὐδὲ ἐν πόλει διαβιούντων. Σὴψ δὲ καὶ Δύψας, καὶ Δίφας, καὶ ὁ καλούμενος λέων, καὶ ὅσα ἄλλα πολλὰ κατηρίθμησε Νίκανδρος, οὔτε ὁρώμενα, οὔτε ὁμόσε χωροῦντα, ἀγαθόν τι σημαίνει· ἀλλὰ καὶ κινδύνοις οὐ τοῖς τυχοῦσι ἐπάγει. φαλάγγια δὲ καὶ σκορπίοι, καὶ σκολόπενδραι, πονηροῖς σημαίνουσιν ἀνθρώποις.

in aqua periculum inducunt. Prædicunt etiam inimicos ex aqua aut per aquam quæstus facere. Dryinæ & pareæ, ac physali, mali omnes sunt, & iniurias ex aliquibus significant, non vrbanis, neque in ciuitate degentibus. Seps verò, & dipsas, & diphas, & leo vocatus, & quæcunque alia animalia, quæ multa adeò Nicander enumerauit, neque visa, neque propè accedentia ac impetentia, bonum quicquam significant, sed & pericula non vulgaria inducunt. Phalangia autem, & scorpij, & scolopendræ, malos homines significant.

Περὶ ἁλιείας. ιδ'.

ΣΑγήνη, καὶ γρῖπος, καὶ ἀμφίβληστρον, καὶ ὅσα ἄλλα ἐκ λίνων πλέκεται ἐπιτήδεια πρὸς ἁλιείαν, τὰ αὐτὰ τοῖς λίνοις τοῖς κυνηγετικοῖς, περὶ ὧν ἔμπροσθεν ἐμνήσθην σημαίνουσιν. ὁρμιαὶ δὲ καὶ ἄγκιστρα καὶ καθετῆρες καὶ οἱ λεγόμενοι δόλωνες, δόλους ἢ ἐνέδρας σημαίνουσιν. ἀεὶ δὲ ἄμεινον ταῦτα ἔχειν δοκεῖν, ἢ ἄλλον ἔχοντα ἰδεῖν. λαμβάνειν δὲ ἰχθύας ἅμα πολλοὺς καὶ μεγάλους, ἀγαθόν· καὶ κέρδος φέρον πᾶσι, πλὴν τῶν ἐπιδίφρειον τὴν ἐργασίαν ἐχόντων, καὶ σοφιστῶν. τοῖς μὲν, σχολὴν σημαίνει τὸ ὄναρ· διὰ τὸ μὴ δύνασθαι καὶ πρὸς ἔργῳ τῷ συνήθει εἶναι, καὶ ἁλιεύειν· τοῖς δὲ, οὐκ ἐπιτηδείων τεύξεσθαι τῶν ἀκροατῶν. ἄφωνοι γὰρ εἰσὶν οἱ ἰχθύες. μικροὶ δὲ ἰχθύες λαμβανόμενοι, ἀηδίας σημαίνουσι, καὶ οὐδαμῶς κέρδος. ὧν ἐν τῷ περὶ τροφῆς λόγῳ, ἐν τῷ πρώτῳ βιβλίῳ ἐμνήσθην, οἷον χαλκίδες, μαινίδες, τριχίαι, ψητταφύαι. καὶ ἄλλα πολλὰ εἴδη τῶν ἰχθύων ἤδη. δὲ κατ' εἶδος ἰχθύες, διάφορον σημαίνουσιν, ἕκαστα δὲ ἔχει οὕτως. ὅσοι τῶν ἰχθύων εἰσὶ ποικίλοι, τοῖς μὲν νοσοῦσι, φαρμακείας· τοῖς δὲ ἐρρωμένοις, δόλοις καὶ ἐπιβουλὰς σημαίνουσιν· οἷον, κίχλη, φυκίς, χάννος, ἰουλίς, στρωματεύς, καὶ τὰ ὅμοια. ὅσοι δὲ τῶν ἰχθύων εἰσὶ πυῤῥοὶ, δούλοις μὲν καὶ κακούργοις, βασάνους σημαίνουσι, νοσοῦσι δὲ, πυρετὸν λάβρον, καὶ φλεγμονάς·

De Piscatura. CAP. 14.

SAgena, & gripus, & rete, & quæcunque alia ex lino texuntur ad piscaturam, eadem quæ retia venatoria, de quibus antea mentionem feci, significant. Funiculi verò setacei, & hamuli, & vncini, & qui Dolones appellantur, dolos & insidias significãt. Semper autem melius est hæc habere sibi videri, quàm alium habentem videre. Capere pisces simul multos ac magnos, bonum est, & vtilitatem ac lucrum omnibus parit, exceptis his qui sedentarium opificium exercent, & sophistis. Illis enim ocium significat somnium, propterea quòd non possint simul operas consuetas obire, simúlque piscari, his verò ineptos auditores accessuros esse præsagit. Muti enim sunt pisces. Parui pisces si prehendantur tristitiam significant, & nequaquam lucrum. Horum autem mentionem in primo libro, vbi de cibo egi, feci, velut sunt, chalcides, mænulæ, sardæ, psæstoaphyæ, hoc est, apuæ quæ in sartagine friguntur, & aliæ multæ piscium species. Iam verò speciatim piscium singulæ species diuersam significationem habent, quorum ratio hæc est. Quicunque pisces varij sunt, ægrotantibus venena, sanis verò dolos & insidias significat, velut turdus, phuca, hiatula, iulia, stromateus, & consimiles. Quicunque verò pisces rufi sunt, seruis quidem & malefactoribus tormenta significant, ægrotantibus verò, febrem vehemẽtem, & inflammationes:

his verò qui latere conantur, manifestationem portendunt, velut dentex, rubellus, cuculus, mullus, quæ trigla Græcis existit, & fœminis liberos non habentibus bona est. Ter enim parit, vnde & nomen ipsi merito impositum esse, & Aristot. in libris De animalibus, & Aristophanes in commentariis in Aristotelem tradunt. Quicunque pisces exuuntur, boni sunt ægrotantibus, & in carcere detentis, & pauperibus, & omnibus in aliquo infortunij casu existentibus. Deponunt enim incumbentia & circumsita mala. Exuunt autem senectam pisces crusta intecti, squilla, locusta siue carabus, cancer, gammarus, pagurus, & quæ graus id est anicula appellatur, & quicunque similes existunt. Eadem autem genera etiam plagas sæpe portenderunt, propterea quod seipsa feriant, & peregrinationes indicant, quia amphibia sunt geminumq; victum tum in terra, tum in aqua habent. Quicunque pisces ventrem nostrum exturbant, & sterquilinia educunt, eadem quæ olera significant, & eundem vsum hominibus exhibent, de quibus in sermone de alimento libro primo dixi. Soluunt autem aluum, omnia testa intecta, purpura, murex, conchæ, rhombus, erinaceus, mitilus, peloris, chamæ, pectunculi, carcinades, & si quod aliud huiusmodi existit. Purpuræ autem & carcinades, piscatoribus & purpuratoribus sæpe conferunt. Pina autem & pinophilax, & cancer, etiam ad nuptias & societatem boni sunt, propter mutuam societatem ac beneuolentiam. Molles pisces solis his qui malefactum quoddam aggrediuntur conducunt. Nam ipsi mutato colore, & locis in quibus fuerint assimilati, latent: reliquis impedimenta & detentiones significant, ob vim retinendi & viscositatem. Sed & in actionibus multam imbecillitatem prædicunt, propterea quòd ossa non habent. Robur enim corporis sunt ossa. Sunt autem hi polypus, loligo, vrtica, nauplius, porphyrio, sepia. Hæc verò sola, etiam fugam meditantes iuuat, propter dolum, quo vtens sæpe effugit. Meminit huius somnij etiam Antipho Atheniensis. Quicunque vero pisces cartilaginei sunt, ex his longi omnes vanum laborem significāt,

τοῖς δὲ λανθάνειν τι πειρωμένοις ἔλεγχον σημαίνουσιν ἐπάγειν, οἷον συνόδοις, ἐρυθρῖνος, κόκκυξ, τρίγλη, αὕτη δὲ γυναιξὶν ἀτέκνοις ἐστὶν ἀγαθή. τρεῖς * γὰρ κύει, ὅθεν αὐτῇ καὶ τοὔνομα εἰκότως φασὶ κεῖσθαι, καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ ζώων, καὶ Ἀριστοφάνης ἐν τοῖς εἰς Ἀριστοτέλην ὑπομνήμασι. ὅσοι τῶν ἰχθύων ἀποδιδύσκονται, ἀγαθοὶ τοῖς νοσοῦσι. καὶ τοῖς ἐν εἱρκτῇ οὖσι καὶ πένησι, καὶ πᾶσι τοῖς ἔν τινι περιστάσει οὖσιν. ἀποθήσονται γὰρ τὰ περικείμενα φαῦλα. ἀποδιδύσκονται γὰρ τὸ γῆρας, τῶν ἰχθύων οἱ μαλακόστρακοι, καρίς, κάραβος, καρκῖνος, ἀστακός, πάγουρος, καὶ ἡ λεγομένη γραῦς, καὶ ὅσα ἄλλα ἐστὶν ὅμοια. ταῦτα δὲ, καὶ πληγὰς πολλάκις προεμαντεύσατο· διὰ τὸ ἑαυτὰ παίειν, καὶ ἀποδημίας δηλοῦσιν· ὅτι ἐστὶν ἀμφίβια, ὅσοι τῶν ἰχθύων ἐκταράττουσι τὴν κοιλίαν ἡμῶν, καὶ ἐκκρίνουσι τὰ σκύβαλα, τὰ αὐτὰ τοῖς λαχάνοις σημαίνουσι, καὶ τὴν αὐτὴν παρέχουσι τοῖς ἀνθρώποις χρείαν. περὶ ὧν ἐν τῷ περὶ τροφῆς λόγῳ εἴρηκα· λύει δὲ τὴν γαστέρα πάντα τὰ ὀστρακόδερμα, πορφύρα, κῆρυξ, ὄστρεον, καὶ ῥόμβος, ἐχῖνος, μῦς, πελωρεὶς, χῆμαι, κτένες, καρκινάδες, καὶ εἴ τι ἄλλο τοιοῦτον. πορφύραι δὲ καὶ καρκινάδες, ἁλιεῦσι καὶ πορφυρευταῖς, πολλάκις συμφέρει. πίνα δὲ καὶ ὁ λεγόμενος πινοφύλαξ, καὶ καρκῖνος, καὶ πρὸς γάμον καὶ πρὸς κοινωνίαν εἰσὶν ἀγαθοί· διὰ τὴν πρὸς ἀλλήλους κοινωνίαν καὶ εὔνοιαν. οἱ δὲ μαλακοὶ τῶν ἰχθύων, μόνοις τοῖς πανουργεῖν τι ἐπιχειροῦσι συμφέρουσι. καὶ γὰρ αὐτοὶ μεταβάλλοντες τὰ χρώματα καὶ ὁμοιούμενοι τοῖς τόποις ἐν οἷς ἂν γίνωνται, λανθάνουσι. τοῖς δὲ λοιποῖς, ἐμπόδια καὶ κατοχὰς σημαίνουσι, διὰ τὸ καθεκτικὸν καὶ ἰξῶδες. καὶ ἐν ταῖς πράξεσιν, ἀτονίας πολλὰς προαγορεύουσι. διὰ τὸ ὀστέα ἔχειν. ἰσχὺς γὰρ σώματος, ὀστέον. εἰσὶ δὲ οἵδε, πολύπους, τευθίς, ἀκαλήφη, ναύπλιος, πορφυρίων, σηπία. αὕτη δὲ μόνη καὶ τοὺς ἀποδρᾶναι βουλομένους ὠφελεῖ διὰ τὸν δόλον, ᾧ χρωμένη, πολλάκις φεύγει. μέμνηται τοῦ ὀνείρου τούτου, καὶ Ἀντιφῶν ὁ Ἀθηναῖος. ὅσοι δὲ τῶν ἰχθύων εἰσὶ σελάχιοι, οἱ μὲν μακροὶ πάντες, ματαιοπονίαν σημαίνουσι,

καὶ τὰ ἠπιζόμενα, οὐ τελειοῦσιν. ἐπειδὴ διολισθαίνουσι τῶν χειρῶν, καὶ ὅτι λεπίδας οὐκ ἔχουσιν, αἳ τῷ σώματι περίκεινται, ὥσπερ ἀνθρώποις τὰ χρώματα. εἰσὶ δὲ οἵδε, μύραινα, ἔγχελυς, γόγγρος. οἱ δὲ πλατεῖς, καὶ κινδύνους σημαίνουσι διὰ τὸ θηριῶδες καὶ ἐπίβουλον. οἷον, τρυγών, νάρκη, βοῦς, καὶ ὁ λεγόμενος ἀετὸς, καὶ γαλεὸς καὶ ῥίνη, καὶ εἴ τι ἄλλο τούτοις ὅμοιον. ὅσοι δὲ τῶν ἰχθύων, ὅμοιοι μὲν εἰσι λεπιδωτοῖς, οὐκ ἔχουσι δὲ λεπίδας, μεθιστᾶσι τὰς ἐλπίδας τοῦ ἰδόντος σημαίνουσιν· οἷον, θύννος, καὶ τὰ εἴδη αὐτοῦ, πηλαμύς, σίμος, σφύραινα, καὶ κολοιάς. καὶ τὰ ὅμοια. μόρμυροι δὲ καὶ μελάνουροι. καὶ σκορπίοι, καὶ κωβιοί, περιπεσεῖν νόσον σημαίνουσι πανούργοις καὶ ἀηδέσιν ἀνθρώποις. κορακῖνοι δὲ καὶ βλέννοι, πονηροῖς καὶ ἀνωφελέσιν. ἰχθῦς δὲ οἱ λιμναῖοι, ἀγαθοὶ μὲν, ἧσσον δέ. καὶ γὰρ ἧσσον εἰσὶ τῶν θαλασσίων πολυτελεῖς, καὶ τρέφουσιν οὐχ ὁμοίως.

Περὶ βατράχων. ιε.

Βάτραχοι δὲ, ἄνδρας γόητας καὶ βωμολόχους προσημαίνουσι, τοῖς δὲ ἐξ ὄχλου πορίζομένοις εἰσὶν ἀγαθοί. οἶδα δέ τινα οἰκέτην, ὃς ἔδοξε βατράχοις κονδύλοις ἐπιπαίειν. καὶ προέστη τῆς τοῦ δεσπότου οἰκίας, ἄρχων τῶν ἐν τῇ οἰκίᾳ ἀνθρώπων. ἡ μὲν γὰρ λίμνη, τὴν οἰκίαν ἐσήμαινεν· οἱ δὲ βάτραχοι, τοὺς ἔνδον ὄντας ἀνθρώπους. ὁ κονδυλισμὸς δὲ, τὴν ἐπιταγήν.

Περὶ θηρίων θαλασσίων. ιϛ.

Θηρίον θαλάσσιον ἐν θαλάσσῃ ὁρᾶν, οὐδενὶ συμφέρει. πλὴν δελφῖνος, οὗτος δὲ ἐν θαλάσσῃ ὁρώμενος, ἀγαθός. καὶ ὅπου ἄπεισιν, ἐκεῖθεν πνευσούμενον ἄνεμον σημαίνει. ἔξω δὲ θαλάσσης καὶ τοῦ ὑγροῦ, πᾶν θηρίον θαλάσσιον, ἀγαθὸν ὀφθέν. οὐ γὰρ ἔτι κακοῦν δύναται· ὅπου γε μὴ δὲ ἑαυτὸ σῶσαι, ἀσπαῖρον καὶ δυσθανατοῦν. διὸ τοὺς ἐχθροὺς

& quæ speramus nō perficiunt: quoniam manibus elabuntur, & squamas non habent, quæ corpori circumsitæ sunt, velut hominibus colores. Sunt autem hi, Muræna, anguilla, congrus. At verò plani pisces etiam pericula significant, propter feritatem, & insidias, velut, pastinaca, torpedo, bos, & quæ Aquila dicitur, mustelus, squatina, & alia his similia genera. Quicunque pisces squamosis quidem similes sunt, squamas autem non habent, spes eius qui somnium de ipsis vidit dissoluunt, velut Thunnus, & species ipsius, pelamis, simos, malleolus, monedula, & consimiles. Mormyri autem & melanuri, & scorpij, & gobij, morbum præsagiunt, maleficis & iniucundis hominibus. Coracini verò & blemij, malis & inutilibus. Pisces stagnorum boni quidem sunt verum minus. Nam & minus quam marini pretiosi sumptuosique sunt, & non similiter nutriunt.

De Ranis. CAP. 15.

Ranæ homines impostores & scurras significant, verum his qui ex turba rem parant, bonæ sunt. Noui autem quēdam famulum qui sibi visus est ranis pugnos & digitorum nodos incutere, & præfectus est domui domini, ita vt imperaret hominibus qui in domo essent. Stagnum enim domum significabat, ranæ verò homines in ipsa. Digitorum verò illisio, quam græci condylismum, Latini quidam Talitrum appellant, imperium.

De Feris marinis.

CAP. 16.

Feram marinam in mari existentem videre, nemini conducit, excepto delphino. Hic enim in mari visus bonus est, & quo abit, inde vētum spiraturum promittit. Extra mare autem & liquidum, omnis fera marina bona est cōspecta. Nō enim amplius lædere potest, quando neque seipsum seruare valet, vtpote tremēs & dolorose moriēs, quapropter inimicos

supra

ſupra hoc quod nihil contra nos efficere poſſunt, etiam malos malè perdendos eſſe ſignificat. Cæterùm delphin extra mare viſus non eſt bonus, ex chariſſimis enim aliquem defunctum videre ſignificat.

De Laris & Mergis.

CAP. 17.

LAri & mergi, & quæcunque eiuſmodi marinæ aues, nauigantes in extremum periculum inducunt, ſed non perdunt. merguntur enim tales aues omnes, & in mari non ſuffocantur. Reliquis hominibus aut amicas aut ſcorta ſignificat, aut viros impoſtores, raptoréſque ac perfidos, ex aqua aut per aquam quæſtum ad alimoniam habentes. Porrò quæ perduntur, in hoc ſomnio non inuenientur, quicquid enim ceperint deglutiunt.

De Piſcibus mortuis.

CAP. 18.

PIſces mortuos in mari videre aut reperire, non eſt bonum. Vanas enim ſpes ſignificant, & quæ expectantur perfici non ſinunt. Viuentes autem piſces accipere melius eſt, ſiue ipſe veneris, ſiue ab aliis emptos accipias. Bonũ eſt etiam appoſitis veſci, cæterùm de præparatione ipſorum, itémque conditura, ex carnium conditura iudicationes facere oportet. At verò putare piſcem in cubili videre, iudicandum eſt vt malum, & nauiganti, & ægrotanti. Illi enim naufragium, huic periculum ex humoribus & liquidis, aut per liquida ſignificat. Quòd ſi mulier prægnans ſe piſcem parere ſomniet, iuxta veterum ſententiam, mutum pariet. Verùm vt ego obſeruaui, breuis vitæ & non diu ſuperuicturum. Multæ verò etiam mortuos pepererunt. Omnis enim piſcis extra continens ſuum, ipſam videlicet aquam, poſitus moritur.

πρὸς τῷ μηδὲν ἰσχύσαι, καὶ κακοὺς κακῶς ἀπολέσθαι σημαίνει. δελφὶν δὲ ἔξω θαλάσσης ὁρώμενος, οὐκ ἀγαθός. τῶν γὰρ φιλτάτων τινὰ ἐπιδεῖν ἀποθανόντα σημαίνει.

Περὶ λάρων καὶ αἰθυιῶν. ιζ.

ΛΆροι καὶ αἴθυιαι καὶ ὅσα τοιαῦτα θαλάσσιά ἐστιν ὄρνεα, τοὺς πλέοντας, εἰς ἔσχατον κατάγει κίνδυνον· ἀλλ᾽ οὐκ ἀπολλύουσι. καταδύεται μὲν γὰρ ταῦτα πάντα, ἀλλ᾽ οὐκ ἀποπνίγεται τῇ θαλάσσῃ. τοῖς δὲ ἄλλοις ἀνθρώποις, ἤτοι ἑταίρας σημαίνει καὶ μάχλους γυναῖκας, ἢ ἄνδρας γόητας, ἁρπακτικούς τε καὶ ἀγνώμονας, ἐξ ὕδατος ἢ δι᾽ ὕδατος ἔχοντας τὴν ἐργασίαν πρὸς τὴν τροφήν. τὰ δὲ ἀπολλύμενα, οὐχ εὑρεθήσεται, ὅτι γὰρ ἂν λάβωσι, τοῦτο καταπίνουσιν.

Περὶ ἰχθύων νεκρῶν. ιη.

Ἰχθῦς νεκροὺς ἐν θαλάσσῃ ὁρᾶν δοκεῖν ἢ εὑρεῖν, οὐκ ἀγαθόν. ματαίας γὰρ ἐλπίδας σημαίνουσι· καὶ τὰ προσδοκώμενα, οὐκ ἐῶσι τελεσθῆναι. ζῶντας δὲ ἰχθῦς, ἄμεινον λαμβάνειν, καὶ αὐτὸν ἀγρεύειν, καὶ παρ᾽ ἄλλων λαβόντα ὠνεῖσθαι· καὶ παρατεθέντας ἐσθίειν. περὶ δὲ τῆς σκευασίας αὐτῶν καὶ τῆς ἀρτύσεως, τὰς κρίσεις, ἀπὸ τῆς τῶν κρεῶν ἀρτύσεως ποιεῖσθαι χρή. καὶ περὶ τοῦ δοκεῖν ἰχθὺν ἐν τῇ κοίτῃ ἰδεῖν, πονηρὸν τῷ πλέοντι νομίζειν, καὶ τῷ νοσοῦντι. τῷ μὲν γὰρ, ναυάγιον, τῷ δὲ, κίνδυνον δι᾽ ὑγρῶν ἢ ἐξ ὑγρῶν σημαίνει. καὶ ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα, ἰχθὺν εἰ ὑπολάβοι τεκεῖν, ὡς μὲν οἱ παλαιοὶ λέγουσιν, ἄφωνον γεννήσει· ὡς δὲ ἐγὼ ἐτήρησα, ὀλιγοχρόνιον. πολλαὶ δὲ καὶ νεκρὰ ἔτεκον. ἔξω γὰρ τοῦ περιέχοντος γινόμενος πᾶς ἰχθῦς, ἀποθνήσκει.

Περὶ τῆς ἰξευτικῆς. ιθʹ.

Κάλαμοι ἰξευτικοὶ καὶ ἰξὸς, τοὺς ἀποδήμους συνάγουσι, καὶ τοὺς δραπέτας εὑρίσκουσι, καὶ τὰ ἀπολωλότα σώζουσι, καὶ τὰ προσδοκώμενα τελειοῦσιν· ἀλλ' οὐ πάντα. τὰ μὲν γὰρ μακρόθεν καὶ διεστῶτα, πρὸς τὸν χρώμενον ἄγουσι· τουτέστι, πρὸς τὸν ἰξεύοντα. ἔνια δὲ καὶ τοὺς καλάμους διαφεύγει. αἱ δὲ λεγόμεναι νεφέλαι, καὶ ὅσα ἄλλα πλεκτά ἐστι, πρὸς θήραν ὀρνέων πεποιημένα, τὸν αὐτὸν ἔχει ταῖς σαγήναις λόγον καὶ τοῖς δικτύοις. ἑξῆς δὲ ἀκολουθεῖ τῷ λόγῳ τούτῳ, περὶ ζώων ἀεροπόρων εἰπεῖν.

Περὶ ζώων ἀεροπόρων. κʹ.

Ὄρνιθες ἱβοὶ, πλουσίοις μᾶλλον ἢ πένησι σύμφοροι. οἱ δὲ μικροὶ καὶ παχεῖς, τοῖς πένησιν εἰσὶ συμφορώτατοι. οἱ μὲν γὰρ μεγάλοι, διὰ τὸ μὴ λιταῖς χρῆσθαι τροφαῖς, ἔστιν ὅτε μεγάλων ἐφιέμενοι, καὶ περὶ τὸ τυχὸν οὐκ ἀγαπῶντες λιμώττουσιν. οἱ δὲ μικροὶ καὶ σπερμολόγοι εὐπόριστον ἔχοντες τροφὴν, οὐκέτι ἐνδεεῖς εἰσιν. ἤδη δὲ κατ' εἶδος αὐτῶν ἐπιμνησθῆναι, καλῶς ἔχον εἶναι μοι δοκεῖ.

Ἀετὸν ἰδεῖν ἐπὶ πέτρᾳ καθήμενον, ἢ ἐπὶ δένδρῳ, ἢ ἐπὶ ὑψηλοτάτῳ τόπῳ, ἀγαθὸν τοῖς ἐπὶ πρᾶξιν ὁρμῶσι· φοβουμένοις δὲ, πονηρόν. καὶ τὸν ἀπόδημον ἄγει. ἱπτάμενον δὲ ἡσυχῇ καὶ ἀπέραχον, ὁμοίως ἀγαθόν· βράδιον δὲ φιλεῖ ἀποβαίνειν, ὡς λόγος. Ἀετὸς ἐπικαθεσθεὶς ἐπὶ τὴν κεφαλὴν τοῦ ἰδόντος, θάνατον αὐτῷ μαντεύεται. ὅ, τι γὰρ ἂν ὑπὸ τοῖς ὄνυξι λάβοι, θανατοῖ. ὀχεῖσθαι δὲ ἀετῷ, βασιλεῦσι μὲν καὶ μεγιστᾶσι καὶ πλουσίοις ἀνδράσιν, ὄλεθρον μαντεύεται. ἔθος γὰρ παλαιὸν ἀποθνήσκοντας τούτους, πλάσσειν τε καὶ γράφειν ἐπ' ἀετῷ ὀχουμένους. καὶ διὰ τῶν τοιούτων δημιουργημάτων, τιμᾶν. πένησι δὲ, ἀγαθόν. ἀναληφθέντες γὰρ ὑπό τινων πλουσίων, ὠφε-

De Aucupio. CAP. 19.

Calami aucupatorij & viscum, peregrinos congregant, & fugitiuos reperiunt, & perdita seruant, & quæ expectamus perficiunt, verùm non omnia. Quæ enim longè distant ad vtentem ducunt, hoc est, ad aucupem. Quædam verò etiam calamos effugiunt. At verò quæ nubeculæ ac plagulæ appellantur, & quęcunque alia texta sunt, & ad auium venationem comparata, eandem cum sagenis & retibus rationem habent. Consequenter autem promissus ordo exigit, vt de animalibus volatilibus dicamus.

De Animalibus volatilibus.

CAP. 20.

Alites magnæ diuitib9 magis quàm pauperibus conducibiles sunt. Paruæ autem & pingues pauperibus commodissimæ. Etenim magnæ propterea quòd simplicibus cibis non vtantur, & aliquando magnos appetentes, & vulgarem auersantes, famescunt. Verùm paruę & seminilegæ parabilem victum habentes, non ita indigentiam tolerant. Cæterum iustum videtur mihi esse etiam harum speciatim mentionem facere.

Aquilam videre in petra desidentem, aut in arbore, aut in altissimo loco, bonū est ad actionem progredientibus: timentibus verò, malum, peregrinum etiam reducit. Volantem autem videre sensim & imperturbatam, similiter bonum est: tardius autem euenire solet, vt rationabile est. Aquila desinens in capite eius qui somniat, mortem ipsi prçsagit. Quicquid enim vnguibus apprehenderit mortificat. Vehi super aquila, regibus quidem & magnatibus ac opulentis viris interitum prædicit. Vetus enim mos est hos mortuos, tum fingere, tum pingere aquilę insidentes, & per huiusmodi opificia colere: pauperibus autem bonum est: suscepti enim à quibusdam diuitibus non parum

commodi sentient, atque id peregre proficiscentes vt plurimum, & in alienam regionem translati. Aquila minans, minas viri potentis significat. Mansueta autem & accedens, aut dans aliquid, & voce sua loquens, bona obseruata est. Mulier si aquilam parere sibi videbitur, filium gignet, qui si quidem fuerit pauper, militabit, & toti exercitui imperabit, velut aquila auibus. Nam & aliqua omnem exercitum præcedit. Sin mediocris fortunæ fuerit, athleta euadet, & regi familiaris erit. Si verò diues, multis imperabit, aut etiam regnabit. Aquilam mortuam videre soli seruo conducit, & ei qui aliquem timet. Nam minanti & domino mortem portendit. Reliquis actionum impedimenta significat. Significat etiam aquila præsentem annum. Est enim nomen eius scriptum Græcis, vox videlicet ἀετὸς, nihil aliud quàm primus annus. At verò iuxta aquilarum differentiam, etiam differentes ac diuersos euentus euenturos esse iudicandum est.

Harpe mulierem significat regiam & opulentã, & quæ ob pulchritudinem valde superbit, sibique placet, & aliàs benignam, ac bonis moribus præditam. Ægypius eadem quæ aquila significat.

Vultures & figulis, & tinctoribus coriorum, boni sunt, propterea quòd ab vrbe seorsim habitant, & quòd mortua corpora contingant. Medicis autem & ægrotis mali, mortuis enim gaudent corporibus. Significant etiam inimicos scelestos & execrabiles, non habitantes in vrbe. Sed & ad alia omnia incommodi existunt.

Accipiter & miluus, raptores & prædones significant. Accipiter manifestos & palàm impetentes: miluus clandestinè insidiantes.

Coruus adultero & furi assimilari potest, & propter colorem, & quod sæpe vocem alteret.

Cornix, multum tempus & dilationem rerum agendarum significat. & aniculam propter annos, & hyemem, propterea quòd hyemis nuncia existat.

Sturni turbam significant & viros egenos, itémque vanam turbationem. quam significationem etiam graculi habent.

Palumbes & columbæ mulieres significant. palumbes quidem omnino scorta-

λησθήσονται οὐ μικρά, ἀποδημήσαντες ὡς ἐπὶ τὸ πολὺ καὶ μεταστάντες. Ἀετὸς ἀπειλῶν, ἀπειλὴν ἀνδρὸς δυνατοῦ προσημαίνει. ὁ δὲ πρᾶος δὲ καὶ προσιὼν, καὶ διδούς τι καὶ φθεγγόμενος φωνῇ τῇ ἑαυτοῦ, ἀγαθὸς τετήρηται. γυνὴ δὲ ἐὰν ὑπολάβῃ ἀετὸν τεκεῖν, υἱὸν γεννήσει, ὃς ἐὰν μὲν ᾖ πένης, στρατεύσεται, καὶ στρατοπέδου ἄρξει παντὸς, ὡς καὶ ἀετὸς τῶν ὀρνίθων. καὶ γὰρ στρατοπέδου παντὸς προέρχεται ἀετός. ἐὰν δὲ μέτριος ᾖ, ἀθλήσει, καὶ βασιλεῖ γνώριμος ἔσται. ἐὰν δὲ πλούσιος, ἄρξει πολλῶν ἢ καὶ βασιλεύσει. ἀετὸν νεκρὸν ἰδεῖν, δούλῳ μόνῳ συμφέρει, καὶ τῷ φοβουμένῳ τινά. τῷ γὰρ ἀπειλοῦντι καὶ τῷ δεσπότῃ θάνατον μαντεύεται. τοῖς δὲ λοιποῖς, ἀπραξίαν σημαίνει. σημαίνει δὲ ὁ ἀετὸς, καὶ τὸν ἐνεστῶτα ἐνιαυτόν. ἔστι γὰρ τὸ ὄνομα αὐτοῦ γραφὲν οὐδὲν ἄλλο, ἢ πρῶτον ἔτος. πρὸς δὲ τὴν διαφορὰν τῶν ἀετῶν, διάφορα νομίζειν χρὴ καὶ τὰ ἀποτελέσματα γίνεσθαι.

Ἅρπη δὲ, γυναῖκα σημαίνει βασιλικὴν καὶ πλουσίαν, μέγα δὲ ἐπὶ κάλλει φρονοῦσαν, καὶ εὐγνώμονα, καὶ τοῖς ἤθεσιν εὖ κεχρημένην. Καὶ ὁ αἰγυπιὸς δὲ, τὰ αὐτὰ τῷ ἀετῷ σημαίνει.

Γύπες δὲ κεραμεῦσι καὶ βυρσοδέψαις, ἀγαθοὶ, διὰ τὸ τῆς πόλεως ἀπῳκίσθαι, καὶ διὰ τὸ νεκρῶν ἅπτεσθαι σωμάτων. ἰατροῖς δὲ καὶ τοῖς νοσοῦσι, πονηροί· νεκροῖς γὰρ χαίρουσι σώμασι. σημαίνουσι δὲ καὶ ἐχθροὺς ἐναγεῖς καὶ μιαροὺς, οἰκοῦντας οὐκ ἐν πόλει. καὶ πρὸς τὰ ἄλλα δὲ πάντα εἰσὶ πονηροί.

Ἱέραξ δὲ καὶ ἰκτῖνος, ἅρπαγας καὶ λῃστὰς σημαίνουσιν. ἱέραξ μὲν φανεροὺς καὶ ὁμόσε χωροῦντας. ἰκτῖνος δὲ, λάθρα ἐπιτιθεμένους.

Κόραξ δὲ, μοιχῷ καὶ κλέπτῃ προσεικάζοιτ' ἂν, καὶ διὰ τὸ χρῶμα, καὶ διὰ τὸ πολλάκις ἀλλάσσειν τὴν φωνήν.

Κορώνη δὲ, χρόνον τε πολὺν, καὶ παρολκὴν τῶν πραγμάτων τῶν πραττομένων· καὶ γραῖαν διὰ τὰ ἔτη, καὶ χειμῶνα δηλοῖ, διὰ τὸ χειμῶνος εἶναι ἄγγελον.

Ψᾶρες ὄχλον σημαίνουσι καὶ ἄνδρας πένητας, καὶ ταραχὴν ματαίαν. καὶ οἱ κολοιοὶ, ὁμοίως.

Φάσσαι δὲ καὶ περιστεραὶ, γυναῖκας σημαίνουσι. φάσσαι μὲν πάντως πορνικάς.

περιστεραὶ δὲ, ἔστιν ὅτε καὶ κοσμίας καὶ οἰκοδεσποίνας. ἔστι δὲ καὶ ἀπὸ πολλῶν μίαν γυναῖκα τεκμήρασθαι· καὶ ἀπὸ μιᾶς πολλάς. σημαίνουσι δὲ περιστεραὶ, καὶ τὴν ἐν τοῖς πρασσομένοις ἐπαφροδισίαν, διὰ τὸ ἀνακεῖσθαι τῇ ἀφροδίτῃ. καὶ πρὸς φιλίας δὲ καὶ κοινωνίας, καὶ συναλλαγὰς πάσας, εἰσὶν ἀγαθαὶ, διὰ τὸ συναγελαστικὸν αὐτῶν.

Γέρανοι δὲ καὶ πελαργοὶ κατ' ἀγέλας μὲν καὶ συστροφὰς αἱ ὄρνιθες αὗται ὁρώμεναι, λῃστῶν ἔφοδον καὶ πολεμίων σημαίνουσι. καὶ χειμῶνα ἐπάγουσι χειμῶνος ὁρώμεναι, θέρους δὲ αὐχμόν. ἰδίᾳ δὲ καὶ καταμόνας, καὶ πελαργὸς καὶ γέρανος, ἀγαθοὶ, καὶ πρὸς ἀποδημίαν καὶ ἀποδήμων ἀνακομιδήν· διὰ τὸ κατὰ περιτροπὰς ὡρῶν ὁρωμένους, σώζειν τὸ ἀποδημεῖν τε καὶ μετανίστασθαι. καὶ πρὸς γάμον καὶ παιδοποιίαν, διὰ τὸ γαμεῖν τε καὶ τεκνοῦν. μάλιστα δὲ πρὸς παιδοποιίαν ἐπιτήδειος ὁ πελαργός. διὰ τὴν γινομένην ὑπὸ τῶν ἐκγόνων τοῖς γονεῦσιν ἐπικουρίαν.

Κύκνος, ἄνδρα σημαίνει μουσικὸν καὶ αὐτὴν τὴν μουσικὴν, καὶ τὰ κρυπτὰ ἐλέγχει διὰ τὸ χρῶμα. νοσοῦσι δὲ, ὁρώμενος μὲν, σωτηρίαν μαντεύεται· φθεγγόμενος δὲ, ὄλεθρον. οὐ γὰρ πρότερον φθέγγεται, εἰ μὴ πρὸς τῷ ἀποθνήσκειν.

Περὶ χελιδόνος, ἐν τῷ περὶ θανάτου λόγῳ ἐπιμνησθήσομαι.

Πελεκᾶνες, ἄνδρας ἀγνώμονας σημαίνουσιν, ἀσκόπως τε καὶ ἀλόγως πάντα δρῶντας, καὶ τὰ κλαπέντα καὶ τὸν δραπέτην, ἐγγὺς ποταμοῦ εἶναι σημαίνουσι καὶ λίμνης.

Περὶ ὀρνέων λιμναίων. κα'.

Νῆτται δὲ καὶ ὅσα ἄλλα ἐστὶ λιμναῖα ἢ ποτάμια ὄρνεα τὰ αὐτὰ τοῖς λάροις καὶ ταῖς αἰθυίαις προσημαίνουσιν. ἐπειδὴ δὲ καὶ τὰ ἔντομα τῶν ζώων ἵπτανται, καὶ αὐτὰ ἐν τῷ περὶ ὀρνέων λόγῳ καταλέξω.

trices. Columbæ verò aliquandoetiam honestas & matresfamiliâs. Licet autem & ex multis, de vna muliere coniecturam facere: & ex vna de multis. Significant etiam columbæ in rebus agendis delectationem, propterea quòd Veneri sunt sacræ. Sed & ad amicitias ac societates ac conciliationes omnes, bonæ sunt, propterea quód congregatim viuunt.

Grues & ciconiæ, gregatim quidem & agminatim si videantur, prædonum incursum ac hostium aduentum significāt. Hyeme verò conspectæ, tempestatem inducunt, æstate autem siccitatem. seorsim autem & singulatim tum ciconia, tum grus commodant, & ad peregrinandum, & ad reditū ab externis, propterea quòd secundum temporum circuitus videantur & profectionem, & reuersionem siue transmigrationem seruare. Commodant etiam ad nuptias, & liberorum generationem, propterea quòd etiam ipsæ nubant ac filias generent. Maximè autem ad liberos gignendos ciconia apta est, propter subsidium alimoniæ quod nati parentibus retribuere solent.

Cygnus virum significat musicum, atque adeò ipsam musicam. & occulta reuelat propter colorem. Ægrotātibus autem conspectus quidem, salutem præsagit. canens verò auditus interitum. Non enim canit prius quàm morti vicinus sit.

De hirundine in sermone de morte mentionem faciam.

Pelecanes viros perfidos significant, improuidè & præter rationem omnia facientes, & futura, itémque fugitiuum, prope flumen & stagnum esse significant.

De Auibus palustribus.

CAP. 21.

Anates & quæcunque aliæ palustres aut fluuiatiles aues, eadem quæ lari & mergi significant. Quandoquidem verò etiam insecta animalia volant, ea ipsa quoque in auium censu recensebo.

De Apibus. CAP. 22.

APes agricolis quidem, & his qui ex ipsis quæstum faciunt, bonæ sunt: reliquis turbationes prædicunt, propter bombum & sonum quem edunt, & vulnera, propter aculeum: & morbum propter mel & ceram. Insidentes autem capiti somniantis, exercitus duci ac imperatori futuro, bonæ sunt. reliquis malæ, & vt plurimum à turba aut militibus interemptum iri eum qui somnium vidit præsagiunt. Similes enim sunt turbæ aut exercitui, propterea quòd duci ac regi suo subiectæ parent. Occidunt autẽ, eo quòd morticiniis insidant. Includere apes bonum est; similiter bonum est omnibus ipsas occidere, agricolis tantum exceptis.

Vespæ omnibus malæ sunt. Significant enim in malos & crudeles homines incisurum aliquem esse.

Locustæ & parnopes & mastaces appellati, agricolis sterilitatem, aut seminum corruptionem significant. Lædunt enim semina, eáque corrumpunt. Reliquis cum malis viris aut mulieribus rem fore significant.

Scarabæi, gallerucæ, quæ Græcis melolonthæ, & cicendulæ, solis his, qui sordida & in honesta opificia exercent, vtiles sunt. Reliquis & damni, & actionum periculosarum significatiui sunt, maximè vnguentariis & aromatariis.

De Nauigatione.

CAP. 23.

SI quis nauigans videatur sibi bene nauigare, omnibus bonum est, verùm in tempestatem incidere, tristitias & pericula significat. At verò naufragium facere, naue aut subuersa, aut corrupta, aut petris illisa, omnibus nocinum est, exceptis his qui vi ab aliquibus detinentur, & seruis. hos enim à detinentibus liberat. Similis est enim nauis his qui ipsos retinent. Semper autem melius est in magna naue nauigare, & quæ solida onera ha-

Περὶ μελισσῶν. κβ′.

ΜΕλισσαι, γεωργοῖς μὲν καὶ τοῖς ἐξ αὐτῶν ἔχουσι τὴν ἐργασίαν, ἀγαθαί· τοῖς δὲ λοιποῖς, ταραχὰς σημαίνουσι διὰ τὸν βόμβον, καὶ τραύματα διὰ τὸ κέντρον· καὶ νόσον διὰ τὸ μέλι καὶ τὸν κηρόν. ἐπικαθεζόμεναι δὲ τῇ κεφαλῇ τοῦ ἰδόντος, στρατηγεῖν μὲν καὶ δημιουργεῖν ἐπιχειροῦντι, ἀγαθαί. τοῖς δὲ ἄλλοις, πονηραί· καὶ ὡς ἐπιπολὺ ὑπὸ ὄχλου ἢ ὑπὸ στρατιωτῶν διαφθαρήσεσθαι σημαίνουσι τὸν ἰδόντα. ἐοίκασι μὲν γὰρ ὄχλῳ ἢ στρατῷ, διὰ τὸ ἡγεμόνι ὑποτάσσεσθαι. ἀναιροῦσι δὲ, διὰ τὸ τοῖς ἀψύχοις ἐπικαθέζεσθαι. ἐγκλείειν δὲ μελίσσας, ἀγαθόν· καὶ ἀναιρεῖν ὁμοίως, ἀγαθὸν πᾶσι πλὴν τῶν γεωργῶν.

Σφῆκες δὲ πᾶσι κακόν. περιπεσεῖν τινι γὰρ πονηροῖς ἀνθρώποις καὶ ὠμοῖς σημαίνουσιν.

Ἀκρίδες δὲ καὶ πάρνοπες καὶ οἱ λεγόμενοι μάστακες, γεωργοῖς μὲν, ἀφορίαν, ἢ φθορὰν τῶν καρπῶν σημαίνουσι. σίνονται γὰρ τὰ σπέρματα καὶ διαφθείρουσι. τοῖς δὲ λοιποῖς, πονηροῖς ἀνδράσιν ἢ γυναιξὶ περιπεσεῖν σημαίνουσι.

Κάνθαροι δὲ καὶ μηλολόνθαι καὶ λαμπυρίδες, τοῖς τὰς ῥυπώδεις ἐργασίας καὶ ἀσέμνους ἐργαζομένοις μόνοις ὠφέλιμοι. τοῖς δὲ λοιποῖς, καὶ βλάβης καὶ πράξεων ἐπικινδύνων εἰσὶ σημαντικοί· μάλιστα δὲ, μυροπώλαις καὶ ἀρωματοπώλαις.

Περὶ πλοῦ. κγ′.

ΠΛέοντα δοκεῖν εὖ πλεῖν, πᾶσιν ἀγαθόν, χειμῶνι δὲ περιπεσεῖν, δυσθυμίας καὶ κινδύνους σημαίνει. τὸ δὲ ναυαγεῖν, τῆς νεὼς ἤτοι ἀναβαπτισθείσης ἢ διαφθαρείσης, ἢ περὶ πέτραις περιρραγείσης, πάντας βλάπτει· πλὴν τῶν βίᾳ ὑπό τινων κατεχομένων, καὶ δούλων. τούτους γὰρ ἀπαλλάσσει τῶν κατεχόντων. ἔοικε γὰρ τὸ πλοῖον, τοῖς περιέχουσιν αὐτούς. ἀεὶ δὲ ἄμεινον ἐν μεγάλῳ πλεῖν πλοίῳ, καὶ φορτία στερεὰ ἔχοντι,

ἐπὶ τὰ μικρὰ πλοῖα, κἂν εὐπλοΐη τις, οὐκ ἄφοβα τὰ ἀγαθὰ ποιεῖ, ἔτι κἀκεῖνο. διὰ θαλάσσης πλεῖν, ἀγαθὸν μᾶλλον ἢ διὰ γῆς. βραδύτερα δὲ καὶ δυσχερέστερα καὶ μόλις ἐσόμενα τὰ ἀγαθὰ σημαίνει τὸ διὰ γῆς. πονηρότερον δὲ τὸ διὰ θαλάσσης πλέοντα χειμάζεσθαι, ἢ τὸ διὰ γῆς. οὐ δύνασθαι δὲ πλέειν προῃρημένῳ, ἢ βίᾳ πρός τινων κατέχεσθαι, ἐμπόδια καὶ κατοχὰς τῶν ἐγχειρήσεων σημαίνει. ὁμοίως δὲ καὶ τὸ διὰ γῆς πλέειν, δένδρων ἢ πετρῶν ἐμποδὼν γινομένων, κατοχὰς σημαίνει καὶ ἐμποδισμούς. Ἰδεῖν δὲ ἀπὸ γῆς πλοῖα διὰ θαλάσσης πλέοντα καὶ εὐπλοοῦντα, ἀγαθὸν πᾶσι· καὶ ἀποδημίας σημαντικόν, καὶ τοῖς ἀποδήμοις ἀνακομιδήν· πολλάκις δὲ καὶ ἀγγελίας διαποντίους προηγόρευσε, καὶ ἀναγόμενα μὲν τὰ πλοῖα, βραδύτερα τὰ ἀγαθὰ ποιεῖ· ἄρτι γὰρ ἄρχεται τοῦ πλοῦ. καταγόμενα δὲ καὶ καθορμιζόμενα, θᾶττον· πρὸς γὰρ τῷ συμπεράσματι τοῦ πλοῦ γέγονεν. ἀεὶ δὲ λιμένες, εὐεργέτας καὶ φίλους σημαίνουσι, καὶ πάντες οἱ ὅρμοι. σκόπελοι δὲ καὶ ὑποδρομαί, τοὺς δι' ἀνάγκην καὶ μὴ κατὰ προαίρεσιν ὑφ' ἡμῶν φιλουμένους, οἳ οὐδὲ ἡμᾶς ἑκόντες εὐεργετοῦσιν. ἄγκυραι δέ, τὸ ἀναγκαῖον τῶν χρειῶν, καὶ τὸ ἀσφαλὲς σημαίνουσιν· ἀποδημεῖν δὲ κωλύουσιν. ἀεὶ γὰρ ἐπὶ κατοχῇ πλοίων τίθενται καὶ εὕρηνται. πείσματα δὲ καὶ τὰ ἀπόγεια σχοινία, πάντα δανείων εἰσὶ σημαντικά, καὶ ἐργολαβιῶν καὶ συνθηκῶν καὶ κατοχῆς. ἱστὸς δὲ πλοίου, τὸν κύριον σημαίνει τῆς νεὼς ἢ τῆς οἰκίας. ἀντιπρόσωπον δέ, τὸν πρωρέα. καὶ ὁ χηνίσκος, τὸν κυβερνήτην. τὰ δὲ πηδάλια, τὸν πλοῦν· ἢ τούς γε τοῦ ναυκλήρου παῖδας. τρόπις, τὴν ἐνθήκην τοῦ πλοίου. ὅπλα, τοὺς ναύτας. καὶ τὸ κέρας, τοὺς τοιχάρχας. ὁποῖον δ' ἂν οὖν μέρος τοῦ πλοίου καίηται ἢ διαφθείρηται τῆς νεὼς ὁρμούσης, τὸ ὅμοιον εἰκὸς διαφθαρήσεσθαι. πλεούσης δὲ τῆς νεώς, περὶ αὐτὸ ἐκεῖνο τὸ μέρος, κίνδυνον οὐ τὸν τυχόντα ἔσεσθαι δηλοῖ, χειμῶνι βιαίῳ τῆς νεὼς συσχεθείσης. ὅθεν δ' ἂν πῦρ ἐπὶ ναῦν φέρηται,

bet: quādoquidem parua nauigia, etiamsi bene quis nauiget, non absque timore bona inducunt. Insuper & illud melius est, per mare videlicet nauigare quàm per terram. Nam per terram nauigare, tardiora & difficiliora, & vix euentura bona significat. Peius autem est, vt quis per mare nauigans tempestatem incidat, quàm si per terram. Si verò quis velit nauigare & non possit, aut vi ab aliquibus detineatur, impedimenta & detentiones aggressionum significat. Similiter etiam per terram nauigare, arboribus aut petris obiectis & in medio positis, detentiones & impedimenta significat. Videri porrò nauigia à terra per mare nauigantia, aut bene cursum absoluentia, omnibus bonum est: & peregrinationis significatiuum, & peregre profectis reuersionis. Sæpe verò etiam nuntios marinos prædixit, & ex portu quidem in altum educta nauigia, tardiora bona faciunt, iam enim auspicantur nauigationem: ex alto verò in portum redeuntia & appellentia, citius: iam enim ad terminum nauigationis peruenerunt. Portus semper significant benefactores & amicos, etiam qui artificiales existunt omnes. Scopuli autem & subterfugia, eos quos per necessitatem, & non voluntarie amamus, quíque nobis volentes benefaciunt. Ancoræ vsuum necessitatem & securitatem significant, peregrinari autem prohibent. Semper enim ob nauium detentionem eiiciuntur, eáque gratia repertæ sunt. Rudentes, & funes nautici quibus naues ad terram religantur omnes, debitum significant, & redempturas, & pacta, & detentiones. Malus nauis, dominum significat nauis aut domus: facies siue prora nauis, proretam. Puppis, gubernatorem: gubernacula, nauigationem, aut ipsius naucleri pueros. Carina, merces naui inditas. Arma, nautas. Apex siue cornu, tœcharchos, id est lateribus præfectos. Qualiscunque igitur nauis pars ardeat aut corrumpatur, naue stationem habente, verisimile est simile & per ipsum significatum corruptum iri. Verùm naue cursum suum peragente, & non quiescente, nō vulgare periculum circa illam ipsam partem fore significat, naue violenta tēpestate cōpressa. Vndecunq; autē ignis in nauem feratur,

inde tempestatem futuram prædicit. Noui autem quendam nauclerum qui sibi visus est deos in naui locatos perdidisse, & cùm valdè timeret ipse, putarétque somnium perniciem significare, totum contrarium in bonum euasit. Re enim multùm aucta, æs alienum creditoribus exoluit, quibus nauis erat oppignorata, atque contigit ipsi hoc modo, vt non amplius haberet qui nauem detinerent. Semper porrò bonum est, mare leniter purpureum & vndosum videre. Actiones enim magnas denuntiat. Tranquillitas autem actiones impedit, propter motuum cessationem. Tempestas verò turbationes & damna portendit, Horum enim est causa.

De Agricultura.

CAP. 24.

SEminare, & plantare, & arare, quid significent in tractatione de artibus prædictum est. Nunc de his quæ agriculturam sequuntur, sermonem faciam. Aratrum bonum est ad nuptias, & liberorum generationem, & ad actiones: tempus autem & moras apponit euentibus. Iugum alijs quidem bonum est, verùm seruis obstaculum est libertatis, quare fractum magis quàm integrum his conducit. Falx ablationis & damni signum est, propterea quòd omnia dissecet, & nihil vniat. Indicat & semestre temporis spatium. Est enim dimidium circuli. Bipennis seditionis & damni, ac pugnæ signum est. Ascia mulieris, & muliebris quæstus: & quæstus quidem muliebris, propterea quòd tenenti conducat & attrahat. Mulieris autem propter ipsum nomen, quo Græcis ἀξίνη appellatur. Vomer, & pala, & vannus, & ventilabrum, damnum & abiectionem amissionémque significant. Vomer autem priuatim, velut sæpe obseruaui, etiam videntis somnium pudendum significat. Quare neque fractus vomer, neque perditus bonus est. Lora iugi, & subligar, per omnia bona sunt, maximè ad nuptias & societatem. Cophini famulos significant. Plaustra vitam somniantis:

ἐκεῖθεν χειμῶνα ἐσόμενον προαγορεύει. οἶδα δέ τινα ναύκληρον, ὃς ἔδοξε τοὺς ἐν τῷ πλοίῳ θεοὺς ἱδρυμένους ἀπολωλέναι, καὶ σφόδρα φοβουμένῳ αὐτῷ, καὶ ὄλεθρον ἡγουμένῳ σημαίνειν τὸν ὄνειρον, πᾶν τοὐναντίον, εἰς ἀγαθὸν ἀπέβη. πολλὰ γὰρ πείσας, τὰ χρέα ἀπέτισε τοῖς δανεισταῖς, τοῖς ἔχουσιν ὑποθήκην τὴν ναῦν, καὶ συνέβη αὐτῷ, μηκέτι ἔχειν τοὺς κατέχοντας τὸ πλοῖον. ἀεὶ δὲ ἀγαθὸν, ἠρέμα πορφυροῦσαν καὶ κυμαίνουσαν τὴν θάλασσαν ἰδεῖν. πράξεις γὰρ μεγάλας προαγορεύει. γαλήνη δὲ, ἀπραξίας, διὰ τὴν ἀκινησίαν. καὶ ὁ χειμὼν, ταραχὰς καὶ βλάβας. ἔστι γὰρ τούτων αἴτιος.

Περὶ γεωργίας. κδʹ.

ΣΠείρειν καὶ φυτεύειν καὶ ἀροτριᾶν ὅ,τι σημαίνει, ἐν τῷ περὶ τεχνῶν λόγῳ προείρηται. νυνὶ δὲ, περὶ τῶν ἑπομένων τῇ γεωργίᾳ ποιήσομαι τὸν λόγον. ἄροτρον, ἀγαθὸν πρὸς γάμον καὶ παίδων γονήν. καὶ πρὸς τὰς πράξεις. χρόνους δὲ καὶ παρολκὰς προστίθησι ταῖς ἀποβάσεσι. ζυγὸν δὲ, τοῖς μὲν ἄλλοις, ἀγαθόν· δούλοις δὲ, ἐμπόδιον τῆς ἐλευθερίας γίνεται. ὅθεν κατεαγόμενον μᾶλλον τούτοις, ἢ ὑγιὲς ὂν συμφέρει. δρέπανον δὲ, ἀφαιρέσεως καὶ βλάβης ἐστὶ σημεῖον. διὰ τὸ πάντα διχάζειν καὶ μηδὲν ἑνοῦν. δηλοῖ δὲ καὶ ἑξάμηνον. ἥμισυ γάρ ἐστι τοῦ κύκλου. πέλεκυς δὲ, στάσεως καὶ βλάβης ἐστὶ σημεῖον καὶ μάχης. ἀξίνη δὲ, γυναικός τε καὶ γυναικείας ἐργασίας. καὶ γυναικείας μὲν ἐργασίας, διὰ τὸ τῷ κρατοῦντι συμφέρειν καὶ προσέλκειν. γυναικὸς δὲ, διὰ τὸ ὄνομα. Ὕνις δὲ καὶ ὁ λεγόμενος μίσγος, καὶ θρίναξ, καὶ πτύον, βλάβην καὶ ἀποβολὴν σημαίνουσιν. ἰδίως δὲ ἡ ὕνις, ὡς πολλάκις ἐτήρησα, καὶ τὸ αἰδοῖον τοῦ ἰδόντος σημαίνει. ὅθεν οὔτε κατεαγομένη ἡ ὕνις, οὔτε ἀπολλυμένη ἐστὶν ἀγαθή. ζυγόδεσμα δὲ, καὶ ὁ λεγόμενος ἀμφιδέτης, κατὰ πάντα εἰσὶν ἀγαθά. μάλιστα δὲ πρὸς γάμον καὶ κοινωνίαν. Κόφινοι δὲ, οἰκέτας σημαίνουσιν. ἅμαξαι δὲ, τὸν βίον τοῦ ἰδόντος.

διὰ τὸ ἐκ πολλῶν συγκεῖσθαι, καὶ πολλὰ βαστάζειν, καὶ ἄλλοτε ἄλλα. Ὅταν μὲν τοι τὶς παρὰ τὸν καιρὸν καὶ τὴν ὥραν τοῦ ἔτους, τρυγᾶν ἢ θερίζειν ὑπολάβοι, εἴτε ἀγαθὸν εἴτε κακὸν ᾖ τὸ συμβουλευόμενον, εἰς ἐκείνην τὴν ὥραν τοῦ ἔτους τὰ σημαινόμενα ὑπερτίθεται. Οὖλοι δὲ καὶ δράγματα καὶ θημῶνες ἀσταχύων, παρολκὰς ἐν τοῖς πραττομένοις σημαίνουσι. καὶ κόπον. οὐδέπω γὰρ τὰ τοιαῦτα ἕτοιμοι εἰσὶ τροφαί. Σιροὶ δὲ καὶ κάπετοι καὶ καλεοί, καὶ πάντα τὰ ἐν οἷς θησαυρίζεται καὶ ἀποτίθεται τὰ σπέρματα, γυναῖκα σημαίνει, καὶ τὸν βίον τοῦ ἰδόντος καὶ τὴν ὕπαρξιν. ὅθεν οὐδὲ συντριβόμενα οὔτε συμπίπτοντα, ἀγαθὸν νενόμισται. Θριγκοὶ δὲ καὶ περίβολοι καὶ φραγμοὶ καὶ σκόλοπες, καὶ οἱ περὶ τοὺς ὅρους γῦροι πονηροὶ μέν· τοῖς δὲ φοβουμένοις ἀσφαλείας εἰσὶ σημαντικοί. πρὸς δὲ τὰς κινήσεις καὶ ἀποδημίας, οὐ πάντη ἁρμόζουσι. κατοχὰς γὰρ σημαίνουσι, διὰ τὸ ἀποκεκλεικέναι τὰ ἐντός. κατὰ δὲ τὰς λοιπὰς ἐγχειρήσεις, τοὺς παρισταμένους καὶ ἀμύνοντας, καὶ τοὺς συναιρομένους ἐν ταῖς χρείαις σημαίνουσιν. Ἑξῆς δὲ περὶ δένδρων καὶ φυτῶν, ποιήσομαι τὸν λόγον.

Περὶ δένδρων παντοίων. κέ.

Δρῦς, ἄνδρας σημαίνει πλουσίους, διὰ τὸ τρόφιμον· ταύτης γὰρ τὸν καρπὸν, ἤσθιον οἱ Ἀρκάδες· καὶ ὁ ἀρχαῖος φησίν· ἀρκάδες ἔσαν βαλανηφάγοι. δηλοῖ δὲ καὶ πρεσβύτην διὰ τὸ πολυετές· ἢ χρόνον διὰ τὸ αὐτό.

Ἐλαία, γυναῖκα σημαίνει, καὶ ἄθλησιν καὶ ἀρχὴν καὶ ἐλευθερίαν, ὅθεν ἀγαθὸν εὐθαλῆ ὁρᾶν, καὶ ταῖς ῥίζαις ἡδρασμένην, καὶ καρπὸν ἔχουσαν πέπειρον καὶ ὥριμον. τρυγώμεναι δὲ αἱ ἐλαῖαι, τοῖς μὲν ἄλλοις ἅπασιν, ἀγαθόν. δούλοις δὲ πληγὰς μαντεύονται διὰ τὸ μετὰ πληγῶν τὸν καρπὸν καθαιρεῖσθαι. ἀναλέγειν δὲ ἐλαίας χαμόθεν, ἢ τρίβειν ἐλαίας, λέγω δὲ τὸν καρπόν, πόνους καὶ καμάτους σημαίνει.

propterea quòd ex multis composita sunt, & multa portant, & aliâs alia. Cùm tamen aliquis extra tempus & horam anni, vindemiare, aut metere, sibi videatur, siue bonum siue malum fuerit id quod aggredi constituit, in illam ipsam horam anni qua hæc fieri solent: ea quæ significantur differt. Fasces, manipuli, & acerui spicarum, remoras in rebus agendis significant, itémque laborem. Talia enim nondum cibi idonei existunt. Siri & foueæ subterraneæ, ac fossæ frumentariæ, omniáque in quibus adseruantur & deponuntur semina frugum, vxorem significant, & victum ac substantiam bonorum eius qui somnium vidit. Vnde neque si conterantur, neque si concidant, bona iudicantur. Septa, ambitus, sepes, pali, & fossæ circum terminos egestæ, mala quidem sunt, sed timentibus securitatem significant. Ad motus verò & peregrinationes, non penitus conueniunt. Nam detentiones significant, propterea quòd quæ intra ipsa sunt concludant. Iuxta reliquas verò aggressiones, auxiliarios & adstantes adiutores, & qui in necessitatibus subsidio sunt, significant. Cæterùm consequenter de arboribus ac plantis agemus.

De Arboribus omnis generis.

CAP. 25.

Quercus viros significat opulentos, ob alimoniam. Huius enim fructum comedebant Arcades, & Archæus, inquit, *Arcades ex dura viuentes glande.* Indicat & senem propter annositatem: & tempus, eadem gratia.

Olea mulierem significat, certamen, & principatum, & libertatem. Quare bonum est floridam videre, & radicibus innixam, & fructum habentem maturum ac tempestiuum. At verò si vindemiantur oleæ, aliis quidem omnibus bonæ sunt, verùm seruis plagas præagiunt, propterea quòd cum plagis fructus eius decutiatur. Legere autem oliuas de terra, aut easdem terere, labores & molestias significat.

Laurus mulierem significat opulentam, ob perpetuam viriditatem: & formosam, ob speciositatem: & eorum quæ speramus irritum successum, ob amaritudinem, & quòd edi non potest. In medicis autem & vatibus ad artem referenda est, propter Apollinem.

Cupressus longanimitatis, & moræ ac dilationis signum est, propter longitudinem.

Pinus & strobili, naucleris & omnibus nauigantibus ad naues referendæ sunt, propter nauium structuram, & picem, & resinam, quæ ex huiusmodi arboribus fiunt: reliquis omnibus pigritiam & timores significant, propter solitudinis amorem.

Mali punicæ, & mali, & piri, ac pirastri, & omnia huiuscemodi, eandem cum fructu suo rationem habent, de quo in tractatione de alimento dixi.

Platani & populi nigræ & vlmi, & oxyæ, & fraxini, omniaque similia, solis his qui ad bellum & militiam animum adiecerunt, & fabris lignariis conducunt: illis propter quæstum quem ex ipsis faciunt: his propter opificium quòd his fabricandis exercent. Reliquis propter sterilitatem, paupertatem & inopiam portendunt. Sola populus alba athletis confert, atque id propter Herculem.

Buxi, myrti, & rhododaphnæ, mulieres scortatrices & non valde honestas significant: & his qui ad agendum aliquid prodeunt bonæ sunt. Et ægris refectionem ac sanitatem portendunt. Reliquis vani laboris signa existunt. Cæterùm de reliquis arboribus iuxta prædictam rationem iudicationes facere oportet, ita vt semper similia euentibus assumamus. Etenim nihil aliud est somniorum iudicatio, quàm similis appositio. Quin & eius meminisse proderit, quòd arbores bonum quiddam significantes, florentes & fructum ferentes bonæ existunt. Arefactæ autem, aut funditus euersæ, aut fulmine ictæ, aut aliâs igni combustæ, contraria significant. Et rursus, quæ malum quiddam significant, & absurdos euentus habent, hæ arefactæ & corruptæ, commodiores existunt. Consequenter porrò post agriculturam, iustum fuerit & de stercore dicere.

Δάφνη δὲ, γυναῖκα σημαίνει, εὔπορον, διὰ τὸ ἀειθαλές· καὶ εὔμορφον διὰ τὸ χάριεν· καὶ ἀποτυχίαν τῶν προσδοκωμένων, διὰ τὸ πικρὸν καὶ ἄβρωτον. ἰατροῖς δὲ καὶ μάντεσι πρὸς τὴν τέχνην ἐστὶ ληπτέα διὰ τὸν Ἀπόλλωνα.

Κυπάρισσος δὲ, μακροθυμίας καὶ παρολκῆς ἐστὶ σύμβολον διὰ τὸ μῆκος.

Πίτυς δὲ καὶ στρόβιλοι, ναυκλήροις μὲν καὶ πᾶσι τοῖς ναυτιλλομένοις πρὸς τὰς ναῦς εἰσὶ ληπτέαι, διὰ τὴν κατασκευὴν τῶν νεῶν, καὶ τὴν πίσσαν, καὶ τὴν ῥητίνην τὴν ἀπὸ τούτων τῶν δένδρων γινομένην. τοῖς δὲ ἄλλοις ἅπασιν, ἀκηδίας καὶ φόβων εἰσὶ σημαντικὰ διὰ τὸ φιλέρημον.

Ῥοιαὶ καὶ μηλέαι καὶ ἄπιοι καὶ ἀχράδες καὶ πάντα τὰ τοιαῦτα, τὸν αὐτὸν ἔχει τῷ καρπῷ λόγον, ὅν τινα ἐν τῷ περὶ τροφῆς εἴρηκα.

Πλάτανοι καὶ αἴγειροι καὶ πτελέαι καὶ ὀξέαι καὶ μελίαι καὶ πάντα τὰ ὅμοια, μόνοις τοῖς ἐπὶ πόλεμον ὁρμῶσι καὶ στρατείαν, καὶ τεκτονικοῖς, συμφέρουσι· τοῖς μὲν, διὰ τὴν ἐξ αὐτῶν ἐργασίαν· τοῖς δὲ, διὰ τὴν αὐτῶν ἐργασίαν. τοῖς δὲ λοιποῖς διὰ τὸ ἄκαρπον, πενίας καὶ ἀπορίας εἰσὶ σημεῖον. μόνη δὲ λεύκη ἀθληταῖς συμφέρει διὰ τὸν Ἡρακλέα.

Πύξοι καὶ μυρρίναι καὶ ῥοδοδάφναι, γυναῖκας ἑταιρικὰς καὶ οὐ πάνυ τοι κοσμίας σημαίνουσι. καὶ τοῖς ἐπὶ τὸ πράττειν ὁρμωμένοις, ἀγαθαί. καὶ τοῖς νοσοῦσιν ἀνάληψιν καὶ ὑγίειαν. τοῖς δὲ λοιποῖς, ματαιοπονίας σύμβολα καθίστανται. περὶ δὲ τῶν λοιπῶν δένδρων, κατὰ τὰς ὑποθήκας τὰς προειρημένας χρὴ ποιεῖσθαι τὰς κρίσεις, παραλαμβάνοντας ἀεὶ τὰ ὅμοια ταῖς ἀποβάσεσι. καὶ γὰρ οὐδὲν ἄλλο ἐστὶν ὀνειροκρισία, ἢ ὁμοίου παράθεσις. μεμνῆσθαι δὲ καὶ τοῦτο χρὴ, ὅτι τὰ μὲν ἀγαθόν τι σημαίνοντα δένδρα, θάλλοντα καὶ καρποφοροῦντα, ἀγαθὰ ἂν εἴη. αὐαινόμενα δὲ, ἢ πρόρριζα ἀνατρεπόμενα, ἢ κεραυνούμενα, ἢ ἄλλως πυρὶ καταφλεγόμενα, τἀναντία σημαίνουσι. τὰ δὲ πονηρόν τι σημαίνοντα καὶ ἄτοπα ταῖς ἀποβάσεσιν, αὐαινόμενα καὶ διαφθειρόμενα, λυσιτελέστερα καθίσταται. ἑξῆς δὲ τῇ γεωργίᾳ, ἐπιβάλλον ἂν εἴη καὶ περὶ κόπρου εἰπεῖν.

Περὶ κόπρου παντοίας. κϛʹ.

Κόπρος βοεία, γεωργοῖς μόνοις συμφέρει, ὁμοίως καὶ ἡ ἱππεία καὶ ἡ ἄλλη πᾶσα πλὴν ἀνθρωπείας. τοῖς δὲ λοιποῖς, δυσθυμίας καὶ βλάβας σημαίνει. μολύνουσα δέ, καὶ νόσον. μόνοις δὲ τοῖς τὰς ῥυπώδεις ἐργασίας ἐργαζομένοις συμφέρει, καὶ λυσιτελὴς οὖσα τετήρηται. Ἀνθρωπεία δὲ κόπρος πολλὴ ὁρωμένη, πολλὰ καὶ διάφορα σημαίνει κακά. ἔχει δὲ ὧδε. ἐν πλατείᾳ καὶ ἐν ἀγορᾷ καὶ ἐν παντὶ δημοσίῳ τόπῳ ὁρωμένη, εἴργει χρῆσθαι τοῖς τόποις ἐν οἷς ἂν εἴη. πολλάκις δὲ καὶ περιιέναι κωλύει. ὡς ἔστιν ὅτε τοὺς ὑπακούσαντας ταῖς ἑαυτῶν μεγάλα ἀναμάξαι κακὰ ἐποίησεν. ἄτοπον δ' ἂν εἴη καὶ μολύνεσθαι κόπρῳ ἀνθρωπείᾳ καταρρεούσῃ ποθέν. οἶδα δέ τινα ὃς ἔδοξεν ἑταῖρον καὶ συνήθη τινὰ πλούσιον, ὄντα αὐτῷ φίλον, ὄναρ κατὰ τῆς κεφαλῆς καταπλῆσαι· οὗτος διεδέξατο τὴν οὐσίαν, καὶ ἐκληρονόμησε τὸν ἑταῖρον. καὶ πάλιν αὖ ἔδοξέ τις ὑπό τινος γνωρίμου πένητος περιστιληθῆναι, καὶ ὑπ' αὐτοῦ μεγάλα ἐβλάβη, καὶ ὑπὸ αἰσχύνῃ τινὶ μεγάλῃ περιέπεσεν. ἦν γὰρ εἰκὸς τὸν μὲν εὐποροῦντα, τὰ ἑαυτοῦ τῷ ἰδόντι προσθήσειν· τὸν δὲ πενόμενον καὶ οὐδὲν ἔχοντα καταλιπεῖν, καταφρονῆσαι τοῦ ἰδόντος, καὶ αἰσχύνῃ περιβαλεῖν αὐτόν. εἰ δὲ αὐτός τις ἑαυτὸν μολύνοι κατὰ σκελῶν ἀφείς, ἑαυτῷ μεγάλων κακῶν αἴτιος ἔσται, καὶ προσέτι νοσήσει. πονηρὸν δὲ καὶ τῇ κοίτῃ ἐναφιέναι, μακρὰν γὰρ νόσον μαντεύεται. ἐπειδὴ οἱ μὴ δυνάμενοι ἀναστῆναι καὶ πρὸς ἐσχάτοις ὄντες, ἐναφιᾶσι τῇ κοίτῃ. πολλάκις δὲ καὶ γυναικὸς καὶ ἐρωμένης διίστησι τὸ ὄναρ, αἰτίᾳ τοῦ ἰδόντος καὶ οὐ τῆς γυναικός, διὰ τὸ τὴν κοίτην μολύναι. ἐν ᾧ δέ τις οἰκεῖ οἴκῳ χαμαὶ ἀποπατεῖν, μὴ χρήσασθαι ἔτι τῷ οἴκῳ σημαίνει. οὐχ ἡδέως γάρ τις τοῖς μολυνομένοις ἐνδιατρίβει. πάντων δ' ἂν εἴη ἐπισφαλέστερον καὶ φοβερώτερον, τὸ ἀποπατεῖν ἐν ναῷ θεοῦ, ἢ ἐν

De Stercore omnis generis.

CAP. 26.

Stercus bubulum agricolis solis conducit, similiter & equinum, aliúdque omne, excepto humano. Reliquis tristitias & damna significat. Inquinans verò etiam morbum. Solis autem his qui sordida opificia exercent conducit, eísque vtile esse obseruatum est. At verò humanum stercus multum si videatur, multa & diuersa mala significat. Habet autem hoc modo. In platea, & foro, & omni publico loco conspectum, prohibet vti locis in quibus fuerit. Sæpe verò & progredi impedit, & aliquando obedientes vxoribus suis magna mala luere fecit. Absurdum est & humano stercore inquinari alicunde defluente. Noui quendam qui sibi visus est, socium & familiarem quendam diuitem, qui ipsi amicus erat, per somnium in caput ei cacare: hic successor bonorum & hæres illius socij factus est. Et rursus visus est sibi quispiam à quodam familiari paupere percacari, & ab ipso multum læsus est, ampliúsque confusione magna pudefactus est. Verisimile enim erat, illum quidem opulentum bona sua somnianti tributurum esse: hunc verò pauperem, & nihil quòd relinqueret habētem, eum qui somnium vidit contempturum esse, & in magnam confusionem proiecturum. Si verò quis seipsum stercore inquinet, crura sua inde conspurcans, eáque percacans, sibiipsi magnorum malorum autor erit, insuperque ægrotabit. Malum est etiam si quis in cubile stercus emittat, magnum enim morbum præsagit. Nam qui exurgere non possunt, & in extremis cōstituti sunt, cubile percacant. Sæpenumero verò & vxorem & amicam dissociat somnium, culpa somniantis, & non vxoris, propterea quòd cubile inquinet. Cæterùm si quis in domo quā inhabitat humi aluum exonerare sibi videatur, non amplius domo vsurum esse significat. Non enim iucunda est in inquinatis conuersatio. Omnium autem periculosissimū & maximè horrendū est, in templo dei cacare, aut in

foro, aut platea, aut balneo. Deorum enim iram, & magnam turpitudinem, & damnum non vulgare præsagit. Insupér que & occulta manifestat. Sæpe verò etiã odium somniantis efficit. At verò cacare desidentem in oleto, aut supèr aliquem matula solida, multáque stercora excernere, omnibus bonum est. Multam enim alienationem curarum omnisque tristitiæ significat. Corpus enim post aluum exoneratam leuissimum redditur. Commodat & ad peregrinationem huiusmodi somnium, & ad eius qui apud exteros peregrinatur reditum, atque hoc propter ipsum nomen quo stercus Græcis ἄφοδος quasi reditus & secessus appellatur. Ego verò obseruaui & iuxta litus, & in vijs, & in aruis, & iuxta flumen, & stagnum cacare, bonum esse, idemque significare sicuti si quis putet se in oleto excernere. rectè & rationabiliter huiusmodi sic eueniente. Neque enim loci illi à cacante læduntur, exhibentque ipsi cacanti commoditatem, vt absque turpitudine onus ventris deponat. Sequitur autem ad hunc sermonem, vt & de fluminibus, & fontibus, stagnisque ac puteis dicamus.

De Fluminibus, Stagno, Fonte, ac Puteo.

CAP. 27.

FLumina puram & perspicuam aquam habentia, & quietè fluentia, bona sunt seruis, & litigantibus in iudicio, & peregrinari volentibus. Similia enim sunt flumina heris & iudicibus: propterea quòd faciant quæcunque volunt citra correctionem, & ex suijpsorum sententia. Similia sunt item peregrinationibus & motibus, propterea quòd aqua non maneat, sed semper præterfluat. Vbi verò turbatum & sordidum fuerit flumen, dominorum & iudicum minas portendit, & ab omni peregrinatione arcet. Si verò etiam aliquam possessionẽ eius qui somniũ vidit abreptam vixerint flumina, omnino dãnum maius inducũt, vnáque cum dãno etiã periculum significant, si ipsum videntem simul abripuerint, & adhuc peius est, si in mare deuexerint. Malum est

ἀγορᾷ, ἢ πλατείᾳ, ἢ βαλανείῳ. θεῶν τε γὰρ μῆνιν, καὶ μεγάλην ἀσχημοσύνην καὶ ζημίαν οὐ τὴν τυχοῦσαν προαγορεύει. πρὸς δὲ καὶ τὰ κρυπτὰ ἐλέγχει. πολλάκις δὲ καὶ μῖσος ἐργάζεται περὶ τὸν ἰδόντα. ἀποπατεῖν δὲ ἐν κοπρῶνι καθήμενον, ἢ ἐπὶ λασάνου στερεοῦ, καὶ πολλὰ ἀποκρίνειν σκύβαλα, ἀγαθὸν πᾶσι. πολὺν γὰρ κουφισμὸν φροντίδων καὶ πάσης ἀνίας σημαίνει· καὶ γὰρ τὸ σῶμα μετὰ τὸν ἀπόπατον κουφότατον γίνεται. ἀγαθὸν δὲ καὶ πρὸς ἀποδημίαν τὸ τοιοῦτον, καὶ ἀποδήμου ἀνακομιδὴν διὰ τὸ ὄνομα· ἄφοδος γὰρ καλεῖται. ἐγὼ δὲ ἐτήρησα καὶ τὸ παρ' αἰγιαλῷ ἀποπατεῖν, καὶ ἐν ὁδοῖς, καὶ ἐν ἀρούραις, καὶ παρὰ ποταμῷ, καὶ λίμνῃ, λυσιτελὲς ὄν, καὶ τὰ αὐτὰ σημαῖνον, τῷ δοκεῖν ἐν κοπρῶνι χέζειν· ὀρθῶς καὶ κατὰ λόγον ἀποβαίνοντος τοῦ τοιούτου. οὔτε γὰρ οἱ τόποι οὗτοι ὑπὸ τοῦ ἀποπατοῦντος βλάπτονται, αὐτῷ τε τῷ ἀποπατήσαντι παρέχουσι χωρὶς αἰσχύνης ἀποφορτίσασθαι. ἕπεται δὲ τῷ λόγῳ, καὶ περὶ ποταμῶν καὶ πηγῶν εἰπεῖν καὶ λίμνης καὶ φρέατος.

Περὶ ποταμῶν, καὶ λίμνης, καὶ πηγῆς, καὶ φρέατος. κζ'.

ΠΟταμοὶ καθαρὸν καὶ διειδὲς ἔχοντες ὕδωρ καὶ ἠρέμα ῥέοντες, ἀγαθοὶ δούλοις καὶ δικαζομένοις καὶ ἀποδημεῖν βουλομένοις. ἐοίκασι γὰρ οἱ ποταμοὶ δεσπόταις καὶ δικασταῖς· διὰ τὸ πράττειν ὅσα ἂν βούλωνται ἀνυπευθύνως καὶ κατὰ γνώμην ἑαυτῶν. ἀποδημίαις δὲ καὶ κινήσεσι, διὰ τὸ μὴ μένειν τὸ ὕδωρ, ἀλλὰ παραῤῥεῖν. ἐπειδὰν δὲ θολερὸν καὶ ῥυπῶδες ᾖ τὸ ὕδωρ, καὶ τὴν ἀπὸ δεσποτῶν καὶ δικαστῶν ἀπειλὴν σημαίνουσιν οἱ ποταμοί, καὶ πάσης ἀποδημίας εἴργουσιν. ἐὰν δέ τι καὶ ἁρπάσαντες κτῆμα τοῦ τεθεαμένου τὸν ὄνειρον ἐπιφέρωσιν, ἐκ παντὸς βλάβην ἐπιφέρουσι μείζονα· τῇ βλάβῃ δὲ ἅμα καὶ κινδύνους σημαίνουσιν, ἐὰν αὐτὸν συναρπάσαντες τὸν ὁρῶντα, καὶ μᾶλλον κακόν, ἐὰν καὶ εἰς θάλασσαν ἐμβάλωσι· πονηρὸν δέ,

καὶ τὸ ἐν ποταμῷ ἑστάναι καὶ περικλύζεσθαι, καὶ μὴ δύνασθαι ἐξελθεῖν. οὐ γὰρ ἂν ὑπομείναι τις τὰ ἐκ τοῦ τοιούτου ὀνείρου, κἂν πάνυ εὔψυχος εἴη, τὰ κακά. Χείμαρροι δὲ ποταμοὶ, καὶ δικαστὰς σημαίνουσιν ἀγνώμονας, καὶ δεσπότας ἀηδεῖς, καὶ ὄχλους, διὰ τὸ βίαιον καὶ μεγαλόφωνον. ἀγαθὸν δὲ τούτους περᾶν, μάλιστα τοῖς ποσὶν εἰ δὲ μή γε καὶ νηξαμένοις. εἰ δέ τις διὰ τὸ μὴ δύνασθαι ἄντικρυ διελθεῖν ὑποστρέφειν ὑπολάβοι, ἄμεινον αὐτῷ ἀφίστασθαι καὶ μηκέτι δικάζεσθαι. μηδὲ προσιέναι δεσπότῃ τὸ παρόν. μηδὲ ἐν ὄχλῳ ἀναστρέφεσθαι, νήχεσθαι δὲ ἐν ποταμῷ δοκεῖν ἢ λίμνῃ, εἰς ἔσχατον ἥξειν σημαίνει κίνδυνον· καὶ μᾶλλον ἐὰν ποταμῷ νήχηται· ὅσα γὰρ ἰχθὺς ἐπὶ γῆς πάσχει, εἰκὸς τοσαῦτα καὶ ἄνθρωπον ἐν ὑγρῷ πάσχειν. ἀεὶ δὲ διανήξασθαι ἄμεινον, ἢ μεταξὺ κολυμβῶντα διυπνῆσαι. ποταμὸς εἰς οἰκίαν ῥέων καθαρὸς, ἀνδρὸς πλουσίου εἴσοδον εἰς τὴν οἰκίαν μαντεύεται ἐπ' ὠφελείᾳ τῶν ἐνοικούντων. τεταραγμένος δὲ καὶ θολερὸς, καὶ μάλιστα ἐὰν τι κινῆται τῶν ἐν τῇ οἰκίᾳ, ἐχθροῦ βίαν σημαίνει, ὃς πολλὰ τὴν οἰκίαν καὶ τοὺς ἐν τῇ οἰκίᾳ βλάψει. ἐξ οἰκίας δὲ ποταμὸς ἐκρέων, πλουσίῳ μὲν ἀνδρὶ καὶ μέγα δυναμένῳ, συμφέρει. ἄρξει γὰρ τῆς πόλεως καὶ πολλὰ φιλοτιμούμενος εἰς τὸ δημόσιον ἀναλώσει, πολλοί τε ἐπὶ τὴν οἰκίαν αὐτοῦ φοιτήσουσι, δεόμενοι καὶ χρῄζοντες· πάντες γὰρ τοῦ ποταμοῦ δέονται. πένητι δὲ ἀνδρὶ, διαβάλλει τὴν γυναῖκα, ἢ τινὰ τῶν ἐν τῇ οἰκίᾳ, μοιχευόμενον ἢ καὶ ἀσχημονοῦντα. ἄλλο δὲ ὕδωρ εἰς οἰκίαν ῥέον, θολερὸν μὲν, ἐμπεπρησμένην τὴν οἰκίαν ὄψεσθαι σημαίνει· τὸ δὲ καθαρὸν, κτῆσιν καὶ χρήματα περιβαλεῖσθαι σημαίνει. φρέαρ δὲ ἰδεῖν ἐν τῇ οἰκίᾳ ἢ ἐν ἀγρῷ οὐκ ὂν πρότερον, ἀγαθόν· οὐσίας γὰρ ἐπίκτησιν σημαίνει. ἀγάμῳ δὲ καὶ ἄπαιδι, γυναῖκα καὶ παῖδας. νύμφαι τε γάρ εἰσιν ἐν τοῖς φρέασι καὶ ὥσπερ ἡ γυνὴ, τὸ φρέαρ τοῖς ἔνδον τὰ ἐπιτήδεια ὧν χρῄζουσι παρέχει. ἀγαθὸν δὲ καὶ πλῆρες ἰδεῖν φρέαρ πλημμυροῦντος τοῦ ὕδατος, ὅταν γε μὴ ὑπερχεῖται, ἐπεὶ τὸ ὑπερχεόμενον καὶ ῥέον ὕδωρ τοῦ φρέατος,

& in flumine stare ac abundari circumallabente flumine, & non posse exire. Neque enim sufferre poterit quis mala ex hoc insomnio, etiam si valde magno ac generoso animo præditus sit. Torrentes autem iudices significant inclementes, & dominos insuaues, & turbas, propter violentiam & strepitus magnitudinem. Bonum est hos penetrare, maximè pedibus, aut etiam natatu. Si verò quis reuertere se putet, ob id quòd torrentem transmittere non possit, melius est ipsi desistere, & non amplius lites agere, neque dominum in præsens adire, neque in turba versari. Natare sibi videri in flumine aut stagno, ad extremum periculum deuenturum esse significat, sed magis si flumine natet. Quæcunque enim pisces in terra patiuntur, talia verisimile est & hominem in liquido passurum esse. Semper verò melius est pernatare incessanter, quàm natatori interim somnum obrepere. Fluuius in domum fluens purus, viri diuitis in domum ingressum præsagit, vnde vtilitas inhabitantibus est accessura. Turbatus verò ac turbidus, & maximè si quid eorum quæ in domo sunt mouetur, inimici violentiam significat, qui & domum & inhabitatores multo damno afficiet. Si verò è domo effluat fluuius, opulento viro & multum potenti conducit. Imperabit enim vrbi, & multa munifice & liberaliter in rem publicam expēdet, multique in domum ipsius venient egeni & indigentes, omnes enim flumine opus habent. Cæterùm viro pauperi criminatur vxorem, aut aliquem ex domesticis, adulteriis inquinatū, aut aliâs turpiter se gerentem. At verò aliam aquam in domum fluentem videre, ardentem domum visurum esse significat, si quidem turbida fuerit aqua. Pura enim possessiones & pecunias accessuras præsagit. Puteum videre in domo aut agro qui prius non fuit, bonum est: bonorum enim acquisitionem significat. Ei verò qui vxorem & liberos non habet, vxorem & liberos portendit. Nymphæ enim sunt in puteo, & quemadmodum vxor, sic puteus domesticis necessaria, & quib⁹ opus habent, exhibet. Bonum est & plenum puteū videre aqua inundāte, modò non superfundatur, quandoquidem aqua quæ supereffunditur & ex puteo fluit,

bona quæ accesserunt, vxorem videlicet & liberos, non permansura esse præsagit. Eadem significatio est etiam, vbi alieni homines eam ipsam aquã ex puteo hauriant. Stagnum magnum eadem quę flumen significat, exceptis peregrinationibus: hoc enim à peregrinando arcet, propterea quòd aqua in ipso non fluat, sed semper in eodem loco manet. Paruum autem stagnum aut etiam mediocre, fœminam significat opulentam rebus venereis gaudentem. Suscipit enim & stagnum eos qui inscendere volunt, neminémque arcet. Optimum insuper est & in stagno, aut flumine nauigare, & non natare. Fontes autem & scaturigines, & salientes, aqua bona inundantes, omnibus ex æquo boni sunt, maximè ægrotãtibus & egenis, alteris enim opulentiæ, alteris salutis signum existũt. Nihil enim æque nutrit vt aqua. Resiccati autem fontes, & aquam non habentes, contraria omnibus significant.

De Paludibus, Montibus, Viis, Saltibúsque, ac Conuallibus.

CAP. 28.

PAludes pastoribus solis conducunt, reliquis actionum impedimenta significant, & viatoribus impedimento sunt propterea quòd imperuiæ existant. Montes autem & saltus, vallésque ac cõualles, & syluæ omnes, tristitias & timores, & turbationes & otia præsignant. Seruis verò & malefactoribus tormenta & plagas. Et diuitibus damna, propterea quòd cædantur, & semper aliquid amittant. Præstat autem semper tales penetrare, & vias in ipsis inuenire, & ex his in campos deuenire, & non in ipsis somno obrui. Qualescunque porrò vias se quis ambulare putauerit, eiusmodi vita vtetur. Etenim latæ & planæ ac leues & cãpestres, multam in rebus agendis facilitatem prædicunt. Verùm leues sed tamen accliues, cùm dilatione & anxietate ac tristitia proposita successura esse significant. Si verò quis transgressum esse, & ad finem peruenisse se putet, decliues quidẽ omnibus actiones impeditas & infectas reddunt, exceptis timentibus & fugiẽtib.

τὰ προσγινόμενα ἀγαθά, γυναῖκά τε καὶ παῖδας, μὴ παραμένειν μαντεύεται. τὸ αὐτὸ δὲ καὶ ὅταν ἀλλότριοί τινες αὐτλῶσι τοῦτο τὸ ὕδωρ ἐκ φρέατος. λίμνη δὲ μεγάλη, τὰ αὐτὰ τῷ ποταμῷ σημαίνει, πλὴν τοῦ κατὰ τὴν ἀποδημίαν· αὕτη γὰρ εἴργει ἀποδημεῖν, διὰ τὸ ὕδωρ ἐν αὐτῇ μὴ ῥέειν, ἀλλὰ μένειν ἀεὶ ἐν χώρᾳ τῇ αὐτῇ. σύμμετρος δὲ καὶ μικρὰ λίαν, γυναῖκα σημαίνει εὔπορον ἀφροδισίοις χαίρουσαν. δέχεται γὰρ τοὺς εἰσβαίνειν βουλομένους καὶ ἡ λίμνη, καὶ οὐκ ἀπείργει. εἴη δ᾽ ἂν ἄριστον καὶ ἐν λίμνῃ ἢ ἐν ποταμῷ πλέειν καὶ μὴ νήχεσθαι. πηγαὶ δὲ καὶ κρῆναι καὶ πίδακες, ὕδατι ἀγαθῷ πλημμυροῦσαι, ἀγαθαὶ πᾶσιν ἐπίσης. μάλιστα δὲ τοῖς νοσοῦσι καὶ τοῖς ἀπόροις, οἷς μὲν γὰρ εὐπορίας, οἷς δὲ σωτηρίας εἰσὶ σημαντικαί. οὐδὲν γὰρ οὕτω τρόφιμον ὡς ὕδωρ. αὐαινόμεναι δὲ καὶ μὴ ἔχουσαι ὕδωρ τὰ ἐναντία πᾶσι σημαίνουσιν.

Περὶ ἑλῶν, καὶ ὀρῶν, καὶ ὁδῶν, ναπῶν τε, καὶ φαράγγων. κη'.

ΕΛΗ ποιμέσι μόνοις συμφέρει, τοῖς δὲ λοιποῖς, ἀπραξιῶν ἐστι σημαντικά, καὶ τοῖς ὁδεύουσιν ἐμπόδια γίνεται, διὰ τὰς ἐν αὐτοῖς ἀνοδίας. Ὄρη δὲ, καὶ νάπαι, καὶ ἄλσεα, καὶ φάραγγες, καὶ ὗλαι πᾶσαι, δυσθυμίας καὶ φόβους καὶ ταραχὰς καὶ ἀργίας προσημαίνουσι. δούλοις δὲ καὶ κακούργοις βασάνους καὶ πληγάς, καὶ πλουσίοις βλάβας. διὰ τὸ κατακόπτεσθαι, καὶ ἀεί τι ἀποβάλλειν. ἀεὶ δὲ ἄμεινον ταῦτα διεκπεραιοῦν, καὶ τὰς ἐν αὐτοῖς ὁδοὺς εὑρίσκειν. καὶ ἀπὸ τούτων εἰς πεδία κατιέναι, καὶ μηκέτι ἐν αὐτοῖς ὄντα διυπνίζεσθαι. οἵας δ᾽ ἂν ὁδοὺς ὁδεύειν τις ὑπολάβοι, τοιούτῳ χρήσεται βίῳ. αἱ μὲν γὰρ πλατεῖαι καὶ ὁμαλαὶ καὶ λεῖαι καὶ ἐν πεδίῳ οὖσαι, πολλὴν εὐμάρειαν ἐν τοῖς πραττομένοις προαγορεύουσιν· αἱ δὲ λεῖαι μὲν, ἀνάντεις δὲ, μετὰ παρολκῆς καὶ δυσθυμίας σημαίνουσιν ἀνύσαι τὰ προκείμενα. ἐὰν δέ τις ἐξαναβῇ καὶ ἐπὶ πέρας ἀφῖχθαι νομίσῃ, αἱ μὲν κατάντεις, πᾶσιν εἰσὶν ἄπρακτοι, πλὴν τῶν φοβουμένων καὶ φευγόντων.

θᾶττον γὰρ ἀποφυγεῖν προαγορεύουσι. στεναὶ δὲ παντελῶς ὁδοὶ, δυσθυμίας σημαίνουσιν.

Περὶ δικαστηρίων, καὶ δικῶν. κθ'.

Δικαστήρια, καὶ δικασταὶ, καὶ δικολόγοι, καὶ νόμοι, πᾶσι ταραχὰς καὶ δυσθυμίας καὶ δαπάνας ἀκαίρους προμαντεύονται, καὶ τὰ κρυπτὰ ἐλέγχουσι. τοῖς δὲ νοσοῦσι, κρισίμους ἡμέρας προαγορεύουσιν· ἐν αἷς ἐὰν μὲν κατ' ὄναρ νικῶσιν, ἐπὶ τὸ βέλτιον μεταβαλοῦσιν. ἐὰν δὲ ληφθῶσι κατ' ὄναρ, τεθνήξονται. εἰ δέ τις δίκην ἔχων ὑπολάβοι ἐν τῇ τοῦ δικαστοῦ χώρᾳ καθέζεσθαι, οὐ ληφθήσεται. οὐ γὰρ ὁ δικαστὴς τὰ ἑαυτοῦ καταδικάσει, ἀλλὰ τὰ τῶν ἄλλων πάντων.

Περὶ ἰατρῶν. λ'.

Πᾶσι δὲ τοῖς δίκην ἔχουσιν ἰατροὶ ὁρώμενοι, τὸ ἴσον τοῖς συνηγόροις ἐπέχουσι λόγον.

Περὶ ἀρχῆς πάσης. λα'.

Βασιλεύειν δοκεῖν, τῷ μὲν νοσοῦντι, θάνατον προαγορεύει. ἀνυπότακτος γὰρ μόνος ὁ βασιλεὺς, ὥσπερ καὶ ὁ ἀποθανών. τῷ δὲ ἐρρωμένῳ, τῶν συγγενῶν καὶ κοινωνῶν, ἀπώλειαν πάντων καὶ χωρισμόν. ἀκοινώνητος γὰρ ἡ βασιλεία. κακούργῳ δὲ, δεσμὰ σημαίνει, καὶ τὰ κρυπτὰ ἐλέγχει. ἐκφανὴς γὰρ ὁ βασιλεύς ἐστι, καὶ ὑπὸ πολλῶν φρουρεῖται. τὸ δὲ αὐτὸ σημαίνει καὶ ἡ βασιλικὴ σκευὴ, τουτέστι διάδημα καὶ σκῆπτρον καὶ ἁλουργίς. βασιλεύειν πένης ἐὰν δόξῃ, πολλὰ πράξει ἐπιδόξως μὲν, ἀκερδῶς δέ. δούλῳ δὲ τὸ βασιλεύειν ἐλευθερίαν σημαίνει. πάντως γὰρ χρὴ τὸν βασιλέα ἐλεύθερον εἶναι καὶ ἀνυπότακτον. ἄριστον δὲ φιλοσόφῳ καὶ μάντει τὸ βασιλεύειν. οὐδὲν

Hos enim citius effugituros esse præsagiunt. At verò angustæ penitus viæ anxietates portendunt.

De Foro iudiciario, & Litibus. CAP. 29.

FOrum iudiciale, & iudices, & aduocati, & leges, omnibus turbationes & anxietates & sumptus intepestiuos præsagiunt, & occulta reuelant. Aegrotantibus verò iudicatorios dies prænuntiant, in quibus si quidem per somnium vicerint, in melius vitam transmutabunt. Si vero damnati fuerint per somnium, morientur. Si verò quis litem habens existimet se in iudicis loco sedere, non damnabitur. Neque enim iudex suam ipsius causam damnabit, sed potius aliorum omnium.

De Medicis. CAP. 30.

OMnibus litem habentibus medici conspecti eandem cum aduocatis rationem habent.

De omni Principatu. CAP. 31.

REgnare sibi videri, ægrotanti quidem mortem prædicit. Solus enim rex nemini subiectus est, quẽadmodum etiam mortuus. Sano verò cognatorum & sodalium omnium amissionem ac separationem portendit. Est enim insociabile regnum. Malefactori autem vincula significat, & occulta reuelat. Conspicuus est enim rex, & à multis custoditur. Idem significat etiam regius ornatus, hoc est sceptrum, diadema, & purpura. Si pauper sibi videatur regnare, multa faciet splendidè & gloriosè, sed nullo sui compendio aut lucro. Seruo regnare libertatẽ significat. Omnino enim regem liberũ esse oportet & nemini subiectũ. Regnare optimum est Philosopho & vati. Nihil

enim liberius est sana mente, neque quicquam regalius esse putamus. Ducem exercitus esse, adsuetis bonum est. Pauperibus autem turbationes significat & diuulgationes. Seruis verò libertatem. Scribam esse sibi videri, alienas & nihil ad se pertinentes res curare significat, ex quibus labor quidem multus somnianti erit, vtilitas autem nulla penitus. Aegrotanti verò etiam hic principatus mortem præsagit, propterea quòd præeat scriba. Seruo idem somnium œconomiam, fidem ac autoritatem conciliat. Vrbi præesse, aut pueris præfici, aut mulieribus curas & vexationes ei qui somnium vidit denuntiat, propter rempublicam aut pueros aut mulieres. Præfectum annonæ esse, his qui ad medicinam animum adiecerunt conducit, & maximè his qui diætetices, quæ victus rationem habet, sunt studiosi, propterea quòd annonæ præfectus alimoniæ ac ciborum curam gerit. Reliquis turbationes ac diuulgationes significat. Si verò & lites intenderit, & sumptus inutiles fecerit, omnino etiam vituperium habebit. Neque enim potest absque his annonæ præfectus degere. Erogationes publicas elargiri de suo, ægris mortem prędicit, & bonorum dissipationem. Sanis verò turbationes & diuulgationes. Solis autem his qui omnino inopes sunt, bonum est & lucrosum hoc somnium. Non enim possibile est elargiri multis eum qui non multa habeat. Bonum est & scenicis, & thymelicis, & omnibus qui se in turbam demittunt. Honorem enim multum ex turba accessurum esse significat. Laudantur enim ac prædicantur qui erogationes & congiaria distribuunt. Vbi datur porrò congiarium videri sibi id accipere, bonum est. Non accipere autem, non bonum est omnibus, siue publica sit erogatio, siue priuata. Mortē enim prædicit palàm, quoniam in mortuos non amplius congiarium diuiditur. Noui autem quendam ad olympia profectum, vt istic decertaret, qui sibi visus est, Græcorum iudices athletis dare panes, ipsi autem tardius venienti, illos non habere quod darent, & sanè alij omnes vates iudicauerunt eum ad certamen non peruenturũ esse. Et mihi quidem meritò sic iudicasse videbantur. Etenim sic euenit.

γὰρ ἐλευθεριώτερον ὑγιοῦς γνώμης, οὐδὲ βασιλικώτερον ὑπολαμβάνομεν εἶναι. στρατηγεῖν τοῖς μὲν ἐθίσασι, καλόν. πένησι δὲ ταραχὰς σημαίνει καὶ περιβοησίας. δούλοις δὲ, ἐλευθερίαν. γραμματεύειν δὲ δοκεῖν, ἀλλοτρίων καὶ οὐδὲν προσηκόντων σημαίνει φροντίσαι πραγμάτων. ἐξ ὧν καμάτους μὲν πολλοὺς τῷ ἰδόντι ἔσεσθαι, ὠφέλειαν δὲ, οὐδ᾽ ἡντινοῦν. νοσοῦντι δὲ καὶ αὕτη ἡ ἀρχὴ θάνατον προσημαίνει. διὰ τὸ προάγειν τὸν γραμματέα. δούλῳ δὲ οἰκονομίας καὶ πίστεις περιποιεῖ τὸ ὄναρ τοῦτο. ἀστυνομεῖν ἢ παιδονομεῖν ἢ γυναικονομεῖν, φροντίδας τε σκυλμοὺς ὑποτίθησι τῷ ἰδόντι, διὰ δημόσια ἢ διὰ παιδία ἢ διὰ γυναῖκας. ἀγορανομεῖν δὲ τοῖς ἐπὶ ἰατρικὴν ὁρμῶσι συμφέρει. καὶ μάλιστα τοῖς διαιτωμένοις. διὰ τὸ τροφῆς τὸν ἀγορανόμον προνοεῖσθαι. τοῖς δὲ λοιποῖς ταραχὰς τε περιβοησίας σημαίνει. ἐὰν δὲ καὶ πράγματα ποιῇ καὶ δαπάνας ἀχρήστους, πάντως δὲ καὶ ψόγον ἕξει, οὐ γὰρ ἔνεστιν ἀγορανομοῦντα ἄνευ τούτων διάγειν. ἐπιδόσεις δὲ δημοσίας ἐπιδιδόναι παρ᾽ ἑαυτοῦ, τοῖς μὲν νοσοῦσι, θάνατον προαγορεύει, τε τῆς οὐσίας σκορπισμὸν τε διάλυσιν. τοῖς δὲ ἐρρωμένοις, ταραχὰς καὶ περιβοησίας. μόνοις δὲ τοῖς παντελῶς ἀπόροις ἀγαθὸν ἐστι καὶ κερδοφόρον τὸ ὄναρ. οὐ γὰρ ἔνεστιν ἐπιδιδόναι τοῖς πολλοῖς μὴ οὐχὶ πολλὰ ἔχοντα. ἀγαθὸν δὲ καὶ σκηνικοῖς, καὶ θυμελικοῖς, καὶ πᾶσι τοῖς εἰς ὄχλον καθιεῖσιν ἑαυτούς. τιμὴν γὰρ πολλὴν παρὰ τοὺς ὄχλους κτήσασθαι σημαίνει. εὐφημοῦνται γὰρ οἱ τὰς ἐπιδόσεις διαδιδόντες. διδομένης δὲ ἐπιδόσεως δοκεῖν λαμβάνειν ἀγαθόν. μὴ λαμβάνειν δὲ, οὐκ ἀγαθὸν πᾶσιν. ἐάν τε δημοσία ἡ ἐπίδοσις ᾖ, ἐάν τε ἰδιωτική. θάνατον γὰρ ἄντικρυς προαγορεύει. ἐπεὶ μηκέτι τοῖς ἀποθανοῦσιν ἡ ἐπίδοσις ἐπιδίδοται. οἶδα δέ τινα εἰς ὀλυμπίαν ἀπιόντα, ἐπὶ τὸ ἀγωνίσασθαι, ὃς ἔδοξε τοὺς ἑλλανοδίκας τοῖς ἀθληταῖς διδόναι ἄρτους, αὐτῷ δὲ ὑστερήσαντι μηκέτι ἔχοντας ἐπιδοῦναι. καὶ οἱ μὲν ἄλλοι πάντες, ἐδόκουν οὐ καταληφθῆναι αὐτὸν τὸν ἀγῶνα. ἐμοὶ δὲ δίκαιον ἐδόκει. καὶ γὰρ οὕτως ἀπέβη.

μετὰ γὰρ τὰς ἀπογραφὰς, εὐθέως ἀπέθανεν. οἵα δὲ ἂν ἀρχὴ, πορφύραν ἢ χρυσὸν ἀναγκάζῃ τὸν ἄρχοντα φορεῖν, ὄλεθρον τοῖς νοσοῦσι σημαίνει, καὶ τὰ κρυπτὰ ἐλέγχει. τὸ δὲ ἱερᾶσθαι καὶ ἱερωσύνην παρὰ δήμου λαβεῖν, ἀγαθὸν πᾶσι, πλὴν τῶν ἀποκρυπτομένων. ἐπίσημοι γὰρ οἱ ἱερεῖς. οἵου δ᾽ ἄν τις ὑπολάβοι θεοῦ ἱερεὺς εἶναι, τοιοῦτον αὐτῷ καὶ τὸ ἀγαθὸν ἀποβήσεται ἀπὸ τοιούτων ἀνδρῶν ἢ γυναικῶν. συστημάτων δὲ ἢ οἰκίας ἄρχειν καὶ ἐπιτροπεύειν, πᾶσι σκυλμοὺς καὶ ἀηδίας βιωτικὰς περιτίθησιν· πολλάκις δὲ καὶ ζημίας, μάλιστα δὲ τοῖς δοκοῦσι καὶ παρ᾽ ἑαυτῶν φιλοτιμεῖσθαι, καὶ δεῖπνα τινὰ ποιεῖν ἢ ἐπιδόσεις διδόναι. πᾶσα δὲ ἱερωσύνη καὶ πᾶσα ἀρχὴ ἧς μὴ μέτεστι γυναικὶ, ἐὰν ὑπολάβῃ γυνὴ ἱερατεύειν ἢ ἄρχειν, θάνατον αὐτῇ προαγορεύει. καὶ πᾶσα ἱερωσύνη καὶ πάλιν αὖ πᾶσα ἀρχὴ ἧς μὴ μέτεστιν ἀνδρὶ διὰ τὸ ἔθος ἢ νόμον, ἐὰν ἀνὴρ ὑπολάβῃ ἱερατεύειν ἢ ἄρχειν, ὁμοίως θάνατον αὐτῷ προαγορεύει.

Post factam enim descriptionem, statim vt nomen dedisset, mortuus est. Qualiscunque principatus purpuram aut aurum gestare cogit eum qui principem agit, is ipse interitum ægrotantibus significat, & occulta reuelat. Sacerdotem fieri, & sacerdotium à populo accipere, omnibus bonum est, exceptis his qui occultantur. Insignes enim sunt sacerdotes. Cuiuscunque autem Dei se putet quis sacrificum esse, eiusmodi bonum ipsi à talibus viris siue mulieribus eueniet. Congregationi aut domui præfici, corúmque curam gerere, vexationes & molestias temporales inducit: sæpè verò etiã damna, maximè his qui sibi videntur de suis munifici esse ac elargiri, & cœnas quasdam facere, aut congiaria diuidere. Omne sacerdotium omnísque magistratus ac principatus, à quibus mulieres exclusæ sunt, si mulier putet se sacerdotio fungi, aut principem esse, mortem ipsi prædicit. Et rursus, omne sacerdotium & omnis principatus, cuius viri exortes sunt, aut propter consuetudinem, aut legem, si vir putet se sacerdotio fungi, similiter ipsi mortem præsagit.

Περὶ πολέμου καὶ στρατείας καὶ στρατολογίας. λβ'.

De Bello, Exercitu, ac Militum delectu. CAP. 32.

Πόλεμος καὶ τὰ πολέμου ἔργα, πᾶσι ταραχὰς σημαίνει καὶ δυσθυμίας, πλὴν τῶν στρατιωτῶν καὶ τῶν στρατηγῶν, καὶ τῶν ἐξ ὄχλων ἢ ἐξ ὅπλων ἢ ἐν ὅπλοις ἐργαζομένων· τούτοις δὲ εὐπορίαν προαγορεύει. τῶν δὲ ὅπλων τὰ μὲν σκεπαστὰ, πολλὴν ἀσφάλειαν προαγορεύει, οἷον ἀσπὶς, κράνος, καὶ θώραξ, καὶ κνημῖδες. τὰ δὲ ἐκηβόλα πολλάκις καὶ ἀκουσίων ἁμαρτημάτων αἴτια γίνεται· καὶ στάσεων καὶ φιλονεικίας, οἷον, δόρυ, καὶ λόγχη, καὶ ἀκόντιον, καὶ σφενδόνη. μάχαιρα δὲ καὶ ξίφος, τὸν θυμὸν τοῦ ἰδόντος σημαίνουσι, καὶ τῶν χειρῶν τὸ ἰσχυρότατον, καὶ τῆς γνώμης τὸ τολμηρότατον. ἰδίως δὲ ἡ ἀσπὶς, γυναῖκα σημαίνει, καὶ ἡ περικεφαλαία, πλουσίαν μὲν ἢ εὔμορφον, ἡ πολυτελής· πενιχρὰν δὲ καὶ ἄμορφον, ἡ μὴ πολυτελής. στρατολογεῖσθαι δὲ ἢ

Bellum & bellica opera, omnibus turbationes & anxietates significant, exceptis militibus & ducibus belli, & his qui ex turbis, aut ex armis, aut in armis quæstum faciunt. His enim opulentiam prædicunt. Cæterùm ex armorum generibus, ea quæ velandi corporis gratia fabricata sunt, multam securitatem prædicunt, velut sunt scutum, galea, thorax & ocreæ. Quæ verò procul iaciuntur, sæpè delictorum inuitit admissorum causa existunt, itémque seditionum ac contentionis, velut hasta, lancea, iaculum & funda. Machera & gladius animum somniantis significant, & manuum fortitudinem, & mentis audaciam. Scutum autẽ propriè mulierem significat, itémque galea, diuitem quidem & formosam, pretiosa. Pauperem verò & deformem, non pretiosa. Delectum militum habere, aut militare,

militare, his qui quomodocunque ægrotant mortem significat. Nam qui militat ex priuato vitam suam transmutat, & ad alias conuersationes transit priore relicta. Sæpè verò etiam senibus mortem prædixit, reliquis autem vexationes & molestias, & motus præsagit, & peregrinationes. Segnibus & otiosis ac indigentibus actiones significat & quæstus. Neque enim otiosus est miles, neque indigus. Seruis æstimationem quidem maiorem portendit, sed tamen nondum manumissionem. Multi autem manumissi nihilominus seruierunt, & subditi fuerunt. Nam tametsi liber sit miles, nihilominus seruit.

De Pugna solitaria. CAP. 33.

DVellum & pugnam solitariam cum vno solo committere, litigare significat, aut aliam aliquam seditionem, & pugnam depugnaturum esse. Pugna enim appellatur etiam pugillatus ipse, etiamsi non per arma fiat. Eadem significant & mulctæ & iura pugnantiũ. Semper autem arma fugientis, in iudicium vocari significant, arma verò persequentis, in ius vocare. Obseruaui ego sæpè etiam nuptias portẽdere eiusmodi somnium, talis mulierculæ, qualia erant arma eius qui putauit se pugillatu decertare. Quando verò citra nomenclaturam non possunt demonstrationes manifestè exhiberi, vtar etiam ipsis seorsim appellationibus. Si quidem igitur quis armatus pugillatum decertare sibi videatur, vxorem ducet, diuitem, callidam, & primi loci cupidam: & diuitem quidem, propterea quòd hoplomachus armis est protectus, callidam autem, quòd gladium non habeat erectum. Primi verò loci amantem, propterea quòd ascendat & inuadat. Si verò quis argenteis armis pugillatum decertet, vxorem ducet mediocriter opulentam, fidelem, & domum custodientem, ac viro obedientem. Nam subit & protectus est, & formosior est hæc armatura priore. Si verò quis contra sequutorem pugnet formosam quidem ducet vxorem & opulentã, verùm fastuosam propter opes, & ob id virum contemnentem, & malorum cau-

στρατεύεσθαι, τοῖς ὁπωσοῦν νοσοῦσι θάνατον σημαίνει. καὶ γὰρ ὁ στρατευσάμενος, ἐξ ἰδιωτικοῦ μεταβάλλει τὸν ἑαυτοῦ βίον, καὶ ἐν ἄλλαις γίνεται διατριβαῖς, τὴν προτέραν καταλιπών. πολλάκις δὲ καὶ πρεσβύταις θάνατον προηγόρευσε, τοῖς δὲ λοιποῖς, σκυλμούς τε καὶ ἀηδίας καὶ κινήσεις προαγορεύει καὶ ἀποδημίας. ἀργοῖς δὲ καὶ ἀπόροις, πράξεις σημαίνει καὶ ἐργασίας. οὔτε γὰρ ἀργὸς ὁ στρατιώτης, οὔτε ἐνδεής ἐστι· δούλοις δὲ ἐν τιμῇ μὲν γενέσθαι σημαίνει. μηδέπω δὲ αὐτοὺς ἐλευθερωθῆναι. πολλοὶ δὲ ἐλευθερωθέντες, οὐδὲν ἧττον ἐδούλευσάν τε καὶ ὑπετάγησαν. καὶ γὰρ εἰ καὶ ἐλεύθερος ὁ στρατιώτης, οὐδὲν ἧττον ὑπηρετεῖ.

Περὶ μονομαχίας. λγ'.

ΜΟνομαχεῖν δὲ, δικάζεσθαι σημαίνει, ἢ ἄλλην τινὰ στάσιν καὶ μάχην μαχέσασθαι. μάχη τε γὰρ καὶ ἡ πυγμὴ καλεῖται, εἰ καὶ μὴ δι' ὅπλων γίνεται. τὰ δὲ αὐτὰ καὶ ἔγγραφα καὶ δίκαια τῶν μαχομένων σημαίνει. ἀεὶ δὲ τὰ μὲν τοῦ φεύγοντος ὅπλα, ἐγκληθῆναι σημαίνει. τὰ δὲ τοῦ διώκοντος, ἐγκαλέσαι. ἐτήρησα δὲ ἐγὼ πολλάκις καὶ γάμον τὸν τοιοῦτον ὄνειρον προαγορεύσαντα γυναικὸς τοιαύτης, οἷα ἂν ᾖ ὅπλα ἔχων, ὅς τις ὑπολάβοι πυκτεύειν. ἐπειδὴ δὲ ἄνευ τῶν ὀνομάτων αὐτῶν οὐκ ἔστι σαφῶς παραστῆσαι τὰς ἀποδείξεις, χρήσομαι καὶ τοῖς ὀνόμασιν. εἰ μὲν θώρακι* πυκτεύοι τις, λήψεται γυναῖκα, πλουσίαν, πανοῦργον, καὶ φιλόπρωτον. πλουσίαν μὲν, διὰ τὸ κατεσκευάσθαι ὅπλοις· πανοῦργον δὲ, διὰ τὸ μὴ ὀρθὸν ἔχειν τὸ ξίφος. φιλόπρωτον δὲ, διὰ τὸ ἐπιβαίνειν. εἰ δέ τις μετ' ἀργυρέων ὅπλων πυκτεύοι, λήψεται γυναῖκα ἠρέμα πλουσίαν, πιστικὴν, καὶ οἰκουρὸν, καὶ πειθομένην τῷ ἀνδρί· καὶ γὰρ ὑποβαίνει καὶ ἐσκέπασται, καὶ εὐμορφοτέρα ἡ πανοπλία αὕτη τῆς προτέρας. εἰ δὲ σεκούτορι, εὔμορφον μὲν λήψεται γυναῖκα καὶ πλουσίαν, μεγάλα δὲ φρονοῦσαν ἐπὶ τῇ οὐσίᾳ, καὶ διὰ τοῦτο καταφρονοῦσαν τοῦ ἀνδρὸς, καὶ κακῶν πολλῶν

ἀξίαν ἐσομένην· ἀεὶ γὰρ διώκει. εἰ δὲ ῥητιαρίῳ, λήψεται γυναῖκα ἄπορον καὶ ἐρωτικὴν, καὶ φυγάδα, ῥᾷστα τῷ βουλομένῳ πλησιάζουσαν. ἱππεὺς δὲ τὴν γυναῖκα πλουσίαν μὲν εἶναι λέγει καὶ εὐγενῆ, φρένας δὲ οὐκ ἔχουσαν. Ὁ δὲ ἀειδάρειος, ἀργὴν καὶ μωρὰν τὴν γυναῖκα σημαίνει. Ὁ δὲ προβάκτωρ, εὔμορφον μὲν καὶ χαρίεσσαν, λαμυρὰν δὲ καὶ ἐρωτικήν. διμάχαιρος δὲ καὶ ὁ λεγόμενος ὀρβήλας, ἤτοι φαρμακὸν, ἢ ἄλλως κακότροπον ἢ ἄμορφον εἶναι τὴν γυναῖκα σημαίνει. ταῦτα, οὐ πιθανευόμενος, οὐδὲ κατὰ τὸ εἰκὸς συντιθεὶς λόγους γράφω. ἀλλὰ ἀπὸ πείρας τῶν ἑκάστοτε ἀποβαινόντων πολλάκις ἐτήρησα.

ſam futuram, ſemper enim perſequitur. Si verò contra Retiarium, vxorem ducet inopem & amatoriam, & fugitiuam, & quæ ſe facilimè cuique volenti adiungit. Eques autem vxorem diuitem quidem eſſe dicit & generoſam, verùm mentem non habentem. Aridareus ſegnem & fatuam vxorem ſignificat. Probactor formoſam quidem & gratioſam, verùm audaculam &amatoriam. Dimachœrus autem, & qui orbelas appellatur, aut veneficam, aut aliâs malignam, aut deformem vxorem ſignificat. Atque hæc nõ vt probabilia, neque vt qui iuxta veri ſimilitudinem libros componit, ſcribo, ſed per experientiam edoctus, per quam ſingula ſic euenire ſolere ſæpenumero obſeruaui.

Περὶ θεῶν τιμῆς. λδ.

Θύειν θεοῖς τὰ νενομισμένα ἑκάστῳ, πᾶσιν ἀγαθόν. ἢ γὰρ τυχόντες ἀγαθῶν, ἢ καταφεύγοντες ἄνθρωποι θεοῖς θύουσι. τὰ δὲ ἀνόσια ἢ μὴ νενομισμένα ἱερεῖα θεοῖς θύειν, μῆνιν τῶν θεῶν οἷς ἔθυσέ τις προαγορεύει. ἄλλοις δὲ θύοντας ἰδεῖν, πονηρὸν τῷ νοσοῦντι, κἂν Ἀσκληπιῷ θύοντας ἴδῃ, διὰ τὴν τοῦ θυομένου ἱερείου ἀναίρεσιν· θάνατον γὰρ σημαίνει. στεφανοῦν θεοὺς ἄνθεσι καὶ κλάδοις τοῖς προσήκουσι καὶ νενομισμένοις, ὁσίοις εἶναι ἀγαθὸν πᾶσιν, οὐκ ἄνευ μέν τοι φροντίδων ἀποβησόμενον. δούλῳ δὲ παραινεῖ τὸ τοιοῦτον, πείθεσθαι τῷ δεσπότῃ· καὶ τὰ ἐκείνῳ κεχαρισμένα ποιεῖν. ἐκμάσσειν δὲ θεῶν ἀγάλματα, ἢ καθαίρειν, ἢ ἀλείφειν, ἢ σαροῦν τὰ περὶ τῶν νεῶν, καὶ τὰ περὶ τῶν ἀγαλμάτων, ἡμαρτηκέναι τι εἰς αὐτοὺς ἐκείνους τοὺς θεοὺς σημαίνει. οἶδα δὲ ἐγώ τινα ἐπὶ τούτῳ τῷ ὀνείρῳ ἡμαρτηκότα εἰς τοῦτον τὸν θεὸν, οὗ ἐδόκει τὸ ἄγαλμα καθαίρειν, καὶ τοῦτ᾽ ἦν, ὃ προηγόρευεν. αὐτῷ ὁ ὄνειρος ἰδεῖν ἱκέτην τὸν θεόν. Συντρίβειν δὲ θεῶν ἀγάλματα, καὶ ἐκβάλλειν, τῆς οἰκίας ἱδρυμένα ἔνδον, ἢ καταῤῥίπτειν ναοὺς, ἢ τι τῶν οὐχ ὁσίων ἐν ναοῖς ποιεῖν, πονηρὸν ἂν εἴη πᾶσι, καὶ περιστάσεις μεγάλας σημαίνει. Οἱ γὰρ ἐν μεγάλαις συμφοραῖς γινόμενοι, καὶ τῆς

De cultu deorum. CAP. 34.

Sacrificare dijs ea quæ vnicuique ſolennia ſunt & legitima, omnibus bonum eſt. Aut enim bona adepti homines dijs ſacrificant, aut aliâs ad ipſorum tutelam confugientes. At verò non ſolennia aut non legitima ſacrificia dijs offerre, iram deorum, quibus aliquis ſacrificauit, denuntiat. Alios autem ſacrificantes videre, malum eſt ægrotanti, etiamſi Aeſculapio ſacrificantes videat, propter mactatæ victimæ interitum & cædem, mortem enim ſignificat. Coronare deos floribus & ramulis conuenientibus, eisque recepto more dicatis, omnibus bonum ſignificat, non tamen citra curas euenturum. Seruum autem admonet hoc ſomnium, vt domino obediat, & quæ illi grata ſunt faciat. Extergere Deorum ſtatuas, aut purgare, aut vngere, aut locos ante ſtatuas verrere, aut etiam ante templa, deliquiſſe quid contra illos ipſos deos ſignificat. Noui ego quendam qui ex hoc ſomnio peccauit in eum Deũ, cuius ſtatuam purgare ſibi videbatur, atque hoc erat quod ſomnium ipſi prædicebat, quòd videlicet videret ſe ſupplicẽ deo. Conterere ſtatuas deorum, & eijcere è domo intus ſtantes & ſacratas, aut deſtruere templa, aut quid impium in templis facere, omnibus malum eſt, & magnas clades portendit. Qui enim in magnis calamitatibus verſantur, etiam à

pietate erga deos recedunt. Quòd si sua sponte dij discedant, statuæque ipsorum concidant, mortem ei qui somnium vidit, aut alicui suorum præsignant. Dei deis sacrificantes, desertam domum somniantis fore significant. Tanquam enim non sint homines, sibijpsis sacra faciunt, & ob raritatem colentium ipsos sibijpsis legitima sacra persoluunt. Si verò moueantur deorum statuæ, omnibus timores aut etiã turbationes significant, exceptis his qui in vinculis sunt, & qui peregrinari destinauerunt. Horum enim alteros liberos fore significant, vt quo libeat mouere se possint, alteros ex sedibus mouent & educunt.

De Dijs cœlestibus, ac terrestribus.

CAP. 35.

DEorum alij sunt intelligibiles, alij sensibiles. Et intelligibiles quidem plures sunt. Sensibiles verò pauci, de quibus sequenti sermone adhuc exactius declarabo. Iam verò hoc tradamus, deorũ alij Olympij sunt, quos etiã Aetherios vocamus, alij cœlestes, alij terrestres, alij marini, alij fluuiatiles, alij subterranei, alij hos circum circa ambientes. Aetherij igitur meritò dici possunt, Iupiter, Iuno, Venus, Vrania, Diana, Apollo, & ignis ætherius, & Minerua. Cœlestes autem sol, luna, astra, venti, & nebulæ, & sub his consistentia ac coagmentata parelia, & trabes, & iubar, & iris. Sunt autem hi visibiles sensibiles omnes. Ex terrestribus autem sensibiles quidem sunt Hecate, Pan, Ephialtes, & Aesculapius, qui etiam simul intelligibilis dicitur. Intelligibiles verò Dioscuri, Hercules, Dionysius, Mercurius, Nemesis, Venus popularis pandemos Græcis appellata, Vulcanus, fortuna, Pitho, siue Suada, Charites, horæ, Nymphæ, Vesta. Marini deinde intelligibiles sunt, Neptunus, Amphitrite, Nereus, Nereides, Leucothea, Phorcys. Sensibiles autem ipsum mare, vndæ, littora, fluuijque ac stagna, & Achelous. Subterranei postea & inferi sunt, Pluto, & Proserpina, Ceres, Core, Iacchus, Se-

πρὸς θεοὺς εὐσεβείας ἀφίστανται. αὐτόματοι δὲ οἱ θεοὶ ἀπαλλασσόμενοι, καὶ τὰ ἀγάλματα αὐτῶν συμπίπτοντα, θάνατον τῷ ἰδόντι ἢ τινὶ τῶν αὐτοῦ προφαίνει. Θεοὶ θεοῖς θύοντες, ἔρημον τὸν οἶκον τοῦ ἰδόντος ἔσεσθαι σημαίνουσιν. ὡς γὰρ οὐκ ὄντων ἀνθρώπων, ἑαυτοῖς θύουσι, σπάνει γὰρ τῶν τιμησόντων αὐτοὺς, ἑαυτοῖς τὰ νομιζόμενα ποιοῦσι. κινούμενα δὲ τῶν θεῶν ἀγάλματα, πᾶσι φόβους ἢ καὶ ταραχὰς σημαίνουσι, πλὴν τῶν δεδεμένων καὶ τῶν ἀποδημεῖν προαιρουμένων. τούτων γὰρ τοὺς μὲν, λυθῆναι σημαίνουσιν, ἵνα εὐκίνητοι γένωνται, τοὺς δὲ, κινοῦσι τῆς ἕδρας καὶ ἐξάγουσιν.

Περὶ θεῶν οὐρανίων, καὶ ἐπιγείων. λέ.

ΤΩΝ θεῶν, οἱ μέν εἰσι νοητοί· οἱ δὲ, αἰσθητοί. νοητοὶ μὲν οἱ πλείους· αἰσθητοὶ δὲ, ὀλίγοι. δείξει δὲ ἔτι ὁ ἐπιὼν λόγος ἀκριβέστερον. φαμὲν δὲ τῶν θεῶν, τοὺς μὲν, ὀλυμπίους εἶναι, οὓς καὶ αἰθερίους καλοῦμεν, τοὺς δὲ οὐρανίους, τοὺς δὲ, ἐπιγείους, τοὺς δὲ, θαλασσίους, τοὺς δὲ, ποταμίους. Αἰθέριοι μὲν οὖν λέγοιντο ἂν εἰκότως, Ζεὺς, Ἥρα, καὶ Ἀφροδίτη, καὶ Οὐρανία, Ἄρτεμις, καὶ Ἀπόλλων, καὶ πῦρ τὸ αἰθέριον, καὶ Ἀθηνᾶ. Οὐράνιοι δὲ, ἥλιος, καὶ σελήνη, καὶ ἄστρα, καὶ ἄνεμοι, καὶ νέφη, καὶ τὰ ὑπὸ τούτων συνιστάμενα παρήλια, καὶ δοκίδες, καὶ σέλας, καὶ ἶρις. εἰσὶ δὲ οὗτοι ὁρατοὶ αἰσθητοὶ πάντες. τῶν δὲ ἐπιγείων, αἰσθητοὶ μὲν, Ἑκάτη, καὶ Πὰν, καὶ Ἐφιάλτης, καὶ Ἀσκληπιός, οὗτος δὲ καὶ νοητὸς ἅμα λέγεται. Νοητοὶ δὲ, Διόσκουροι, καὶ Ἡρακλῆς, καὶ Διόνυσος, καὶ Ἑρμῆς, καὶ Νέμεσις, καὶ Ἀφροδίτη πάνδημος, καὶ Τύχη, καὶ Πειθὼ, καὶ Χάριτες, καὶ Ὧραι, καὶ Νύμφαι, καὶ Ἑστία. Θαλάσσιοι δὲ, νοητοὶ μὲν, Ποσειδῶν τε καὶ Ἀμφιτρίτη, καὶ Νηρεὺς, καὶ Νηρηΐδες, καὶ Λευκοθέα, καὶ Φόρκυς. Αἰσθητοὶ δὲ, αὐτὴ ἡ θάλασσα, καὶ κύματα, καὶ αἰγιαλοί, ποταμοί τε καὶ λίμναι, καὶ Ἀχελῶος. Χθόνιοι δὲ, Πλούτων καὶ Περσεφόνη, καὶ Δημήτηρ, καὶ Κόρη, καὶ Ἴακχος, καὶ Σά-

ράπις, καὶ Ἶσις, καὶ Ἄνουβις, καὶ Ἁρποκράτης, καὶ Ἑκάτη χθονία, καὶ Ἐριννύες καὶ δαίμονες οἱ περὶ τούτοις, καὶ Φόβος καὶ Δεῖμος, οὓς ἔνιοι, Ἄρεως υἱεῖς* λέγουσιν. αὐτὸν δὲ τὸν Ἄρη, πῆ μὲν ἐν τοῖς ἐπιγείοις, πῆ δὲ ἐν τοῖς χθονίοις, καταστακτέον. οἱ δὲ πέριξ τούτων Ὠκεανὸς καὶ Τηθύς, καὶ Κρόνος, καὶ Τιτᾶνες, καὶ φύσις ἡ τῶν ὅλων. εἰ δέ τινα παραβαίνων ὁ λόγος ὑπομνήσει τῶν θεῶν, οὐ παραλήψομαι τὸν ὑπὲρ αὐτοῦ λόγον. τούτων δὲ τῶν προκειμένων θεῶν τοῖς μὲν μέγα δυναμένοις ἀνδράσι καὶ γυναιξὶν, οἱ ὀλύμπιοι συμφέρουσιν ὁρώμενοι. τοῖς δὲ μετρίοις, οἱ οὐράνιοι. τοῖς πένησι δὲ, οἱ ἐπίγειοι. οἱ χθόνιοι δὲ ὡς ἐπὶ τὸ πλεῖστον, μόνοις τοῖς γεωργοῖς, καὶ τοῖς λανθάνειν τι πειρωμένοις εἰσὶν ἀγαθοί. καὶ οἱ θαλάσσιοι καὶ ποτάμιοι, τοῖς ναυτιλλομένοις καὶ τοῖς ἐξ ὕδατος ἢ δι' ὕδατος ἐργαζομένοις. οἱ δὲ πέριξ τούτων, πονηροὶ πᾶσι, πλὴν φιλοσόφων. οὗτοι γὰρ καὶ μέχρι πέρατος τῶν ὅλων τείνουσι τὴν ἑαυτῶν γνώμην. περὶ δὲ ἑκάστου αὐτῶν, καὶ κατ' ἰδίαν εἰπεῖν, διδασκαλικώτερον εἶναι μοι δοκεῖ. πρῶτον οὖν περὶ τῶν ὀλυμπίων ποιήσομαι τὸν λόγον.

Περὶ Διὸς ὀλυμπίου.

Δία ἰδεῖν αὐτὸν, οἷον ὑπειλήφαμεν, ἢ ἀγάλματα αὐτοῦ ἐν οὐρανῷ ἔχοντα τὴν οἰκείαν σκευὴν, ἀγαθὸν ἀνδρὶ βασιλεῖ καὶ πλουσίῳ. κρατυνεῖ γὰρ τοῦ μὲν, τὸν πλοῦτον· τοῦ δὲ, τὴν τύχην καὶ βασιλείαν. νοσοῦντι δὲ σωτηρίαν μαντεύεται, καὶ τοῖς λοιποῖς δὲ ἐστιν ἀγαθός. ἀεὶ δὲ ἄμεινον ἀτρέμας ἑστῶτα, ἢ καθεζόμενον ἐπὶ θρόνου καὶ μὴ κινούμενον τὸν θεὸν ἰδεῖν· εἰ δὲ καὶ κινοῖτο, εἰ μὲν πρὸς ἀνατολὰς, ἀγαθὸς ἂν εἴη· εἰ δὲ πρὸς δύσιν, πονηρός. ὥσπερ καὶ ὅταν εἰ μὴ τὴν οἰκείαν ἔχοι σκευήν. ὡς γὰρ φησὶν ὁ Πανύασις, ἄπρακτα καὶ ἀσθενῆ ἔσεσθαι τὰ πράγματα τοῦ ἰδόντος προαγορεύει.

rapis, Isis, Anubis, Harpocrates, Hecatē subterranea, Erinnyes, & dæmones qui iuxta hos sunt, & Timor & Terror, quos aliqui Martis filios dicunt. Ipsum autem Martem alicubi inter terrestres, alicubi inter subterraneos Deos locare oportet. Qui demum circumcirca hos ambiunt dij, sunt Oceanus, & Tethys, & Saturnus, & Titanes, & natura vniuersorum. Porrò si quem in progressu sermonis Deum protulero, simul repetam sermonem ac rationem de ipso. Ex his itaque propositis dijs olympij, multum potentibus tum viris, tum fœminis, prosunt si conspiciantur. Mediocribus verò cœlestes, pauperibus terrestres. Subterranei autem vt plurimum solis agricolis, & qui cælare quid conantur, boni sunt. Sicut marini & fluuiatiles nauigantibus, & his qui ex aqua, aut per aquam, quæstum faciunt. Qui verò hos circum circa ambiūt dij, omnibus mali sunt, exceptis philosophis. Hi enim vsque ad finem vniuersi mentem suam extendunt. Cæterùm de singulis dijs singillatim dicere euidentioris doctrinæ mihi esse videtur. Primùm igitur de olympijs sermonem faciam.

De Ioue Olympio.

Iouem ipsum videre qualem esse opinamur, aut statuas ipsius in cœlo proprium ornatum habentes, bonum est viro regi, & opulento. alterius enim diuitias, alterius fortunam ac regnum adauget. Aegrotanti verò salutem præsagit, sed & alijs bonus existit. Præstat autem semper quiete stantem aut in throno sedentem, ita vt non moueatur, deum videre. Si vero moueatur, & id quidem ad exortum, bonus est: sin ad occasum, malus. Quemadmodum etiam si non proprium habeat habitum. Nam vt Panyasis ait, inualida & imbecilla fore negocia somniantis prædicit.

De Iunone, & Rhea.

IVno eadem mulieribus quæ Iupiter viris portendit, verum viris minora. Eadem autem significatio Rheæ est, quæ & ipsius Iunonis.

De Diana.

DIana timentibus bona est. Nam quum Artemis Græcis appelletur, propter ipsum ἀρτεμὲς, hoc est incolumitatem, intrepidos ipsos conseruat. Est & puerperis bona hęc dea, λοχία enim à curando partu, Græcis vocatur, sicut Latinis Lucina à proferendo in lucem eadem dicitur. Venatoribus etiam vel maximè conducit, propter Dianam ἀγροτέραν appellatam, & piscatoribus, propter eandem λιμνῆτιν dictam: priore ab Agra regione, in qua primum venata esse fertur, posteriore à stagno deducta appellatione. Fugitiuos autem & ea quæ perdita sunt, inuentum iri promittit, nihil enim deam effugit. Agrotera autem & ceruos persequens, & arcum pro insigni habens, semper commodior est ad actiones obeundas, quàm quæ iuxta alium modum fabrefacta est. Cæterùm qui castiorem vitam delegerunt, his submissus & frugalis deæ habitus melior est, velut & Diana Ephesia, & Pergæa, & quæ apud Lycios Libera appellatur. Nihil autem differt, siue deam qualem esse credimus, siue statuam ipsius videamus. Siue enim carnei Dei appareant, siue velut statuæ ex materia fabricatæ, eandem rationem habent, verùm citius tum bona, tum mala significant ipsi dij immortales conspecti quàm statuæ ipsorum. Dianam nudam videre iuxta omnem modum nemini conducit.

De Apolline.

APollo musicis bonus est, est enim eloquentiæ & totius musicæ inuentor Deus. Bonus est & medicis, pæon enim appellatur, & vatibus & philosophis, perfectos enim & celebres ipsos fore præsagit, occulta etiam reuelat, idem

Περὶ ἥρας, καὶ περὶ ῥέας.

Ἥρα δὲ τὰ αὐτὰ γυναιξὶ τῷ διὶ σημαίνει. ἀνδράσι δὲ, ἥττονα. Τὰ δὲ αὐτὰ τῇ ἥρᾳ, καὶ ἡ ῥέα σημαίνει.

Περὶ ἀρτέμιδος.

Ἄρτεμις τοῖς φοβουμένοις, ἀγαθή. διὰ γὰρ τὸ ἀρτεμὲς ὅπερ ἐστὶν ὑγιὲς, ἀφόβους αὐτοὺς διαφυλάττει. καὶ γυναιξὶ τικτούσαις, ἀγαθὴ ἡ θεός, λοχία γὰρ καλεῖται, κυνηγοῖς δὲ μάλιστα συμφέρει, διὰ τὴν ἀγροτέραν. καὶ ἁλιεῦσι διὰ τὴν λιμνᾶτιν. δραπέταις δὲ καὶ τὰ ἀπολλόμενα φησὶν εὑρεθήσεσθαι. οὐδὲν γὰρ τὴν θεὸν διαφεύγει. ἀεὶ δὲ ἡ μὲν ἀγροτέρα καὶ ἐλαφηβόλος πρὸς πράξεις, ἐπιτηδειοτέρα τῆς κατ' ἄλλον τρόπον δεδημιουργημένης. τοῖς δὲ σεμνότερον ἐπανῃρημένοις βίον, ἡ κατεσταλμένη τῷ σχήματι ἀμείνων. οἷαι ἡ Ἐφεσία καὶ ἡ περγαία, καὶ ἡ λεγομένη παρὰ λυκίοις ἐλευθέρα. οὐδὲν διαφέρει τὴν θεὸν ἰδεῖν ὁποίαν ὑπειλήφαμεν, ἢ ἄγαλμα αὐτῆς. ἐάν τε γὰρ σάρκινοι οἱ θεοὶ φαίνωνται, ἐάν τε ὡς ἀγάλματα ἐξ ὕλης πεποιημένα, τὸν αὐτὸν ἔχουσι λόγον. θᾶττον δὲ καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ σημαίνουσιν αὐτοὶ οἱ θεοὶ οἱ ἀθάνατοι. ὁρώμενοι, ἤπερ τὰ ἀγάλματα αὐτῶν. Ἄρτεμιν γυμνὴν ἰδεῖν, κατὰ πάντα τρόπον οὐδενὶ συμφέρει.

Περὶ ἀπόλλωνος.

Ἀπόλλων μουσικοῖς ἀγαθός, λόγων γὰρ εὑρετὴς ὁ θεὸς, καὶ μουσικῆς πάσης. ἀγαθὸς δὲ καὶ ἰατροῖς, παιὰν γὰρ καλεῖται, καὶ μάντεσι καὶ φιλοσόφοις, ἐντελεῖς γὰρ αὐτοὺς καὶ ἐνδόξους ἔσεσθαι προαγορεύει, καὶ τὰ κρυπτὰ ἐλέγχει, ἰ γὰρ αὐτὸς

εἶναι νενόμισται τῷ ἡλίῳ. Ἀπόλλων ὁ Δελφίνιος, ἀποδημίας καὶ κινήσεις εἴωθε σημαίνειν.

Περὶ Ἀθηνᾶς.

Ἀθηνᾶ, χειροτέχναις ἀγαθή, διὰ τὴν προσηγορίαν. ἐργάνη καλεῖται γάρ. καὶ τοῖς γῆμαι βουλομένοις, σεμνὴν γὰρ καὶ οἰκουρὸν ἔσεσθαι τὴν γυναῖκα μαντεύεται. ἀγαθὴ δὲ καὶ φιλοσόφοις, φρόνησις γὰρ εἶναι νενόμισται ἡ θεός, ὅθεν καὶ ἐξ ἐγκεφάλου γεγενῆσθαι φασὶν αὐτήν. καὶ γεωργοῖς ἀγαθή· τὸν γὰρ αὐτὸν τῇ γῇ λόγον ἔχει, ὡς φασὶν οἱ φιλόσοφοι. καὶ τοῖς ἐπὶ πόλεμον ὁρῶσιν ἀγαθή. τὸν γὰρ αὐτὸν τῷ Ἄρει λόγον ἔχει. γυναιξὶ δὲ ἑταίραις καὶ μοιχευομέναις, πονηρά. ἔτι δὲ γυναιξὶ γήμασθαι προαιρουμέναις, παρθένος γὰρ ἡ θεός.

Περὶ πυρὸς αἰθερίου.

Πῦρ τὸ αἰθέριον, πᾶσιν ἀγαθόν, μάλιστα δὲ τοῖς νοσοῦσι· σωτηρίας γὰρ αὐτοῖς σημεῖον, ἐπεὶ μὴ μέτεστι τούτου τοῖς ἀποθανοῦσι. περὶ δὲ τῶν οὐρανίων ἑξῆς ἐροῦμεν.

Περὶ Ἡλίου. λς΄.

Ἥλιος ἀπὸ ἀνατολῆς ἀνίσχων λαμπρὸς καὶ καθαρὸς καὶ καταδυόμενος εἰς δύσιν, πᾶσιν ἀγαθός· τοῖς μὲν γὰρ πράξεις προαγορεύει· ἀνίστησι γὰρ ἐξ ὕπνου καὶ προτρέπεται πράττειν· οἷς δέ, παίδων γονήν· ἥλιοι γὰρ καὶ τὰ ἀρσενικὰ τέκνα οἱ γονεῖς ὑποκοριζόμενοι καλοῦσι· δούλους δὲ ἐλευθέρους ποιεῖ. ἥλιον γὰρ καὶ τὴν ἐλευθερίαν καλοῦσιν ἄνθρωποι, τοῖς δὲ λοιποῖς εἰς τὴν κτῆσιν ὠφέλιμος. τοὺς δὲ λανθάνειν καὶ ἀποκρύπτεσθαι πειρωμένους, βλάπτει. πάντα γὰρ ἐξελέγχει καὶ εὐσύνοπτα ποιεῖ. ἥλιος ἀπὸ δύσεως ἐξανατέλλων, τὰ κρυπτὰ ἐξελέγχει τῶν λεληθέναι δοκούντων, καὶ τὸν νοσοῦντα μετὰ ἀπόγνωσιν ἀνίστησι, καὶ τὸν ὀφθαλμιῶντα, οὔ φησι τυφλωθήσεσθαι. ἐκ

enim cum ſole eſſe putatur. Apollo porrò delphicus peregrinationes & motiones ſignificare conſueuit,

De Minerua.

Minerua bona eſt manuarijs artificibus, propter appellationem, Ergane enim, hoc eſt operatrix vocatur. Bona eſt & vxorem ducere volentibus, pudicam enim & domum cuſtodiẽtem vxorẽ futurã eſſe præſagit. Bona eſt & philoſophis, prudẽtia enim eſſe putatur ipſa dea, vnde etiam ex cerebro ipſam natam eſſe aiunt. Eſt & agricolis commoda, eandem enim quam terra rationem habet, velut philoſophi tradunt. Conducit & belli ſtudioſis, eandem enim cum Marte rationem habet. At verò mulieribus ſcortatricibus & adulteris mala eſt. Inſuper & nubere volentibus, eſt enim virgo hæc dea.

De Igne æthereo.

Ignis ætherius omnibus bonus eſt, maximè ægrotantibus, ſalutis enim ſignum ipſis exiſtit, quoniam demortui ipſo non fruuntur. Conſequenter porrò de cœleſtibus dicemus.

De Sole. 36.

Sol ab exortu emergens ſplendidus & purus, ſubienſque ſic in occaſum, omnibus bonus eſt, alijs enim actiones prædicit, experge facit enim ex ſomno, & ad agendum cohortatur: alijs puerorum generationem, ſoles enim maſculos liberos parentes adblandientes appellant, ſeruos autem liberos facit. Solem enim etiam libertatem homines vocant, reliquis ad opes parandas commodus eſt. At verò eos qui latere & ſe occultare conantur lædit. Omnia enim reuelat & conſpicua facit. Sol ab occaſu exoriens, occulta reuelat eorum qui ſe latere putant, & ægrotum poſt deſperationem erigit, & lippientem non fore cæcum dicit. Ex

multis enim tenebris lucem videbit: & apud exteros degentem reducit, etiam si iam desperatus existat. Bonus est & ei qui ad occidentem abire instituit, reditum enim ipsi inde prædicit, & ei qui ab occasu aliquem expectat, iam enim ipsum ad reditum accinctum esse significat. Reliquis ad omnem aggressionem & omnem spem contrarius existit, & quæ proposuimus perficere non sinit. Nam si hic contrario naturæ motu moueatur, verisimile est & totam naturam, & eius partes ægrotare. Est autem omnino etiam is qui somnium vidit pars aliqua totius naturæ. Cæterum pro ratione dictorum, etiam solem à meridie aut septentrione orientem, aut in meridiem vel septentrionem occidentem iudicare oportet. Sol obscurus, aut subcruentus, aut præ feruore murmurans, omnibus malus & absurdus est, partim actionum impedimenta indicans partim liberis somniantis morbum aut periculum, aut ipsius oculis morbum prædicit. Eis verò qui aliquid latere volunt, & timentibus commodus obseruatus est, alteri enim latebunt, alteri nihil patientur mali. Obscurus enim sol minus adurit. Sol in terram descendens incendij ac vsuræ signum est. Idem significat etiam si in quoddam domicilium intrauerit. Sol in cubile alicuius incumbens & minans, morbum magnum & inflammationes prædicit. Si verò quid dicat boni aut demonstret, opulentiæ signum est. Multis verò etiam filiorum generationem prædixit. Sol disparens omnibus malus, exceptis his qui latere volunt, & qui arcana operantur. Vt plurimùm verò oculorum cæcitatem futuram, aut liberorum interitum prædicit. Sol non qualis est, sed qualis ab hominibus esse putatur, & recepto more colitur, in humana specie si videatur, habitum habens aurigæ, athletis bonus est, & his qui peregrinari cupiunt, & aurigis: verum ægrotantibus periculosus & perniciosus existit. Semper autem melius est solis splendorem in domũ intrantem, quàm ipsum solẽ videre. Splẽdor enim propterea quòd lucidiorem domum facit, acquisitionem bonorum portendit. Sol verò nõ sustinere posse eos qui in domo sunt malorũ vim significat.

πολλοὺς γὰρ σκότους τὸ φῶς ὄψεται, καὶ τὸν ἀπόδημον ἐπανάγει, καὶ εἰ ἀπεγνωσμένος ἂν εἴη. ἀγαθὸν δὲ καὶ τῷ εἰς δύσιν προαιρουμένῳ ἀπιέναι. τὴν γὰρ ἐκεῖθεν ἀνακομιδὴν προαγορεύει αὐτῷ. καὶ τῷ ἀπὸ δύσεως προσδεχομένῳ τινά. ἤδη γὰρ αὐτὸν κεκινῆσθαι πρὸς τὴν ἐπάνοδον σημαίνει. τοῖς δὲ λοιποῖς, πρὸς πᾶν ἐγχείρημα καὶ πᾶσαν ἐλπίδα ἐναντίος καθέσταται. καὶ τὰ κατὰ προαίρεσιν, οὐκ ἐᾷ τελεσθῆναι. τούτου γὰρ ὡς εἰκὸς τὴν ἐναντίαν φύσει κινουμένου κίνησιν, νοσεῖν καὶ τὸ ὅλον καὶ τὰ ἐπὶ μέρους· πάντως δὲ καὶ ὁ ἰδὼν τὸν ὄνειρον, μέρος ἐστὶ τοῦ ὅλου. πρὸς λόγον δὲ τῶν εἰρημένων καὶ τὸν ἀπὸ μεσημβρίας ἢ ἄρκτου ἀνατέλλοντα, ἢ εἰς μεσημβρίαν ἢ ἄρκτον δύοντα, κρίνειν χρή. ἥλιος ἀμαυρὸς ἢ ὕφαιμος ἢ μορμύρων, πᾶσι πονηρὸς καὶ ἄτοπος γίνεται. τοῦτο μὲν ἀπραξίας δηλῶν. τοῦτο δὲ καὶ τέκνοις τοῦ ἰδόντος νόσον ἢ τινὰ κίνδυνον. ἢ τοῖς ὄμμασιν αὐτοῦ νόσον προαγορεύει. τοῖς δὲ λανθάνειν τι πειρωμένοις καὶ τοῖς φοβουμένοις, ἐπιτήδειος τετήρηται. οἱ μὲν γὰρ λήσονται οἱ δέ, οὐδὲν πείσονται πονηρόν. ἧττον γὰρ ὁ ἀμαυρὸς ἐπικαίει. Ἥλιος εἰς γῆν κατιὼν, ἐμπρησμοῦ καὶ πυρκαϊᾶς ἐστὶ σημεῖον· τὸ δὲ αὐτὸ σημαίνει, κἂν ἐπί τι τῶν οἰκουμένων εἰσίῃ. Ἥλιος ἐπὶ κοίτην τινὸς κατακείμενος καὶ ἀπειλῶν, νόσον μεγάλην καὶ φλεγμονὰς προαγορεύει. λέγων δέ τι ἀγαθὸν καὶ δεικνὺς, εὐπορίας ἐστὶ σημεῖον. πολλοῖς δὲ καὶ υἱῶν γένεσιν προηγόρευσεν. Ἥλιος ἀφανιζόμενος, πᾶσι πονηρός. πλὴν τῶν λανθάνειν πειρωμένων, καὶ τὰ ἀπόρρητα ἐργαζομένων. ὡς δὲ ἐπὶ τὸ πλεῖστον, ὀφθαλμῶν πήρωσιν ἔσεσθαι ἢ τέκνων ὄλεθρον προαγορεύει. ἥλιος οὐχ οἷος ἐστὶν ἀλλ' οἷος νενόμισται ἐν ἀνθρώπου ἰδέᾳ βλεπόμενος, σκευὴν ἔχων ἡνιόχου, ἀθληταῖς ἀγαθὸν καὶ τοῖς ἀποδημεῖν ἐπιθυμοῦσι καὶ ἁρματηλάταις. νοσοῦσι δὲ, ἐπικίνδυνος καὶ ὀλέθριος καθίσταται. ἀεὶ δὲ ἄμεινον ἡλίου αὐγὴν εἰς οἰκίαν εἰσιοῦσαν, ἤπερ αὐτὸν τὸν ἥλιον ἰδεῖν. ἡ μὲν γὰρ διὰ τὸ φωτεινότερον ποιεῖν τὸν οἶκον, ἐπίκτησιν σημαίνει. ὁ δὲ, οὐκ ἂν ὑπομεῖναι τοὺς ἔνδον τὰ δεινὰ σημαίνει.

οὐδὲ γὰρ ἀντιβλέψαι αὐτῷ ἐστίν. οὔτε διδούς τι ὁ ἥλιος οὔτε ἀφαιρούμενος ἀγαθὸς ἂν εἴη. διδοὺς μὲν γὰρ κινδύνους σημαίνει· ἀφαιρούμενος δὲ, ὄλεθρον. ἀεὶ δὲ ἄμεινον ἄγαλμα ἰδεῖν τοῦ θεοῦ τούτου ἐν ναῷ ἱδρυμένον ἑστὼς ἐπὶ βάσεως, ἢ αὐτὸν τὸν θεὸν ὁποῖος νενόμισται. καὶ γὰρ τὰ ἀγαθὰ τελειότερα προαγορεύει τὸ τοιοῦτον ὄναρ, καὶ τὰ κακὰ ἥττονα. οἷος δὲ ἐστὶ καὶ οἷος βλέπεται ἐν οὐρανῷ φαινόμενος, καὶ οὕτως ἀγαθὸν ἂν εἴη.

Nemo enim contra ipsum tueri potest. Sed neque dans aliquid, neque auferens sol, bonus existit. Dans etenim pericula denuntiat, auferens verò perniciem. Præstat porrò semper statuam huius dei in templo locatam videre, basiq; innixam, quàm ipsum deum qualis esse creditur. Nam & bona perfectiora hoc somnium prædicit, & mala minora. Qualis autem est, & qualis in cœlo apparens cernitur, talis sanè si per somnium videatur, bonus itidem fuerit.

Περὶ σελήνης. λζʹ.

Σελήνη γυναῖκα σημαίνει τοῦ ἰδόντος καὶ μητέρα, τροφὸς γὰρ εἶναι νενόμισται, καὶ θυγατέρα καὶ ἀδελφήν. κόρη γὰρ καλεῖται, καὶ χρήματα καὶ εὐπορίαν, καὶ πραγματείαν ψηφίζεται, καὶ πλοῦν, πρὸς γὰρ τὴν ταύτης κίνησιν καὶ οἱ κυβερνῆται ναυτίλλονται, καὶ ἀποδημίαν, ὅτι ἐστὶν ἀεικίνητος, καὶ τὰ τοῦ ἰδόντος ὄμματα, ὅτι τοῦ ὁρᾷν καὶ αὐτὴ ἐστὶν αἰτία καὶ δέσποινα. κοινὸν γὰρ πάντες οἱ θεοὶ λόγον ἔχουσι πρὸς δεσπότας. οἱ μὲν γὰρ ἄρσενες, πρὸς ἄρσενας, αἱ δὲ θήλειαι, πρὸς θηλείας. ὀρθῶς γὰρ καὶ τοῦτο τὸ παλαιὸν ἔχει τὸ κρατοῦν, δύναμιν ἔχει θεοῦ. καὶ ἐὰν μὲν ἐπὶ τὸ κρεῖττον καὶ ἥδιον τρέπηται ἡ σελήνη, τὴν ἀπὸ τούτων ἢ διὰ ταῦτα ὠφέλειαν σημαίνει. ἐὰν δὲ ἐπὶ τὸ χεῖρον, τὴν ἀπὸ τούτου ἢ διὰ ταῦτα βλάβην. ὁμοίως καὶ αἱ πλείονες γινόμεναι σελῆναι, καὶ ἡ οὖσα ὅταν ἀποκύηται. τὸ δὲ δοκεῖν ἐν τῇ σελήνῃ τὴν ἑαυτοῦ εἰκόνα βλέπειν, ἀπαιδὶ μὲν, υἱοῦ γένεσιν δηλοῖ. γυναικὶ δὲ ἰδούσῃ, θυγατέρα. ὄψεται γὰρ ἕκαστος ὁμοίαν ἑαυτοῦ εἰκόνα. τουτέστι, τέκνον. ἀγαθὸν δὲ καὶ τραπεζίταις, καὶ δανεισταῖς, καὶ ἐρανάρχαις. πολλὰ γὰρ πορίσουσιν. ἀγαθὸν δὲ καὶ τοῖς φαίνεσθαι βουλομένοις. τοὺς δὲ ἀποκρυπτομένους ἐλέγχει. νοσοῦντας δὲ καὶ τοὺς πλοϊζομένους ἀναιρεῖ, τοὺς μὲν ὑδρωπιάσαντας· ἐπεὶ φύσει ἐστὶν ὑγρά· τοὺς δὲ, ναυαγίῳ περιπίπτοντας. ὅσα δὲ ἂν ὁ ἥλιος ἀγαθὰ σημαίνῃ, ταῦτα καὶ ἡ σελήνη. ὁμοίως καὶ ὅσα ἂν

De Luna. CAP. 38.

LVna vxorem significat somniantis, itemque matrem, nutrix enim esse putatur, & filiam & sororem, Core enim, id est puella appellatur, & pecunias & diuitias & negociationē decernit, itemq; nauigationem, ad huius enim motum gubernatores nauigant, & peregrinationem, quia in perpetuo motu versatur, & somniantis oculos, quoniam videndi etiam ipsa causa est & domina. Communem porrò omnes dei rationem habent ad dominos. Mares quidem ad mares, fœminæ verò ad fœminas. Rectè enim vetus prouerbium ait: Quicquid dominatur vim habet dei. Quare siquidem in melius & iucundius mutetur luna, vtilitatem ab his aut per hos qui dominantur significant. Si verò in peius, detrimentum ex iisdem aut per eosdem. Similiter etiam quum plures fiunt lunæ, & quum ea quæ est euanescit. At verò si quis putet se imaginem suam in luna videre, ei quidem qui liberos non habet, filij natiuitatem præsagit, mulieri verò somnianti filiæ. Cernit enim vnusquisque similem suiipsius imaginem, hoc est filium vel filiam. Bonum est hoc somnium & nummularijs, & fœneratoribus, & symbolo conuiuali colligendo præfectis, multum enim quæstum facient. Bonum est & his qui videri volunt, verum occultatos reuelat. Aegrotantes autem & nauigantes occidit, illos quidem morbo inter cutem aquæ subijciens, quoniam natura humida existit. Hos verò in naufragium delapsos. Quæcunque bona sol significat, eadem prædicit etiam luna. Similiter & quæcunque mala,

mala, ſemper tamen minora. Nam & hæc minus calida eſt ſol. Significatque ſemper euentus non ſine fœmina perſona perfectum iri.

De Stellis.

CAP. 38.

STellæ ſimul omnes ſplendidæ ac puræ conſpectæ, & ad peregrinationem, & ad alias actiones, & ad arcana, bonæ ſunt. Neque enim eandem cum ſole aut luna rationem habent. Nam & abſque his conſpicuæ exiſtunt & illuſtres. Cũ his verò aut penitus latentes, aut obſcuriores apparent. Vnaquæque autem ſtella priuatim aut à colore, aut magnitudine, aut motu, aut figura motus iudicetur. Si ſanè quis errorem vitare velit, quæ res vel maximè in aſtrorum ſpeculationis tractatione manifeſta fieri poteſt. At verò aſtra ſiue ſydera ſingula iuxta ſuas vires etiam euentus faciunt velut, quæ hyemis ſunt cauſa, anxietates & pericula, & turbationes ſignificant. Quæ verò ſerenitatis, felicitatem & proſperitatem, & opulentiam. Quæ deinde conſtitutionis ſolſtitij cauſa ſunt, æſtiua mutationem in melius ſignificant, hyberna in peius. Quin & aliqua ex ipſis etiam fabulis quæ de ipſis feruntur, ſimiles euentus inducunt, de quibus ſingulatim dicere longum ſanè foret, præſertim quum tota ratio ipſorum omnibus nota ſit, qui ſaltem non penitus eruditionis omnis ſunt expertes. Stellæ deficientes è cœlo, diuitibus quidem multam paupertatem & ſolitudinem ſignificãt. Simile eſt enim cœlum domui ſomniantis, ſtellæ verò poſſeſſionibus opibúſque ac hominibus in domo. Pauperibus verò interitum præſagit. Solis autem his bonum fuerit huiuſmodi ſomnium, qui magnum aliquod malum perpetrare propoſuerunt: perficient enim vtcumque ardua tentauerint. Audiui porrò quodam mihi narrante, quòd quidam putarat ſtellas è cœlo omnes defeciſſe, & caluus factus eſt. Quam enim rationem habet cœlum

κακά, ἀεὶ δὲ ἥττονα. καὶ γὰρ αὕτη, ἧττον ἐστὶ τοῦ ἡλίου θερμή. σημαίνει δὲ ἀεὶ τὰ ἀποτελέσματα, μὴ ἄνευ θηλυκοῦ προσώπου τελεσθῆναι.

Περὶ ἀστέρων. λη.

Ἀστέρες ὁμοῦ μὲν πάντες λαμπροὶ καὶ καθαροὶ ὁρώμενοι, καὶ πρὸς ἀποδημίαν εἰσὶν ἀγαθοί, καὶ πρὸς ἄλλας πράξεις καὶ πρὸς τὰ ἀπόρρητα. οὐ γὰρ τὸν αὐτὸν ἔχουσι λόγον τῷ ἡλίῳ, ἢ τῇ σελήνῃ· καὶ γὰρ ἄνευ τούτων ἐκφανεῖς εἰσί. μετὰ δὲ τούτων, ἤτοι τέλεον ἀφανεῖς, ἢ καὶ ἀμαυρότεροι φαίνονται. ἰδίᾳ δὲ ἕκαστος ἢ ἀπὸ τοῦ χρώματος ἢ ἀπὸ τοῦ μεγέθους ἢ ἀπὸ τῆς κινήσεως ἢ ἀπὸ τοῦ σχήματος τοῦ κατὰ τὴν κίνησιν κρινέσθω, εἴ γε μή τις διαμαρτάνειν θέλοι. μάλιστα δὲ ἂν ἐπὶ τοῦ ἐν ἀστεροσκοπίᾳ λόγου τὸ τοιοῦτον σαφέστερον γένοιτο. τῶν δὲ ἀστέρων ἕκαστον κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ τὰ ἀποτελέσματα ποιεῖ. οἷον τὰ χειμῶνος αἴτια, δυσθυμίας καὶ κινδύνους καὶ ταραχὰς σημαίνουσι. τὰ δὲ εὐδίας αἴτια, εὐπραξίας καὶ εὐημερίας καὶ πλουτισμὸν σημαίνουσι. τὰ δὲ τροπῆς τοῦ καταστήματος αἴτια, τὴν ἐπὶ τὰ βελτίονα τὰ θερινὰ μεταβολὴν σημαίνει. τὰ δὲ χειμερινά, τὴν ἐπὶ τὰ χείρονα. ἤδη δὲ αὐτῶν ἔνια καὶ τοῖς μύθοις τοῖς περὶ αὐτὰ τὰς ἀποβάσεις ὁμοίας ἐπιφέρουσι. περὶ ὧν ἑκάστου λέγειν, μακρὸν ἂν εἴη καὶ ταῦτα τοῦ περὶ αὐτὰ λόγου πρὸς πάντων ἐγνωσμένου τῶν γε μὴ ἀπαιδεύτων. Ἀστέρες ἐκλείποντες τοῦ οὐρανοῦ, πλουσίοις μὲν, πενίαν πολλὴν καὶ ἐρημίαν σημαίνουσιν. ἔοικε γὰρ ὁ μὲν οὐρανὸς, τῇ οἰκίᾳ τοῦ ἰδόντος· οἱ δὲ ἀστέρες, τοῖς κατὰ τὴν οἰκίαν κτήμασί τε καὶ ἀνθρώποις. πένησι δὲ, ὄλεθρον μαντεύεται. μόνοις δὲ ἂν εἴη τὸ τοιοῦτον ὄναρ ἀγαθὸν, τοῖς μέγα τι βουλομένοις κακὸν ποιεῖν, ἀνύσουσι γὰρ καὶ εἰ μεγάλοις ἐπιχειροῦσιν. Ἤκουσα δέ τινος λέγοντος, ὡς ἄρα ἐδόκει τὶς τοὺς ἀστέρας τοῦ οὐρανοῦ ἐκλελοιπέναι, καὶ φαλακρὸς ἐγένετο. ὃν γὰρ ἔχει λόγον ὁ οὐρανὸς

πρὸς τὸν ὅλον κόσμον, τὸν αὐτὸν καὶ ἡ κεφαλὴ πρὸς τὸ σῶμα. καὶ πάλιν ὃν ἔχουσι λόγον οἱ ἀστέρες πρὸς τὸν οὐρανόν, τὸν αὐτὸν καὶ αἱ τρίχες πρὸς τὴν κεφαλήν. οὔτε δὲ καταπίπτοντες ἐπὶ γῆν οἱ ἀστέρες εἰσὶν ἀγαθοί, οὔτε ἀφανιζόμενοι. πολλῶν γὰρ ὄλεθρον μαντεύονται. καὶ ἀξιολόγων μὲν ἀνθρώπων, οἱ μεγάλοι. λιτῶν δὲ καὶ ἀσήμων, οἱ λεπτοὶ καὶ ἀμαυροί. οὐδὲ τὸ δοκεῖν κλέπτειν ἀστέρας ἀγαθόν. ὡς γὰρ ἐπιπλεῖστον ἱερόσυλοι ἐπὶ τούτῳ τῷ ὀνείρῳ οἱ ἰδόντες ἐγένοντο. οὐ μὴν ἔλαθόν γε ἀλλὰ ἑάλωσαν. ἔπραξαν μὲν γὰρ διὰ τὸ καὶ τῶν ἀστέρων κεκρατηκέναι. ἑάλωσαν δέ, διὰ τὸ τοῖς ὑπὲρ ἄνθρωπον ἐπιχειρεῖν. ἀλλὰ μὴν οὐδὲ ἐσθίειν δοκεῖν ἀστέρας ἀγαθὸν οὐδενί. πλὴν μάντεων καὶ τῶν τὰ οὐράνια διασκεπτομένων. τούτοις γὰρ ἐργασίαν σημαίνουσι καὶ πολλὴν προσκτῆσιν. τοῖς δὲ λοιποῖς, ὄλεθρον μαντεύεται. πονηρὸν δὲ καὶ τὸ ὑπὸ στέγην ἰδεῖν ἀστέρας. ἢ γὰρ τὴν οἰκίαν ἔρημον γενομένην ἀποστεγασθῆναι καὶ καυθῆναι σημαίνουσιν, ἵνα καὶ ἔνδοθεν οἱ ἀστέρες φαίνωνται, ἢ τὸν ἄρχοντα τῆς οἰκίας ἀποθανεῖν. παρήλιοι δὲ καὶ δοκίδες, καὶ σέλας, καὶ οἱ λεγόμενοι κομῆται ἀστέρες, καὶ οἱ πωγωνίαι, τὰ αὐτὰ σημαίνουσιν, οἷα καὶ οἱ ὑπὲρ ἀέρα ὀφθέντες εἰώθασι ποιεῖν.

Περὶ ἴριδος. λθ.

Ἶρις δὲ δεξιὰ μὲν ὁρωμένη, ἀγαθή. εὐώνυμος δέ, πονηρά. δεξιὰν δὲ καὶ εὐώνυμον, οὐ πρὸς τὸν οὐρανὸν χρὴ νοεῖν ἀλλὰ πρὸς τὸν ἥλιον. ὅπως δ' ἂν φαίνηται, ἀεὶ τοῖς ἐν πενίᾳ πολλῇ, ἢ ἄλλῃ τινὶ περιστάσει οὖσιν, ἀγαθὴ νομιζέσθω, καὶ γὰρ αὕτη τρέπει ἀεὶ τὸ κατάστημα, καὶ τὸ περιέχον ἀλλοιοῖ, πᾶσι δὲ τοῖς ἐν περιστάσει οὖσιν, ἀγαθαὶ τῶν καθεστώτων μεταβολαί.

Περὶ νεφῶν. μ.

Νέφη δὲ τὰ μὲν λευκά, εὐπραξίας ἐστὶ σημαντικά, ἀπὸ γῆς εἰς οὐρανὸν ἀναφε-

ad totum mundum, eandem habet etiam caput ad corpus. & rursus, quam rationem habent stellæ ad cœlum, eandem etiam capilli ad caput. Cæterum neque delabentes in terram stellæ, neque disparentes bonæ sunt. Multorum enim perniciem præsagiunt. Magnæ quidem, hominum magnæ æstimationis, vulgarium verò & ignobilium paruæ & obscuræ. Sed neque furari stellas sibi videri bonũ est. Vt plurimùm enim sacrilegi hoc somnium somniantes euaserunt, non tamen elapsi, sed deprehensi pœnas pependerunt. & perpetrauerunt quidem facinus, propterea quòd stellis potentiores essent. deprehensi verò sunt, ob id quòd plus quàm humanarum virium est, tentassent. Insuper verò neque comedere stellas bonum cuipiam est, exceptis vatibus, & qui cœlestium speculationi sunt intenti, his enim quæstum significat & multam rerum acquisitionem: reliquis interitum præsagit. Malum est item sub tecto stellas videre. Aut enim domum desertam redditam, detectum & exustum iri significant, quo etiam intus stellæ appareat, aut dominum domus moriturum esse. At verò prælij, & trabes, & iubar, & stellæ quæ cometæ siue crinitæ appellantur, item stellæ barbatæ siue pogonię, eadem significant, quæ facere solent, vbi in aëre apparentes sunt conspectæ.

De Iride. CAP. 39.

IRis dextra quidem conspecta bona est. Sinistra verò mala. Dexteram autem & sinistram, non ad cœlum intelligere oportet, sed ad solem. Quomodocunque autem apparuerit, semper his qui in multa paupertate, aut alio aliquo infortunio constituti sunt, bona iudicetur. Hæc enim aëris constitutionem & statum semper mutat, & ambientem alterat, omnibus autem in infortunio constitutis, & aliqua calamitate pressis, bonæ sunt præsentis status mutationes.

De Nebulis. CAP. 40.

NEbulæ albæ felicitatis significatiuæ sunt, & à terra in cœlũ sursum vec-

gentes vt plurimum peregrinationem significant, & eos qui apud exteros viuũt reducunt, & occulta reuelant. fuluæ autem improsperum rerum successum significant. Caliginosæ, anxietates. Nigræ, tempestatem aut tristitiam.

De Ventis. CAP. 41.

VEnti leniter & placidè spirantes boni sunt. impetuosi verò & violenti, homines iniucundos & perfidos significant. Turbines autem & venti vehementes pericula & magnas turbationes inducunt. Sed hoc considerare oportet, Quòd venti nubilum aërem facientes omnibus quidem aliis qui in propatulo agunt, mali sunt. Solis verò his qui occultantur boni. Qui serenitatis causa sunt, contraria significant. Porrò his qui ex peregrinatione reduces expectant, semper hi venti boni sunt, qui ex his regionibus vbi illi peregre degunt, spirant. Contrarij verò eosdem apud exteros detinent. Atq; hæc quidem de cœlestibus, verum de terrestribus diis hoc modo iudicare conuenit.

De Diis terrestribus. CAP. 42.

SEnsibiles quidem dei timorum & periculorum & calamitatum significationem habent. Nam interdiu impetentes eiusmodi malorum causa fiunt. Significant item diuersimodè, & nihil simile inter se vnusquisque apparens. Velut verbi gratia, Hecaten videre trina facie præditam super basi stantem, motus & peregrinationes significat. ἐνοδία enim dea appellatur, propterea quòd in viis statua eius poni soleret. Eandem verò vnam faciem habentem videre, omnibus malum est. Vt plurimum ab externa regione aut ab externo homine mala futura prædicit. Semper autem præsentium rerum statu emouet somniantem, & in iisdem manere non sinit qualicunque tandem specie appareat. Si verò moueatur ipsa dea, & ob viam veniat, iuxta habitum, & aspectum, & ea quæ ab ipsa tenentur, euentus significat. Sed de his dicere, neque pium

ρόμενα, ὡς ἐπὶ τὸ πολὺ καὶ ἀποδημίαν σημαίνει, καὶ τοὺς ἀποδημήσαντας ἄγει, καὶ τὰ κρυπτὰ ἐλέγχει. τὰ δὲ πυῤῥὰ, ἀπραξίας ἐστὶ σημαντικά, καὶ τὰ ζοφώδη, δυσθυμίας· καὶ τὰ μέλανα, χειμῶνος ἢ λύπης.

Περὶ ἀνέμων. μα'.

ἌΝεμοι δὲ πρᾴως καὶ ἠρέμα πνέοντες, ἀγαθοί. λάβροι δὲ καὶ βίαιοι, σημαίνουσιν ἀνθρώποις ἀηδεῖς καὶ ἀγνώμονας. λαίλαπες δὲ καὶ οἱ σφοδροὶ ἄνεμοι, κινδύνους καὶ μεγάλας ἐπιφέρουσι ταραχάς. χρὴ δὲ καὶ τοῦτο σκοπεῖν. ὅτι οἱ μὲν συννεφῆ ποιοῦντες τὸν ἀέρα, πᾶσι μὲν τοῖς ἄλλοις εἰσὶ πονηροί, τοῖς περιαναφερομένοις· μόνοις δὲ τοῖς ἀποκρυπτομένοις ἀγαθοί. οἱ δὲ αἰθρίας αἴτιοι, τὰ ἐναντία σημαίνουσιν. ἀεὶ δὲ τοῖς ἀποδήμοις προσδοκῶσιν, οἱ ἀπὸ τῶν κλιμάτων ἐκείνων οὗ εἰσὶν οἱ ἀπόδημοι πνέοντες, εἰσὶν ἀγαθοί. οἱ δὲ ἐναντίοι, κατέχουσι τοὺς ἀποδήμους. Ταῦτα μὲν περὶ τῶν οὐρανίων, περὶ δὲ τῶν ἐπιγείων θεῶν, ὧδε κρίνειν προσήκει.

Περὶ τῶν ἐπιγείων θεῶν. μβ'.

ΟἹ μὲν αἰσθητοὶ θεοὶ, φόβων καὶ κινδύνων καὶ περιστάσεων εἰσὶ σημαντικοί. καὶ γὰρ μεθ' ἡμέραν ἐπιφερόμενοι τῶν τοιούτων αἴτιοι καθίστανται. σημαίνει δὲ καὶ διαφορὰν καὶ οὐδὲν ὅμοιον ἀλλήλοις ἕκαστος φαινόμενος, οἷον Ἑκάτην ἰδεῖν τριπρόσωπον ἑστῶσαν ἐπὶ βάσεως, κινήσεις καὶ ἀποδημίας σημαίνει. ἐνοδία γὰρ ἡ θεὸς καλεῖται. μονοπρόσωπον δὲ ἰδεῖν, πονηρὸν πᾶσιν. ὡς δὲ ἐπὶ τὸ πλεῖστον, ἀπὸ ξένης τὰ δεινὰ ἢ ἀπὸ ξένου ἐσόμενα προαγορεύει. ἀεὶ δὲ τῶν καθεστώτων κινεῖ πραγμάτων τὸν ἰδόντα, καὶ οὐκ ἐᾷ μένειν ἐν τοῖς αὐτοῖς, οἵα ἂν φαίνηται καὶ ὁποία. κινουμένη δὲ ἡ θεὸς καὶ συναντῶσα κατὰ σχῆμα καὶ τὰς ὄψεις καὶ τὰ ὑπ' αὐτῆς κρατούμενα, σημαίνει τὰ ἀποτελέσματα. περὶ ὧν λέγειν οὔτε ὅσιον,

οὔτε ἀσφαλές. ἄδηλος δὲ ὁ λόγος τοῖς μεμυημένοις τῇ θεῷ. οἱ δὲ ἀμύητοι, παρὰ τῶν μεμυημένων μανθανέτωσαν.

Περὶ Πανός.

1 ΠΑΝ νομεῦσιν ἀγαθὸς, διὰ τὸ νόμιον, καὶ κυνηγοῖς, διὰ τὸ ἄγριον. τοῖς δὲ λοιποῖς, ἀκαταστασίας καὶ θορύβους σημαίνει, καὶ ἐφ' οἷς τις μέγα φρονεῖ, τὰ αὐτὰ αὐτῷ μὴ βέβαια εἶναι. οὐ γὰρ ἀσφαλῶς ὑποκειμένας ἔχει τὰς βάσεις τῶν ποδῶν ὁ θεός. λέγουσι δὲ ἔνιοι, ὡς τοῖς περὶ τὸν Διόνυσον τεχνίταις ἐστὶν ἀγαθός.

Περὶ Ἐφιάλτου.

2 Ὁ δὲ ἐφιάλτης, ὁ αὐτὸς εἶναι τῷ Πανὶ νενόμισται. διάφορα δὲ σημαίνει, θλίβων γὰρ βαρέως καὶ οὐδὲν ἀποκρινόμενος, θλίψεις καὶ στενοχωρίας σημαίνει. ὅ, τι δ' ἂν ἀποκρίνηται ἐρωτώμενος, τοῦτο ἐστὶν ἀληθές. ἐὰν δέ τι καὶ διδῷ, καὶ συνουσιάζῃ, μεγάλας ὠφελείας προαγορεύει. μάλιστα δὲ ὅταν μὴ βαρῇ. ὅ, τι δ' ἂν προσιὼν πράξῃ, τοὺς νοσοῦντας ἀνίστησιν. οὐ γὰρ ἀποθνῃσκομένῳ πρόσεισι ποτὲ ἀνθρώπῳ.

Περὶ Ἀσκληπιοῦ.

3 Ἀσκληπιὸς ἱδρυμένος μὲν ἐν ναῷ καὶ ἑστὼς ἐπὶ βάσεως καὶ ὁρώμενος καὶ προσκυνούμενος, ἀγαθὸς ἐν πᾶσι, καὶ περὶ πάντων ἐγχειρημάτων βραχείας μόνον εἴωθε νόσους ποιεῖν. κινούμενος δὲ, ἢ προσιὼν, ἢ εἰς οἰκίας εἰσιὼν, νόσον καὶ λοιμὸν μαντεύεται. τότε γὰρ μάλιστα τοῖς ἀνθρώποις δεῖ τοῦ θεοῦ τούτου. τοῖς δὲ ἤδη νοσοῦσι σωτηρίαν προαγορεύει, παιήων γὰρ ὁ θεὸς λέγεται. ἀεὶ δὲ ὁ Ἀσκληπιὸς τοὺς ἐν ταῖς χρείαις λαμβανομένους καὶ τοὺς οἰκονομοῦντας, τὸν οἶκον τοῦ ἰδόντος δηλοῖ. ἐν δὲ ταῖς δίκαις συνηγόρους σημαίνει.

neque tutum est. Quorum sanè omnium ratio manifesta est his qui eius deæ sacris initiati sunt. Qui verò non initiati sunt, ab initiatis discant.

De Pane.

PAn pastoribus bonus est, propter pasturam, & venatoribus, propter feritatem. Reliquis seditiones & tumultus significat, & ea propter quæ quis maximè sibi placet non firma esse. Non enim securè suffultos pedum gressus Deus ipse habet. Dicunt aliqui quòd Dionysiacis artificibus commodum sit numen.

De Ephialte.

EPhialtes idem esse qui Pan creditur, & Latinis incubus appellatur. Diuersa autem significat, grauiter enim premens & nihil respondens, tribulationes & angustias significat. Quicquid autem responderit interrogatus, hoc verum est. Si verò etiam quid dederit, & coiuerit, magnas vtilitates prædicit, maximè si non grauauerit. Quicquid verò accedens fecerit, ægrotos erigit. Nunquam enim ad mortuos homines accedunt Panes.

De Aesculapio.

AEsculapius locatus in templo, & super basi stans conspectus & adoratus, omnibus, & in omnibus aggressionibus bonus est, breues solummodo morbos inducere solitus. Si verò moueatur, aut accedat, aut in domum ingrediatur, morbum & pestem præsagit. Tunc enim maximè hominibus opus est hoc Deo. His autem qui iam ægrotant salutem prædicit, pæon enim Deus appellatur. Semper porrò eos qui domesticis vsibus ac necessitatibus inseruiunt, & domus villicos, Æsculapius indicat. Verum in litibus aduocatos & patronos significat.

De Dioscuris.

DIoscuri nauigantibus hyemem portendunt, his verò qui super terram sunt seditionem, aut lites, aut bellum, aut magnum morbum. Ad finem verò omnibus malis indemnes liberant, & eos qui iam in aliqua clade sunt citò eripiunt. Seruatores enim dij sunt, verùm eorum qui prius in aliquo timore discriminéque ac periculo fuerunt.

De Hercule.

HErculem videre aut statuam ipsius, omnibus bonum propositum habentibus, & iuxta legem viuentibus, bonum est, & maximè si ab aliquibus iniuria afficiantur. Semper enim hic deus, etiam quum in humanis esset, auxilium tulit iniuria oppressis, eorúmque vindex ac assertor fuit. Verùm his qui præter leges faciunt, & qui iniustum quiddam perpetrant, malus est deus, ob eandem rationem. Bonus est autem prodeuntibus in certamen, aut ad litem, aut pugnam aliquam. Callinicus enim quasi præstans victor, deus appellatur. At verò videri sibi conuersari cum deo, & aliquid communiter facere, aut eodem cibo cõmunicare, aut habitum eundem habere, aut à deo leoninam, aut clauam aut aliud quoddam armorum genus accipere, omnibus absurdum & malum esse obseruatum est, & sanè per longam experientiam huiusmodi cognoui, quanquam hæc nullo cuiusquam bono euenire, & veritati consentaneum est. Qua enim deus vsus est vita, eam somnianti impartitur. Dura autem & ærumnosa erat dei vita, quum in humanis ageret, etiamsi valde clarus & illustris esset. Sæpè verò & in eiusmodi monstra illapsurum esse significat, quibus ipse deus hæc arma habens congressus est.

De Dionyso.

DIonysus agricolis conducit, qui lignoium fructum plantant, & ma-

Περὶ Διοσκούρων.

ΔΙόσκουροι τοῖς πλωϊζομένοις χειμῶνος εἰσὶ σημαντικοί. τοῖς δὲ ἐν γῇ οὖσι, στάσεως, ἢ δικῶν, ἢ πολέμου, ἢ μεγάλης νόσου. πάντων δὲ τῶν δεινῶν εἰς τέλος ἀζημίως ἀπαλλάττουσι, καὶ τοὺς ἤδη ὄντας ἐν τινὶ τούτων ταχέως ἀπαλλάττουσι. σωτῆρες γὰρ εἰσὶν οἱ θεοί, ἀλλὰ τῶν πρότερον ἐπί τινι φόβῳ ἢ κινδύνῳ γινομένων.

Περὶ Ἡρακλέους.

ΗΡακλέα μὲν ἰδεῖν, ἢ ἄγαλμα αὐτοῦ, πᾶσι τοῖς εὐπροαιρέτοις καὶ κατὰ νόμον ζῶσιν, ἀγαθός, καὶ μάλιστα ἐὰν πρός τινων ἀδικῶνται. ἀεὶ γὰρ ὁ θεὸς καὶ ὅτε ἦν ἐν ἀνθρώποις ἐπήμυνε τοῖς ἀδικουμένοις καὶ ἐπιμόρφει. τοῖς δὲ παρανομοῦσι καὶ τοῖς ἄδικόν τι πράττουσι, πονηρὸς ὁ θεὸς διὰ τὸν αὐτὸν λόγον. ἀγαθὸς δὲ τοῖς ἐπὶ ἀγῶνα ἢ δίκην ἢ μάχην τινὰ πορευομένοις. καλλίνικος γὰρ ὁ θεὸς καλεῖται. τὸ δὲ δοκεῖν συνδιατρίβειν τῷ θεῷ, καὶ συμπράττειν τι, ἢ τροφῆς τῆς αὐτῆς κοινωνεῖν, ἢ σκευὴν τὴν αὐτὴν ἔχειν, ἢ παρὰ τοῦ θεοῦ τὴν λεοντῆν, ἢ τὸ ῥόπαλον, ἢ ἄλλο τι τῶν ὅπλων λαβεῖν, πᾶσιν ἄτοπον καὶ πονηρὸν τετήρηται, καὶ διὰ μακρᾶς πείρας τῶν τοιούτων ἦλθον. ὡς δὲ εἰκὸς εὐλόγως καὶ ὀρθῶς, ἀποβαίνει πρὸς οὐδὲν ἀγαθὸν τὰ τοιαῦτα. ᾧ γὰρ ὁ θεὸς ἐχρήσατο βίῳ, τοῦτον τῷ ἰδόντι καταδίδωσιν. ἐπίπονος δὲ καὶ μοχθηρὸς ἐγένετο ὁ τοῦ θεοῦ βίος, ὅτε ἦν ἐν ἀνθρώποις, καὶ εἰ πάνυ λαμπρὸς ἦν καὶ ἔνδοξος. πολλάκις δὲ καὶ τοιούτοις περιπεσεῖν σημαίνει, οἷς καὶ ὁ θεὸς ταῦτα ἔχων ὅπλα περιέπεσεν.

Περὶ Διονύσου.

ΔΙόνυσος τοῖς γεωργοῖς συμφέρει τοῖς τὸν ξυλικὸν καρπὸν γεωργοῦσι καὶ μά-

λιστα ἀμπέλοις. καὶ καπήλοις δὲ καὶ πᾶσι τοῖς περὶ τὸν Διόνυσον τεχνίταις. ἀγαθὸν δὲ καὶ τοῖς ἐν περιστάσει τινὶ οὖσι. παῦλαν γὰρ καὶ ἀπαλλαγὴν τῶν δεινῶν σημαίνει, δι' αὐτὸ τὸ ὄνομα. ἔστι γὰρ διόνυσις· παρὰ τὸ διανύειν ἕκαστα. τοῖς δὲ τὸν ἁβρὸν βίον ζῶσι καὶ μάλιστα παισὶ ταραχὰς καὶ κινδύνους καὶ ἐπιβουλὰς καὶ περιβοήσεις σημαίνει. διὰ τὴν περὶ τὸν θεὸν ἱστορίαν, καὶ διὰ τὸν φυσικὸν λόγον Διονύσου. μεγίστου γὰρ αὐτοῖς κινδύνου αἴτιος τοῖς ἀνθρώποις καθίσταται ὁ θεός. οὐδὲν μὴν τοι ἧττον καὶ τούτους σώζει, καὶ οὐκ ἐᾷ διαφθαρῆναι. ὁδεύουσι δὲ καὶ πλέουσιν, ἄντικρυς γὰρ καὶ διαφόρηδην, λῃστηρίων προσβολὰς σημαίνει, καὶ τραύματα, καὶ κατακοπάς. ὁ δὲ χορὸς ὁ περὶ τὸν Διόνυσον, οἷον βάκχοι καὶ βάκχαι, καὶ βασσάραι, καὶ σάτυροι, καὶ πᾶνες, καὶ ὅσα ἄλλα ἐστὶν ὅμοια ὀνόματα, ἱερὰ τούτῳ τῷ θεῷ, καὶ ὁμοῦ πάντες καὶ ἰδίᾳ ἕκαστος, μεγάλας ταραχὰς καὶ κινδύνους καὶ περιβοησίας σημαίνουσι. πλὴν τοῦ Σιληνοῦ· οὗτος δὲ μόνος ἀγαθὸς ἂν εἴη πᾶσι, καὶ τοῖς ἐπὶ τὸ πράττειν ὁρμωμένοις, καὶ τοῖς φοβουμένοις. χορεύειν δὲ τῷ θεῷ, ἢ θυρσοφορεῖν, ἢ δενδροφορεῖν, ἢ ἄλλο τι τῶν κεχαρισμένων τῷ θεῷ πράττειν, πᾶσι πονηρόν, πλὴν δούλων. τοῖς μὲν γὰρ διὰ τὴν ἔκστασιν τῶν φρενῶν, καὶ τὴν παρακοπήν, ἀφροσύνην καὶ βλάβην προαγορεύει. οἷς δὲ διὰ τὸ ἀνεπίτρεπτον τῶν ἐντυγχανόντων, καὶ διὰ τὴν τοῦ θεοῦ προσηγορίαν καὶ εὐχαριστίαν, ἐλευθερίας ἐστὶ σημαντικόν.

ximè vites. Conducit & cauponibus, & omnibus Dionysiacis artificibus. Bonus est & his qui in infortunio aliquo versantur, quietem enim & liberationem à malis significat, propter ipsum adeò nomé. Est enim dionysus dictus ab eo quod expediat & perficiat omnia, hoc enim significatur per verbum διανύειν Græcis, vnde dionysi appellatio est formata. His verò qui delicatam vitam degunt, & præsertim pueris, turbas & pericula & insidia & diuulgationes significat, propter historiam quæ de deo narratur, & propter naturalem dionysi rationem. Maximi enim periculi hominibus autor ipse deus existit, & tamen nihilo minus etiam hos seruat, & corrompi non finit. Iter facientibus, & nauigantibus malus est deus. Nam palàm & ex propinquo prædonum incursus significat, & vulnera, & obtruncationes. At verò chorus qui Dionysum comitatur, velut sunt Bacchi & bacchæ, & Bassaræ, & satiri, & panes, & quæcunque alia sunt similia nomina huic deo sacra, tum simul omnes, tum vnusquisque seorsim, magnas turbas & pericula, & diuulgationes significant, excepto Sileno, qui solus omnibus bonus est, & his qui ad agendum aliquid prodeunt, & timētibus. Choream deo ducere, aut thyrsum aut arbusculam gestare, aut aliud quid gratum deo facere, omnibus malum est, exceptis seruis. Illis enim propter emotionem & perculsionem mentis, desipientiam & cladem prædicit. His verò quòd nihil rerum curæ suæ cōmissum habent, & propter dei appellationem, ac benignitatē, libertatis signū est.

Περὶ Ἑρμοῦ.

Ἑρμῆς ἀγαθὸς τοῖς περὶ λόγους ὁρμωμένοις καὶ ἀθληταῖς, καὶ παιδοτρίβαις, καὶ πᾶσι τοῖς ἐμπορικὸν βίον ἔχουσι, καὶ ζυγοστάταις, διὰ τὸ πάντας τοὺς τοιούτους ἐπίκουρον τὸν θεὸν νομίζειν, καὶ τοῖς ἀποδημεῖν βουλομένοις· πτηνὸν γὰρ ὑπειλήφαμεν εἶναι τὸν θεόν. τοῖς δὲ λοιποῖς ἀκαταστασίας καὶ θορύβους προαγορεύει. νοσοῦντας δὲ ἀναιρεῖ, διὰ τὸ ψυχοπομπὸς νενομίσθαι,

De Mercurio.

Mercurius bonus est his qui ad eloquentiam animum adiecerunt, & athletis, & pædotribis, & omnibus mercatoriam vitam degentibus, & libripendis, propterea quòd omnes huiusmodi homines deum hunc pro tutelari numine venerantur. bonus est & peregrinari volentibus. Alarum enim deum esse putamus. Reliquis seditiones & tumultus denūciat, ægrotātes autē occidit, propterea quòd animarum ductor esse creditur,

Mercurius quadrangularis, σφηνοπώγων ab incuneata barba appellatus, solis philologis conducit. Verum quadrangularis & imberbis, nihil his conducit. Etenim quòd amputatam barbam habet, omnium eorum qui circum somniantem sunt interitum præsagit.

De Nemesi.

NEmesis semper bona est viuentibus secundum legem, & moderatis hominibus, & philologis. At verò contra leges delinquentibus, & his qui aliquibus insidias struunt, & magnas res auspicantur, contraria existit, corúmque conatus impedit. Nam impedimento esse, & obstare his quæ inconsultè & præter animi nostri sententiam fiunt, Nemesim vocamus. Quidam produnt quòd dea hæc bona quidem in peius vertat, mala autem in melius.

De Venere.

VEnus pandemos, hoc est popularis appellata, circulatoribus & cauponibus, & libripendis, & thymelicis, & medicis, & scenicis omnibus, ac meretricibus bona est. Matronis autem pudefactionem, & detrimentum predicit, & eos qui vxorem ducere proposuerunt impedit, tanquam communi vxore futura. At verò Vrania, de qua in superiore sermone dicere volens reliqui, vt ne sermo dinelleretur, contraria Veneri pandemo significat. Maximè verò bona est ad nuptias & sodalitates contrahendas, & ad producendos liberos. Nam coniunctionum ac sobolis est causa. Bona est & agricolis. Natura enim & mater vniuersorum esse creditur. Bona est & vatibus, omnis enim vaticinationis & prænotionis, inuentrix esse putatur. Cæterùm Venus marina naucleris & gubernatoribus & omnibus nauigantibus, bona obseruata est, itémque omnibus peregrinari volẽtibus, propter perpetuum maris motum. Eos verò qui in eodem loco semper permanere proposuerunt, etiam inuitos ad motũ cogit. Venerem Anadyomenẽ,

Ἑρμῆς τετράγωνος ὁ σφηνοπώγων φιλολόγοις μόνοις συμφέρει. ὁ δὲ τετράγωνος καὶ ἀγένειος, οὐδὲν τούτοις συμφέρει. τὸ γὰρ περικεκομμένον αὐτοῦ, τῶν περὶ τὸν ἰδόντα πάντων ὄλεθρον μαντεύεται.

Περὶ Νεμέσεως.

ΝΕμεσις ἀεὶ τοῖς κατὰ νόμον ζῶσιν, ἀγαθή, καὶ μετρίοις ἀνθρώποις καὶ φιλολόγοις. τοῖς δὲ παρανομοῦσι καὶ τοῖς ἐπιβουλεύουσί τισι καὶ τοῖς μεγάλων ἀρχομένοις πραγμάτων, ἐναντία καθίσταται, καὶ ἐμπόδιος τῶν ἐπιχειρουμένων. Νέμεσιν γὰρ καλοῦμεν, καὶ τὸ ἐμποδὼν ἵστασθαι, τοῖς πραττομένοις παρὰ γνώμην. λέγουσι δὲ τινὲς ὅτι ἡ θεὸς αὕτη, τὰ μὲν ἀγαθὰ ἐπὶ τὸ χεῖρον τρέπει· τὰ δὲ κακὰ, ἐπὶ τὸ βέλτιον.

Περὶ Ἀφροδίτης.

ΑΦροδίτη ἡ μὲν πάνδημος, ἀγύρταις καὶ καπήλοις καὶ ζυγοστάταις, καὶ θυμελικοῖς, καὶ ἰατροῖς, καὶ σκηνικοῖς πᾶσι καὶ ἑταίραις, ἀγαθή. γυναιξὶ δὲ οἰκοδεσποίναις, αἰσχύνην καὶ βλάβην προαγορεύει. καὶ τοὺς γῆμαι προαιρουμένους κωλύει· ὡς κοινῆς ἐσομένης τῆς γυναικός. Ἡ δὲ οὐρανία περὶ ἧς ἐν τῷ ἔμπροσθεν λόγῳ ἑκὼν παρέλιπον, ἵνα μὴ διασπᾶται ὁ λόγος, τὰ ἐναντία τῇ πανδήμῳ σημαίνει. μάλιστα δὲ ἀγαθὴ περὶ γάμους καὶ κοινωνίας, καὶ περὶ τέκνων γονάς. συνδέσμων γὰρ καὶ ἐπιγόνων ἐστὶν αἰτία. ἀγαθὴ δὲ καὶ γεωργοῖς. φύσις γὰρ εἶναι καὶ μήτηρ τῶν ὅλων νενόμισται. ἀγαθὴ δὲ καὶ μάντεσι. πάσης γὰρ μαντείας καὶ προγνώσεως εὑρετὴς εἶναι νενόμισται. Ἀφροδίτη ἡ πελαγία, ναυκλήροις καὶ κυβερνήταις καὶ πᾶσι τοῖς ναυτιλλομένοις, ἀγαθὴ τετήρηται, καὶ πᾶσι τοῖς βουλομένοις ἀποδημεῖν· διὰ τὸ τῆς θαλάσσης ἀεικίνητον. τοὺς δὲ ἐπὶ τοῖς αὐτοῖς ἀεὶ ἐμμένειν προῃρημένους, καὶ μὴ βουλομένους ἀναγκάζει κινεῖσθαι. Ἀφροδίτην ἰδεῖν ἀναδυομένην,

τοῖς πλέουσι πολὺν χειμῶνα καὶ ναυάγιον ἐσόμενον προαγορεύει, οὐδὲν δὲ ἧττον σώζει· καὶ τὰ ἀπηλπισμένα τῶν πραγμάτων, τελειοῖ. ἀεὶ δὲ ἀγαθὴ νενόμισται ἡ μέχρι ζώνης τὰ κάτω ἐσκεπασμένα ἔχουσα, διὰ τοὺς μαζούς, οἵ εἰσι τροφιμώτατοι, γυμνούς τε ἔχειν καὶ ἐπιδείκνυσθαι. ἡ δὲ ὅλη γυμνή, ἑταίραις καὶ μόναις ἀγαθή, καὶ ἐργασίας σημαντική. πρὸς δὲ τὰ λοιπὰ αἰσχύνην προαγορεύει ὡς ἐπὶ τὸ πλεῖστον.

emergentem è mari videre, nauigantibus multam tempestatem & naufragiũ futurum prædicit, sed nihilominus seruat, & res ac negocia iam desperata perficit. Semper autem bona iudicata est, quæ infernas partes vsque ad zonam velatas habet, propterea quòd mammas, quæ maximum alimentum præbent, nudas habeat ac ostendat. Venus tota nuda, solis meretricibus bona est, & quæstus significatiua, ad reliqua confusionem significat vt ferè à nobis obseruatum est.

10

Περὶ Ἡφαίστου.

Ἥφαιστος, τὰ μὲν αὐτὰ τῷ πυρὶ σημαίνει ὡς ἐπὶ τὸ πλεῖστον. μόνον δὲ τὰ κρυπτὰ ἐλέγχει, καὶ μάλιστα μοιχείας διὰ τὴν περὶ αὐτὸν ἱστορίαν. χειρώναξι δὲ ἐστὶν ἀγαθὸς πᾶσι, καὶ τοῖς γῆμαι καὶ κοινωνῆσαι βουλομένοις, διὰ τὴν σύμπνοιαν τῶν φυσῶν, καὶ τὰ ἑνούμενα σίδηρα.

De Vulcano.

Vlcanus eadem quæ ignis significat vt plurimùm, solùm autem arcana retegit, & præsertim adulteria, propter historiam quæ de ipso fertur. Manuariis artificibus omnibus bonus est, & his qui nuptias aut societatem contrahere volunt, atque id propter follium conspirationem, & ferri vnitionem.

11

Περὶ τύχης.

Τύχη δὲ ἡ μὲν ἐπὶ κυλίνδρου ἑστῶσα, πονηρὰ πᾶσι σημαίνει, διὰ τὸ τῆς βάσεως ἐπικίνδυνον. ἡ δὲ τὸ πηδάλιον κρατοῦσα, κινήσεις προαγορεύει. οὐδεμία γὰρ πηδαλίου χρεία ἄνευ κινήσεως. ἀεὶ δὲ ἀγαθή, ἡ καθεζομένη, ἢ κατακεκλιμένη· τὸ ἀσφαλὲς γὰρ καὶ τὸ βέβαιον διὰ τοῦ σχήματος ἐπιδείκνυσιν. ὅσῳ δ' ἂν πολυτελεστέρα καὶ εὐμορφοτέρα φαίνηται, τοσούτῳ βέλτιον νομίζεσθαι ἐστί. λέγουσι δὲ ἔνιοι, ὡς ἡ πολυτελὴς καὶ σφόδρα κεκοσμημένη τύχη, μάλιστά γε ὅταν μὴ ὡς ἄγαλμα, ἀλλ' ὡς αὐτὴ ἡ τύχη φαίνηται, πενίας ἐστὶ σημεῖον. ὡς γὰρ εἰκὸς ἑαυτῆς ἐπιμελουμένη, ἀμελεῖ τῶν ἀνθρώπων. ἡ δὲ λιτῶς ἔχουσα καὶ ἀμελοῦσα ἑαυτῆς, πλοῦτον καὶ τρυφὴν προαγορεύει. φανερὸν γὰρ ὡς οὐχ αὐτῆς ἀλλὰ τῶν ἀνθρώπων προνοεῖ. ἐμοὶ δὲ οὐκ εἰκότα λέγειν δοκοῦσιν. ἔστι γὰρ ἡ τύχη οὐδὲν ἄλλο, ἢ αὐτὰ τὰ κτήματα τῶν ἰδόντων.

De Fortuna.

Fortuna super cylindro stans, omnibus mala significat, propter basis ipsius periculositatem. Quæ verò gubernaculum tenet, motus prædicit. Nulla est enim gubernaculi vtilitas citra motum. Semper autem bona est sedens aut reclinata, securitatem enim & constantiam per ipsam figuram demonstrat. Quantò verò sumptuosior & formosior apparuerit, tantò melius esse putandum est. Quidam tamen tradunt, quòd fortuna sumptuosa & valde ornata, maximè vbi non vt statua, sed velut ipsa fortuna appareat, paupertatis signũ sit. Verisimile est enim quòd sui studiosa, hominum negligens existit. Quæ verò frugaliter vestita est, & sui negligens apparet, diuitias & delitias præsagit. Manifestum est enim quòd non suiipsius, sed hominum curam gerit. Verùm illi mihi non videntur verisimilia dicere. Est enim forruna nihil aliud quàm ipsæ somniantium opes.

De Pitho, & aliis.

PItho, & charites, & horæ, & nymphę, ad omnia & omnibus bonæ sunt. Aristobule verò & Eunomia, quæ deæ optimũ consilium, & bona lex nobis dici possunt, eadem quæ Nemesis significant.

De Vesta.

VEsta tum ipsa, tũ statuæ ipsius, ciuitatis senatum, & loculos siue reconditoria redituum significant. Priuatis autem ipsam vitam. Principibus verò & regibus, ipsam imperij vim ac potestatem. Porro de marinis & fluuiatilibus dijs singulatim ex ordine sic res se habet.

De Diis marinis.

CAP. 43.

NEptunus & Amphitrite, & Nereus, & Nereides, tum ipsi, tum statuæ ipsorum conspecti, ita vt nihil mali faciant, aut dicant, boni sunt omnibus in mari operantibus, & his qui moueri volunt, sed & ad reliquas agressiones nihilo minus boni sunt. Ex omnibus autem vel maximè his qui ad turbas progrediuntur, valde conducibiles esse obseruatum est. Si verò moueantur aut turbentur, aut mali quippiam dicant aut faciant, aut patiantur, aut minentur, contraria prædictis significant Sæpe etiam terræ motum & imbrem futurum præsagiuerunt.

De Leucothea.

LEucothea his qui in mari operantur bona est, ad reliqua mala, & tristitiæ ac luctus significatiua, propter historiam quam de ipsa narrant. Proteus autem & Glaucus, & Phorcys, & dæmones qui circa hos sunt, dolos ac deceptiones significant, propter facilem adspectus transmutationẽ. Vatibus autem

Περὶ πειθοῦς, καὶ τῶν ἄλλων τινῶν. 12

ΠΕιθὼ δὲ καὶ χάριτες καὶ ὧραι, καὶ νύμφαι, πρὸς πάντα καὶ πᾶσιν εἰσὶν ἀγαθαί. Ἀριστοβούλη δὲ καὶ εὐνομία, τὰ αὐτὰ τῇ νεμέσει σημαίνουσιν.

Περὶ Ἑστίας. 13

ΕΣτία αὐτή τε καὶ τὰ ἀγάλματα αὐτῆς πόλεως μὲν τὴν βουλὴν καὶ τὴν ἀποθήκην σημαίνει τῶν προσόδων. ἰδιώταις δὲ, αὐτὸ τὸ ζῆν. ἄρχοντος δὲ καὶ βασιλέως, τὴν τῆς ἀρχῆς δύναμιν. περὶ δὲ θαλασσίων καὶ ποταμίων θεῶν, ἕκαστα ὧδε ἔχει.

Περὶ Θεῶν θαλασσίων. μγ΄.

ΠΟσειδῶν καὶ Ἀμφιτρίτη καὶ Νηρεὺς, καὶ Νηρηΐδες αὐτοί τε ὁρώμενοι καὶ τὰ ἀγάλματα αὐτῶν, ἀτάρακτοι καὶ μηδὲν πονηρὸν πράττοντες ἢ λέγοντες, ἀγαθοί εἰσι πᾶσι τοῖς τὴν θάλασσαν ἐργαζομένοις· καὶ τοῖς κινεῖσθαι βουλομένοις, καὶ πρὸς τὰς λοιπὰς ἐγχειρήσεις, οὐδὲν ἧττον εἰσὶν ἀγαθοί. πάντων δὲ μάλιστα τοῖς εἰς ὄχλον προϊοῦσι συμφορώτατοι τετήρηνται. κινούμενοι δὲ ἢ ταρασσόμενοι, ἢ κακόν τι λέγοντες ἢ δρῶντες ἢ πάσχοντες, ἢ ἀπειλοῦντες, τὰ ἐναντία τοῖς προειρημένοις σημαίνουσι. πολλάκις δὲ καὶ σεισμὸν καὶ ὄμβρον προηγόρευσαν ἐσόμενον.

Περὶ Λευκοθέας.

ΛΕυκοθέα τοῖς μὲν τὴν θάλασσαν ἐργαζομένοις, ἀγαθή· πρὸς δὲ τὰ ἄλλα, πονηρά, καὶ λύπης καὶ πένθους σημαντική, διὰ τὴν περὶ αὐτὴν ἱστορίαν. Πρωτεὺς δὲ καὶ Γλαῦκος καὶ Φόρκυς καὶ οἱ περὶ τούτους δαίμονες, δόλους καὶ ἀπάτας σημαίνουσι, διὰ τὸ εὐμετάβολον τῆς ὄψεως. μάντεσι δὲ

ἀγαθοί. Περὶ δὲ θαλάσσης καὶ κυμάτων, ἐν τῷ περὶ πλοῦ λόγῳ, ἔμπροσθεν ἐν αὐτῷ τούτῳ τῷ βιβλίῳ ἐπεμνήσθην.

Αἰγιαλοὶ δὲ καὶ λιμένες, ἐλπίδων εἰσὶ σημαντικοί, καὶ τοῖς κάμνουσι σωτηρίας. καὶ γὰρ οἱ ἐν μεγάλῳ χειμῶνι γινόμενοι, ἐπὰν ἴδωσιν αἰγιαλόν, ἐν ἐλπίσιν ἤπισι γίνονται σωτηρίας.

Ποταμοὶ δὲ καὶ λίμναι, καὶ Νύμφαι, καὶ Ἐφυδρίδες, ἀγαθοὶ πρὸς παίδων γονήν. ἀκριβέστερον δὲ περὶ αὐτῶν ἐν τῷ πρόσθεν λόγῳ εἴρηκα.

Ἀχελῷος δέ, τὰ αὐτὰ τοῖς ποταμοῖς καὶ παντὶ ποτίμῳ ὕδατι σημαίνει, καὶ ἰσχυρότερα τὰ ἀποτελέσματα ποιεῖ. ἐπειδὴ δὲ περὶ τούτων κατὰ τὸ ἐνδεχόμενον ἱκανῶς εἴρηται, λοιπὸν ἂν εἴη περὶ χθονίων θεῶν εἰπεῖν καὶ τῶν περιξ.

Περὶ χθονίων θεῶν καὶ τῶν περιξ. μδ'.

Πλούτων καὶ Περσεφόνη, τοῖς φοβουμένοις εἰσὶν ἀγαθοί. ἄρχουσι γὰρ τῶν οὐκέτι φοβουμένων. ἀγαθοὶ δὲ καὶ πένησι· πλοῦτον γὰρ καὶ προσκτῆσιν σημαίνουσιν, διὰ τὸ ἀνενδεεῖς τῶν ὑποτεταγμένων αὐτοῖς. ἀγαθὸν δὲ καὶ τοῖς γῆν ὠνεῖσθαι βουλομένοις, καὶ τοῖς ἐπὶ τὸ ἄρχειν ὁρμωμένοις. πολλῶν γὰρ ἄρχουσιν οἱ θεοὶ οὗτοι. καὶ πρὸς τὰς μυστικὰς καὶ ἀπορρήτους χρείας, ἀγαθοὶ τετήρηνται. πράττοντες δέ τι δεινὸν ἢ ἀπειλοῦντες, τὰ ἐναντία σημαίνουσι.

Δημήτηρ δὲ καὶ Κόρη καὶ ὁ λεγόμενος Ἴακχος, τοῖς μεμυημένοις ταῖς θεαῖς, ἀγαθόν τι καὶ οὐ τὸ τυχὸν ἐσόμενον σημαίνουσι. τοῖς δὲ ἀμυήτοις, πρότερον τινὰ φόβον καὶ κίνδυνον ἐπάγουσιν· εἶτα δὲ οὐδὲν ἧττον τελειοῦσι καὶ τὸ ἀγαθόν. γεωργοῖς δὲ καὶ τοῖς κτήσασθαι γῆν προῃρημένοις ἀγαθαί, κρατῆσαι γὰρ τῆς γῆς καὶ δεσπόζειν προσημαίνουσι. καὶ τοὺς νοσοῦντας ἀνιστᾶσι καὶ σώζουσι. καρπῶν γάρ εἰσιν ἀνθρώποις χρησίμων αἰτίαι. ὧν τοῖς ἀποθανοῦσιν οὐ μέτεστιν. ἔτι καὶ τὴν Δήμητρα τῇ γῇ τὴν αὐτὴν

boni sunt. De Mari porrò & Vndis, in sermone de nauigatione superius in hoc ipso libro mentionem feci.

Litora & portus, spei significationem habent, & salutis ipsis ægris. Nam qui in magna tempestate sunt, vbi litus viderint & portus, suauissimam spem potiundæ salutis secum nutriunt.

Fluuij deinde & stagna, & Nymphæ, & Ephydrides, boni sunt ad generandos liberos. Verùm exactius de ipsis in superiori sermone tractaui.

Achelous autem eadem quæ fluuij, & omnis potabilis aqua significat, & validiores euentus facit. Quandoquidem verò de his quantum possibile fuit sufficienter dictum est, reliquum fuerit vt de subterraneis ac inferis dijs deinceps dicamus, itemque de his qui circumcirca ambiunt.

De Dijs inferis, & de his qui circumcirca ambiunt.

CAP. 44.

Pluto & Proserpina timentibus boni sunt. Imperant enim his qui non amplius timent. Boni sunt & pauperibus, Diuitias enim & acquisitionem significant, propterea quòd nullius rei indigi sunt ipsorum subditi. Boni sunt & his qui terram emere volunt, & ad principatum contendentibus. Multis enim imperant hæc numina. Sed & ad mysticos & arcanos vsus boni obseruati sunt hi dij. Verùm si quid graue ac dirum faciant aut minentur, contraria significant.

Ceres autem & Core, & qui Iacchus appellatur, his qui initiati sunt horum deorum sacris, bonum quiddam, atque id non vulgare, futurum significant. Non initiatis, prius timorem aliquem & periculum inducunt, deinde verò nihilominus bonum ipsum perficiunt. Agricolis autem & his qui terram adipisci proposuerunt bonæ sunt, dominari enim & imperare terræ præsignificant. Et ægrotantes erigunt & seruant. Nam fructuum hominibus commodorum sunt causæ, quibus mortui non fruuntur. Insuper Cererem eandem cum terra

rationem habere sapientes aiunt. ζείδωρος enim & φερέσβιος vocatur terra, itémque βιόδωρος, ab eo quod vitam & victum mortalibus impertiatur, & fruges producat. Bona est etiam Ceres ad nuptias, & alias aggressiones omnes per se conspecta. Non vero item Core, propter historiam quæ de ipsa fertur. Hæc enim sæpe etiam oculis somniantis periculum induxit, propter nomen. Core enim appellatur etiam in oculo pupilla.

Serapis, & Isis, & Anubis, & Arpocrates, tum ipsi, tum statuæ ipsorum ac mysteria, & omnis de ipsis sermo, atque etiã de diis qui cum ipsis communia templa ac aras habent, turbationes & pericula, & minas, & infortunia significant, ex quibus præter expectationẽ præterque omnem spem seruant. Semper enim seruatores crediti sunt hi dij, eorum qui per omnia exercitati sunt, & ad extremum periculum peruenerunt. Nam eos qui iã in huiusmodi periculis constituti sunt, statim omnino seruant. Præcipuè autem mysteria ipsorũ luctus significationẽ habent. Tametsi enim naturalis ipsorum ratio aliud quid complectitur, fabulosa tamen narratio & historia hoc indicat.

Hecate subterranea, & Erinnyes, & dæmones qui circa hos sunt, terribiles sunt etiam his qui iustè agunt. Verùm hos qui prȩter leges agunt, & quibusdam insidias struunt, disperdũt. Eadem cum his significat & mater deorum appellata. Nam & tumultus & luctus per se conspecta prædicit, & occulta reuelat. Agricolis autem bona est. Terra enim esse putatur.

Terror & Timor filij Martis, & ipse etiam Mars, belli ducibus, & militibus, & pugnam solitariam decertaturis, gladiatoribus & prædonibus, & aleatoribus, omnibus conducunt. Reliquis pugnas & clades significant. Harum enim causa existunt.

Oceanus autẽ & Thetys, Philosophis & vatibus solis boni sunt, quemadmodum iam dictum est. Reliquis tristitias inducunt, & ad finem vitæ peruenisse ostendunt, exceptis his qui ad Oceanum habitant illicque diuersantur.

Saturnus & Titanes, maleficis vincula significant, & eos qui alijs insidias parant perficere, impediunt. Verùm ad ea quæ latenter fiunt boni

ἔχειν λόγον φασὶν οἱ σοφοί. ζείδωρος γὰρ ἡ γῆ καὶ φερέσβιος καλεῖται, καὶ βιόδωρος. ἀγαθὴ δ' ἂν εἴη καὶ πρὸς γάμον. καὶ τὰς ἄλλας ἐγχειρήσεις πάσας κατ' ἰδίαν ὁρωμένη ἡ Δημήτηρ. οὐκέτι δὲ ἡ κόρη διὰ τὴν περὶ αὐτὴν ἱστορίαν. αὕτη δὲ πολλάκις καὶ τοῖς ὀφθαλμοῖς τοῦ ἰδόντος κίνδυνον ἐπήνεγκε διὰ τὸ ὄνομα. κόρη γὰρ καλεῖται καὶ ἡ γλήνη ἡ ἐν τῷ ὀφθαλμῷ.

Σάραπις, καὶ Ἶσις, καὶ Ἄνουβις, καὶ Ἁρποκράτης, αὐτοί τε καὶ τὰ ἀγάλματα αὐτῶν καὶ τὰ μυστήρια, καὶ πᾶς ὁ περὶ αὐτῶν λόγος, καὶ τῶν τούτοις συνναόων τε καὶ συμβώμων θεῶν, ταραχὰς καὶ κινδύνους καὶ ἀπειλὰς καὶ περιστάσεις σημαίνουσιν· ἐξ ὧν καὶ παρὰ προσδοκίαν καὶ παρὰ τὰς ἐλπίδας σώζουσιν. ἀεὶ γὰρ σωτῆρες νενομισμένοι εἰσὶν οἱ θεοί, τῶν εἰς πάντα ἀφιγμένων, καὶ ἔσχατον ἡκόντων κινδύνων. τοὺς δὲ ἤδη ἐν τοῖς τοιούτοις ὄντας, αὐτίκα μάλα σώζουσιν. ἐξαιρέτως δὲ καὶ τὰ μυστήρια αὐτῶν, πένθους εἰσὶ σημαντικά. καὶ γὰρ εἰ ὁ φυσικὸς αὐτῶν λόγος ἄλλο τι περιέχει, ὅ γε μυθικὸς καὶ ὁ κατὰ τὴν ἱστορίαν τοῦτο δείκνυσιν.

Ἑκάτη χθονία καὶ ἐριννύες καὶ δαίμονες καὶ οἱ περὶ τούτους, φοβεροὶ καὶ τοῖς δικαιοπραγοῦσι. τοὺς δὲ παρανομοῦντας καὶ τοὺς ἐπιτιθεμένους τισὶ, διαφθείρουσι. Τὰ αὐτὰ τούτοις καὶ ἡ λεγομένη μήτηρ θεῶν. αὕτη καὶ θορύβους καὶ πένθη καθ' ἑαυτὴν ὁρωμένη προαγορεύει, καὶ τὰ κρυπτὰ ἐλέγχει. γεωργοῖς δὲ ἐστιν ἀγαθή. γῆ γὰρ εἶναι νενόμισται.

Δεῖμος καὶ φόβος, ἄρεως υἱοί. καὶ αὐτὸς δὲ ὁ ἄρης, στρατηγοῖς καὶ στρατιώταις καὶ μονομάχοις καὶ λησταῖς καὶ κυβευταῖς, πᾶσι συμφέρουσι. τοῖς δὲ λοιποῖς, μάχας καὶ βλάβας σημαίνουσι· τούτων γὰρ εἰσὶν αἴτιοι.

Ὠκεανὸς δὲ καὶ τηθὺς, φιλοσόφοις καὶ μάντεσι μόνοις ἀγαθοὶ, καθὼς ἤδη εἴρηται. τοῖς δὲ λοιποῖς, λύπας ἐπιφέρουσιν· ἀφῖχθαι τοῦ ζῆν δηλοῦσι, πλὴν τῶν παρὰ τῷ ὠκεανῷ ἀναστρεφομένων.

Κρόνος καὶ τιτᾶνες, κακούργοις μὲν, δεσμὰ σημαίνουσι, καὶ τοὺς ἐπιτιθεμένους τισὶ κωλύουσιν ἀνύσαι, πρὸς δὲ τὰ λάθρα πραττόμενα, εἰσὶν

ἀγαθοί. οὔτε δὲ γαμεῖν ἐπιτρέπουσιν, οὔτε παῖδας ἐσομένους προαγορεύουσιν.

Ἡ δὲ τῶν ὅλων φύσις καὶ εἱμαρμένη καὶ πρόνοια, καὶ εἴ τι ἄλλο τούτοις ἰσοδυναμεῖ, πᾶσιν ἀγαθὸν προαγορεύουσι, πλὴν τῶν νοσούντων, τούτους δὲ ἀναιροῦσιν, ἐὰν μὴ εὔφημά τινα λέγωσι. κοινὸν δὲ λόγον ἔχουσιν οἱ θεοὶ καὶ τὰ ἀγάλματα αὐτῶν. τούτων δὲ τὰ μὲν ἐξ ὕλης πεποιημένα στερεᾶς τε καὶ ἀσήπτου, ἀγαθὰ ἂν εἴη, οἷον τὰ χρυσοῦ πεποιημένα, ἢ ἀργύρου ἢ χαλκοῦ, ἢ ἐλέφαντος, ἢ λίθου, ἢ ἠλέκτρου, ἢ ἐβένου. τὰ δὲ ἐξ ὕλης ἄλλης πεποιημένα ἀγάλματα, ἧττον ἂν εἴη ἀγαθά. πολλάκις δὲ καὶ ταπεινά, ὀστράκινα καὶ πήλινα, καὶ κήρινα γραπτὰ καὶ τὰ ὅμοια. ἔτι καὶ τοῦτο· ὅσοι ἀγαθὰ σημαίνουσιν αὐτοί τε καὶ τὰ ἀγάλματα, ἀγαθὸν ἂν εἴη, μήτε συντριβόμενα ἰδεῖν, μήτε καταγνύμενα τὰ ἀγάλματα αὐτῶν. τούτους καὶ ἀφανιζομένους ἰδεῖν, ἀγαθὸν ἂν εἴη πάντας, καὶ τὰ ἀγάλματα αὐτῶν· μάλιστα δὲ νέμεσις τὰ αὐτὰ σημαίνει.

sunt. Sed neque nuptias celebrare permittunt, neque filios futuros prædicunt.

At verò natura vniuersorum, & fatum, & prouidentia, & si quid aliud æqualem cum his potentiam habet, omnibus bonum prædicunt, exceptis ægrotantibus, hos enim occidunt, nisi aliqua valde benigna dixerint. Communem autem rationem & dij, & ipsorum statuæ habent. Ex ipsis verò statuis, hæ quæ ex materia solida & imputrescibili factæ sunt, bonę fuerint, velut quæ ex auro constant, aut argento, aut ære, aut ebore, aut lapide, aut Electro, aut Ebeno. Quæ verò ex alia materia fabricatæ sunt, minus bonæ censentur. Sæpè verò etiam quæ humiles ac viles sunt, testaceæ, fictiles, cereæ, itemq; imagines pictę, & similes. Insuper & hoc obseruare oportet. Quicunque dij bona significant, tum ipsi, tum ipsorum statuæ, eorum neque contritas neque confractas statuas videre bonum est. Quicunque verò mala significant, eos & destructos & dissipatos omnes videre, itemque statuas ipsorũ, bonum est, maximè verò eadem cum Nemesi significant.

Περὶ ἡρώων καὶ δαιμόνων. με΄.

Περὶ δὲ ἡρώων καὶ δαιμόνων, τί δεῖ λέγειν. τὰ γὰρ αὐτὰ τοῖς θεοῖς σημαίνουσι καὶ ἀγαθὰ καὶ κακά· ἥττονα μέντοι τῇ δυνάμει. μεμνῆσθαι δὲ χρή, ὅτι ἕκαστον αὐτῶν τὴν οἰκείαν σκευὴν ἔχειν χρή, καὶ μὴ διαλλάττειν, μηδὲ ἀποβάλλειν, μηδὲ ἁπλῶς ἑστάναι, μηδὲ ἄνευ τούτων εἶναι τῶν νενομισμένων. ἐπεὶ ὅταν σημαίνωσιν, ἐάν τε ἀγαθὸν ἐάν τε κακόν, ἐξαπατῶσι καὶ ψεύδονται.

De Heroibus, & Dæmonibus. CAP. 45.

De Heroibus porrò & dæmonibus quid opus est dicere? eadem enim quæ dij significant tum bona, tum mala, viribus tamen minora. Meminisse autem oportet, quòd singulos ipsorũ proprium habitum habere conuenit, & non permutare, neque abijcere, neque simpliciter stare, neque sine his quæ ipsis solenni more dicata sunt esse. Quoniam quicquid significant siue bonum, siue malum fuerit, decipiunt & mentiuntur.

Περὶ γῆς σεισμῶν καὶ χασμάτων. μϛ΄.

Γῆ κινουμένη, τὰ πράγματα τοῦ ἰδόντος καὶ τὸν βίον κινηθήσεσθαι σημαίνει. χάσματα δὲ καὶ σεισμοὶ καὶ συμπτώσεις, πάντας ἀνθρώπους

De Terræ motibus, ac Hiatibus. CAP. 46.

Terra si moueatur, res & negotia ac vitam somniantis motum iri significat. Hiatus autem & concussiones, collapsiones, omnes homines

L. iij.

iniuria afficiunt, ipsósque perdunt, aut bona ipsorum corrumpunt. Solis autem his qui peregrinari proposuerunt, & obæratis, fortunata & dextera omnia huiusmodi obseruata sunt. Quæ enim dissoluuntur & non coniuncta sunt, non amplius in priore loco continent somniantes. Quare & ex debito, & ex vinculis liberant. Cæterùm de relictis & prætermissis in vtrísque libris superfluum fuerit dicere. Quoniam ex scriptis & relatis iuxta similitudinem coniecturam facere oportet. Et tamen adhuc de ipsis dicetur.

De Scala, Sartagine, Mola, Pila, & Gallo.

CAP. 47.

SCala peregrinationis signum est, & transitionis in alium locum. Gradus verò eius, promotionem significant: quidam dicunt quòd etiam periculum significant.

Sartago verò damnum significat, & mulierem gulosam.

Mola semper duorum & difficilium negotiorum solutionem portendit, & fidelem seruum significat.

Pila vxorem significat. Pistillum autem virum.

Gallus in domo pauperis, patremfamiliâs. In domo diuitis, œconomum siue villicum significat, propterea quòd eos qui in domo sunt excitet ad operas obeundas.

Depilari aut pice illini, detrimentum ac damnum significat.

De Ouis. CAP. 48.

OVa medicis, & pictoribus, & his qui ex ipsis quæstum faciunt commoda sunt. Reliquis pauci quidem, lucri sunt significatiua, ob alendi facultatem. Multa verò, curarum & anxietatis. Sæpè verò & litium. Quoniam qui ex ipsis nascuntur fœtus ferè semper terram pedibus cauunt, & occultata inuestigant.

ἀδικοῦσι, καὶ διαφθείρουσιν αὐτοὺς, ἢ τὰ ὑπάρχοντα αὐτῶν. μόνοις δὲ τοῖς ἀποδημεῖν προῃρημένοις καὶ τοῖς καταχρέοις, αἴσια καὶ δεξιὰ πάντα τὰ τοιαῦτα τετήρηται. τὰ γὰρ διαλυόμενα καὶ συνάπτοντα, οὐκέτι κατέχει ἐν τῇ προτέρᾳ χώρᾳ τοὺς ἰδόντας. ὅθεν καὶ δανείων καὶ δεσμῶν ἀπαλλάττει. Περὶ δὲ τῶν παραλελειμμένων ἐπ᾽ ἀμφοτέραις ταῖς βίβλοις, περιττὸν μὲν λέγειν. ἐπειδὴ ἀπὸ τῶν γεγραμμένων κατὰ τὸ ὅμοιον τεκμαίρεσθαι χρή. ὅμως δὲ ἔτι εἰρήσεται περὶ αὐτῶν.

Περὶ Κλίμακος, Τηγάνου, Μύλου, Ὅλμου, καὶ Ἀλεκτρυόνος. μζ.

ΚΛίμαξ, ἀποδημίας ἐστὶ σημαντικὴ, καὶ μεταβάσεως. οἱ δὲ βαθμοὶ αὐτῆς, καὶ προκοπὴν σημαίνουσι· λέγουσι δὲ ἔνιοι, ὅτι καὶ κίνδυνον σημαίνουσι.

Τήγανον δὲ, ζημίαν σημαίνει, καὶ γυναῖκα λίχνον.

Μύλος δὲ ἀεὶ, τῶν σκληρῶν καὶ πονηρῶν πραγμάτων λύσιν, καὶ πιστὸν θεράποντα σημαίνει.

Ὅλμος γυναῖκα σημαίνει. ὕπερον δὲ, ἄνδρα.

Ἀλεκτρυὼν ἐν μὲν πένητος οἰκίᾳ, τὸν οἰκοδεσπότην. ἐν δὲ πλουσίου, τὸν οἰκονόμον σημαίνει, διὰ τὸ ἀνιστᾶν τοὺς ἔνδον, ἐπὶ τὰ ἔργα.

Ψιλοῦσθαι ἢ πίσσῃ χρίεσθαι, βλάβας καὶ ζημίας σημαίνει.

Περὶ ᾠῶν. μη.

ὨΑ δὲ ἰατροῖς, καὶ ζωγράφοις, καὶ τοῖς ἐξ αὐτῶν πορίζομένοις, σύμφορα. τοῖς δὲ λοιποῖς, τὰ μὲν ὀλίγα, κέρδους ἐστὶ σημαντικὰ, διὰ τὸ τρόφιμον. τὰ δὲ πολλὰ, φροντίδων καὶ ἀνίας. πολλάκις δὲ καὶ δικῶν. ὅτι τὰ ἐξ αὐτῶν γινόμενα, σκάπτει διόλου, καὶ τὰ κεκρυμμένα ἐρευνᾷ.

Περὶ Ἱπποκενταύρου, καὶ Σκύλλης, καὶ Θεῶν ἀνθρωποειδῶν. μθ΄.

Ἔτι καὶ τοῦτο μεμνῆσθαι χρὴ, ὅτι ὅσα τεράστιά ἐστι, καὶ οὐδαμῶς ἐνδεχόμενα, παρὰ φύσιν νοεῖται, καὶ λόγον οὐκ ἔχοντα μεθ' ἡμέραν γίνεσθαι, ὡς Ἱπποκένταυροι, καὶ Σκύλλα, καὶ τὰ ὅμοια, ψευδεῖς τὰς ἐλπίδας καὶ ἀπελέστους ποιοῦσι.

Φαίνονται δὲ οἱ θεοὶ ἐν ἀνθρώπων εἴδεά τε καὶ μορφῇ, ἐπειδὴ νενομίκαμεν αὐτοὺς τὰ εἴδη ἡμῖν ἐοικέναι. νομίζειν οὖν χρὴ τοὺς ὁρωμένους ἀγνοουμένους θεούς τε καὶ θεὰς, ἀπὸ ἡλικίας, ἢ ἀπὸ τῶν ἐκτὸς, ἢ ἀπὸ τῶν τεχνῶν, οὕτως. ἀπὸ μὲν ἡλικίας, ὁ μὲν παιδάριον ὀφθὲν, καιρὸν σημαίνει τὸν μέλλοντα. νεανίσκος δὲ, τὸν ἐνεστῶτα. καὶ πάλιν μειράκιον νέον, τὸν ἑρμῆν. νεανίσκος δὲ, τὸν ἡρακλέα. ἀνὴρ δὲ, τὸν δία. πρεσβύτης δὲ, τὸν κρόνον. δύο μειράκια, τοὺς διοσκούρους. παρθένος, ἐλπίδα, ἢ ἄρτεμιν, ἢ ἀθηνᾶν. ἐλπίδα μὲν, γελῶσα. ἄρτεμιν δὲ, σεμνοπροσωποῦσα. ἀθηνᾶν δὲ, γοργὸν ἐμβλέπουσα. γυνὴ δὲ νέα, τύχην. πρεσβύτης δὲ, ἑστίαν. τρεῖς γυναῖκες, μοίρας ὅταν ὦσιν ἐνδεδυμέναι. γυμναὶ δὲ, ὥρας. λουόμεναι δὲ, νύμφας. ἀπὸ δὲ τῶν ἐκτὸς, οἱ θεοὶ ἔχουσι παράσημα οἱ τὰ αὐτὰ ἔχοντες, ἵνα μὴ καθ' ἕκαστον λέγω, εὐσήμου ὄντος τοῦ λόγου, τοὺς θεοὺς τούτους σημαίνουσιν. ἀπὸ δὲ τεχνῶν, οἱ τὰς ἐπωνύμους τοῖς θεοῖς τέχνας ἔχοντες, τοὺς τῶν τεχνῶν προϊσαμένους θεοὺς σημαίνουσιν. ὀνείρους δὲ ἀποβεβηκότας καὶ τὰς ἀποβάσεις αὐτῶν, οὐκ ἐνεδέχετο γράφειν ἐν τέχνῃ ὀνειροκριτικῇ καὶ ὑποθήκαις θεωρημάτων. οὐδέ μοι πιθανὰ ἐδόκει ταῦτα. καίτοι Γεμινοῦ τοῦ τυρίου, καὶ δημητρίου τοῦ φαληρέως, καὶ ἀρτέμωνος τοῦ μιλησίου, τοῦ μὲν, ἐν τρισὶ βιβλίοις, τοῦ δὲ, ἐν πέντε, τοῦ δὲ, ἐν εἰκοσιδύο, πολλοὺς ὀνείρους ἀναγραψαμένων. καὶ μάλιστα συνταγὰς καὶ θεραπείας τὰς ἀπὸ σαράπιδος δοθείσας.

De Hippocentauro, & Scylla, & Diis humana specie.

CAP. 49.

Quin & huius meminisse oportet, quòd quæcunque monstrosa sunt, & nequaquam possibilia præter naturam intelliguntur, & rationem non habent, vt interdiu fiant, velut Hippocentauri, & similia, ea mendaces spes, & nunquam perficiendas inducunt.

Apparent autem Dij in humana specie & forma, quandoquidem credimus ipsos nobis specie similes esse. Si itaque ignoti Dij ac Deæ, conspiciantur per somnium, dinoscere eos oportet ab ætate, aut ab externis, aut ab artibus, hoc modo. Ab ætate quidem, velut puerulus cõspectus, tempus futurũ significat, adolescens autem præsens, & rursus. Adolescentulus valde iuuenis, Mercurium. Adolescens, Herculem. Vir, Iouem. Senex, Saturnum. Duo adolescentes, dioscuros, hoc est Castorem & Pollucem. Virgo, Spem, aut Dianam aut Mineruam. Spem quidem, ridens. Dianam verò, reuerendam faciem præferens. Mineruam autem, acribus oculis intuens. Fœmina iuuencula, fortunam. Senex, Vestam. Tres fœminæ, Parcas, vbi fuerint vestibus indutæ. Nudæ, Horas, Lauantes, Nymphas. Ab externis autem sic: Dij habent insignia, qui ergo ea insignia habent, pro illis ipsis dijs agnoscendi sunt. Neque enim est necesse singulatim ea recensere, cùm res satis manifesta existat. Ab artibus postremùm. Qui cognomines Dijs artes habent, hi Deos artibus ipsis præfectos significant. Porrò somnia iam visa, & ipsorum euentus, non conuenit scribere in arte ipsa iudicandi somnia, & in doctrina speculationum, neque videbantur mihi idonea esse hæc huic loco. Et quidem quum Geminus Tyrius, & Demetrius Phalereus, & Artemõ Milesius, multa somnia conscripserint, primus in tribus libris, secundus in quinque, tertius in viginti duobus, & præsertim compositiones medicamentorum ac curationes à Serapide datas.

De Tabula, & Libris.

CAP. 50.

TAbula vxorem significat, propterea quòd omnigenas literarum formas suscipiat. Typos autem, hoc est formas, in consueto vsu etiam ipsos liberos vocamus. Liber autem vitam eius qui somniū vidit significat, percurrunt enim homines libros, quemadmodum etiam vitam ipsam. Sed & veterum res gestas in memoriam reuocat liber, quandoquidem quæ olim facta sunt, in libris scripta continentur.

Comedere libros, præceptoribus puerorum, & sophistis, & omnibus qui ex eloquentia aut libris victum ac rem sibi comparant, conducit. Reliquis mortem repentinam prodicit.

De Perdicibus. CAP. 51.

PErdices & viros & mulieres significant, vt plurimùm verò mulieres magis, impias & religionis negligentes, quæ nunquam nutritoribus suis beneuolentiam mutuam exhibent. Nam & ægre mansuefiunt, & variæ sunt perdices, & solæ ex auium generibus Deorum cultum non habent.

De Pedicis. CAP. 52.

PEdicæ detentionis & impedimenti signum sunt & morbi, propter detentionem. Seruis autem, fidem & autoritatem magnam prædicunt, ex quibus ingrati excident. Innuptis verò nuptias, & liberos non habentibus, liberos promittunt. At verò ab ipsa pedicarum materia, coniecturam de nuptiarum sumptuositate facere oportet.

De Plagis. CAP. 53.

VErberare eos solùm bonum est quibus quis imperat, excepta vxore. Nam hæc si verberatur, adultera fit, reliqui ipsius verberantis commodo

Περὶ πινακίδος καὶ βιβλίων. ν'.

Πινακὶς, γυναῖκα σημαίνει, διὰ τὸ τύποις παντοδαποῖς γραμμάτων ἐπιδέχεσθαι. τύποις δὲ ἐν τῇ συνηθείᾳ, καὶ τὰ τέκνα καλοῦμεν. Βιβλίον δὲ, τὸν βίον τοῦ ἰδόντος σημαίνει, διέρχονται γὰρ τὰ βιβλία οἱ ἄνθρωποι, ὥσπερ καὶ τὸν βίον. καὶ παλαιῶν ὑπόμνησιν γραμμάτων, ἐπειδὴ τὰ πάλαι πραχθέντα, τοῖς βιβλίοις ἐγγέγραπται.

Ἐσθίειν δὲ βιβλία, παιδευταῖς καὶ σοφισταῖς καὶ πᾶσι τοῖς ἀπὸ λόγων ἢ βιβλίων πορίζομένοις, συμφέρει. τοῖς δὲ λοιποῖς, θάνατον συντόμιον προαγορεύει.

Περὶ περδίκων. να'.

Πέρδικες καὶ ἄνδρας καὶ γυναῖκας σημαίνουσιν. ὡς δὲ ἐπὶ τὸ πλεῖστον, γυναῖκας μᾶλλον ἀθέους καὶ ἀσεβεῖς, οὐδέποτε τοῖς τρέφουσιν εὐνοούσας, καὶ γὰρ δυστιθάσευτοι εἰσὶ καὶ ποικίλοι, καὶ μόνοι τῶν ὀρνίθων, θεῶν σέβας οὐκ ἔχουσι.

Περὶ πεδῶν. νβ'.

Πέδαι, κατοχῆς καὶ ἐμποδισμοῦ εἰσὶ σημαντικαί. καὶ νόσου διὰ τὸ καθεκτικόν. δούλοις δὲ, πίστεις μεγάλας προαγορεύουσιν, ὧν ἀχάριστοι ἔσονται. καὶ γάμον ἀγάμοις, καὶ τέκνα τοῖς οὐκ ἔχουσιν. ἀπὸ δὲ τῆς ὕλης αὐτῆς, τὸ πολυτελὲς τοῦ γάμου δεῖ τεκμήρασθαι.

Περὶ πληγῶν. νγ'.

Παίειν τούτους μόνον ἀγαθόν ἐστιν, ὧν ἄρχει τις πλὴν γυναικός· αὕτη γὰρ εἰ παίοιτο, μοιχεύεται. οἱ δὲ λοιποὶ, ἐπ' ὠφελείᾳ

τῶ παίοντος τὰς πληγὰς λαμβάνουσιν. ὧν δὲ τις οὐκ ἄρχει, τούτους παίειν οὐκ ἀγαθόν. ζημίαν γὰρ διὰ τὸν νόμον προαγορεύει. παίεσθαι δὲ οὐκ ἀγαθὸν, μήτε ὑπὸ θεῶν, μήτε ὑπὸ νεκρῶν, μήτε ὑπὸ τῶν ὑποτασσομένων, ἀλλ' ὑπὸ τῶν λοιπῶν. ἀεὶ δὲ ἀγαθὸν ξύλοις ἢ χειρὶ παίεσθαι. πονηρὸν δὲ ἱμάντι διὰ τοὺς μώλωπας, καὶ καλάμῳ διὰ τὸν ψόφον, καὶ νάρθηκι. ψοφῶδες γάρ ἐστι τὸ ξύλον. ἐπειδὴ δὲ οἱ παιόμενοι λαμβάνουσι τὰς πληγὰς, ἐντεῦθεν τὰς ὠφελείας συμβέβηκε γίνεσθαι παρὰ τὸ λαμβάνειν. Ἐγὼ δὲ ἐτήρησα καὶ τοῦτο ἐπ' ἐμαυτοῦ συμβάν. ποτὲ γὰρ δόξας ὑπὸ τῆς ἐμαυτοῦ γυναικὸς ἐν ὕπνοις ὑβρίζεσθαι, τῇ ἡμέρᾳ ἐκείνῃ, ἀκαταθυμίου τινός μοι ὑπαντήσαντος, ἐταράχθην καὶ ἐδυσφόρησα, καὶ οὐκ ἦν ἀεοικὸς τὸν ὑπὸ προσώπου ὑποτεταγμένου, καὶ ὑφ' οὗ τιμᾶσθαι ὀφείλει ὑβρισθέντα, μὴ ἀνιαθῆναι, ἢ λυπηθῆναι ἐν πράγματι.

plagas accipiunt. At verò eos percutere quibus quis non imperat, bonum non est. damnum enim ex lege irrogatum prædicit. Verberari autem bonum non est, neque à diis, neque à mortuis, neque à subditis, sed à reliquis. Semper verò bonum est lignis aut manu verberari, malum autem loro, propter vibices inflictos, & calamo, propter strepitum & ferula. Nam & hoc lignum & strepitum ædit. Quandoquidem verò verberati plagas accipiunt, inde adeò vtilitatem accedere contingit, ab accipiendo videlicet. Ego verò obseruaui hoc quod mihi ipsi accidit. Aliquādo enim per somnium visus sum mihi, ab vxore mea vituperiis & plagis imperi, illa die obuiam veniente mihi quodam, à quo animus meus planè diffidebat, turbatus sum & valde ægrè tuli: neque enim erat verisimile, eum qui à persona sibi subiecta, & à qua coli ac honorari debebat, contumelia affectus erat, non tristari, aut non molestiam in aliqua re concipere.

Περὶ θανάτου. νδ'.

Ἀποθανεῖν δοκεῖν καὶ ἐκκομισθῆναι καὶ κατορυχθῆναι, δούλῳ μὲν οὐκ ὄντι ἐν πίστει, ἐλευθερίαν προαγορεύει. ἀδέσποτος γὰρ ὁ ἀποθανὼν, καὶ πέπαυται καμνων καὶ ὑπηρετῶν. τὸν δὲ ἐν πίστει ὄντα δοῦλον, ἀφαιρεῖται πίστεως ὁ θάνατος. ἀνδρὶ δὲ ἀγάμῳ γάμον προαγορεύει. τέλη μὲν γὰρ ἀμφότερα τοῖς ἀνθρώποις εἶναι νενόμισται, καὶ ὁ γάμος καὶ ὁ θάνατος. ἀεὶ δὲ δείκνυνται ὑπ' ἀλλήλων. ὅθεν καὶ τοῖς νοσοῦσι τὸ γαμεῖν θάνατον προαγορεύει, καὶ γὰρ τὰ αὐτὰ ἀμφοτέροις συμβαίνει, τῷ τε γαμοῦντι καὶ τῷ ἀποθνήσκοντι. οἷον παραπομπὴ φίλων ἀνδρῶν τε καὶ γυναικῶν, καὶ στέφανοι, καὶ ἀρώματα, καὶ μύρα, καὶ συγγραφὴ κτημάτων. τὸν δὲ γεγαμηκότα διΐστησι τῆς γυναικὸς ὁ θάνατος, καὶ κοινωνοὺς δὲ καὶ φίλους καὶ ἀδελφοὺς διαλύει καὶ διΐστησιν ἀλλήλων. οἱ γὰρ ἀποθανόντες, τοῖς ζῶσιν οὐ συναναστρέφονται. οὐδ' αὖ οἱ ζῶντες τοῖς ἀποθανοῦσι. τὸν δὲ ἐν τῇ οἰκίᾳ ὄντα,

De Morte. CAP. 54.

Mortuum esse sibi videri, & elatum, & defossum, seruo quidem cui res & domus heri non concredita est, libertatem significat. Mortuus enim nullum dominum habet, & laborum & ministeriorum requiem inuenit. Verùm seruo cui bona domini commissa sunt, fidem adimit mors. Viro autem vxorem non habenti nuptias prædicit. Nam & nuptiæ & mors, vtraque fines hominibus esse putantur, & semper se mutuò indicant. Vnde etiam ægrotantibus vxorem ducere, ac nuptias celebrare, mortem præsagit. Nam eadem vtrisque contingunt, tum nuptias celebranti, tum morienti. Velut verbi causa, deductio & comitatus amicorum, tum virorum, tum fœminarum, & coronæ, & aromata, & vnguenta, & cautio de bonis. At verò eum qui vxorem habet, mors ab vxore separat, & socios, & amicos, & fratres dissoluit, inuicémque separat. Mortui enim cum viuis non conuersantur, neque viui cum mortuis. Eum verò qui domi est

ad exteros extrudit, propterea quòd non in iiſdem amplius maneat mortuus: & apud exteros degentem, domum reducit. Nam mortuus in terram deponitur, quæ communis eſt omnium patria. Athletis autem ſacrorum certaminum victoribus, mortem inducit. Perfecti enim & abſoluti ſunt mortui, quemadmodum & victores. Bonum eſt autem & philologis & patribus mortuum eſſe ſibi videri. Habebunt enim monumenta, hi liberos. illi verò ſapientiæ ſuæ ſcripta ac libros, Obſeruaui denique & triſtibus & timentibus mortem bonam eſſe. Timoris enim & triſtitiæ expertes ſunt mortui. Item his qui de terra litem habent, & qui terrā emere volunt. Terræ enim domini ſunt mortui. In aliis autem litibus, malum eſt mortuum eſſe. Nam in rebus efficiendis impotentes ſunt mortui, & in virorũ poteſtate poſiti. Si verò quis ægrotans aut dolens aliqua parte, videatur ſibi mortuus eſſe, à morbo & dolore liber erit. Nam & mortui neque dolent, neque ægrotant. Nihil autem differt ſiue quis mortuus eſſe ſolummodo ſibi videatur, ſiue elatus aut ſepultus. Viuum ſepeliri ſibi videri, nemini confert: vt plurimùm enim carcerem aut vincula ſignificat. Quicquid autem boni ſiue mali ſignificauerit mors, idipſum ſi quidem quis ſeipſum occidat, continget ei ſuiipſius cauſa. Sin ab alio interimatur, euenient ob alterius cauſam etiam euentus. Omnes mortes lege irrogatæ, ea quæ ſignificant tum bona, tum mala vehementiora faciunt. De quibus ſpeciatim dicere operæpretium exiſtimo.

De Strangulatione.

CAP. 55.

STrangulari & ſeipſum ſuſpendere, tribulationes & anguſtias ſignificat, propter id quòd his qui ſtrangulantur contingere videmus. Inſuper etiam non manſurum eſſe in domo, neque vbi quis erat dum ſomnium vidit. Nam ſtrangulatus non amplius terram contingit, neque eſt in firma ſede.

ἐπὶ ξένην ἄγει, διὰ τὸ μὴ τὸν ἀποθανόντα ἐν τοῖς αὐτοῖς ἔτι μένειν· τὸν δὲ ἐπὶ ξένης ὄντα, εἰς τὴν οἰκίαν ἄγει. καὶ γὰρ ὁ ἀποθανὼν εἰς τὴν γῆν καταλύεται, ἥ τις ἐστὶ κοινὴ πάντων πατρίς. ἀθληταῖς δὲ ἱερονίκαις, θάνατον ποιεῖ. τέλειοι γὰρ οἱ ἀποθανόντες, ὡς καὶ οἱ νικήσαντες. ἀγαθὸν δὲ καὶ φιλολόγοις τὸ ἀποθανεῖν καὶ πατράσι. μνημεῖα γὰρ ἕξουσιν οἱ μὲν, τοὺς παῖδας, οἱ δὲ, τῆς αὐτῶν σοφίας τὰ συγγράμματα. ἀγαθὸν δὲ τὸν θάνατον ἐτήρησα καὶ τοῖς λυπουμένοις, καὶ τοῖς φοβουμένοις, ἄφοβοι γὰρ καὶ ἄλυποι οἱ ἀποθανόντες. καὶ τοῖς περί τι δίκην ἔχουσι, καὶ τοῖς βουλομένοις γῆν πρίασθαι. γῆς γὰρ δεσπόται οἱ ἀποθανόντες. ἐν δὲ ταῖς ἄλλαις δίκαις, πονηρὸν τὸ ἀποθανεῖν. ἄπρακτοι γὰρ οἱ ἀποθανόντες, καὶ ἐν τῇ τῶν ζώντων ἐξουσίᾳ διακείμενοι. εἰ δέ τις νοσῶν ἢ ἀλγῶν τι δόξειε τεθνάναι, ἄπονος ἔσται καὶ ἄνοσος. καὶ οἱ ἀποθανόντες γάρ. οὐδὲν διαφέρει ἢ αὐτὸν μόνον δοκεῖν ἀποθανεῖν, ἢ ἐκκομισθῆναι, ἢ ταφῆναι. ζῶντα δὲ θάπτεσθαι δοκεῖν, οὐδενὶ συμφέρει. ὡς γὰρ ἐπὶ τὸ πολὺ, εἱρκτὴν ἢ δεσμὰ σημαίνει. ὅτι δ' ἂν σημαίνοι κακὸν ὁ θάνατος ἢ ἀγαθὸν, τοῦτο ἐὰν μέν τις ἑαυτὸν ἀποκτείνῃ, ἔσται αὐτῷ διὰ τὴν ἑαυτοῦ αἰτίαν. ἐὰν δὲ ὑπὸ ἄλλου ἀποθάνῃ, διὰ τὴν ἄλλου αἰτίαν καὶ τὰ ἀποτελέσματα ἔσται. πάντες οἱ ἐκ καταδίκης θάνατοι, τὰ σημαινόμενα καὶ ἀγαθὰ καὶ κακὰ, σφοδρότερα ποιοῦσι. περὶ ὧν καὶ κατ' εἶδος εἰπεῖν ἄξιον.

Περὶ ἀγχόνης. νε'.

ἈΠάγξασθαι καὶ ἑαυτὸν ἀναρτῆσαι, θλίψεις καὶ στενοχωρίας σημαίνει, διὰ τὸ συμβαῖνον τοῖς ἀπαγχομένοις, καὶ προσέτι μὴ μεῖναι ἐν τῇ οἰκίᾳ, μηδὲ ὅπου τις ὢν τὸν ὄνειρον ἐθεάσατο. καὶ γὰρ ὁ ἀπαγξάμενος, οὐκέτι τῇ γῇ ἐπιβαίνει, οὐδὲ ἐστὶν ἐπὶ ἕδρας.

Περὶ σφαγῆς. νϛ'.

Σφάξαι δέ τινα ἑαυτὸν ἢ ὑπό τινος σφαγῆναι, τὰ αὐτὰ σημαίνει τοῖς ἔμπροσθεν περὶ θανάτου εἰρημένοις· τάχιον δὲ ἀποτελεῖ. ἱερουργηθῆναι δὲ καὶ σφαγῆναι παρὰ βωμῷ θεοῦ, ἢ δημοσίᾳ ἐν ἐκκλησίᾳ, ἢ ἐν ἀγορᾷ, ἀγαθὸν πᾶσι, μάλιστα δούλοις, ἐνδόξως γὰρ καὶ ἐπιφανῶς ἔσονται ἐλεύθεροι.

Περὶ τοῦ ζῶντα καίεσθαι. νζ.

Ζῶντα καίεσθαι, τὰ αὐτὰ τῷ κεραυνοῦσθαι σημαίνει, περὶ ὧν ἔμπροσθεν εἴρηται. ἰδίως δὲ τὸ ζῶντα κατακαίεσθαι, τοῖς νοσοῦσι διὰ τὸ σύνθετον τοῦ ὀνόματος, σωτηρίαν σημαίνει. τοῖς δὲ νέοις, συμφορὰς ἀλόγους, καὶ ἐπιθυμίας ἐρωτικὰς σημαίνει.

Περὶ σταυροῦ. νη'.

Σταυροῦσθαι, πᾶσι μὲν τοῖς ναυτίλλεσθαι προῃρημένοις ἀγαθόν. καὶ γὰρ ἐκ ξύλων καὶ ἥλων γέγονεν ὁ σταυρός, ὡς καὶ τὸ πλοῖον καὶ ἡ κατάρτια αὐτοῦ, ὁμοία ἐστὶ σταυρῷ. ἀγαθὸν δὲ καὶ πένητι. καὶ γὰρ ὑψηλὸς ὁ σταυρωθείς. τοῖς δὲ πλουσίοις βλάπτει. γυμνοὶ γὰρ σταυροῦνται. καὶ τὰς σάρκας ἀπολλύουσιν οἱ σταυρωθέντες. ἀνδρὶ δὲ ἀγάμῳ, γάμον προαγορεύει, διὰ τὴν δέσιν πλὴν οὐ πάνυ τι συμφέροντα. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ φιλίας καὶ κοινωνίας. δούλοις δὲ ἐλευθερίαν. ἀνυπότακτοι γὰρ οἱ σταυρωθέντες. τοὺς δὲ ἐν τῇ οἰκίᾳ διατρίβειν βουλομένους, καὶ τοὺς ἰδίαν γῆν γεωργοῦντας, καὶ τοὺς ἐκβληθῆναι ποθὲν φοβουμένους, ἐκβάλλει, καὶ οὐκ ἐᾷ μένειν ἐν οἷς εἰσίν. εἴργει γὰρ ὁ σταυρὸς τῆς γῆς ἐπιβαίνειν. ἐν πόλει δὲ δοκεῖν ἐσταυρῶσθαι, ἀρχὴν τοιαύτην σημαίνει, οἷος ἂν ἦ ὁ τόπος ἐν ᾧ ὁ σταυρὸς ἔστηκεν.

De Mactatione, siue Cæde.

CAP. 56.

MActare aliquẽ seipsum, aut ab aliquo mactari, eadem significat quæ antea de morte relata sunt: verùm citius perficit euẽtus. Sacrificari autẽ, & pro victima tractari ad arã Dei, aut publicè in congregatione siue ecclesia, aut infero, omnibus bonum est, maximè seruis, qui inde præclarè & splendide liberi erunt.

De Viuentis combustione.

CAP. 57.

VIuentem comburi, eadem significat quæ fulmine feriri, de quibus in superioribus diximus. Priuatim autem & propriè viuentem comburi, ægrotis salutem significat, propter ipsius verbi κατακαίεσθαι compositionem. Cæterùm iuuenibus, calamitates irrationabiles, & concupiscentias amatorias significat.

De Cruce. CAP. 58.

CRucifigi omnibus qui nauigare proposuerunt bonum est. Nam ex lignis & clauis constat crux, quemadmodum etiam nauis: & malus eius similis est cruci. Bonum est & pauperi. Nam altus est crucifixus. Verùm diuitibus damnosum est. Nudi enim crucifiguntur, & carnes deperdunt crucifixi. Cæterùm viro vxorem non habenti nuptias prædicit, ob ligationem, sed tamen non adeò commodas. Eadem autem ratio est amicitiæ & sodalitatis. Seruos verò liberos facit. Nemini enim subiecti sunt crucifixi. Qui autem domi agere volunt, & qui propriam terram colunt, & qui alicunde eijci timent, eos eijcit, & non sinit in locis in quibus sunt manere: prohibet enim crux terram contingere. Porrò in ciuitate crucifixum esse sibi videri, talem magistratum significat, qualis fuerit locus in quo crux posita fuit.

De Pugna cum feris. CAP. 59.

PVgnare cum feris pauperi bonũ est, multos enim habebit quos nutriat. Nam & qui cum feris pugnat à propriis carnibus feras nutrit. Verùm viro opulento iniurias futuras à talibus denuntiat, quales fuerint ipsæ feræ. Multis etiam morbum significauit. Nam vt à bestiis sic etiam à morbo corrumpuntur carnes. Seruos autem liberos facit somnium hoc, si sibi videantur à bestiis occisi esse.

De Descensu ad inferos. CAP. 60.

AD inferos descendere indéque redire, & speculari quæ istic solenni more instituta sunt, his quidem qui feliciter agunt damnosum est. Nam ad res gerendas impotentes sunt inferi, & frigidi & immobiles. Verùm cauentibus & verentibus, aut curiosis, aut tristatis, curarum & tristitiæ alleuiationem promittit. Sunt enim omnis tristitiæ ac curæ expertes inferi. Reliquis peregrinationis significatiui sunt, aut eos omnino ex locis in quibus sunt expellunt. atque hoc partim veteres declarant, qui eos qui longam peregrinationem profecti essent, ad inferos profectos esse dicebant: partim etiam ipsa ratio commonstrat, quòd nõ in iisdem conuersationibus mortui existant. Quòd si quis ab inferis rursus ascendere sibi videatur, ab exteris in patriam reuertetur. Si verò non, apud exteros vitam finiet. Sæpe verò etiam eos qui apud exteros sunt, descensus ad orcum ad domum reducit. At verò si quis ad inferos profectus videatur sibi prohibere violenter à regressu ad superos in humanis degentes, huic detentionem ab aliquibus somnium significat, aut inclusionem in carcerem. Multis verò morbum longum prædixit, & ob morbum mortem. Cæterùm ascendere perfugio aliquo reperto, ab extremo periculo ægrotum seruat. Cõsueto enim sermone eũ qui præter expectationẽ seruatus est, ab inferis reuersũ esse dicimus.

Περὶ τοῦ θηριομαχεῖν. νθʹ.

ΘΗριομαχεῖν πένητι, ἀγαθόν, πολλοὺς γὰρ ἕξει τρέφειν. καὶ γὰρ ὁ θηριομαχῶν, ἀπὸ τῶν ἰδίων σαρκῶν τὰ θηρία τρέφει. ἀνδρὶ δὲ εὐπόρῳ, ὑπὸ τῶν τοιούτων ἀδικίας ἐσομένας προαγορεύει, οἷα ἂν ᾖ τὰ θηρία. πολλοῖς δὲ νόσον ἐσήμανεν. ὡς γὰρ ὑπὸ θηρίων, οὕτω καὶ ὑπὸ νόσου φθείρονται αἱ σάρκες. δούλοις δὲ ἐλευθεροῖ ἐὰν δόξωσιν ἀποτεθνηκέναι ὑπὸ τῶν θηρίων.

Περὶ τῆς εἰς ᾅδου καταβάσεως. ξʹ.

ΕΙ'ς ᾅδου καταβῆναι καὶ ἀναβῆναι καὶ θεωρεῖν ὅσα ἐκεῖ νενόμισται, τοῖς μὲν ἐν εὐπραξίαις, βλάβας σημαίνει. ἄπρακτοι γὰρ οἱ ἐν ᾅδου, καὶ ψυχροὶ καὶ ἀκίνητοι. τοῖς δὲ εὐλαβουμένοις ἢ φροντίζουσιν, ἢ λυπουμένοις, ἀμεριμνίας καὶ ἀλυπίας προαγορεύει. καὶ γὰρ ἄλυποι καὶ πάσης ἐκτὸς φροντίδος εἰσὶν οἱ ἐν ᾅδου. τοῖς δὲ λοιποῖς, ἀποδημίας εἰσὶ σημαντικοί. ἢ πάντως γε τῶν τόπων ἐν οἷς εἰσὶν ἐκβάλλει· τοῦτο μὲν καὶ οἱ παλαιοὶ τοὺς μακρὰν ἀποδημίαν ἀποδημήσαντας, εἰς ᾅδου πορευθῆναι ἔλεγον. τοῦτο δὲ καὶ αὐτὸς ὁ λόγος ἐπιδείκνυσιν· ὅτι μὴ ἐν ταῖς αὐταῖς διατριβαῖς εἰσὶν οἱ ἐν ᾅδου. καὶ εἰ μέν τις ἀναβαίνειν ἐξ ᾅδου πάλιν ὑπολάβοι, ἀνακομισθήσεται ἀπὸ τῆς ξένης εἰς τὴν οἰκείαν. εἰ δὲ μή, ἐπὶ ξένης καταβιώσει. πολλάκις δὲ καὶ τοὺς ἐπὶ ξένης ἡ εἰς ᾅδου κατάβασις, εἰς τὴν οἰκείαν ἐπανάγει. τὸ δὲ δοκεῖν εἰς ᾅδου καταβάντα εἴργεσθαι τῆς εἰς ἀνθρώπους ἀνόδου βίᾳ, κατασχεθῆναι πρός τινων σημαίνει, ἢ εἰς εἱρκτὴν ἐμβληθῆναι. πολλοῖς δὲ νόσον μακρὰν προηγόρευσε, καὶ ἐπὶ τῇ νόσῳ, θάνατον. τὸ δὲ ἀναβαίνειν διαφυγήν τινα πορισάμενον, ἀπὸ ἐσχάτου κινδύνου τινός, σώζει τὸν ἄρρωστον. φαμὲν γὰρ ἐν τῇ συνηθείᾳ τὸν παρὰ προσδοκίαν σωθέντα, ἐξ ᾅδου ἀναβεβηκέναι.

Περὶ τοῦ βαστάζειν ἢ βαστάζεσθαι. ξα΄.

Βαστάζειν τινὰ τῶν δαιμόνων τῶν χθονίων, ἢ αὐτὸν τὸν Πλούτωνα, ἢ τὸν Κέρβερον, ἢ ἄλλον τινὰ τῶν ἐν ᾅδου, κακούργῳ μὲν ἰδόντι, σταυρὸν αὐτῷ σημαίνει. ἔοικε γὰρ καὶ ὁ σταυρὸς θανάτῳ, καὶ ὁ μέλλων αὐτῷ προσηλοῦσθαι, πρότερον αὐτὸν βαστάζει. ἀνδρὶ δὲ μὴ κακούργῳ, θηρίον βαστάσαι σημαίνει, καὶ εἰ μὲν βαρύνοιτο, δηχθῆναι καὶ ἀποθανεῖν. εἰ δὲ μή, αἰσθόμενον ἀποθέσθαι καὶ μὴ διαφθαρῆναι. βαστάζειν δὲ τινὰ τῶν ζώντων ἄμεινον, ἢ βαστάζεσθαι. ὅσῳ κρεῖττον ἀμύνειν τινὰ δύνασθαι τοῦ ἐπιδεῖσθαι βοηθείας καὶ τιμωρίας. ἔοικε γὰρ ὁ μὲν βαστάζων συναιρουμένῳ τινὶ καὶ εὐεργετοῦντι· ὁ δὲ βασταζόμενος, εὐεργετουμένῳ, ὅσῳ ἀσθενέστερος ἢ ὁ βαστάζων. οἷον γυνὴ ἢ παιδίον τοσούτῳ χεῖρον τῷ βασταζομένῳ. καὶ γὰρ τῶν εὐτελεστέρων καὶ ἧττον ἀμύνειν δυναμένων, ἐπιδεηθήσεται. μόνῳ οἰκέτῃ ὑπὸ δεσπότου βαστάζεσθαι ἀγαθόν, καὶ τῷ παντελῶς πένητι ὑπὸ πλουσίου. πολλὰ γὰρ ὠφεληθήσονται ὑπὸ τῶν βασταζόντων.

Portare, aut Portari.

CAP. 61.

PORtare aliquem dæmonem subterraneum, siue ipsum Plutonem, siue Cerberum, aut alium quendam ex inferis, si quidem maleficus id somnium viderit, crucem ipsi significat. Similis est enim & crux morti, & qui crucifigendus est prius ipsam portat. Si verò non maleficus vir somniū viderit, ferā portabit, & si quidem grauabitur, ab ipsa mordebitur & morietur. Sin minus, gaudens eā deponet, & ab ipsa non lædetur. Portare aliquem viuentium melius est quàm portari, quantò præstantius est alicui auxiliari posse, quàm auxilio & ope alterius opus habere. Similis est enim is qui portat subleuanti & beneficium danti, qui verò portatur, beneficium accipienti. Quantò debilior est is qui portat, veluti si sit mulier aut puer, tantò peius est ei qui portatur. Nam vilium & minus auxiliari potentium opem implorabit. Soli seruo bonum est ab hero portari, & penitus pauperi ab opulento. Multum enim opis ferent à portantibus.

Περὶ νεκρῶν. ξβ΄.

Νεκροὺς ὁρᾶν αὐτὸ μόνον καὶ μηδὲν ἀξιόλογον δρᾶν ἢ πάσχειν, οὕτω διατεθῆναι σημαίνει, ὅπως εἶχον σχέσεως οἱ νεκροὶ ὅτε ἔζων πρὸς τὸν ἰδόντα. εἰ μὲν γὰρ ἐγένοντο ἡδεῖς ἢ εὐεργέται, ἀγαθὰ σημαίνουσι καὶ τὸν παρόντα καιρὸν ἡδέως διάγειν. εἰ δὲ μή, τὰ ἐναντία. εἰ δέ τι οἱ νεκροὶ λαμβάνοιεν, * οἷα νεκροῖς συντίθενται, ἀσύμφορον. πάντων δὲ χαλεπώτατοι, οἱ ἱμάτια περιαιρούμενοι, ἢ ἀργύριον, ἢ τροφάς. ἢ γὰρ αὐτῷ τῷ ἰδόντι θάνατον σημαίνουσιν, ἢ τινὶ τῶν τούτῳ προσηκόντων. ὅ, τι δ᾽ ἂν ἄλλο ἁρπάζωσι, κατὰ ἀναλογίαν κρίνειν χρή. διδόντες δὲ οἱ νεκροὶ καὶ οὕτω πονηροί εἰσιν, εἰ μὴ ἄρα τροφὰς ἢ ἀργύριον ἢ ἱμάτια ἐπιδοῖεν.

De Mortuis. CAP. 62.

MOrtuos videre, atque id solùm, & nihil aliud memorabile facere aut pati, sic affectum iri significat, quomodo affecti fuerunt mortui dum viuebant erga somniantem. Si enim fuerunt iucundi & benefici, bona significant, & præsens tempus suauiter transigendum. Si verò non, contraria. Si verò acceperint quid tale mortui qualia mortuis dicantur, incommodum est. Sed omnium perniciosissimi sunt qui vestes auferunt, aut argentum, aut cibos. Aut enim ipsi somnianti mortem significant, aut alicui ex cognatis, aut affinibus ipsius. Quicquid autem aliud rapuerint, iuxta proportionem iudicare oportet. Quin & dantes mortui, etiam sic mali sunt, nisi sanè cibos, aut argentum, aut vestes dederint.

Ego autem obseruaui quẽdam qui suam vxorem defunctam in somniis vidit, procul stantem in domo, & lectos sternentem, & postridie contigit plures ex præminentibus illius amicis ægrotare, & apparuit manifestè somnium post euentum. Ægrotantes enim indigent pro necessitate sua præparatione lectorum, & non sani.

Ἐγὼ δὲ ἐτήρησα τινὰ τὴν ἑαυτοῦ γυναῖκα προτελευτήσασαν θεασάμενον ἐν ὕπνοις, ὅθεν δῆθεν καθισᾶ τὸν οἶκον, στρωννύουσα κλίνας, καὶ τῇ ἑξῆς ἡμέρᾳ συνέβη τοὺς πλείονας τῶν διαφερόντων τοῦ θεασαμένου τὸ ὄναρ νοσῆσαι, καὶ ἐφάνη πρόδηλον τὸ ὄναρ μετὰ τὴν ἀπόβασιν. οἱ γὰρ νοσοῦντες, δέονται κατὰ τὸ ἀναγκαῖον τῆς ἑτοιμασίας τῶν κλιναρίων, οὐχ οἱ ὑγιαίνοντες.

De Numismatis.

CAP. 63.

ALiqui tradunt argentum esse malum, & numismata omnia: ego verò obseruaui, tenuia quidem & ærea numismata tristitiæ esse causas, & sermonum molestorum. Verùm argentea verborum in paucis de rebus grauibus ac seriis significationem habere. Aurea verò adhuc de magis grauibus. Semper autem melius, paucas pecunias & numismata habere, putandum est. Quoniam multæ pecuniæ propterea quòd ægre dispensari possunt curas & tristitias significant, quemadmodum etiam thesaurus.

Περὶ νομισμάτων. ξγʹ.

ΦΑσί τινες τὸ ἀργύρεον εἶναι πονηρὸν, καὶ τὰ νομίσματα πάντα· ἐγὼ δὲ ἐτήρησα τὰ μὲν λεπτὰ καὶ χάλκεα νομίσματα, δυσθυμιῶν αἴτια, καὶ λόγων ἐπιλύπων. τὰ δὲ ἀργυρεᾶ λόγων τῶν ἐν συνθήκαις περὶ σπουδαίων πραγμάτων σημαντικά. τὰ δὲ χρύσεα, σπουδαιοτέρων. ἀεὶ δὲ ἄμεινον ὀλίγα χρήματα ἔχειν καὶ νομίσματα. ἐπεὶ τά γε πολλὰ διὰ τὸ δυσοικονόμητον, φροντίδας καὶ λύπας σημαίνει, ὥσπερ καὶ ὁ θησαυρός.

De Thesauro. CAP. 64.

SI quis putet se thesaurum effodere paucas pecunias habentem, minora mala significat. Verùm thesaurus multarum pecuniarum, tristitias & curas significat, & mortem prædicit. Neque enim absque terræ effossione thesaurus reperitur, quemadmodum neque mortuus deponitur. Atque ego sanè hoc obseruaui. Cùm enim aliquando in tristitia ac cura essem, vidi me in sportula habere tenuem valde monetam, & ingressus in officinam quandam, eam ipsam furto amisi ac perdidi: & contigit vt illa die mihi nuntius lætus adueniret, de rebus quarum cura angebar, atque sic exhilarabar, & melius afficiebar. Porrò in conuẽtu quodam cùm aliquãdo tales narrationes mouerentur, memini quendam dicere, quòd quandoque ad comparandas, & exigendas pecunias proprium filiũ suum ablegarit, & eo adhuc apud exteros degente, in somnis ipsum viderit reuersum

Περὶ θησαυροῦ. ξδʹ.

ΕΙ' τις ὑπολάβοι θησαυρὸν ὀρύσσειν ὀλίγα χρήματα ἔχοντα, ἥττονα τὰ χαλεπὰ σημαίνει. ὁ δὲ πολυχρήματος θησαυρὸς, λύπας καὶ μερίμνας σημαίνει καὶ θάνατον προαγορεύει. οὐ γὰρ ἄνευ τοῦ τὴν γῆν ἀνασκαφῆναι θησαυρὸς εὑρίσκεται, ὥσπερ οὐδὲ ὁ νεκρὸς κατατίθεται. Κἀγὼ τοῦτο παρεφυλαξάμην. ποτὲ οὖν ἐν δυσθυμίᾳ ὢν καὶ φροντίδι, ἐθεασάμην ἐμαυτὸν ἐν σπυρίδι ἔχοντα λεπτὰ κερμάτια, καὶ εἰσελθὼν ἐν ἐργαστηρίῳ τινὶ, ταῦτα ἀποκλάπτην καὶ ἀπώλεσα· καὶ συνέβη με τῇ ἡμέρᾳ ἐκείνῃ αἰσίων μοι ἀγγελθέντων περὶ ὧν ἐφρόντιζον εὐθυμῆσαι καὶ ῥᾷον διατεθῆναι. Ἔλεγε δέ τις ἐν συνουσίᾳ ποτὲ διηγημάτων τοιούτων κινουμένων, ὅτι ποτὲ ἐπὶ ἀνύσει χρημάτων πέμψαι τὸν ἴδιον αὐτοῦ υἱὸν, ἔτι ἀποδήμου αὐτοῦ ὄντος, ἐθεάσατο αὐτὸν ἐν ὕπνοις ἥκοντα

καὶ λέγοντα, τρισχίλια ὀκτακόσια νομίσματα ἤνεγκα· καὶ ἀναθέμενος τινι τῶν ἐπιστημόνων τὸ ὄναρ, ἔμαθεν ὡς ἄπρακτος ὑποστρέψει αὐτοῦ υἱός, ᾧ καὶ ἀπήντησεν· πρῶτον μὲν ὅτι τὰ ἐναντία ἀεὶ ἀποβαίνουσι· δεύτερον δὲ καὶ ὅτι ἀεὶ εἰώθαμεν διὰ τῆς τοιαύτης θέσεως τῶν δακτύλων τῶν τρισχιλίων ὀκτακοσίων σημαίνειν τὸ οὐδέν.

& dicentem, tria milia octingenta numismata attuli: & delato ad quendam somniorum doctum interpretem hoc ipso somnio, responsum tulerit, quòd re infecta filius ipsius reuersurus esset, quòd ipsum etiam sic euenerit: ac primum quidem quòd contraria semper euenire solent: deinde quòd etiam semper per eiusmodi positionem digitorum trium milium octingentorum, nihil significare consueuimus.

Περὶ δακρύων. ξέ.

Δακρύειν καὶ ὀδύρεσθαι καὶ ἐπὶ νεκρῷ καὶ ἐπὶ ἄλλῳ τινὶ καὶ αὐτὸ τὸ λυπεῖσθαι χαρὰν ἐπί τινι καὶ ἡδονὴν ἐπὶ κατορθώματι ἐσομένῳ προαγορεύει ὀρθῶς καὶ κατὰ λόγον. ἔχει γὰρ ἡ ἡμετέρα ψυχὴ συγγενές τι πρὸς τὸ περιέχον καὶ τὸν ἀέρα τὸν ἐκτός. ὥσπερ οὖν καὶ τὸ περιέχον καὶ ὁ ἀὴρ ἀεὶ τρέπεται ἐπὶ τὸ ἐναντίον ἀπὸ χειμῶνος εἰς εὐδίαν, καὶ πάλιν ἀπὸ εὐδίας εἰς χειμῶνα, οὕτως εἰκὸς καὶ τὴν ἡμετέραν γνώμην ἀπὸ λύπης εἰς ἡδονὴν καὶ χαρὰν τρέπεσθαι, καὶ ἀπὸ χαρᾶς εἰς λύπην. ὅθεν καὶ τὸ χαίρειν εἰς τὸ ἐναντίον τρεπόμενον, λύπην προαγορεύει. ἀεὶ δὲ χρὴ ἐπί τινι λυπεῖσθαι καὶ μὴ ἄνευ ὑποθέσεως. ἐπεὶ τό γε εἰκῆ λυπεῖσθαι ἔν τινι, ἐπί τινι λυπηθήσεσθαι σημαίνει.

De Lachrymis. CAP. 65.

Lachrymari & dolere tum ob mortuum, tum propter aliud quiddam, & ipsum adeò tristari, gaudium ob aliquam rem, & voluptatem propter rectè factum quoddam futuram prædicit, atque id rectè & iusta ratione. Habet enim anima nostra cognatum quiddam ad ambientem & aërem externum. Quemadmodũ igitur ambiens & aër, in contrarium mutatur semper, à tempestate in serenitatem, & rursus à serenitate in tempestatem: Sic verisimile est & mentem nostram, à tristitia in voluptatem & gaudiũ mutari, & à gaudio in mœrorem. Quare etiam gaudere in contrarium mutatum, tristitiam significat. Semper autem ob aliquid tristari oportet, & non sine causa, quoniam frustra tristari, ob aliquid tristem fore præsagit.

Περὶ μνημείου. ξϛ'.

Μνημεῖον δὲ ἔχειν ἢ οἰκοδομεῖν, ἀγαθὸν δούλῳ καὶ ἄπαιδι· ὁ μὲν γὰρ ἐλεύθερος ἔσται· ἐπεὶ μὴ δοῦλοι μνημεῖα κτῶνται, ἀλλὰ ἐλεύθεροι. ὁ δὲ, καταλείψεται παῖδα μνημεῖον ἑαυτοῦ. Πολλάκις δὲ γάμον προηγόρευσε τὸ τοιοῦτον ὄναρ. ἐπειδὴ τὸ μνημεῖον ὡς ἡ γυνὴ πολλὰ σώματα χωρεῖ· καὶ γῆς περίκτησιν, * καὶ καθόλου πᾶσιν ἐστὶν ἀγαθὸν, καὶ τοῖς εὐδαιμονοῦσι καὶ τοῖς ἀπόροις. συντριβόμενα δὲ μνημεῖα ἢ καταπίπτοντα, τὰ ἐναντία σημαίνει.

De Monumento. CAP. 66.

Monumentum habere, aut ædificare, bonum est seruo, & liberos non habenti: alter enim liber erit, quoniam non serui, sed liberi monumenta exstruunt ac possident: alter filium relinquet monumentum sui. Sępe verò & nuptias prædixit eiusmodi somnium. Quoniam monumentum velut mulier, multa corpora complectitur: & terræ acquisitionem, & in vniuersum omnibus bonum est hoc somnium, tum diuitibus & fortunatis, tum inopibus & infelicibus. At verò monumenta contrita, aut collabentia, contraria significant.

Si mortui reuiuiscant.

CAP. 67.

MOrtui reuiuiscentes, turbationes significant & detrimenta. Etenim velut res supposita esset cogitare oportet, qualis turbatio futura sit, si mortui reuiuiscant. Verisimile est enim quòd sua bona sint repetituri. Vnde & detrimenta, & damna, ac contentiones sint oriturae.

Si mortui denuo moriantur.

CAP. 68.

MOrtui denuo morientes, cognominibus, aut similibus, aut propinquis genere, mortem praesagiunt, vt hoc modo iidem bis mori videantur.

De Medicamento letali.

CAP. 69.

MEdicamentum letale, eadem quae mors ipsa significat. Eadem significatio est ferarum omnis generis, & bestiarum lectos subeuntium, quae celeriter occidunt.

De Nuptiis. CAP. 70.

QVandoquidē & nuptiae similes sunt morti, & à morte significantur, etiam hoc loco de ipsis mentionem facere conueniens esse putaui. Virginem ducere, aegrotanti mortem significat: quaecunque enim vxorem ducenti, eadem etiam mortuo contingunt. Bonum est autem ei qui nouam negotiationem aggredi proposuit, propositum enim assecuturum esse significat: & speranti aliunde vtilitatem, accessuram esse promittit. Omnino enim accipit bona aliqua, quae sponsa adducit, is qui vxorem

Περὶ τοῦ νεκροὺς ἀναβιῶναι. ξζ.

ΝΕκροὶ ἀναβιοῦντες, ταραχὰς σημαίνουσι καὶ βλάβας. καθ' ὑπόθεσιν γὰρ ἐπινοῆσαι χρὴ, οἵα ἔσται ταραχὴ τῶν νεκρῶν ἀναβιωσάντων. ὡς εἰκὸς γὰρ καὶ τὰ ἑαυτῶν ἀπαιτήσουσιν. ὅθεν καὶ βλάβαι καὶ φιλονεικίαι γίνονται.

Περὶ τοῦ νεκροὺς αὖθις τελευτᾷν. ξή.

ΝΕκροὶ ἐκ δευτέρου ἀποθνήσκοντες, ὁμωνύμων ἢ ὁμοίων, ἢ τῶν ἔγγιστα γένους, θάνατον προαγορεύουσιν, ἵνα οὕτως οἱ αὐτοὶ δὶς δόξωσιν ἀποθνήσκειν.

Περὶ φαρμάκου θανασίμου. ξθ'.

ΦΑρμακον θανάσιμον, τὰ αὐτὰ τῷ θανάτῳ σημαίνει. ὁμοίως καὶ περὶ τῶν κνωδάλων, καὶ τῶν κοιτοπετῶν * θηρίων, ὅσα ταχέως ἀναιροῦσι.

Περὶ γάμου. ό.

ΕΠειδὴ καὶ ὁ γάμος ἔοικε θανάτῳ, καὶ ὑπὸ θανάτου σημαίνεται, ἐνταῦθα καλῶς ἔχειν ἡγησάμην, ἐπιμνησθῆναι αὐτοῦ. Γαμεῖν παρθένον, τῷ νοσοῦντι θάνατον σημαίνει· ὅσα γὰρ τῷ γαμοῦντι συμβαίνει, τὰ αὐτὰ καὶ τῷ ἀποθανόντι. ἀγαθὸν δὲ τῷ καινὴν πραγματείαν ἐγχειρεῖν βουλομένῳ, τυχεῖν γὰρ σημαίνει τοῦ προκειμένου· καὶ τῷ ἐλπίζοντι ποθὲν ὠφεληθῆναι. πάντως γὰρ ὁ γαμήσας προσλαμβάνεται τινὰ οὐσίαν ἣν ἐπάγεται ἡ

ἡ νύμφη. τοῖς δὲ λοιποῖς ταραχὰς καὶ περιβοησίας σημαίνει. οὐ γὰρ ἄνευ ταραχῆς συντελεῖται γάμος. εἰ δέ τις γυναῖκα διακεκορευμένην πρὸς γάμον λαμβάνοι, οὐ καιναῖς ἐπιθέμενος, ἀλλὰ παλαιαῖς ἐγχειρήσεσιν, οὐκ ἂν μεταμέλοιτο. εἰ δέ τις τὴν ἑαυτοῦ γυναῖκα ἴδοι ἄλλῳ γαμουμένην, ἐναλλαγὴν πράξεως ἢ χωρισμὸν δηλοῖ. εἰ δὲ γυνὴ ἄνδρα ἔχουσα, δόξειεν ἄλλῳ γαμεῖσθαι, ὡς μὲν οἱ πολλοὶ λέγουσι, κατορύξει τὸν ἄνδρα, ἢ ἄλλως πῶς αὐτοῦ χωρισθήσεται. ὡς δὲ ἐγὼ ἐτήρησα, οὐκ ἀεὶ τοῦτο γίνεται. ἀλλ' ὅταν ἡ γυνὴ ἢ μὴ ἐν γαστρὶ ἔχῃ, ἢ ἄτεκνος ᾖ, ἢ μηδὲν ἔχῃ πωλήσιμον. εἰ δὲ μὴ, ἐὰν μὲν θυγάτριον ἔχῃ, τοῦτο ἀνδρὶ δίδωσιν. ἐὰν δὲ ἔγκυος ᾖ, θῆλυ τέξεται, ὅπερ ἀναθρεφὲν ἀνδρὶ δίδωσι, καὶ οὕτως οὐχ ἡ αὐτὴ, ἀλλ' ἡ τῆς αὐτῆς μετέχουσα φύσεως ἄλλῳ γαμηθήσεται. καὶ ἡ πωλοῦσά τι, συνάλλαγμα ὥσπερ ἐν γάμῳ, κατὰ τὴν πρᾶσιν ποιήσεται πρός τινα.

ducit. Reliquis perturbationes & diuulgationes significat. Non enim sine turbatione nuptiæ perficiuntur. Si verò quis mulierem deuirginatam in vxorem duxerit, non noua sed vetera negotia, nulla pœnitentia aggredietur. Si autem quis suam vxorem alteri nuptam viderit, immutationem actionum, aut separationem significat. Si verò mulier virum habens, sibi videatur alteri nupsisse, quemadmodum multi produnt, virum defodiet, aut aliter quomodocunque ab ipso separabitur. Verùm vt ego obseruaui, hoc non semper contingit, sed cùm aut vterum non gestat mulier, aut liberis caret, aut nihil venale habet. Si verò nihil horum fuerit, siquidem filiolã habuerit, eam ipsam viro collocabit. Si verò grauida fuerit, filiam pariet, quam educatam viro in matrimonium dabit, atque sic non ipsa, sed quæ eius naturæ particeps est alteri nubet: & quæ aliquid venale habet, communicationem & contractum, velut in nuptiis, circa venditionem cum aliquo faciet.

Περὶ χελιδόνος, καὶ ἀηδόνος. οα΄.

Ἐπειδὴ περὶ χελιδόνος ἐν τῷ περὶ ὀρνίθων λόγῳ οὐκ ἐμνήσθην, ἀλλ' ἑκὼν παρέλιπον, ἐνθάδε ἐπιμνησθήσομαι, φασὶ γὰρ τὸ ζῷον θάνατόν τε σημαίνειν ἀώρων σωμάτων, καὶ πένθος, καὶ μεγάλην τινὰ λύπην. ἀπὸ τοιούτων γὰρ κακῶν καὶ τὴν ὄρνιν ταύτην λόγος ἔχει γενέσθαι. φησὶ γὰρ καὶ Ἀλέξανδρος ὁ Μύνδιος, δεῖν ταῖς ἱστορίαις πείθεσθαι, καὶ Διονύσιος ὁ Ἡλιουπολίτης. φασὶ γὰρ ὅτι καὶ ᾖ ψευδής τις ἱστορία, διὰ τὸ προειλῆφθαι οὕτως ἔχειν, ἐπειδὰν ὅμοιόν τι τῇ προλοχῇ μέλλον ἀποβήσεσθαι ἡ ψυχὴ θέλῃ προαγορεῦσαι, τὴν ἱστορίαν ταύτην ἐκείνην εἰς τὸ μέσον παράγει. ἐγὼ δὲ ἐπὶ μὲν τῶν πλείστων ἱστοριῶν συμφωνοῦντα τὸν λόγον εὗρον, οὐδαμῶς δὲ ἐπὶ πασῶν. ὅθεν προστιθέμενος ἐν ἅπαντι τῷ λόγῳ, οὐ τῷ πιθανῷ τῶν λεγομένων ἠκολούθησα, ἀλλὰ τῇ πείρᾳ τῶν

De Hirundine, & Luscinia.

CAP. 71.

QVãdoquidẽ de hirundine in sermone de auibus nõ memini, sed libenter reliqui, hîc sanè eius mentionem faciam. Aiunt enim animal hoc mortem significare intempestiuorum corporum, & luctum, & magnam aliquam tristitiam. Ab eiusmodi enim malis etiam auẽ hanc natam esse ferunt. Etenim Alexander Myndius historiis fidem habere oportere dicit, cui consentit etiam Dionysius Heliopolites. Aiunt enim quòd etiam si mendax sit historia quædam, tamen propter præsumptam de ea opinionem, quòd sic habeat, cùm simile quid eius argumẽto euentorum est, atque id anima prædicere velit, tunc illam ipsam historiam in medium adducit. Ego verò in plurimis quidem historiis hunc sermonem consonum reperi, verùm nequaquam in omnibus. Quare in omni sermone, non verisimilitudini eorum quę dicuntur addictus, eam sequor, sed experientiam euentuum ample-

amplector. Et nunc de hirundine dico, quòd non est mala, nisi quid absurdi faciat, aut permittetur in alium colorem preter naturam ipsi existentem. Est enim vox eius, non lamentatio, sed cantilena remissa, & exhortatoria ad operas obeũdas. Quòd autem hoc verum est, vel inde cognosci potest. Quod hyeme hirundo neque volat, neque canora est, sed & ipsa terra, & mare quieta sunt, & homines, & alia omnia animalia sub tecto & in lustris suis degunt, & nihil aliud operantur. Vbi autem ver accesserit, prima hirundo apparet, subindicans, vt ita dixerim, singula opera aggredienda: & sanè vbi apparuerit, nunquam vespere canit, sed manè sole emergente, eos quos viuentes deprehẽderit operum admonens. Est igitur commoda & ad opera, & ad actiones, & ad musicam, & maximè omnium ad nuptias. Fidam enim & domus custodem futuram vxorem promittit, eamque ferè græcam, aut musicam. Nam ipsa Hirundo eodem cum nobis tecto viuit. Atqui luscinia eadem quæ hirundo significat, sed minora. Minus enim nobis familiaris est.

De Dentibus. CAP. 72.

De dentibus exactè tradidi lib. 1. Verùm etiam hic breue quiddam ex his quæ istic relicta sunt dicam. Dentes in manus sumere ex ore elapsos, aut etiam in proprium sinum colligere, depositionem filiorum futuram significat, aut non permanentium, aut non educandorum. Dentes lingua sua eiicere, significat ea quæ in vita dura & aduersa sunt, propria eloquentia dissoluere. Deinceps verò de volatu, & de fidedignis dicemus, & de tempore vitæ.

De Volatu. CAP. 73.

Volare sibi videri paululum à terra distanti, figuraque recta, bonum est somnianti. Quantum enim abfuerit à terra, tantò altior est his qui vtrinque circumambulant. Semper autem feliciores altiores appellamus. Bonum est autem

ἀποτελεσμάτων. καὶ νῦν περὶ χελιδόνος λέγω, ὅτι οὐκ ἔστι πονηρά, εἰ μή τι ἄτοπον πάσχοι, ἢ διαλλάσσοι εἰς τι χρῶμα παρὰ φύσιν ὂν αὐτῇ. ἔστι γὰρ αὐτῆς ἡ φωνή, οὐ θρῆνος, ἀλλ' ᾆσμα ἐνδόσιμον καὶ κελευστικὸν πρὸς ἔργα, ὅτι δὲ τοῦτο ἀληθές ἐστιν, ἴδοι τις ἂν ἐντεῦθεν. χειμῶνος χελιδὼν οὔτε ἵπταται, οὔτε φθέγγεται κατὰ τὴν ὥραν ταύτην. ἀλλὰ καὶ ἡ γῆ καὶ ἡ θάλασσα, ἀργή ἐστι, καὶ οἱ ἄνθρωποι καὶ τὰ ἄλλα πάντα ζῶα καταδύεται, καὶ οὐδὲν ἄλλο πράττει. ὅταν δὲ τὸ ἔαρ παραβάλλῃ, πρώτη πρόεισιν. ὡς ἂν εἴποι τις ὑποδεικνύουσα τῶν ἔργων ἕκαστα, καὶ ὅταν γε φαίνηται, οὐδέποτε ἑσπέρας ᾄδει. ἀλλ' ἕωθεν ἡλίου ἀνίσχοντος, οὓς ἂν ζῶντας καταλαμβάνοι ὑπομιμνήσκουσα τῶν ἔργων. ἔστιν οὖν ἀγαθὴ καὶ πρὸς ἔργα καὶ πράξεις, καὶ πρὸς μουσικήν, μάλιστα δὲ πάντων πρὸς γάμον. πιστὴν γὰρ καὶ οἰκουρὸν ἔσεσθαι τὴν γυναῖκα σημαίνει, καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἑλληνίδα, ἢ μουσικήν. καὶ γὰρ αὐτὴ ἡ χελιδὼν ὁμορόφιος ἡμῖν διαιτᾶται. ἀηδὼν δέ, τὰ μὲν αὐτὰ τῇ χελιδόνι. ἥττονα δέ. καὶ γὰρ ἧττον ἡμῖν ἐστι σύντροφος.

Περὶ ὀδόντων. οβ'.

Περὶ δὲ ὀδόντων, ἠκρίβωσα μὲν ἐν τῷ πρώτῳ βιβλίῳ. βραχὺ δέ τι καὶ ἐνταῦθα τῶν πάλαι λειφθέντων ἐρῶ. ὀδόντας εἰς χεῖρας λαβεῖν τοῦ στόματος ἐκπεσόντας, ἢ εἰς τὸν κόλπον τὸν ἴδιον, ἀπόθεσιν τέκνων σημαίνει γενέσθαι, οὐ παραμενόντων, ἢ οὐκ ἀναβαφησομένων. ὀδόντας τῇ γλώσσῃ τῇ ἑαυτοῦ ἐκβάλλειν, σημαίνει τὰ ἐν τῷ βίῳ σκληρὰ τοῖς ἰδίοις λόγοις διαλύσαι. λοιπὸν δὲ περὶ πτήσεως καὶ τῶν ἀξιοπίστων ἐροῦμεν, καὶ περὶ χρόνου ζωῆς.

Περὶ πτήσεως. ογ'.

Ἵπτασθαι δοκεῖν ὀλίγον τῆς γῆς ἀπέχοντα ὀρθὸν τῷ σχήματι, ἀγαθὸν τῷ ἰδόντι· ὅσον γὰρ ἄν τις ἀπέχοι τῆς γῆς, τοσοῦτον ὑψηλότερός ἐστι τῶν ἑκατέρωθεν περιπατούντων. ἀεὶ δὲ ὑψηλοτέρους τοὺς εὐδαιμονεστέρους καλοῦμεν. ἀγαθὸν δὲ

μὴ ἐν τῇ ἑαυτοῦ πατρίδι τοῦτο πάσχειν, ἐπεὶ με-
τανάστασιν σημαίνει, διὰ τὸ μὴ τῆς γῆς ἐπιβαί-
νειν. τρόπον γάρ τινα φησὶ τῷ ἰδόντι ὁ ὄνειρον,
ἄβατον εἶναι τὴν πατρίδα. ἵπτασθαι δὲ πτερὰ ἔχον-
τα, ἀγαθὸν ἐπίσης πᾶσι. οἱ μὲν γὰρ δοῦλοι ἐπὶ
τούτῳ τῷ ὀνείρῳ ἐλευθεροῦνται. ἐπειδὴ καὶ πάντες
οἱ ἱπτάμενοι ὄρνιθες, ἀδέσποτοί τε εἰσὶ καὶ ἡγε-
μόνα οὐκ ἔχουσι. πένητες δὲ, χρήματα πολλὰ
πορίζουσιν. ὥσπερ γὰρ τὰ χρήματα τοὺς ἀν-
θρώπους βαστάζει, οὕτω καὶ τὰ πτερὰ τοὺς ὄρνιθας.
πλουσίοις δὲ καὶ τοῖς μέγα δυναμένοις, ἀρχὰς
περιποιεῖ. ὥσπερ γὰρ τὰ ἱπτάμενα τῶν ἐπὶ γῆς
ἑρπόντων ὑπερέχει, οὕτω καὶ οἱ ἄρχοντες τῶν ἰδιω-
τῶν. ἄνευ δὲ πτερῶν δοκεῖν ἵπτασθαι καὶ πολὺ τῆς
γῆς ἀπέχειν, κίνδυνον καὶ φόβον τῷ ἰδόντι ση-
μαίνει. καὶ τὸ περὶ τοὺς κεράμους ἵπτασθαι καὶ τὰς
οἰκίας καὶ τὰ ἄμφοδα, ἀκαταστασίας τῆς ψυ-
χῆς καὶ ταραχὰς προμαντεύεται. τὸ δὲ δοκεῖν
εἰς τὸν οὐρανὸν ἀναπτῆναι, δούλους μὲν ἀεὶ εἰς
μείζονας οἰκίας μεταβῆναι σημαίνει· πολλάκις
καὶ εἰς βασιλέων αὐλὴν ἐλθεῖν. ἐλευθέρους δὲ
καὶ μὴ βουλομένους πολλάκις ἐτήρησα εἰς τὴν
Ἰταλίαν ἐλθόντας. ὥσπερ γὰρ ὁ οὐρανὸς θεῶν
ἐστὶν οἶκος, οὕτω καὶ ἡ Ἰταλία βασιλέων. τοὺς δὲ
λανθάνειν πειρωμένους καὶ τοὺς ἀποκρυπτομέ-
νους ἐλέγχει. πάντα γὰρ τὰ ἐν οὐρανῷ φανερὰ
καὶ εὐσύνοπτα ἐστὶ πᾶσιν. ἵπτασθαι μετὰ ὀρνέων,
σημαίνει μετὰ ἀλλοεθνῶν καὶ ξένων ἀναστροφή-
σεσθαι. πανούργοις δὲ πονηρόν, τοὺς δὲ ἀλιτηρίους
κολάζει. πολλάκις δὲ καὶ διὰ σταυροῦ πέποθαι,
μήτε δὲ πολὺ τῆς γῆς ἀπέχοντα, μήτε αὖ τα-
πεινὸν σφόδρα, ἀλλ' ὡς δύνασθαι διαγινώσκειν
τὰ ἐν τῇ γῇ, ἀποδημίαν τινὰ καὶ μετανάστα-
σιν σημαίνει. ἔξεστι δὲ μαθεῖν τῷ ἰδόντι ἐν τῇ
ἀποδημίᾳ ποταπὰ τὰ πάντα ἀπαντήσει ἀπὸ
τῶν ἐν τῇ γῇ βλεπομένων. πεδία μὲν γὰρ καὶ ἄ-
ρουραι καὶ πόλεις καὶ κῶμαι καὶ ἀγροὶ, καὶ πάντα
τὰ ἀνθρώπων ἔργα, καὶ ποταμοὶ καλοὶ, καὶ λει-
μῶνες καὶ λίμναι καὶ λιμένες, καὶ θάλασσα εὔ-
διος, καὶ ὅρμοι καὶ νῆες οὐριοδρομοῦσαι, ταῦτα
πάντα βλεπόμενα, ἀγαθὴν τὴν ἀποδημίαν
μαντεύεται. ἄγκη δὲ καὶ φάραγγες, καὶ νάπαι, καὶ
πέτραι, καὶ θηρία, καὶ ποταμοὶ χείμαρροι, καὶ
ὄρη, καὶ κρημνοὶ, πονηρὰ πάντα τὰ ἐν τῇ ἀπο-

non in sua patria hoc facere, quoniam transmigrationem significat, propterea quòd terram non contingat. Quodam enim modò dicit somnianti somnium, quòd patriam cõtingere & accedere non possit. Volare alas habẽtem, ex æquo omnibus bonum est. Nam serui ob hoc somnium manumittuntur, quoniam omnes volantes auiculæ, neque dominum habent, neque ducem aliquem sequuntur. Pauperes autem multas pecunias acquirunt. Quemadmodum enim pecuniæ portant ac vehunt homines, sic etiam alæ aues. Diuitibus verò & valde potentibus principatus portendit. Quemadmodum enim ea quæ volant supereminent ea quæ per terram repunt, sic principes priuatos præcellunt. At verò absque alis volare, & multum à terra distare, periculum & timore somnianti significat. Sed & circum tegulas volare, ac domos, & biuia, seditiones ac turbationes animæ præsagit. Verùm videri sibi in cœlum euolare, seruos quidem in maiores domos transituros esse significat, & sæpe in regiam aulam peruenturos. Liberos autem etiam inuitos sæpe obseruaui, ob hoc somnium in Italiam profectos. Quemadmodum enim cœlum domus est deorum, sic Italia regum. Eos verò qui latere cupiunt, & occultantur reuelat. Omnia enim quæ in cœlo sunt, manifesta & conspicua omnibus sunt. Volare cùm auibus, significat cùm aliis gentibus & externis conuersationem fore. Maleficis autem malum est, scelestos enim punit. Sæpe verò & per crucem volare, ita vt neque multum à terra quis distet, neque rursus valde humilis volet, sed vt ea quæ in terra sunt cognoscere possit, peregrinationem quandam ac transmigrationem significat. Qualia autem obuentura sint in peregrinatione ipsi somnianti, ea omnia promptum est discere ex his quæ in terra videt. Campi enim & arua, & vrbes, & villæ, & agri, & omnia hominum opera, & fluuij pulchri, & prata, & stagna, & portus, & mare tranquillum, & portus arte parati, & naues secundo vento vtentes. Hæc omnia si videntur bonam peregrinationem præsagiunt. Valles autem & cõualles, & saltus, & petræ, & feræ, & fluuij torrentes, & montes, & rupes, omnia mala in peregri-

natione futura prædicunt. Semper autem bonum est vbi quis à volatu sursum facto rursus deuolet, & sic expergesiat. Omnium verò optimum est, volentem volare, & non inuitum in aërem ferri, & rursus vltro quiescere. Multam enim facilitatem & promptitudinem in rebus agendis prædicit. Verùm si quis persequentibus feris, aut homine, aut dæmone, volet, minimè bonum est. Timores enim ingentes & pericula magna inducit. Nam in somnis tantus erat timor, vt non sufficere ad fugam terram putaret, sed cœlum peteret. Bonum est seruo intra heri domum volare, multis enim in domo præeminebit. Si verò extra domum volarit, post prosperitatem è domo exibit, mortuus quidem si per atrium domus euolauerit, venditus verò si per ianuam, fugitiuus, si per fenestram. Supinum volare, nauiganti aut nauigare volenti, non est malum. Vt plurimum enim etiam in naui, vbi non tempestas, supini homines sunt: reliquis ocium prædicit. Supinos enim ociosos dicimus: ægrotos autem occidit. Omnium porrò pessimum & sinistimum, volare velle & non posse, aut etiam volantem caput ad terram habere, & pedes versus cœlum. Multam enim infelicitatem somnianti significat. Quomodocunque autem volarit homo ægrotus, morietur. Aiunt enim etiam animas à corporibus separatas in cœlum abire, superexcellenti velocitate vtentes, & vt ita dicam, volucrium similes. Qui verò sedentarias exercent artes, ex hoc somnio ab operis cessant, quo mobiles reddantur, & in sellis non maneant, propter volatum. Vincti autem soluuntur. Est enim & pedibus & manibus exolutus qui volat. Multi verò etiam cæci facti sunt. Similes enim sunt volantibus cæci, propter timorem casus. In curru, aut sella, aut lecto, aut sede, siue aliquo alio fulcri aut fundamenti loco subiecto sedentem volare, magnum morbum aut resolutionem siue paralysim significat, aut crurum vsum interceptum iri, & sic curru portari, propterea quod terram contingere non possit. At verò si quis peregrinari velit, ei hoc somnium non ita malum est. Nam cum tota domo, omníque instrumento do-

δημία προσαγορεύουσιν. ἀεὶ δὲ ἀναπταῖντα πάλιν καταπτῆναι καὶ οὕτω διυπνίζεσθαι, ἀγαθόν. πάντων δὲ ἄριστον, τὸ ἑκόντα πέτεσθαι καὶ βουλόμενον ἀνίπτασθαι, καὶ ἑκόντα παύεσθαι. πολλὴν γὰρ ῥαστώνην καὶ εὐχέρειαν τοῖς πραττομένοις προσαγορεύει. διωκόμενον δὲ ὑπὸ θηρίων, ἢ ὑπὸ ἀνθρώπου ἵπτασθαι ἢ ὑπὸ δαίμονος, οὐκ ἀγαθόν. φόβους γὰρ μεγάλους καὶ κινδύνους ἐπάγει. καὶ γὰρ ἐν τοῖς ὕπνοις τοσοῦτον ἦν τὸ δέος, ὥς τε μὴ ἱκανὴν ἡγήσασθαι εἰς τὸ φεύγειν τὴν γῆν, ἀλλὰ τοῦ οὐρανοῦ ἐπιλαβέσθαι. ἀγαθὸν δὲ δούλῳ, τὸ ἐν τῇ οἰκίᾳ τοῦ δεσπότου πέτεσθαι. πολλῶν γὰρ ἐν τῇ οἰκίᾳ ὑπερέξει, εἰ δὲ ἐκτὸς πέτοιτο τῆς οἰκίας, μετὰ τὴν εὐημερίαν ἐξελεύσεσθαι τῆς οἰκίας. ἀποθανὼν μὲν, ἐὰν διὰ τῆς αὐλῆς ἢ τῆς οἰκίας ἐκπίπτῃ. πραθεὶς δὲ, ἂν διὰ πυλῶνος. ἐὰν δὲ διὰ θυρίδος, ἀποδράσας. πέτεσθαι δὲ ὕπτιον, πλέοντι μὲν ἢ βουλομένῳ πλεῦσαι, οὐ πονηρόν. ὡς γὰρ ἐπὶ τὸ πολὺ καὶ ἐν πλοίῳ ὅταν γε μὴ χειμάζωνται, ὕπτιοι εἰσὶν οἱ ἄνθρωποι· τοῖς δὲ λοιποῖς, ἀπραξίαν προσαγορεύει. ὑπτίους γὰρ τοὺς ἀπράκτους λέγομεν· νοσοῦντας δὲ ἀναιρεῖ. πάντων δ' ἂν εἴη πονηρότατον καὶ σκαιότατον, τὸ βούλεσθαι πέτεσθαι καὶ μὴ δύνασθαι, ἢ καὶ πετόμενον, πρὸς τῇ γῇ τὴν κεφαλὴν ἔχειν, καὶ πρὸς τὸν οὐρανὸν τοὺς πόδας. πολλὴν γὰρ κακοδαιμονίαν σημαίνει, τῷ ἰδόντι. ὅπως δ' ἂν πέτηται νοσῶν ὁ ἄνθρωπος, τεθνήξεται. φασὶ γὰρ καὶ τὰς ψυχὰς ἀπαλλαγείσας τῶν σωμάτων, εἰς τὸν οὐρανὸν ἀνιέναι, τάχει χρωμένας ὑπερβάλλοντι, καὶ ὡς εἰπεῖν πτηνῶν ὁμοίας. οἱ δὲ τὰς ἐπιδιφρίους ἐργαζόμενοι τέχνας, παύονται τῆς ἐργασίας. ἵνα εὐκίνητοι γένωνται, καὶ μὴ μένωσιν ἐφ' ἕδρας διὰ τὴν πτῆσιν. καὶ οἱ δεδεμένοι λύονται. εὔλυτος γὰρ ὁ ἱπτάμενος καὶ ποσὶ καὶ χερσί. πολλοὶ δὲ καὶ ἐτυφλώθησαν. ἐοίκασι γὰρ καὶ οἱ τυφλοὶ τοῖς ἱπταμένοις, διὰ τὸ ἀεὶ φοβεῖσθαι καταπεσεῖν. ἐπὶ δίφρου δὲ ἢ βαθμοῦ ἢ κλίνης ἢ βάθρου ἢ ἄλλου τινὸς καθεζόμενον ἵπτασθαι, μεγάλην νόσον νοσῆσαι ἢ παραλυθῆναι σημαίνει, ἢ τοῖς σκέλεσιν οὐκέτι χρῆσθαι, ἀλλ' ἐπὶ δίφρου βασταχθῆναι, διὰ τὸ μὴ δύνασθαι τῆς γῆς ψαύειν. ἀποδημεῖν δὲ βουλομένῳ τὸ ὄναρ τοῦτο, οὐκέτι πονηρὸν γίνεται. μετὰ γὰρ ὅλου τοῦ οἴκου καὶ τῆς ἐνθήκης τῆς

ἰδίας ἀποδημήσει, ἢ καὶ ὀχήμασι φερόμενος.

Περὶ ἀξιοπίστων. οδ'.

ΤΩΝ δὲ ἀξιοπίστων λεγομένων, οἷς λέγουσί τι κατ' ὄναρ πιστεύειν χρὴ καὶ πείθεσθαι, φημὶ πρώτους εἶναι θεούς. ἀλλότριον γὰρ θεοῦ τὸ ψεύδεσθαι. ἔπειτα ἱερεῖς· τῆς γὰρ αὐτῆς τοῖς θεοῖς παρὰ ἀνθρώποις τετυχήκασι τιμῆς· εἶτα βασιλεῖς καὶ ἄρχοντας· τὸ κρατοῦν γὰρ δύναμιν ἔχει θεοῦ. εἶτα γονεῖς καὶ διδασκάλους, καὶ γὰρ οὗτοι, ὅμοιοι εἰσὶ θεοῖς, οἱ μὲν, εἰσάγοντες εἰς τὸ ζῆν. οἱ δὲ, ὅπως χρὴ τῷ ζῆν χρῆσθαι διδάσκοντες. εἶτα μάντεις, μάντεων δὲ, τοὺς μὴ ἀπατεῶνας, μὴ δὲ ψευδομάντεις. ὅσα γὰρ ἂν λέγωσι πυθαγορικοί, φυσιογνωμονικοί, ἀστραγαλομάντεις, τυρομάντεις, γυρομάντεις, κοσκινομάντεις, μορφοσκόποι, χειροσκόποι, λεκανομάντεις, νεκυομάντεις, ψευδῆ πάντα καὶ ἀνυπόστατα νομίζειν χρή. καὶ γὰρ αἱ τέχναι αὐτῶν εἰσὶ τοιαῦται, καὶ αὐτοὶ μὲν μαντικῆς οὐδὲ βραχὺ ἴσασι. γοητεύοντες δὲ καὶ ἐξαπατῶντες, ἀποδιδύσκουσι τοὺς ἐντυγχάνοντας. ὑπολείπεται δὴ μόνα ἀληθῆ εἶναι, τὰ ὑπὸ τούτων λεγόμενα, καὶ οἰωνιστῶν, καὶ ἀστεροσκόπων, καὶ ὀνειροκριτῶν, καὶ ἡπατοσκόπων. Περὶ δὲ μαθηματικῶν τῶν γενεσιαλόγων, ἐπισκεψόμεθα. ἔτι τῶν ἀξιοπίστων εἰσὶ καὶ οἱ νεκροί, ἐπεὶ πάντως ἀληθεύουσι. διὰ γὰρ δύο ταῦτα οἱ ψευδόμενοι ἀπατῶσιν· ἢ διὰ τὸ ἐλπίζειν τι, ἢ διὰ τὸ φοβεῖσθαι. οἱ δὲ μήτε ἐλπίζοντές τι, μήτε φοβούμενοι, εἰκότως ἀληθῆ λέγουσι. μάλιστα δὲ οἱ νεκροὶ εἰσὶ τοιοῦτοι. Ἔτι καὶ τὰ παιδία ἀληθῆ λέγει· οὐδέπω γὰρ οἶδε ψεύδεσθαι καὶ ἐξαπατᾶν. καὶ οἱ παντελῶς πρεσβύται· τὸ ἀξιόπιστον γὰρ διὰ τοῦ γήρως ἐνδείκνυται, καὶ τὰ ἄλλα ζῶα πάντως ἀληθῆ λέγει. διὰ τὸ μὴ εἶναι ἐν μεθόδῳ λόγου. οἱ δὲ λοιποί, ἵνα μὴ καθ' ἕκαστον λέγω, πάντες ὅ, τι ἂν λέγωσι, ψεύδονται, πλὴν τῶν ἐν τῷ ἀναχωρεσβίῳ πεσῶν, καὶ τοῖς ἤθεσι χρηστῶν.

mestico proficiscetur, aut etiam vehiculis perferetur.

De Fide dignis.

CAP. 74.

EX his qui fide digni dicuntur, quibus aliquid per somnium dicentibus credere oportet & obedire, primos esse deos sentio. Nam alienum à deo est mentiri. Deinde sacerdotes: eundẽ enim quem diis honorẽ homines ipsis habent: postea reges, & principes. Quicquid enim dominatur vim habet Dei. Deinde parentes & præceptores. Nam hi similes sunt diis, illi ad vitam inducentes, hi quomodo viuere oporteat docentes. Deinde Vates, & ex vatibus non deceptores, neque vanos vates. Quæcunque enim dixerint Pythagorici, physiognomonici, talorum vates, ignium vates, circulorum vates, cribrorum vates, formispices, manuspices, peluium vates, mortuorum vates, ea omnia falsa & nullo fundamento nixa putare oportet. Nam ipsorum artes tales sunt, atque ipsi ne minimum quidem Vaticinationis sciunt, verùm præstigiis illudentes & defraudantes, obuenientes exuunt ac denudant. Reliquum itaque est solum ea vera esse, quæ ab his dicuntur, veluti sunt Augures, Astrorum inspectores, somniorum interpretes, & hepatispices. Verùm de mathematicis genealogiarum ac natiuitatum rationem inquirentibus, suspensa sententia considerabimus. Insuper autem fide digni sunt mortui, quoniam omnino vera dicunt. Duæ enim causæ sunt propter quas mentientes decipiunt, aut quòd aliquid sperent, aut quòd timeant. Atqui neque sperantes quid, neque timentes, meritò vera dicũt. Tales autem sunt vel maximè mortui ipsi. Amplius verò & pueri vera dicũt, Neque enim adhuc nouerunt mentiri & fallere. Et omnino Senes, Nã fide dignũ per senectutẽ indicatur. Sed & alia animalia penitus vera dicunt, propterea quòd sermonis rationẽ non tenent. Reliqui autẽ, vt ne singula recensendo sermonem extendam, omnes, quicquid tandem dixerint, mentiuntur, exceptis his qui vitam in secessu degunt, & bonos mores habẽt.

At verò theatris seruientes, & in pulpita & orchestras ascendentes, inde adeò propter simulatas personas apud omnes fidem perdunt, item sophistæ, & pauperes, & galli, & exsecti & spadones. Hi enim etiam non dicentes quicquam, vanas spes esse significant, propterea quòd natura neque inter viros, neque inter fœminas numerari possunt. Oportet igitur fide dignis de omnibus quæ dicunt fidem habere.

De Temporibus vitæ.

CAP. 75.

HVmana ætas iuxta aliquos, annos septem habet. Vnde & medici dicunt, nemini duarum ætatum venam secandam esse, decem & quatuor annos natum significantes, tanquam qui adhuc ampliore sanguine opus habeat, & superfluum sanguinem nondum habeat: secundum quosdam annos triginta habet. Vnde & Nestorem aliqui sexaginta annos transgressum esse volunt, & in tertia ætate fuisse, atque ad nonaginta annos peruenisse, de quo sane poëta ait:

Ætatis qui hominum duo secula vixerat ætas
Tertia sed regem cernebat.

Cæterùm apud nos centum anni perfectum vitæ humanæ tempus censentur, quandoquidem plurimos tam diu viuere videmus, aut paulò minus annorum implentes, aut paulò amplius transgredientes, & alioqui rationem euentuũ ad hunc numerum correspondentem ipsa experientia ostendit, & propterea etiam nos ætate vsi sumus velut centum annos cõplectente. Quicunque igitur per integras literas scripti numeri, calculum intra cẽtenarium perficiunt, eos scribere & computare oportet, & opinari tot annos significare, quot videlicet ipse numerus indicat. Sunt autem hi soli apud Græcos. ἓν, μία, ἕξ, δέκα, ἕνδεκα, δεκάκις, δέκα. significat quidem ἓν, quinquaginta quinque. Scribitur enim per ε, quinarij numeri notam, & per ν, quinquagenarij. Verùm μία, quinquaginta vnum significat, scribitur enim per μ. quadragenarij numeri, & per ι, denarij, & per α, vnitatis notam. ἕξ, deinceps sexaginta quinque significat.

θεατρικοὶ δὲ καὶ οἱ ἐπὶ θυμέλην ἀναβαίνοντες, αὐτόθεν διὰ τὰς ὑποκρίσεις πᾶσιν ἄπιστοι, καὶ σοφισταὶ, καὶ πένητες, καὶ γάλλοι, οἱ ἀπόκοποι καὶ σπάδοντες. οὗτοι γὰρ καὶ μὴ λέγοντές τι, ψευδεῖς τὰς ἐλπίδας εἶναι μηνύουσι, διὰ τὸ φύσει μήτε ἐν ἀνδράσι, μήτε ἐν γυναιξὶν ἀριθμεῖσθαι. χρὴ οὖν τοῖς ἀξιοπίστοις καὶ περὶ τῶν ἄλλων πάντων λέγουσι πιστεύειν.

Περὶ χρόνων ζωῆς. οε.

ΕΧει ἡ ἀνθρωπίνη γενεὰ κατ' ἐνίους μὲν, ἔτη ἑπτά. ὅθεν καὶ λέγουσιν ἰατρικοὶ, τῶν δύο γενεῶν μηδένα φλεβοτομεῖν, τὸν τεσσαρεσκαιδεκαέτη λέγοντες, ὡς ἔτι προσδεόμενον αἵματος, καὶ οὐδέπω ἔχοντα περισσὸν αἷμα· κατ' ἐνίους δὲ, τριάκοντα. ὅθεν καὶ τὸν Νέστορα βούλονταί τινες ὑπερβαίνειν τὰ ἑξήκοντα ἔτη, εἶναι δὲ ἐν τῇ τρίτῃ γενεᾷ, καὶ εἰς ἐνενήκοντα ἔτη γεγονέναι, ὅν φησιν ὁ ποιητής,

Τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων
Ἐφθίατο, μετὰ δὲ τριτάτοισιν ἄνασσε.

Καθ' ἡμᾶς δὲ ἑκατὸν ἔτη εἶναι τὸν τέλειον τῆς ζωῆς χρόνον, ἐπειδὴ τοὺς πλείστους ἢ ὀλίγῳ ἀποδέοντας ζῶντας ὁρῶμεν, ἢ ὀλίγῳ ὑπεραίροντας. ἄλλως τε καὶ ἐπειδὴ τὸν λόγον τῶν ἀποτελεσμάτων πρὸς τοῦτον τὸν ἀριθμὸν συμφωνοῦντα ἡ πεῖρα δείκνυσι, διὰ τοῦτο καὶ ἡμεῖς τῇ γενεᾷ ἐχρησάμεθα, ὡς δὴ ἐχούσῃ ἔτη ἑκατόν. ὅσοι οὖν τῶν ἀριθμῶν γραφέντες δι' ὅλων τῶν γραμμάτων ἀποτελοῦσι ψῆφον ἐντὸς τῶν ἑκατὸν, τούτους χρὴ γράφειν καὶ ψηφίζειν, καὶ ἡγεῖσθαι τοσαῦτα ἔτη σημαίνειν, ὅσα ἂν ἡ ψῆφος μηνύῃ. εἰσὶ δὲ οὗτοι μόνοι. ἓν, μία, ἕξ, δέκα, ἕνδεκα, δεκάκις, δέκα, καὶ ἔστι τὸ μὲν ἓν, πεντηκονταπέντε. γράφεται γὰρ διὰ τοῦ ε. καὶ τοῦ ν̄. Τὸ δὲ μία, πεντηκονταέν, γράφεται γὰρ διὰ τοῦ μ̄, καὶ τοῦ ῑ, καὶ τοῦ ᾱ, τὸ δὲ ἕξ, ἑξηκονταπέντε.

γράφεται γὰρ διὰ τοῦ ε, καὶ τοῦ ξ. ὁμοίως δὲ καὶ τὰ δέκα, καὶ τὰ ἕνδεκα, καὶ τὰ δεκάκι δέκα, τῇ αὐτῇ ἐπινοίᾳ γράφειν καὶ ψηφίζειν χρή. εὑρεθήσεται γὰρ τὰ μὲν δέκα ὄντα, τριάκοντα. τὰ δὲ ἕνδεκα, ὀγδοηκονταπέντε. τὰ δὲ δεκάκι δέκα, ἐνενήκοντα, συντιθεμένων τῶν γραμμάτων καθ᾽ ἓν ἕκαστον. καὶ οὕτως μὲν ἐκλαμβάνειν τούτοις τοῖς ἀριθμοῖς χρή. ὅσοι δὲ τῶν ἀριθμῶν γραφέντες δι᾽ ὅλων τῶν γραμμάτων καὶ ψηφισθέντες ὑπερβάλλοιεν τὴν ἀνθρωπίνην γενεάν, οἷον, τὰ δύο γίνεται· τετρακόσια ἑβδομηκοντατέσσαρα ταῦτα δὲ οὔτε ἐνδέχεται, οὔτε λόγον ἔχει ζῆσαι τοσαῦτα ἔτη τινά. τούτοις οὖν τοῖς ἀριθμοῖς κατὰ τὴν ἀνάβασιν τὴν τῶν στοιχείων λαμβάνομεν οὕτως. ἐπὶ τὸ σημαῖνον στοιχεῖον καὶ τὸν ἀριθμὸν ἐλθόντες, ψηφίζομεν ἑκάστου τῶν προαγόντων στοιχείων τὸν ἀριθμόν. οἷον τὰ δύο, δείκνυται ἀπὸ τοῦ β, προσθέντες τὸ α, φαμὲν εἶναι τρία. τὰ δὲ τρία συναριθμήσαντες τῷ ἑνὶ καὶ τοῖς δυσί, φαμὲν εἶναι ἕξ, ὁμοίως τὰ τέσσαρα σὺν τῷ τῶν ἔμπροσθεν στοιχείων ἀριθμῷ, γίνεται δέκα. τὰ πέντε ὁμοίως γίνεται δεκαπέντε. τὰ δὲ ἓξ ἐν τῷ ἔμπροσθεν λόγῳ ἐπεδείξαμεν ὄντα ἑξηκονταπέντε. τὰ δὲ ἑπτὰ σὺν τῷ ἔμπροσθεν ἀριθμῷ, τῶν ἓξ μὴ συναριθμουμένων διὰ τὸ καὶ σημαίνειν κατ᾽ ἰδίαν τὰ ἑξηκονταπέντε, καὶ ὑπὸ στοιχείου μὴ δείκνυσθαι, ἀλλ᾽ ὑπὸ χαρακτῆρος, γίνεται εἰκοσιδύο. ἔτι τὰ ὀκτώ, τριάκοντα. τῷ αὐτῷ λόγῳ καὶ τὰ ἐννέα, τριακονταεννέα. τὰ δὲ δέκα, ἴδιον φασὶν ἔχειν λόγον. τὰ γὰρ γραφέντα δι᾽ ὅλων τῶν γραμμάτων καὶ ψηφισθέντα, κατὰ μόνας σημαίνει· καὶ πάλιν ὅτι οὐχ ὑπὸ χαρακτῆρος, ὡς τὰ ἕξ, ἀλλ᾽ ὑπὸ στοιχείων δείκνυται, κατὰ τὴν ἀνάβασιν τὴν τῶν στοιχείων, γίνεται τεσσαρακονταεννέα. ἵνα δὲ μὴ εἰς ἀμφίβολον πίπτῃ τις, ἐὰν μὲν ἀκούσῃ φωνὴν λέγοντός τινος δέκα, σημαίνει τριάκοντα. διὰ τὴν ἀπὸ τῶν δέκα γραφομένων καὶ συναγομένων ψῆφον. ἐὰν ἰῶτα ἴδῃ που γεγραμμένον, λέγοιτο ἂν τεσσαρακονταεννέα, κατὰ τὴν προειρημένην ἔννοιαν. συναριθμουμένης τῆς δεκάτης τῶν ἔμπροσθεν στοιχείων ψήφου. οὕτως τὰ εἴκοσι, ἑξηκονταεννέα γίνεται. καὶ τὰ τριάκοντα,

Scribitur enim per ε, quinarij, & ξ, sexagenarij numeri notam. Similiter & δέκα, & ἕνδεκα, δεκάκι, δέκα, iuxta eundem intellectum & scribere & supputare oportet. Reperientur enim in δέκα voce, triginta, in ἕνδεκα, octoginta quinque, in δεκάκι δέκα, nonaginta, ita vt compositas literas singulatim singulas excerpamus, atque sic numeros ex ipsis colligamus. Quicũque verò numeri per integras literas scripti & computati, humanam ætatem excedunt, velut δύο, quod efficit quadringẽta septuaginta quatuor, iuxta eos neque possibile est, neque rationi cõsentaneum, vt aliquis tot annos viuat: hos igitur numeros iuxta ascensum elementorum accipimus hoc modo. Adsignificans elementum ac numerum progressi, singulorum præcedentium elementorum numerum supputamus, veluti δύο quæ indicãtur per β apposita α, dicimus esse tria. τρία verò connumeratis vno & duobus, dicimus esse sex. Similiter τέσσαρα cum præcedentium elementorum numero fiunt decem. πέντε similiter fiunt quindecim. Verum ἕξ in superiore sermone indicauimus esse sexaginta quinque. At verò ἑπτα cum præcedenti numero, ἕξ non cõnumeratis, propterea quod priuatim sexaginta quinque significent, & per elementum non iudicetur, sed per integram characterum scripturam, fiunt viginti duo. Amplius autem ὀκτὼ fiunt triginta. Eadémque ratione ἐννέα fiunt triginta nouem. δέκα verò propriam aiunt habere rationem. Nam qui per integras literas scripti ac supputati sunt numeri, singulatim & per se significant. Et rursus, quia non per scripturam characterum, velut ἕξ, sed per elementum significantur, δέκα fiunt quadraginta nouem, secundum ascensum prẹcedentium elementorum numero simul supputato. Quo verò omnis ambiguitas remoueatur, Siquidẽ audieris vocem alicuius dicentis δέκα, significat triginta, propter supputationem quæ colligitur ex δέκα voce scripta. Si verò ι alicubi videris scriptum, accipies per ipsum quadraginta nouem, iuxta prædictum intellectum, vt præcedentium elementorum numerus simul cum denario complicetur. Atque hoc modo εἴκοσι sexaginta nouem fiunt, & τριάκοντα,

nonaginta nouem. Cæterùm τεσσαράκοντα non amplius iuxta eundem modum accipere oportet. Neque enim centum triginta nouem annos vllus aliquis vixerit. Quæ ratio etiam in πεντήκοντα, & adhuc maioribus numeris est obseruanda. Oportet igitur hos, non iuxta ascensum numeri elementorum, sed iuxta positionem elementorum accipere ac interpretari. Velut τεσσαράκοντα notantur per elementum μ quod ipsum indicabit duodecim. Est enim duodecim elementum μ quod τεσσαράκοντα significat. Quando autem sequitur ex ordine ν consequens est vt quandoquidem ipsum μ duodecimum est elementum, & ν decimum tertium, siue tredecim, fiat sanè & ξ decimum quartum & significet quatuor & decem, & reliqua eodem modo. Sunt porrò & quidam compositi numeri, quos diuidere oportet velut in primis quidem sic, decem bis dicta significant viginti, & decem ter, triginta, & quater decem, quadraginta, & quinquies decem, quinquaginta, & sexies decem, sexaginta, & septies decem, septuaginta, & octies decem, octoaginta, & nouies decem, nonaginta. Et rursus, viginti bis, quadraginta. Viginti ter, sexaginta. Viginti quater, octoaginta. Viginti quinquies, centum. Sic & triginta bis, sexaginta, triginta ter, nonaginta, Et quadraginta bis, octoaginta, & quinquaginta bis, centum. At verò in alijs plurium annorum numeris, velut si quis audisset aliquem dicentem, viues annos viginti sex, diuidere oportet, & viginti quidem vt viginti accipere, verum ἕξ id est sex, iuxta superiorem rationem accipere. Fiunt igitur omnes anni octoginta quinque. Si verò viginti septem, viginti quidem per se, septem verò iuxta priorem rationem viginti duo accipere oportet, fiunt igitur omnes quadraginta duo. Sic & viginti octo, quinquaginta, & quicunque alius numerus cùm vicenario coniunctus, supra quinque per se calculum & supputationem subeat. Similiter & quicunque numerus cum tricenario copulabitur, supra tria, & quicunque cum quadraginta, supra duo, & quicunque cum quinquaginta, supra duo, velut exépli gratia. Si quis audisset aliquem dicentem, viues annos quinquaginta septem,

ἐνενηκονταεννέα. οὐκέτι δὲ τὰ τεσσαράκοντα κατὰ τὸν αὐτὸν ἐκλαμβάνειν χρὴ τρόπον. οὐ γὰρ ἑκατὸν τριακονταεννέα ζήσεταί τις ἔτη. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν πεντήκοντα, καὶ ἐπὶ τῶν ἔτι μειζόνων ἀριθμῶν. χρὴ οὖν τούτους, οὐ κατὰ τὴν ἀνάβασιν τῆς ψήφου τῶν στοιχείων, ἀλλὰ κατὰ τὴν θέσιν τῶν στοιχείων ἐκλαμβάνειν. οἷον τεσσαράκοντα ἐστὶ, μ, ἣ ἐνδείξεται δεκαδύο· δωδέκατον γάρ ἐστι στοιχεῖον τὸ μ, τὸ τεσσαράκοντα σημαῖνον. πότε δὲ δέχεται τὸ ν, ὁ ἐπιὼν λόγος σημαίνει ἐπειδὴ τὸ μ δωδέκατόν ἐστι στοιχεῖον, καὶ τὸ ν ἐστι τρισκαιδέκατον ἤτοι δεκατρία. γίνοιτ' ἂν καὶ τὸ ξ, ἤτοι δεκατέσσαρα, καὶ τὰ λοιπὰ ὁμοίως. Εἰσὶ δὲ τινες καὶ σύνθετοι ἀριθμοί οὓς χρὴ διαιρεῖν· οἷον ἐπὶ μὲν τῶν πρώτων, οὕτω. τὰ δέκα δὶς λεγόμενα, σημαίνει εἴκοσι, καὶ τὰ δέκα τρὶς, τριάκοντα, καὶ τὰ τετράκις δέκα, τεσσαράκοντα, καὶ τὰ πεντάκις δέκα, πεντήκοντα, καὶ τὰ ἑξάκις δέκα, ἑξήκοντα· καὶ τὰ ἑπτάκις, ἑβδομήκοντα· καὶ τὰ ὀκτάκις, ὀγδοήκοντα· καὶ τὰ ἐννάκις, ἐννενήκοντα. καὶ πάλιν τὰ εἴκοσι δὶς, τεσσαράκοντα· καὶ τὰ εἴκοσι τρὶς, ἑξήκοντα· καὶ τὰ εἴκοσι τετράκις, ὀγδοήκοντα· καὶ τὰ εἴκοσι πεντάκις, ἑκατόν. πεντάκις τῶν εἴκοσι γινομένων· οὕτω καὶ τριάκοντα δὶς, ἑξήκοντα· καὶ τὰ τριάκοντα τρὶς, ἐνενήκοντα· καὶ τὰ τεσσαράκοντα δὶς, ὀγδοήκοντα. καὶ τὰ πεντήκοντα δὶς, ἑκατόν. ἐπὶ δὲ τῶν ἄλλων πλειόνων ἐτῶν, οἷον εἴ τις ἀκούσειέ τινος ἄλλου λέγοντος, ζήσεις ἔτη εἰκοσιέξ, χρὴ διαιρεῖν. καὶ τὰ μὲν εἴκοσι, ὡς εἴκοσι τίθεσθαι. τὰ δὲ ἕξ, κατὰ τὸν ἔμπροσθεν λόγον τίθεσθαι, ἑξηκονταπέντε· γίνεται οὖν τὰ πάντα, ὀγδοηκονταπέντε. εἰ δὲ καὶ εἰκοσιεπτά, τὰ μὲν εἴκοσι, κατ' ἰδίαν. τὰ δὲ ἑπτά, κατὰ τὸν ἔμπροσθεν λόγον, εἰκοσιδύο· γίνεται οὖν τὰ πάντα, τεσσαρακονταδύο. οὕτως καὶ τὰ εἰκοσιοκτώ, πεντήκοντα· καὶ ὅς τις δὴ ἄλλος ἀριθμὸς, σὺν τοῖς εἴκοσιν ὑπὲρ τὰ πέντε κατ' ἰδίαν ψηφιζέσθω. ὁμοίως καὶ ὁ μετὰ τῶν τριάκοντα, ὑπὲρ τὰ τρία. ὁ μετὰ τῶν τεσσαράκοντα, ὑπὲρ τὰ δύο. καὶ ὁ μετὰ τῶν πεντήκοντα, ὑπὲρ τὰ δύο. οἷον ὑποδείγματος χάριν, εἴ τις ἀκούσειέ τινος λέγοντος, ζήσεις ἔτη πεντηκονταεπτά,

εὔηθες ἐστὶν ἑπτάκις πεντήκοντα προσδοκᾷν ἄνθρωπον ζῆσαι, ἅπερ γίγνονται τριακόσια πεντήκοντα· ἀλλὰ δηλονότι τὰ ἑπτὰ κατ' ἰδίαν κατὰ τὸν ἔμπροσθεν λόγον ψηφισθέντα σὺν τοῖς πεντήκοντα, γίγνονται ἑβδομήκοντα-δύο. ὅταν μέν τοι τίς ᾖ ἐντὸς τοῦ εἰρημένου ἀριθμοῦ, οἷον εἴ τις ὢν ἐτῶν τριάκοντα, δόξειε λέγειν αὐτῷ τινά, ζήσεις ἔτη πεντήκοντα, οὗτος ζήσει λοιπὸν εἴκοσι· ἵνα αὐτῷ σὺν τοῖς τριάκοντα τοῖς πρὶν, τὰ εἴκοσι μέλλοντα γίνηται πεντήκοντα. εἰ δέ τις ὢν ἐτῶν ἑβδομήκοντα, δόξειε λέγειν αὐτῷ τινὰ ζήσειν ἔτη πεντήκοντα, οὗτος ζήσει λοιπὰ δεκατρία· δηλονότι, οὔτε ἐν τοῖς προτέροις λέγει αὐτῷ διὰ τὸ εἶναι τὰ πρότερα πλείονα τῶν πεντήκοντα, οὔτε μὴν ἄλλα πεντήκοντα ἔτη ἐπὶ τοῖς ἑβδομήκοντα οἷόν τε ζῆσαι, οὔτε ἐνδέχεται. τοιγάρτοι λοιπὰ δεκατρία ζήσεται. ὅτι τὰ πεντήκοντα σημαίνοντα τρισκαιδέκατον τέτακται. ὁ δὲ παραπλήσιος καὶ ἐπὶ τῶν ἄλλων ὁμοίων λόγος τετηρείσθω. ὅταν ᾖ ὁ λεγόμενος ἀριθμὸς τοῦ μὲν ἔμπροσθεν χρόνου ἥττων, πρὸς δὲ τὸν μέλλοντα ἀνένδεκτος. Ἔτι κἀκεῖνο, τὰς ἡμέρας καὶ τοὺς μῆνας καὶ τὰ ἔτη ὡς ἐπὶ τὸ πλεῖστον, οὕτως διακρίνειν. οὐ γὰρ πάντως ἀεὶ ἰσοδυναμοῦντα εὑρίσκομεν, καὶ γὰρ ἀπὸ ἐτῶν μῆνες καὶ ἡμέραι δείκνυνται, καὶ ἀπὸ μηνῶν, ἔτη καὶ ἡμέραι, καὶ ἀπὸ ἡμερῶν, μῆνες καὶ ἔτη. Ἵνα δὲ τοῦτο μὴ εἰς ἀμφίβολον πίπτῃ, ὅταν εἴπῃ τις ἔτη, ἐὰν μὲν σύμμετρα ᾖ καὶ ἐνδεχόμενα, ἔτη νομιζέσθωσαν. ἐὰν δὲ πολλά, μῆνες. ἐὰν δὲ ὑπέρμετρα, ἡμέραι. ἀναστρέφει δὲ ὁ λόγος καὶ ἀπὸ ἡμερῶν· ἐὰν γὰρ ὦσιν πολλαί, ἡμέραι νομιζέσθωσαν. ἐὰν δὲ σύμμετροι, μῆνες. ἐὰν δὲ ὀλίγαι, ἔτη. ὁμοίως καὶ οἱ μῆνες, πρὸς τὸ ἐνδεχόμενον ἐκλαμβανέσθωσαν. τὸ δὲ ἐνδεχόμενον ἢ μή, ἐνδείξει ἐπὶ τὸν τοῦ περὶ χρόνου ζωῆς λόγον, ἡ ἡλικία τοῦ ἰδόντος. ἐπὶ δὲ τῶν ἄλλων προθεσμιῶν, ἡ προσδοκία τῶν χρειῶν. μεμνῆσθαι δὲ χρὴ καὶ τοῦτο. ὅτι πολλάκις οἱ θεοὶ ἀποφαίνονται μὲν ὡς περὶ χρόνου ζωῆς. σημαίνουσι δὲ οὐ πάντοτε περὶ χρόνου ζωῆς. ἀλλὰ ἔστιν ὅτε καὶ περὶ μεταβολῆς τῶν πραγμάτων, καὶ περὶ ἐλευθερίας τοῖς δούλοις, καὶ

stolidum esset sperare hominẽm septies quinquaginta annos victurum esse, qui essent trecenti quinquaginta. Sed sanè septem per se iuxta superiorem rationem, vnà cum quinquaginta supputati, fiunt septuaginta duo anni. Quum tamẽ quis fuerit intra prædictum numerum, velut si quis annorum existens triginta, putaret aliquem sibi dicere, viues annos quinquaginta, hic viuet in posterum viginti, quo vnà cum prioribus triginta annis, viginti successura quinquaginta fiant. Si verò quis annos habens septuaginta videatur sibi quendam ipsi dicere, viues annos quinquaginta, hic de cætero tredecem annos viuet. Neque enim de primis ipsi dicit, propterea quòd primi plures quàm quinquaginta sint, neque tamen alios quinquaginta annos supra septuaginta viuere possibile est, aut contingens. Proinde reliquos tredecim annos viuet quoniam ν elementum quinquaginta significans, decimum tertium ex ordine locum obtinet. Consimilis autem & in aliis similibus ratio obseruetur, quum numerus qui alicui denuntiatur, prius transacto tempore fuerit minor, ad futurum verò tempus impossibilis. Insuper verò & dies, & menses, & annos vt plurimum sic diiudicare oportet. Neque enim semper æqualis penitus valoris reperiũtur. Nã & per annos, menses ac dies indicantur, & per menses, anni ac dies, & per dies, menses ac anni. Ne verò & hic in ambiguitatem delabamur, vbi quis annos dixerit, siquidem fuerint moderati & possibiles, pro annis iudicentur. Si verò multi, pro mensibus. Si autem penitus modum excesserint, pro diebus. Reuertit autem ratio à diebus. Si enim multi fuerint, pro diebus iudicentur. Si verò moderati, pro mensibus. Sin pauci, pro annis. Similiter & menses iuxta possibilitatem accipere ac interpretari oportet, possibilitatem autem & impossibilitatem iudicabit, quod ad temporis vitæ rationem attinet, ipsa somniantis ætas. In aliis verò præfinitis temporibus, expectatio & respectus necessitatum. Quin & huius meminisse oportet. Quod dij sæpe pronunciant quidem vt de temporibus vitæ, significant autem non semper de tempore vitæ, sed aliquando de permutatione rerũ, & seruis, de libertate, &

de aliis,

de aliis, quæ sermo supra de morte relatus complectitur.

Hæc quidē igitur quantū possibile fuit, pro viribus nostris, citra defectū, & vt mihi videtur ex integro, omnia dicta ac enumerata sunt tibi, Maxime, vir sapientissime. Si verò quispiā ex his quibus hi libri obueniēt, ex relatis quicquam ab alio aliquo acceptū esse, & nō à me per experiētiā cognitū putat, is vanā & temerariam alit suspicionem. Verùm vbi inciderit in huius libri præfationē eamq; diligentius expenderit, intelliget sanè meū propositū ac voluntatē. Insuper si cuipiā ad contrarium vergere videtur aliquid ex relatis, vt mihi videtur propterea quòd ab aliqua probabili ratione commoueatur, is sciat quòd inueniet quidem quæ dicat, & quæ credibilia fiāt, ad quæ inuenienda neque mihi facultas deerat. Verùm non his qui in theatris applausum captant, & verborū negociationē exercēt, vnquā placere volēs conuersatus sum, sed semper experiētiā & regulā testes meorū sermonum aduoco. Ego itaq; ad omniū experiētiā iam perueni. Neq; enim quicquam aliud feci, verùm semper & noctu & interdiu circa somniorū iudicationē ac interpretationē versatus sum. Tibi verò nō est necesse vt tēpus expectes, sed mox istuc per teipsum (quę tua sapientia atq; excellens prudētia est) de singulis ipsis iudicare poteris, num rectè an secus habeant. Est autē exiguum quiddā, quod rogo; omnes qui in hos libros inciderint, nimirū, vt neq; deponant quicquā, neque ex præsentibus quid adimāt. Siue enim quis poterit meis aliquid addere, facilius vtique propria fecerit. Si verò quædā ex scriptis in his libris superflua iudicauerit, his tantū quæ sibi placēt vtatur, reliquis ex libris non exēptis, deū inspectorē & custodē omnium reueritus Apollinē, à quo persuasus ego, vt qui patriū numen mihi existat, ad hanc tractationē progressus sum. Sæpe enim me cohortatus est, & maximè nunc manifestè institit mihi, quando tibi notus factus sum, & tantū nō iussit me hæc conscribere. Nihil igitur miri est Apollinē in Daldia, quē nos patrio nomine Mysten vocamus, ad hæc prodēda me cohortatum esse, vt qui virtuti & sapientiæ tuæ consultum velit. Nam Lydis quandam hospitij necessitudinem cum Phœnicibus esse, hi qui patriæ res ac historiam prodiderunt narrant.

περὶ τῶν ἄλλων ὅσα ἐμπεριέχειν ὁ περὶ θανάτου λόγος περιέχει.

Ταῦτα μὲν οὖν κατὰ τὸ ἐνδεχόμενον ἴσον ἔχον δυνάμεως, ἀνελλειπῶς τε ὡς ἐμοὶ δοκεῖ, ἐξ ὁλοκλήρου πάντα εἴρηταί σοι Κάσσιε Μάξιμε ἀνδρῶν σοφώτατε. εἰ δέ τις τῶν ἐντυγχανόντων ταῖς δὲ τῆς βίβλοις, τῶν εἰρημένων τι ὑπ᾽ ἐμοῦ, παρά τινος τῶν ἄλλων εἰλῆφθαι, καὶ μὴ ὑπὸ τῆς πείρας ἡγεῖται, ματαίως ὑπειλήφει. ἐπιμελέστερον δὲ ἐντυχὼν αὐτοῦ τούτου τῆς βιβλίου τῷ προοιμίῳ, καταγνώσεται τὴν προαίρεσιν τὴν ἐμήν. ἔτι καὶ εἴ τινι πρὸς τὸ ἐναντίον ῥέπειν τι τῶν εἰρημένων φαίνεται, ὡς ἐμοὶ δοκεῖ διὰ τὸ ὑπό τινος πιθανοῦ λόγου κινεῖσθαι, ἴστω ὅτι εὑρήσει λέγειν μὲν καὶ πιθανεύεσθαι. Κἀγὼ πάνυ μὲν ἱκανὸς ὤν· ἀλλὰ οὐ θεατροκοπίαις τε τοῖς λογεμπόροις ἀρέσκων ποτὲ μετῆλθον. ἀλλ᾽ ἀεὶ τὴν πεῖραν, καὶ κανόνα τε μάρτυρα τῶν ἐμῶν λόγων ἐπιβοῶμαι. Ἐγὼ μὲν οὖν πάντων ἤδη διὰ πείρας ἐλήλυθα· τῷ μηδὲν ἄλλο πράττειν, ἀεὶ δὲ καὶ νύκτας τε καὶ ἡμέρας πρὸς ὀνειροκρισίαν εἶναι. σὺ δὲ οὐκ ἀναμένεις χρόνον, ἀλλ᾽ αὐτόθεν διὰ τὴν σοφίαν καὶ τὴν ὑπερβάλλουσαν σύνεσιν, δυνήσῃ ἐπικρῖναι ἕκαστον αὐτῶν, εἴτε εὖ, εἴτε μὴ καλῶς ἔχει. δέομαι δὲ ὀλίγα τῶν ἐντυγχανόντων τοῖς βιβλίοις, μήτε προσθεῖναι, μήτε τῶν ὄντων ἀφελεῖν. εἴτε γὰρ δύναιτό τις τοῖς ἐμοῖς προσθεῖναι, ῥᾷον ἂν ἴδια ποιήσειεν. εἰ δέ τινα τῶν γεγραμμένων ταῖσδε ταῖς βίβλοις περισσὰ δοκεῖ, οἷς ἀρέσκεται μόνοις χρήσθω, τὰ λοιπὰ τῶν βιβλίων μὴ ἐξαίρων. θεὸν ἐπόπτην τε φύλακα πάντων νομίζων τὸν Ἀπόλλωνα. ᾧ πειθόμενος ἐγὼ πατρίῳ ὄντι θεῷ εἰς τήνδε τὴν πραγματείαν παρῆλθον, πολλάκις με προτρεψάμενον· μάλιστα δὲ νῦν ἐναργῶς ἐπιστάντι μοι, ἡνίκα σοι ἐγνωρίσθην, καὶ μονονουχὶ κελεύσαντι ταῦτα συγγράψαι. οὐδὲν οὖν θαυμαστὸν ἐν Δαλδίᾳ Ἀπόλλωνα, ὃν μύστην καλοῦμεν ἡμεῖς πατρῴῳ ὀνόματι, ταῦτά με προτρέψασθαι, τῆς σῆς ἀρετῆς καὶ σοφίας προνοούμενον· καὶ γὰρ εἶναί τινα Λυδοῖς προξενίαν πρὸς Φοίνικας, οἱ τὰ πάτρια ἡμῖν ἐξηγούμενοι φασίν.



ΤΆ ΔΕ ἘΝΕΣΤΙΝ ἘΝ ΤΩ͂Ι ΤΡΊΤΩΙ ΒΙΒΛΊΩΙ ΤΩ͂Ν Ἀρτεμιδώρου Ὀνειροκριτικῶν.

QVÆ IN TERTIO LIBRO ARTEMIDORI DE SOMNIORVM interpretatione contineantur.

Τοῦτο τὸ βιβλίον, ἐπισυναγωγή ἐστι τῶν παραλειπομένων ἐν τοῖς προτέροις δύο βιβλίοις. διὸ οὐδὲ κυρίως ἐπιγράφεται τρίτον, ἀλλὰ φιλαλήθης ἢ ἐνόδιον.

Hic liber congregatio & collectio est eorum, quæ in prioribus duobus libris sunt relicta. Quare neque propriè tertius inscribitur, sed Philalethes: hoc est, veritatis amator, aut Enodius, hoc est, Inuitatorius, siue Mercurialis in via positus.

ἈΡΤΕΜΙΔΩ΄ΡΟΥ ΔΑΛΔΙΑΝΟΥ͂ ὈΝΕΙ΄ΡΩΝ ΚΡΙ΄ΣΕΩΣ,

Βιβλίον τρίτον.

ΠΡΟΟΙ΄ΜΙΟΝ.

ARTEMIDORI DE SOMNIORVM INTERPRETAT. LIB. III.

PRÆFATIO.



Πειδὴ Κάσσιε Μάξιμε ἀποβλέψας εἰς τὸ μεγαλεῖον τῆς σῆς σοφίας προετράπην πραγματείαν συγγράψαι, ἣν ἐν τοῖς δυσὶ βιβλίοις ἐπραγματευσάμην, τὴν ἐπιδοθεῖσάν σοι ἔχουσαν τάξιν καὶ ἀκολουθίαν καὶ κατὰ μηδὲν κοινωνοῦσαν τῇ τῶν παλαιῶν ὑποθέσει, καὶ καθ' ὅσον ἐνεδέχετο, τὰ μὲν, ἐξ ὁλοκλήρου, τὰ δὲ, καὶ συμφωνούμενα ποσὶ, τὰ δὲ, καὶ κατὰ τὸ παρεῖκον ἐκφωνούμενα ἐξεῖπον, ἔδοξε δέ μοι



Vandoquidem magnitudinis sapientię tuę, Cassi Maxime, respectu, ad hanc tractationem conscribendam prouocatus sum, quam in duobus libris pertractaui, ita vt promissum tibi ordinem & consequentiam teneat, & nulla parte cum veterum proposito quicquam commune habeat, & sanè quantum possibile fuit, alia quidem ex asse & integro, alia verò cum quibusdam concordantia, alia autem etiam iuxta assimilationem pronunciata, prodidi & expressi: videbatur autem mihi

adhuc aliquid toti argumento deesse, verùm his quæ in vtrisque libris scripta sunt nihil adscribi posse aut decere, quandoquidem velut si sano & formoso corpori aliquid attextum esset, futurum id erat, ad formositatis ac prioris pulchritudinis conseruationem, seorsim & singulatim singulis relictis, sparsim & non coaceruatis, hunc libellum tibi feci, vt ne quis accessum & quasi scalam nactus, ad eiusmodi quippiam conscribendum progrediatur.

De Ludo cuborum, siue tesserarum. CAP. I.

CVbis ludere sibi videri, contentionem futuram significat cum aliquo de argento. Nam cubi siue tesseræ numerum continent, & calculi vocantur, quibus ludus is perficitur. Semper autem bonum est vincere. Si verò quis ægrotans suspicetur se calculis ludere, aut alium ludentem videre, pessimum est si ipse relinquatur. Quoniam victus non plures calculos habens, relinquitur. Ipsi autem cubi conspecti, seditiones & inimicitias prædicunt: perditi verò, seditiones eminentes soluunt, & aucti augent. At verò puerum videre ludentem cubis, aut talis, aut calculis, non est malum. Est enim puerorum consuetudo semper ludere. Verùm viro perfecto & mulieri malum est, talis ludere sibi videri, nisi sanè quis hoc somnium videat qui alicuius hæreditatem speret. Ex mortuis enim corporibus facti sunt tali, quapropter pericula reliquis præsagiunt.

De Furto. CAP. 2.

FVrari sibi videri, nemini bonum est, exceptis his qui aliquos decipere volunt. Furari enim, quod κλέπτειν Græcis hodie est, veteres pro παραλογίζεσθαι, hoc est falsa supputatione decipere vsurpabant. Quanto autem maiora & pretiosiora, aut securius custodita, quis furetur, tátò maius periculũ sustinebit. Verisimile est enim vt quibus periculis lex furẽ obiicit, iisdẽ somniũ somniantem subiiciat.

τῇ μὲν ὅλῃ ὑποθέσει προσδεῖν τι, τοῖς δὲ ἐν ἀμφοτέροις βιβλίοις γεγραμμένοις μηδὲν ἐπιδέχεσθαι προσγράφεσθαι, ἐπειδὴ ἔμελλεν ὥσπερ ὑγιεῖ σώματι καὶ εὐμόρφῳ προσπλακέν τι, καὶ εἰς εὔμορφον εἶναι τοῦ προτέρου παρατήρησιν κάλλους, ἰδίᾳ καὶ κατὰ μόνας ἕκαστον τῶν παραλελειμμένων σποράδην τε οὐ συνημμένα κεφάλαια συναγαγὼν, τοῦτό σοι τὸ βιβλίον ἐποίησα, ὡς ἂν μή τις ἀνθρώπων πάροδον τε ἐπιβάθραν τοῦ συγγράφειν τι τοιοῦτον εὕρῃ.

Περὶ τοῦ κυβεύειν. α΄.

ΚΥβεύειν δοκεῖν, φιλονεικῆσαι πρός τινα σημαίνει περὶ ἀργυρίου· καὶ γὰρ οἱ κύβοι, ἀριθμὸν περιέχουσι καὶ ψῆφοι λέγονται, οἷς οἱ κυβεύοντες παίζουσιν. ἀεὶ δὲ νικᾶν ἀγαθόν. εἰ δέ τις νοσῶν παίζειν ὑπολάβοι ψήφοις, ἢ ἄλλον παίζοντα * κακόν, μάλιστα δὲ εἰ αὐτὸς λείποιτο· ἐπειδὴ πλείονας ἔχων ψήφους καταλείπεται ὁ νικώμενος. αὐτοὶ δὲ οἱ κύβοι ὁρώμενοι στάσεις τε ἔχθρας προαγορεύουσιν. ἀπολλύμενοι δὲ, λύουσι τὰς ἐν ποσὶ στάσεις, καὶ αὐξανόμενοι, ἐπιτείνουσι. παιδίον δὲ παῖζον ἰδεῖν κύβοις ἢ ἀστραγάλοις, ἢ ψήφοις, οὐ πονηρόν. ἔθος γὰρ τοῖς παισὶν ἀεὶ παίζειν. ἀνδρὶ δὲ τελείῳ καὶ γυναικὶ, πονηρὸν τὸ ἀστραγάλοις δοκεῖν παίζειν, εἰ μὴ ἄρα κληρονομῆσαί τινα ἐλπίζων ἴδοι τις τὸν ὄνειρον. ἐκ νεκρῶν γὰρ σωμάτων γεγόνασιν οἱ ἀστράγαλοι, διὸ κινδύνους τοῖς λοιποῖς προαγορεύουσιν.

Περὶ τοῦ κλέπτειν. β΄.

ΚΛέπτειν δοκεῖν, οὐδενὶ ἀγαθὸν, πλὴν τῶν ἐξαπατᾶν τινὰς ἐθελόντων. κλέπτειν γὰρ καὶ τὸ παραλογίζεσθαι ἔλεγον οἱ παλαιοί. ὅσῳ δ' ἂν μείζονα ἢ τε πολυτελέστερα ἢ ἀσφαλέστερον τηρούμενα κλέπτῃ τις, τοσούτῳ μείζονα κίνδυνον ὑπομενεῖ. εἰκὸς γὰρ οἷς ὁ νόμος ὑπάγει τὸν κλέπτην, τοῖς αὐτοῖς καὶ τὸν ὄνειρον τὸν θεασάμενον ὑπάγειν.

Περὶ τοῦ ἱεροσυλεῖν. γ΄.

Ἱεροσυλεῖν δὲ καὶ θεῶν ἀναθήματα κλέπτειν, πᾶσι φύσει πονηρόν. μόνοις δὲ τοῖς ἱερεῦσι καὶ μάντεσι συμφέρει, καὶ γὰρ τὰς τῶν θεῶν ἀπαρχὰς τὸ ἔθος ἐπιτρέπει αὐτοῖς λαμβάνειν, καὶ τρόπον τινὰ ἀπὸ θεῶν τρέφονται, καὶ οὐ πάντες φανερῶς λαμβάνουσι.

De Sacrilegio. CAP. 3.

Sacrilegium perpetrare, & dijs oblata donaria furari, omnibus natura malum est, solis autem sacrificulis & vatibus conducit. Etenim primitias deorum consuetudine permissum est ipsis diripere, & quodam modo à dijs nutriuntur, & non omnes manifestè accipiunt.

Περὶ τοῦ ψεύδεσθαι. δ΄.

Ψεύδεσθαι οὐκ ἐπιτήδειον, πλὴν τῶν ἐπὶ θυμέλην ἀρχομένων, καὶ ἀγυρτῶν, καὶ ὧν ἔθος ἐστὶ ψεύδεσθαι. ἧττον δὲ πονηρὸν τοῖς ἀλλοτρίοις ψεύδεσθαι, ἢ τοῖς ἰδίοις. μεγάλας γὰρ τούτοις συμφορὰς σημαίνει, κἂν ἐπὶ σμικροῖς δοκῇ τις ψεύδεσθαι.

De Mendacio. CAP. 4.

Mentiri non est idoneum, nisi his qui ad orchestram ascendunt, & præstigiatoribus, & quibus mos est mentiri. Minus autem malum est alienis mentiri, quàm proprijs & suis. Magnas enim calamitates significat, etiam si ob paruas res quis mentiri sibi videatur.

Περὶ ὀρτύγων, καὶ ἀλεκτρυόνων μαχίμων. ε΄.

Ὄρτυγες τοῖς μὲν φιλοτροφοῦσιν ἀγγελίας σημαίνουσι διαποντίους ἀκούσειν ἀηδεῖς καὶ πονηράς. διαποντίους μὲν, ἐπεὶ καὶ αὐτοὶ μὲν ἐγχώριοι εἰσὶν, ἀλλὰ διαπόντιοι παραγίνονται. ἀηδεῖς δὲ, ὅτι καὶ μάχιμοί εἰσι καὶ ὀλιγόψυχοι, καὶ ἐν ταῖς κοινωνίαις καὶ φιλίαις, καὶ γάμοις, καὶ τοῖς βιωτικοῖς συμβολαίοις πᾶσι, στάσεων εἰσὶ καὶ φιλονεικιῶν σημαντικοί· καὶ τοὺς νοσοῦντας εἰ μὲν μετακομισθεῖεν, ἀποθανεῖσθαι σημαίνουσι διὰ τὸ ὀλιγόψυχον. μὴ μετακομισθέντες δὲ, ἧττον κινδυνεύσειν. καὶ πρὸς ἀποδημίαν εἰσὶ πονηροί, δόλους γὰρ καὶ ἐνέδρας καὶ λῃστείαν προαγορεύουσι, καὶ γὰρ αὐτοὶ τῆς οἰκείας μετανιστάμενοι, περιπίπτουσι τοῖς θηρᾶν αὐτοὺς βουλομένοις.

Ἀλεκτρυόνες δὲ οἱ μάχιμοι, στάσεων καὶ φιλονεικιῶν μόνον εἰσὶ σημαντικοί. πρὸς δὲ τὰ ἄλλα, οὐκέτι ὁμοίως τοῖς ὄρτυξιν ἀποβαίνουσιν.

De Coturnicibus, & Gallis pugnacibus.

CAP. 5.

Coturnices his qui eas libenter alunt, nuncios significant per mare affuturos iniucũdos & malos. & per mare quidem, quoniam etiam si ipsæ quidem vernaculæ regionis incolæ sint, tamen per mare accedunt. Iniucundos verò, quod & pugnaces sint & breuis vitæ, & in sodalitatibus, & amicitijs, & nuptijs, & vitæ commercijs, seditionum & contentionum significationem habent: & ægrotis si quidem traijciant, mortem significant, propter vitę breuitatem non traijcientes, minus periculum. Sed & ad peregrinationem malę sunt, dolos enim & insidias, & deprædationem significant. Nam & ipsæ è domibus discedentes, in manus incidunt eorum qui ipsis insidias struunt.

Galli verò pugnaces, seditionum & contentionum solummodo significatiui sunt. Verùm non ad alia ita similem cum coturnicibus euentum habent.

De Formicis.

CAP. 6.

FOrmicas alas habentes videre, nequaquam bonum est. perniciem enim & peregrinationes periculosas prædicũt. Reliquæ operariæ appellatæ, bonæ sunt agricolis. fertilitatem enim præsagiunt. Quoniam vbi non sunt semina, ibi nemo viderit formicas. Bonæ sunt eædem etiam his qui ex turba rem quærunt, & ægrotis, quando sanè non circa corpus somniantis diuersentur. Operariæ enim appellantur, & operari non cessant, quod proprium est viuentium. Quum autem circum corpus diuersantur, interitum præsagiunt, propterea quòd terræ filiæ sunt, & frigidæ & nigræ.

De Pediculis, & Lumbricis.

CAP. 7.

PEdiculos paucos habere, & in corpore aut vestibus inuenire, eosque occidere, bonum est. Omni enim tristitia ac cura liberatum iri somnium prædicit. Multos autem & copia excedentes, malum. Significat enim morbum longum, aut vincula, aut multam inopiam. In his enim malis pediculi abundant. & si quidem quis abijcit & depurgat omnes, spes est ipsi vt aliquando his liberetur. Si verò quis habens ipsos expergefiat, nunquam seruabitur.

Lumbricos excernere per sedem, aut per os, à domesticis hominibus & cohabitantibus, & vt plurimum eadem mensa vtentibus iniuria affectum, suos hostes & iniuriatores cogniturum esse & expulsurum significat, aut iuxta alium modum ipsis priuatum iri. Inhabitant enim corpori lumbrici, sed nihilo minus ipsum corpus lædunt. Postquam autem excreti fuerint, excretionem & expulsionem huiusmodi hominibus significant.

Περὶ μυρμήκων. ϛʹ.

ΜΥ΄ρμηκας τοὺς μὲν πτερὰ ἔχοντας, οὐδαμῶς ἰδεῖν ἀγαθόν· ὄλεθρον γὰρ προαγορεύουσι καὶ ἀποδημίας ἐπικινδύνους. τοὺς δὲ ἑτέρους ἐργάτας καλουμένους, ἀγαθὸν γεωργοῖς, εὐφορίαν γὰρ προμαντεύονται· ἐπειδὴ ὅπου μὴ ἔστι σπέρματα, οὐκ ἂν ἴδοι τις μύρμηκας. ἀγαθοὶ δὲ οὗτοι καὶ τοῖς ἐξ ὄχλου πορίζομένοις, καὶ τοῖς νοσοῦσιν, ὅταν γε μὴ περὶ τὸ σῶμα τοῦ ἰδόντος ἀναστρέφωνται. ἐργάται γὰρ καλοῦνται, καὶ ἐργοπονούμενοι οὐ διαλείπουσιν, ὅπερ ἴδιον ἐστὶ τῶν ζώντων. ἐπειδὰν δὲ περὶ τὸ σῶμα ἀναστρέφωνται, ὄλεθρον προαγορεύουσιν, ὅτι γῆς εἰσὶ παῖδες, καὶ ψυχροὶ καὶ μέλανες.

Περὶ φθειρῶν καὶ ἑλμίνθων. ζʹ.

ΦΘεῖρας ὀλίγους ἔχειν καὶ εὑρίσκειν ἐν τῷ σώματι ἢ ἐν τοῖς ἱματίοις, καὶ τούτους ἀναιρεῖν, ἀγαθόν. πάσης γὰρ λύπης καὶ φροντίδος ἀπαλλαγήσεσθαι προαγορεύει τὸ ὄναρ. πολλοὺς δὲ καὶ ὑπερβάλλοντας πλήθει, πονηρὸν ἔδοξε. σημαίνει δὲ καὶ νόσον μακρὰν, ἢ δεσμὰ, ἢ πολλήν γε ἀπορίαν. ἐν γὰρ τοῖς τοιούτοις πληθύνουσι καὶ οἱ φθεῖρες. καὶ εἰ μέν τις ἀποβάλλει καὶ ἀποκαθαίρει πάντας, ἐλπὶς αὐτῷ ποτε τούτων ἀπαλλαγήσεσθαι. εἰ δέ τις ἔχων αὐτοὺς ἐξυπνισθῇ, οὐκ ἄν ποτε σωθείη.

Ἕλμινθας ἀποκρίνειν διὰ τῆς ἕδρας ἢ διὰ τοῦ στόματος, ὑπὸ οἰκείων ἀνθρώπων, καὶ συνοικούντων, καὶ ὡς ἐπὶ πλεῖστον τραπέζῃ τῇ αὐτῇ χρωμένων ἀδικούμενον, μαθεῖν δηλοῖ καὶ ἀπώσασθαι τοὺς ἀδικοῦντας, ἢ κατ᾽ ἄλλον τρόπον στερηθήσεσθαι αὐτῶν. ἐνοικοῦσι μὲν γὰρ τῷ σώματι οἱ ἕλμινθες, ἀλλ᾽ οὐδὲν ἧττον αὐτὸ τὸ σῶμα λυμαίνονται. ἐπειδὰν δὲ ἀποκριθῶσιν, ἀποβληθήσεσθαι τοὺς τοιούτους ἀνθρώπους σημαίνουσιν.

Περὶ κόρεων, κωνώπων καὶ ἐμπίδων. η'.

Κόρεις δυσθυμίας καὶ φροντίδος εἰσὶ σημαντικοί. ἐπίσης γὰρ ταῖς φροντίσι καὶ οὗτοι ἀύπνους ποιοῦσι καὶ πρός τινας τῶν οἰκείων. ὡς δὲ ἐπὶ τὸ πλεῖστον πρὸς γυναῖκας ἀηδίας καὶ δυσαρεστήσεις φέρουσι.

Κώνωπες δὲ καὶ αἱ λεγόμεναι ἐμπίδες καὶ εἴ τι ἄλλο ὅμοιον, ἀνθρώποις ἐπιφοιτῆσαι τῷ ἰδόντι σημαίνουσι πονηρούς. βλάβην ἐνεγκουμένοις, καὶ προσέτι καταβοοῦντας. καπήλοις δὲ καὶ οἰνεμπόροις, εἰς ὄξος τὸν οἶνον μεταβαλεῖν προαγορεύουσι· χαίρουσι γὰρ ὄξει.

Περὶ μάχης καὶ μίσους. θ'.

Μάχεσθαι τοῖς οἰκείοις, οὐκ ἀγαθόν· οὐδὲ τοῖς ἐκτὸς. ἧττον δὲ πονηρὸν μάχεσθαι. νοσῶν τις ἐὰν δόξῃ μάχεσθαι, παρακόψει. μάχεσθαι δὲ τοῖς βελτίοσιν οἷον τοῖς δεσπόταις, βασιλεῦσι, μεγιστᾶσι, καὶ πᾶσι τοῖς ὑπερέχουσι, κακῶς διατεθῆναι σημαίνει, πρὸς τῶν οἷς τις ἐμάχετο.

Μισεῖν ἢ μισεῖσθαι, οὐδενὶ συμφέρει. οὐδὲν δὲ διαφέρει τινὰ μισεῖν, ὑφ' οὗ μισεῖταί τις. ἐπειδὴ τὸ μῖσος ἐχθροὺς ποιεῖ. οἱ δὲ ἐχθροὶ οὔτε συναιροῦνται, οὔτε συλλαμβάνονται. δεῖ δὲ τοῖς ἀνθρώποις βοηθείας· δεῖ καὶ τῶν συλλαμβανομένων· ἐπειδὴ διὰ τῶν τοιούτων ὠφελοῦνται. πονηρὸν δὲ ἐτηρήσαμεν τὸ μῖσος.

Περὶ σφαγῆς. ι'.

Σφάζεσθαι καὶ ἀποθνήσκειν ὅ, τι σημαίνει, ἐν τῷ περὶ θανάτου λόγῳ, ἐν τῷ δευτέρῳ βιβλίῳ προείρηται. σφαζομένους δὲ ἰδεῖν, ἀγαθόν. πάντα γὰρ τὰ προκείμενα ἐπὶ τὸ τέλος συμπερανθέντα ἤδη ἀφῖχθαι σημαίνει. ἐπειδὴ ἡ σφαγὴ τελευτῆς ἐστι σημεῖον.

De Cimicibus, & Culicibus.

CAP. 8.

Cimices anxietates & curas significant. Aequaliter enim velut curæ etiam hi somnium impediunt, insuperque erga quosdam domesticos, & ferè erga vxores, animum auersum & displicentiam inducunt.

Culices autem & si quid aliud simile est, homines malos somniantem aggressuros esse significant, damnum inferētes ampliúsque diuulgantes. Cauponibus autem & vinum vendentibus, vinum in acetum permutatum iri significant. Gaudent enim aceto.

De Pugna, & Odio. CAP. 9.

Pugnare cum domesticis, non est bonum: sed neque cum externis, minus tamen malum est. Si quis ægrotans putabit se pugnare, delirabit. Pugnare cum potioribus, velut dominis, regibus, magnatibus, & omnibus preminentibus potentia hominibus, malè affectum iri significat, pessimè enim de eo statuent hi contra quos pugnauit.

Odisse aut odio haberi, nemini conducit. Nihil autem refert nec differt quendam odisse à quo aliquis odio habetur, quandoquidem odium inimicos facit: inimici autem neque subleuant, neque adiuuant. Opus est autem hominibus auxilio, opus est & subleuātibus. Quoniam itaque per huiusmodi iuuantur, malum sanè odium obseruauimus.

De Mactatione, siue Cæde.

CAP. 10.

Mactari & mori quid significet, in sermone de morte libro secundo prædictum est. Mactatos autem & cæsos videre bonum est. Omnia enim proposita completa iam ad finem perducta esse significat. Quoniam cędes signū est finis.

De Crocodilo, & Fele.

CAP. II.

CRocodilus piratam aut homicidam, aut nihilo minus vecordem & nequam significat. Quomodocūque autem effecerit somniantem crocodilus, sic afficiet etiam is qui per crocodilum significatur.

Feles adulterum significat. Est enim fur auium. Aues autem assimilantur mulieribus, quemadmodum in primo libro admonuit.

De Ichneumone, & Viuerra.

CAP. 12.

IChneumon & viuerra, homines dolosos & maleficos significant, qui nunquam vidētibus somnium, beneuoli esse possunt, propter feritatem, & quòd ægre mansuefieri possint. Et Ichneumon quidem viros significat. Viuerra autem fœminas.

Deum factum esse. CAP. 13.

SI quis se deum factum esse putet, sacerdos fiet aut vates. Eundem enim honorem cum ipsis dijs habent. Si verò quis ægrotans se deum esse putet, morietur. Immortales enim dij sunt, itemque mortui, quoniam non amplius morientur. Si verò quis in paupertate, aut seruitute, aut vinculis, aut calamitatibus, aut quocunque malo constitutus, hoc somnium videat, liberabitur à malis ipsum prementibus. Facile est enim deo & promptum, vt ab omnibus malis seruet. At verò diuiti viro & magnati, principatum maximum pro ratione dignitatis prædicit. Aequaliter enim dijs etiam principes aliquibus bene aut malè facere possunt. Bonum est autem & in scenam progredientibus, propter consuetudinem repræsentanti personas, sæpe verò etiam deorum personas assumunt.

Περὶ κροκοδείλου καὶ αἰλούρου. ια.

ΚΡοκόδειλος, πειρατὴν ἢ φονέα ἢ οὐδὲν ἧττον ἀπονενοημένον ἄνθρωπον σημαίνει. ὅπως δ᾽ ἂν διαθῇ τὸν ἰδόντα ὁ κροκόδειλος, οὕτω διαθήσεται, καὶ ὁ ὑπὸ τοῦ κροκοδείλου σημαινόμενος.

Αἴλουρος, μοιχὸν σημαίνει· κλέπτης γάρ ἐστιν ὀρνίθων. αἱ δὲ ὄρνιθες γυναιξὶν εἰκάζονται, καθὼς καὶ ἐν τῷ πρώτῳ βιβλίῳ ὑπεμνήσθην.

Περὶ ἰχνεύμονος καὶ ἴκτινος. ιβ.

Ἰχνεύμων καὶ ἴκτις, πανούργους σημαίνουσιν ἀνθρώπους καὶ δολίους, οὐδέποτε τοῖς ὁρῶσιν εὐνοῆσαι δυναμένους, διὰ τὸ ἄγριον καὶ δυσίθασον. καὶ ὁ μὲν ἰχνεύμων, ἄνδρας σημαίνει. ὁ δὲ ἴκτις, γυναῖκας.

Περὶ τοῦ θεὸν γενέσθαι. ιγ.

ΘΕὸς εἴ τις ὑπολάβοι γενέσθαι, ἱερεὺς ἂν γένοιτο ἢ μάντις. τῆς γὰρ αὐτῆς τοῖς θεοῖς καὶ οὗτοι τυγχάνουσι τιμῆς. εἰ δέ τις νοσῶν θεὸς εἶναι νομίσειε, τεθνήξεται. ἀθάνατοι γὰρ οἱ θεοί, καὶ οἱ ἀποθανόντες, ἐπεὶ μηκέτι τεθνήξονται. εἰ δέ τις ἐν πενίᾳ, ἢ δουλείᾳ, ἢ δεσμοῖς, ἢ περιστάσεσιν, ἢ ᾡτινιοῦν καθεστὼς κακῷ, ἴδοι τ᾽ ἂν τὸν ὄνειρον τοῦτον, ἀπαλλαγήσεται τῶν περιεχόντων αὐτὸν δεινῶν. πολλαὶ γὰρ καὶ εὔποροι τῷ θεῷ αἱ ἀπὸ τῶν δεινῶν σωτηρίαι. ἀνδρὶ δὲ πλουσίῳ καὶ μεγιστᾶνι, ἀρχὴν μεγίστην κατὰ τὸ ἐπιβάλλον τοῦ ἀξιώματος προαγορεύει. ἐπίσης γὰρ τοῖς θεοῖς καὶ οἱ ἄρχοντες δύνανται εὖ καὶ κακῶς τινας ποιεῖν. ἀγαθὸν δὲ καὶ τοῖς ἐπὶ σκηνὴν ἀνερχομένοις διὰ τὸ ἐν τῇ ὑποκρίσει ἔθος, πολλάκις δὲ καὶ θεῶν πρόσωπα ἀναλαμβάνουσιν.

Περὶ τοῦ θεὸν ὑποδέχεσθαι ἢ θεοῦ σκευὴν ἔχειν. ιδ'.

Θεὸν δοκεῖν ὑποδέχεσθαι, τῷ μὲν εὖ πράττοντι, φροντίδας καὶ λύπας καὶ δεινὰς πραγματείας προαγορεύει. οἱ γὰρ ἐν περιστάσει γινόμενοι, θύουσί τε τοῖς θεοῖς καὶ ὑποδέχονται αὐτούς. τῷ δὲ ἐν πενίᾳ ἢ στενοχωρίᾳ ὄντι, πολλὴν ἐπίδοσιν ἀγαθῶν προαγορεύει, τότε γὰρ μάλιστα οἱ πένητες εὐχαριστοῦσί τε τοῖς θεοῖς, καὶ ὑποδέχονται αὐτοὺς, ὅταν εὐπορήσωσι. Θεοῦ δὲ σκευὴν ἔχειν καὶ περικεῖσθαι, ἄλλου τινὸς ἐπιτροπεῦσαι σημαίνει πλουσίου, ὥς τε φαντασίαν μὲν ἔχειν πλούτου, ὑπόστασιν δὲ μή. τοῦτο πολλάκις οὕτως ἀποβὰν ἐτήρησα.

Περὶ κωλοβάθρων. ιε'.

Κωλόβαθρα ὑποδέξασθαι δοκεῖν, τοῖς μὲν πανούργοις, δεσμὰ σημαίνει. καὶ γὰρ προσδεῖται τὰ κωλόβαθρα τοῖς ποσὶ, καὶ τὸν περίπατον ἀλλοιοῖ. τοῖς δὲ λοιποῖς νόσον ἢ ξενιτείαν προδηλοῖ, διὰ τὰς αὐτὰς αἰτίας.

Περὶ τοῦ ἐπὶ θαλάσσης περιπατεῖν. ις'.

Ἐπὶ θαλάσσης δοκεῖν περιπατεῖν, ἀποδημῆσαι βουλομένῳ ἀγαθὸν μάλιστα δὲ εἰ πλεῖν μέλλοι. πολλὴν γὰρ ἀσφάλειαν προσημαίνει τὸ ὄναρ. ἀγαθὸν δὲ καὶ δούλῳ καὶ τῷ γαμῆσαι βουλομένῳ, ὁ μὲν γὰρ τοῦ δεσπότου, ὁ δὲ, τῆς γυναικὸς ἄρξει. ἔοικε γὰρ καὶ δεσπότῃ ἡ θάλασσα διὰ τὸ δυνατὸν, τῇ γυναικὶ, διὰ τὸ ὑγρόν. ἀγαθὸν δὲ καὶ τῷ δίκην ἔχοντι, ὑπέρτερος γὰρ τοῦ δικαστοῦ γινόμενος, ὡς εἰκὸς νικήσει, ἔοικε γὰρ δικαστῇ ἡ θάλασσα, διὰ τὸ τοὺς μὲν, εὖ, τοὺς δὲ κακῶς διατιθέναι. ἀνδρὶ δὲ νεωτέρῳ, ἑταίρας ἐρασθῆναι σημαίνει καὶ γυναικὶ ἰδούσῃ, ἑταιρικῷ χρήσεσθαι βίῳ.

Deum suscipere, aut Dei habitum habere. CAP. 14.

DEum suscipere sibi videri, feliciter quidem agenti curas & tristitias, & grauia negotia prædicit. Qui enim in calamitate constituti sunt, sacrificant dijs, eosque suscipiunt. Ei verò qui in paupertate aut angustia degit, magnum bonorum incrementum præsagit. Tunc enim maximè pauperes dijs gratias agunt, ipsosque suscipiunt, quum fuerint ditati. Dei porrò habitum habere, eiusque ornatu amictum esse, alterius cuiusdam diuitis procuratorem fore significat, vt apparentiam quidem diuitiarum quis habeat, verùm non substantiam. Hoc sæpe sic euentum habuisse obseruaui.

De gralis. CAP. 15.

GRalas assumpsisse sibi videri, maleficis quidem vincula significat. Nam alligantur gralæ pedibus, & deambulationem alterant. Reliquis morbum aut vagabundam apud exteros vitam prædicit, propter easdem causas.

De Deambulatione super mari. CAP. 16.

SI quis sibi videatur super mari deambulare, & peregrinari voluerit, bonum est, maximè si nauigaturus est. Multam enim securitatem somniū præsagit. Bonum est & seruo, & vxorem ducere volenti, ille enim domino, hic vxori imperabit. Simile est enim domino ipsum mare, propter potentiam, & vxori, propter humorem. Bonum est & litiganti, superior enim iudice euadens vincet, neque id dissimile verò est, propterea quod iudici simile sit mare, quando alios bene, alios malè afficiat. Viro autem iuniori, amorem meretricum significat, & vxori somnium videnti, meretriciæ vitæ vsum.

Simile est enim mare meretrici, propterea quòd primas apparentias iucundas objiciat, verùm plurimos malè tractet. Omnibus verò qui victum & rem ex turba quærunt, & rempublicam administrantibus, & tribunis plebis, cum multa gloria non vulgarem quæstum prædicit. Simile enim & turbæ est mare, propter ordinis confusionem.

Homines fingere. CAP. 17.

HOmines fingere bonum est pædotribis & pædagogis, quorum alteri corpora, alteri animos puerorum exercent, atque sic quodam modo homines fingunt, illi ad concinnitatem corpora ipsorum aptando, hi mentes meliores reddendo. Bonum est & his qui liberos non habent, quoniam genuinorum filiorum generationẽ prædicit. Bonum est & mangonibus qui seruorum mercaturam exercent, itemque pauperibus, illi enim ex negotiatione multum & magnum quæstum facient, hi verò multos famulos acquirent. Maleficis autem perniciem præsagit. Nam & Promethea ferunt ob id quòd homines finxerit, ignémque furatus sit, malè perijsse. Diuitibus verò & valde potentibus, regium aliquem magnum principatum prædicit.

Vehiculo subiugatum esse.

CAP. 18.

VEhiculo subiugatum esse, velut quoddam animal quadrupes, seruitutem & laborem & morbum præsagit, etiam si quis valde splendidæ & delicatæ vitæ somnium hoc videat.

Vehi super curru. CAP. 19.

VEhi super curru aut lectica, hominibus subiugatis ad trahendum, multis imperaturum esse significat, insuperq; liberos bonos somnianti somnium hoc promittit. Verùm ad peregrinationes nõ valde conducit. Securitatem enim indicat, multam autem tarditatem prædicit.

ἔοικε γὰρ καὶ ἡ θάλασσα ἑταίρᾳ, διὰ τὸ προσβάλλειν ἡδείας μὲν τὰς πρώτας φαντασίας, κακῶς δὲ διατιθέναι τοὺς πλείστους. πᾶσι δὲ τοῖς ἐξ ὄχλου πορίζομένοις, καὶ πολιτευταῖς, καὶ δημαγωγοῖς, μετὰ πολλῆς εὐκλείας πορισμὸν οὐ τὸν τυχόντα προαγορεύει. ἔοικε γὰρ ὄχλῳ, διὰ τὴν ἀταξίαν.

Περὶ τοῦ ἀνθρώπους πλάττειν. ιζ.

ἈΝθρώπους πλάττειν, ἀγαθὸν παιδοτρίβαις καὶ παιδευταῖς, τρόπον γάρ τινα καὶ οὗτοι τοὺς ἀνθρώπους πλάττουσιν, οἱ μὲν γὰρ, διὰ τὸ ῥυθμίζειν, οἱ δὲ, διὰ τὸ βελτίονας ποιεῖν. ἀγαθὸν δὲ καὶ ἄπαισιν, ἐπεὶ γνησίων παίδων γονὴν προαγορεύει. ἀγαθὸν δὲ καὶ σωματεμπόροις καὶ πένησιν, οἱ μὲν γὰρ ἀπὸ τῆς ἐμπορείας πολλὰ κερδανοῦσι καὶ μεγάλα. οἱ δὲ, πολλοὺς κτήσονται οἰκέτας. κακούργοις δὲ, ὄλεθρον προαγορεύει. καὶ γὰρ τὸν προμηθέα λέγουσιν ἐπὶ τῷ πλάττειν τοὺς ἀνθρώπους καὶ τὸ πῦρ κλέψαι, κακῶς ἀπολέσθαι. πλουσίοις δὲ καὶ τοῖς μεγάλα δυναμένοις, βασιλείαν ἀρχήν τινα προαγορεύει μεγάλην.

Περὶ τοῦ ὑπεζεῦχθαι. ιη.

ὙΠεζεῦχθαι ὀχήματι ὥσπερ τι τῶν τετραπόδων, δουλείαν καὶ κάματον καὶ νόσον προαγορεύει, καὶ εἰ πάνυ τις λαμπρὸς καὶ ἁβροδίαιτος ὢν τὸν ὄνειρον ἴδοι.

Περὶ τοῦ ὀχεῖσθαι ἐπὶ ἅρματος. ιθ.

ὈΧεῖσθαι δὲ ἐπὶ ἅρματος ἢ ἀπήνης ἀνθρώπων ἐπεζευγνυμένων, πολλῶν ἄρξαι σημαίνει, καὶ προσέτι παῖδας ἀγαθοὺς τῷ ἰδόντι γενέσθαι μαντεύεται. πρὸς δὲ τὰς ἀποδημίας οὐ πάνυ συμφέρει. τὸ μὲν γὰρ ἀσφαλὲς ἐνδείκνυται· πολλὴν δὲ βραδυτῆτα προαγορεύει.

Περὶ τοῦ μαντεύεσθαι. κ'.

Εἰς μάντεις δὲ φοιτᾶν καὶ μαντεύεσθαι, ἤγουν πυνθάνεσθαι περί τινος, φροντίδας οὐ τὰς τυχούσας τῷ ἰδόντι γενέσθαι σημαίνει. οὐ γὰρ δεῖ μαντικῆς μέλειν τοῖς μὴ φροντίζουσιν. ὅ, τι δ' ἂν ὁ μάντις ὢν ἀληθὴς ἀποκρίνεται, τούτοις πιστεύειν χρή. περὶ δὲ διαφορᾶς μάντεων, * οἷς τε προσέχειν καὶ οἷς μὴ προσήκειν, ἐν τῷ περὶ ἀξιοπίστων λόγῳ, ἐν τῷ δευτέρῳ βιβλίῳ προείρηκα. μηδὲν δὲ ἀποκρινόμενος μάντις, πᾶσαν ἐγχείρησιν καὶ πᾶσαν ὁρμὴν ὑπερτίθεται. ἔστι γὰρ παρά γε τοῖς σοφισταῖς ἡ σιγή, οὐκ ἀπόκρισις, ἀλλ' ἀπαγόρευσις.

De Vaticinatione. CAP. 20.

AD vates proficisci, & oraculum petere, siue de aliquo interrogare, curas non vulgares somnianti accessuras esse significat. Non enim curiosus est de vaticinatione qui nulla cura premitur. Quicquid autem vates verus responderit, fidem habere oportet. Verùm de differentia vatum, quibus credere, aut non credere conueniat, in secundo libro, capite De fidedignis prædixi. Si verò nihil respondeat vates, omnem aggressionem, omnémque conatum differt ac remoratur. Est enim apud sophistas, silentium, non responsio, sed renunciatio.

Περὶ τοῦ μάντιν γενέσθαι. κα'.

Εἰ δέ τις ὑπολάβοι μάντις γεγονέναι καὶ εὐδοκιμεῖν ἐν τῷ προαγορεύειν, πολλῶν ἔμπειρος ἔσται πραγμάτων, καὶ φροντίδας ἀναδέξεται, τοῦτο μὲν ἰδίας, τοῦτο δὲ ἀλλοτρίας. καὶ γὰρ τῷ μάντει μέλει καὶ τῶν οὐδὲν αὐτῷ προσηκόντων κακῶν, ἃ ἂν οἱ κἀκεῖνα μαντευόμενοι αὐτῷ φέροισι. φέρει δὲ καὶ ἀποδημίας πολλάκις καὶ κινήσεις τῷ ἰδόντι τὸν ὄνειρον, διὰ τὸ τοὺς μάντεις περινοστεῖν. καὶ τοῖς πένησιν, εὐπορίαν. πολλοὶ γὰρ δέονται τοῦ μάντεως καὶ τῶν πλουσίων.

Vatem factum esse. CAP. 21.

SI quis putet se vatem factum esse, & in prædicendo celebrem haberi, multarum rerum experientiam assequetur, & curas suscipiet, partim priuatas & proprias, partim alienas. Nam vates curiosus est de malis nihil ad ipsum pertinẽtibus, quæ videlicet afferunt ipsi qui de illis vaticinium petunt. Inducit sæpe etiam peregrinationes & motus hoc somnium ei qui id vidit. Propterea quòd vates vagabundam vitam agant, hincinde circumuersantes. Inducit & pauperibus opulentiam. Multi enim opus habent vate, itémque opulento.

Περὶ νόσου. κβ'.

Νοσεῖν μόνοις τοῖς ἐν δεσμοῖς ἢ μεγάλῃ ἀνάγκῃ οὖσιν, ἀγαθόν, διὰ τὸ καὶ τὴν νόσον λύειν τοὺς ὄγκους· τοῖς δὲ ἄλλοις μεγάλην ἀπραξίαν προαγορεύει, ἄπρακτοι γὰρ οἱ νοσοῦντες· καὶ τῶν ἐπιτηδείων ἔνδειαν· καὶ γὰρ ἐνδεεῖς τῷ σώματι οἱ νοσοῦντες γίνονται. καὶ πρὸς τὰς ἀποδημίας ἐμποδὼν ἵσταται· δυσκίνητοι γὰρ οἱ νοσοῦντες. καὶ τὰς ἐπιθυμίας οὐκ ἐᾷ τελεσθῆναι· οὐδὲ γὰρ πρὸς τὰς ὀρέξεις

De Morbo. CAP. 22.

AEgrotare solis his qui in vinculis, aut magnas necessitates constituti sunt, bonum est, propterea quòd & morbus molem corporis soluat: reliquis magnum otium prædicit, otiosi enim sunt ægroti: & rerum necessariarum inopiam: Inopes enim corpore ægroti fiunt: & peregrinationibus obstat, difficulter enim moueri possunt ęgri: & cõcupiscẽtias impleri non sinit, neque enim appetẽtias

ægroti explent medici, ob periculi formidinem. At verò si quis videatur sibi ægrotum quendam visitare, eadem ipsi ægroto significat, si quidem is notus & familiaris existat. Si verò ignotus, ipsi somnianti. Nihil enim refert, siue quis ipse ægrotare, siue alium ignotum ægrotantem videre, sibi videatur. Imagines enim rerum somniantibus euenturarum ipsos propinquos esse dicimus. Quin & hoc obseruaui. Quæcunque bona, aut mala statim, aut magis & vehementius euentura, anima significare voluerit, ea ipsa circa ipsum videntem contingentia adducit. Quæ verò tardius, aut minus, aut debilius, ea per alienum corpus anima videnti ostendit.

διὰ τὸ ἐπικίνδυνον ἀναπληροῦσι τῷ νοσοῦντι οἱ ἰατροί. νοσοῦντα δὲ ἐπισκέψασθαί τινα δοκεῖν, εἰ μὲν γνώριμον, τὰ αὐτὰ τῷ νοσοῦντι σημαίνει, εἰ δὲ ἀγνῶτα, αὐτῷ τῷ ἰδόντι· οὐδὲν διαφέρει, ἢ αὐτὸν νοσεῖν, ἢ ἄλλον ἀγνῶτα νοσοῦντα ἰδεῖν. εἰκόνας γὰρ τῶν ἀποβησομένων τοῖς ὁρῶσι πραγμάτων, τοὺς πλησίον εἶναι φαμέν. ἐτήρησα δὲ καὶ τοῦτο. ὅσα μὲν αὐτίκα ἀποβησόμενα καὶ μᾶλλον καὶ σφοδρότερον ἡ ψυχὴ βούλεται σημῆναι ἀγαθὰ ἢ κακά, καὶ ταῦτα περὶ αὐτὸν τὸν ὁρῶντα συμβαίνοντα παράγει. ὅσα δὲ βραδίον ἢ ἧττον ἢ ἀσθενώτερον, ταῦτα δι᾽ ἀλλοτρίου σώματος δείκνυσιν ἡ ψυχὴ τῷ ὁρῶντι.

Suas ipsius carnes edere.

CAP. 23.

SVas ipsius carnes edere sibi videri, bonum est pauperi: multa enim per corporis exercitationem ac laborem acquiret, & sic non carnes suas edet, sed quæstum per carnes partum consumet. Bonum est & opifici manuario, ab eiusmodi maximè partibus corporis edere, per quas victum & rem parat: alij enim vtraque manu operantur, alij altera sola, alij summis tantum digitis, alij toto corpore. Philologis & eloquentiæ studiosis bonũ est, aliis exhibere os ac linguam edenda. Multò enim quæstu ex ore & lingua facto, sufficientes erunt etiam aliis exhibere. Si verò quis suum os comedat, aut suam ipsius linguam, cessabit ab eloquij vsu. Idiotis autem pœnitentiam ob sermonum petulantiam significat. Mulier suas carnes comedens scortabitur, atque sic à proprio corpore nutrietur. Omni autem ęgrotantem habenti aut amicum, aut cognatum, aut alium quendam sui studiosum, luctum prædicit. Lugentes enim suas carnes dilaniantes ipsas comedunt. Diuiti autem & omni ex animi sui sententia viuenti, non est bonum de suis carnibus comedere. Funditus enim subuersum iri vitam & substantiam bonorum eius qui somnium vidit significat, quemadmodum euenit etiam ei qui proprium stercus edit.

Περὶ τοῦ τὰς ἑαυτοῦ σάρκας ἐσθίειν. κγ´.

ΤΑΣ ἑαυτοῦ σάρκας ἐσθίειν δοκεῖν, ἀγαθὸν πένητι· πολλὰ γὰρ τῷ σώματι ἐργασάμενος καὶ πονῶν κτήσεται, καὶ οὕτως, οὐχὶ τὰς σάρκας αὐτοῦ κατέδεται, ἀλλὰ τὰς ἀπὸ τῶν σαρκῶν ἐργασίας. ἀγαθὸν δὲ καὶ χειροτέχνῃ ἀπὸ τοιούτων μερῶν ἐσθίειν τοῦ σώματος, ἀφ᾽ οἵων μάλιστα καὶ πορίζεται. οἱ μὲν γὰρ ἀμφοτέραις ταῖς χερσὶν ἐργάζονται, οἱ δέ, τῇ ἑτέρᾳ μόνῃ, οἱ δέ, ἄκροις δακτύλοις, οἱ δέ, παντὶ τῷ σώματι. φιλολόγοις δὲ καλὸν, ἄλλοις παρέχειν τὸ στόμα καὶ τὴν γλῶσσαν ἐσθίειν. πολλὰ γὰρ πορίσαντες ἀπὸ τοῦ στόματος καὶ τῆς γλώσσης, ἔσονται καὶ ἱκανοὶ καὶ ἄλλοις παρέχειν. εἰ δέ τις τὸ ἑαυτοῦ στόμα κατεσθίοι, ἢ τὴν ἑαυτοῦ γλῶσσαν, παύσεται λόγοις χρώμενος. ἰδιώταις δὲ μετάνοιαν ἐπὶ περπερείᾳ λόγων σημαίνει. γυνὴ δὲ τὰς ἑαυτῆς σάρκας ἐσθίουσα, πορνεύσει, καὶ οὕτως ἀπὸ τοῦ ἰδίου σώματος τραφήσεται. παντὶ δὲ τῷ νοσοῦντα ἔχοντι ἤτοι φίλον ἢ συγγενῆ ἢ ἄλλον τινὰ τῶν σπουδαίων, πένθος προαγορεύει. καὶ γὰρ οἱ πενθοῦντες λωβώμενοι ἑαυτοὺς, τὰς ἑαυτῶν σάρκας ἐσθίουσι. πλουσίῳ δὲ καὶ παντὶ τῷ κατὰ προαίρεσιν ζῶντι, οὐκ ἀγαθὸν ἐσθίειν ἀπὸ τῶν ἰδίων σαρκῶν. πρόρριζον γὰρ ἀναβαπτῖναι τὸν βίον καὶ τὴν ὕπαρξιν τοῦ ἰδόντος σημαίνει, ὥσπερ καὶ τῷ τὴν ἰδίαν κόπρον ἐσθίοντι.

Περὶ τοῦ ἐπ' ἀριστερὰ περιβεβλῆσθαι. κδ'.

Ἐπ' ἀριστερὰ περιβεβλῆσθαι, ἢ ὅπως ποτὲ γελοίως καὶ μὴ κοσμίως, πᾶσι πονηρὸν, καὶ πρὸς ταῖς ἀπραξίαις διασυρμὸν, καὶ καταγέλωτα ὑπομεῖναι σημαίνει. μόνοις δὲ γελωτοποιοῖς ἀγαθὸν ἂν εἴη διὰ τὸ ἔθος.

Περὶ τοῦ ἐπ' ἀριστερὰ γράφειν. κε'.

Ἐπ' ἀριστερὰ γράφειν, σημαίνει πανούργως τι πρᾶξαι, καὶ ἀπάτῃ καὶ μεθόδῳ χρησάμενον, ὑπελθεῖν τινὰ καὶ ἀδικῆσαι. πολλάκις δὲ καὶ μοιχὸν γενόμενον, νόθους παῖδας λάθρα ποιῆσαι. οἶδα δέ τινα ὃς ἐπὶ τούτῳ τῷ ὀνείρῳ, ποιητὴς ἐγένετο γελοίων ᾀσμάτων.

Περὶ μητρυιᾶς καὶ πατρώου. κϛ'.

Μητρυιὰν ἰδεῖν, οὔτε ζῶσαν οὔτε τεθνεῶσαν ἀγαθόν. καὶ εἰ μὲν χαλεπαίνοι ἢ ὀργίζοιτο ἢ βλάπτοι τὸν ὁρῶντα ἡ μητρυιὰ κατ' ὄναρ, ἐπιτείνει τὰ δεινά. εἰ δὲ μετρίως προσφέροιτο, ἥττονα ποιεῖ τὰ δεινά. χαριζομένη δέ τι τῷ ἰδόντι καὶ λόγοις καὶ ἔργοις, ψευδεῖς τὰς ἐλπίδας καὶ τὰς προσδοκίας φησὶν εἶναι. οὐ γὰρ ἀπὸ γνώμης οὔτε κατὰ προαίρεσιν φιλῆσαι ἄν ποτε μητρυιὰν πρόγονον.

Ὁ δὲ πατρῷος, τὰ αὐτὰ τῇ μητρυιᾷ σημαίνει, ἥττονα δὲ τῇ δυνάμει. πολλάκις δὲ καὶ ὁ πατρῷος καὶ ἡ μητρυιὰ, ξενιτείας καὶ ἀποδημίας γίνονται σύμβολα. ἐοίκασι γὰρ πατήρ τε καὶ μήτηρ, οἰκείᾳ. πατρῷος δὲ καὶ μητρυιὰ, τῇ ξένῃ.

Sinistrè amictum esse.

CAP. 24.

Sinistrè amictum esse, aut quomodocunque ridiculè & non ornatè, omnibus malum est,& supra rerum improsperum successum, etiam detractionem ac derisionem aliquem sustinere oportere significat. Solis autem his qui risum hominum captant bonum fuerit hoc somnium,propter consuetudinem.

Sinistra scribere. CAP. 25.

Sinistra scribere, malefice quid facere significat, pérque fraudulentiæ ac deceptionis vsum, aliquem circumuenire, & iniuria afficere. Sæpe etiam adulterum fore significat, & spurios filios clàm generaturum esse. Noui autem quendam qui ex hoc somnio ridicularum cantilenarum poëta factus est.

De Nouerca, & Vitrico.

CAP. 26.

Nouercam videre, neque viuentem, neque mortuam bonum est. Et si quidem molesta sit, aut irascatur,aut lædat nouerca videntem per somnium, auget mala. Si verò moderatè offeratur,minora mala facit. Gratificans autem tum verbis,tum factis, vanas spes & expectationes esse ait. Neque enim ex animo,neque beneuola vnquam amauerit priuignum nouerca.

Vitricus porrò eadem quæ nouerca significat,verùm viribus minora. Sæpe vero & vitricus & nouerca,peregrinationis & vitæ apud exteros signa sunt. Pater enim & mater similes sunt domui. Vitricus autem & nouerca externitati.

De Prædecessoribus, & Successoribus. CAP. 27.

PRædecessores cõspecti, cognati scilicet qui ante parẽtes nostros vixerint, curas significant veterum negotiorum gratia: & si quidem boni aut iucundi, aut grati aliquid fecerint, aut dixerint, curæ ipsæ in bonum finem desinent. Sin contra, in malum. Successores autem si quidem infantes adhuc & parui fuerint, curarum significationem habent, de quibus exactius primo libro, capite De puerorum generatione dixi: qui verò iam perfecti sunt, auxilium & opem ac præsidium significant.

De Mure, & Mustela.

CAP. 28.

MVs famulum significat, cohabitat enim & ex iisdem nobiscum nutritur, éstque manifestus. Bonum est multos intus videre mures atque eos hilares & ludentes: Multam enim lætitiam significant, & famulorum acquisitionem. Si verò quid variegatius circa mures quis videat, iudicationes transferre potest ex his quæ Melampus in libro de monstris ac signis, & de muribus scripsit, nihil differre putans ea quæ interdiu fiunt, ab his quæ per somnium fieri videntur. Eandem enim prædictionem habent, velut nobis sæpenumero experientia ipsa commostrauit. Per longum autem & hũc locum elaborauit, in secundo libro suæ tractationis Apollonius Attaleus. Mihi autem nunc propositum est, ea quæ significantur ostendere singulorum in superiore tractatione relictorum. Quapropter & hunc tertium librum non vt cõiunctum & coaptatum illis duobus, sed vt relictũ, & ab illis separatum feci, vnde & meritò inscriptionem adipiscetur, non tertius illorum, sed per se philalethes, hoc est veritatis amator, aut ἐνόδιος id est Inuitatorius siue Mercurialis. At verò mustela mulierem significat maleficã, & malignis

Περὶ προγόνων καὶ ἐπιγόνων. κζ.

ΠΡόγονοι δὲ ὁρώμενοι, λέγω δὲ συγγενεῖς τοὺς πρὸ τῶν γονέων γεγονότας φροντίδας σημαίνουσι, παλαιῶν ἕνεκα πραγμάτων· καὶ εἰ μὲν τι ἀγαθὸν ἢ ἡδὺ ἢ κεχαρισμένον πράττοιεν ἢ λέγοιεν, εἰς ἀγαθὸν αἱ φροντίδες τελευτήσουσιν. εἰ δὲ μή, τοὐναντίον. ἐπίγονοι δὲ εἰ μὲν εἶεν ἔτι νήπιοι καὶ βραχεῖς, φροντίδων εἰσὶ σημαντικοί. περὶ ὧν ἀκριβέστερον ἐν τῷ πρώτῳ βιβλίῳ ἐν τῷ περὶ γενέσεως παίδων εἴρηκα κεφαλαίῳ. οἱ δὲ ἤδη τέλειοι, βοηθείας καὶ συλλήψεως καὶ ἐπικουρίας εἰσὶ σημαντικοί.

Περὶ μυὸς καὶ γαλῆς. κη.

ΜΥΣ, οἰκέτην σημαίνει· συνοικεῖ γάρ, καὶ ἀπὸ τῶν αὐτῶν τρέφεται, καὶ ἔστι δῆλος. ἀγαθὸν δὲ πολλοὺς ἔνδον ἰδεῖν μύας, καὶ τούτους ἱλαροὺς καὶ παίζοντας. πολλὴν γὰρ εὐφροσύνην σημαίνουσιν καὶ οἰκετῶν ἐπίκτησιν. εἰ δέ τι ποικιλώτερον περὶ τοὺς μύας βλέποι τις, ἔξεστι μεταφέρειν τὰς κρίσεις, ἀπὸ τῶν παρὰ Μελάμποδος ἐν τῷ περὶ τεράτων καὶ σημείων, καὶ περὶ μυῶν γεγραμμένων. οὐδὲν διαφέρειν ἡγουμένους τὰ μεθ' ἡμέραν γινόμενα τῶν ὄναρ δοκούντων γίνεσθαι. τῆς γὰρ αὐτῆς ἔτυχε προρρήσεως ὡς πολλάκις ἡμῖν ἔδειξε διὰ πείρας. διὰ μακροῦ δὲ τὸν τόπον τοῦτον ἐξείργασται ἐν τῷ δευτέρῳ τῆς ἑαυτοῦ συντάξεως Ἀπολλώνιος ὁ ἀτταλεύς. ἐμοὶ δὲ νῦν πρόκειται τὰ σημαινόμενα δεικνύειν ἑκάστου τῶν παραλελειμμένων ἐν τῇ ἐμῇ πραγματείᾳ. διὸ καὶ τρίτον τοῦτο τὸ βιβλίον, οὐχ ὡς συνημμένον ἐκείνοις τοῖς δυσίν· ἀλλ' ὡς ἀπολελειμμένον ἐποίησα. ὅθεν καὶ τῆς ἐπιγραφῆς εἰκότως τεύξεται, οὐχὶ τρίτον ἐκείνων, ἀλλὰ κατ' ἰδίαν φιλαλήθης ἢ ἐνόδιον. Γαλῆ δέ, γυναῖκα σημαίνει πανοῦργον καὶ

κακόδοξον, ἢ δίκην, ἔστι γὰρ ἰσόψηφος δίκη καὶ γαλῆ· ἀπὸ γὰρ τῶν αὐτῶν σύγκειται γραμμάτων. καὶ θάνατον· ὅ, τι γὰρ ἂν λάβοι, τοῦτο σήπει. καὶ ἐργασίας καὶ ὠφελείας· καλεῖται γὰρ πρός τινων, κερδὼ, καὶ ἱλάεια. τὴν δὲ διαφορὰν ἔξεσι λαμβάνειν τούτων, ἀπὸ τοῦ βλέπεσθαι προσιοῦσαν ἢ ἀπιοῦσαν, πρᾶξαι τι ἡδὺ, ἢ ἀηδὲς πάσχουσαν τι ἢ δρῶσαν.

moribus præditam, aut litem, δίκην Græcis appellatam: Nam vox δίκη parem numerum implet cùm ea quæ mustelam significat, γαλῆ videlicet. Ex iisdem enim literis eundem numerum repræsentantibus constant. Significat item mortem, quicquid enim apprehenderit hoc putrefacit: & lucrum ac vtilitatem, appellatur enim à quibusdam Græcis κερδὼ, quæ vox lucrum sonat, & ἱλάεια ab hilaritatis originatione. Verùm differētiam horum accipere oportet, & ex eo quòd videtur accedere, aut abire, & facere quid iucundum, aut iniucundum, & prout aliquid patitur, aut operatur.

Περὶ πηλοῦ. κθ'.

ΠΗλὸς, νόσον σημαίνει, καὶ ὕβριν. νόσον μὲν, διὰ τὸ μὴ καθαρὸν εἶναι τὸ ὕδωρ, μήτε μὴν γῆν. ἀλλ' ἐξ ἀμφοτέρων μεμίχθαι, καὶ μηδέτερον εἶναι. ἔστιν οὖν πονηρὸν σύγκριμα τοῦ σώματος· τουτέστι, νόσον προαγορεύει, εἰκότως· ὕβριν δὲ, ὅτι μολύνει. ἔτι δὲ κίναιδον διὰ τὸ ὑγρὸν καὶ ἔκλυτον. ἀγαθὸς δὲ ἂν εἴη τοῖς ἐκ πηλοῦ ἐργαζομένοις.

De Luto. CAP. 29.

LVtum morbum significat, & contumeliam. Morbum quidem propterea quòd non est pura neque aqua, neque terra, sed ex vtrisq; mixtum, vt neutrum existat. Est igitur mala corporis miscella, hoc est morbum prædicit, atque id rationabiliter & meritò. Contumeliam autem, quia inquinat. Insuper & cinædum, propter liquiditatem & exolutionem. Bonum autem fuerit his qui ex luto rem & victum parant.

Περὶ λεκάνης. λ'.

ΛΕκάνη, οἰκέτιν σημαίνει καὶ θεράπαιναν πιστήν. πίνειν δὲ ἐκ λεκάνης, ἐρασθῆναι θεραπαίνης σημαίνει, τὸ δὲ αὐτὸ καὶ εἴ τις ἐσθίει ἐν λεκάνῃ. λεκάνην χρυσῆν ἢ ἀργυρᾶν ἔχειν, ἤτοι θεράπαιναν ἀπελευθερώσαντα γῆμαι σημαίνει, ἢ ἀπελευθερωμένην συνοικῆσαι. λεκάνη θραυομένη, θεράποντος σημαίνει ὄλεθρον. λεκάνῃ ἐγκατοπτρίζεσθαι, τεκνῶσαι ἀπὸ θεραπαίνης σημαίνει. εἰ δὲ τις αὐτὸς οἰκέτης ὢν, οὐκ ἔχων ὑπηρέτην τοῦτον ἴδοι τὸν ὄνειρον, ἡγεῖσθαι χρὴ τὴν λεκάνην αὐτὴν, τὴν δουλείαν αὐτοῦ σημαίνειν.

De Pelui. CAP. 30.

PEluis famulam significat, & ancillam fidelem. Bibere ex pelui ancillæ amorem significat, quæ significatio est etiam si quis in pelui edit. Peluim auream, aut argenteam habere, aut ancillam post manumissionem in vxorem ducere significat, aut antea manumissæ cohabitare. Peluis si frangatur, serui interitum significat. Pelui vice speculi vti, ex famula filios procreare significat. Si verò quis seruus hoc somnium videat, qui alium famulum non habeat, iudicare oportet peluim ipsam, seruitutem ipsi significare.

Περὶ εἰκόνος. λα'.

ΕΙκὼν τέκνα σημαίνει, καὶ τὴν προαίρεσιν καὶ τὴν γνώμην τοῦ ἰδόντος. τέκνα

De Imagine. CAP. 31.

IMago liberos significat, & voluntatem ac mentem somniantis. Liberos qui-

quidem, propter similitudinem, mentem autem & voluntatem, propterea quòd omnes imaginibus promittant. Imago ex materia solida & imputrescibili facta, melior est quàm picta, aut lutea & cerea, aliæque consimiles. Quicquid autem patiantur imagines, hoc perpetientur etiam liberi somniantis, & conatus actionum. Sæpe verò & in parentes, & in fratres, & in fratres, & in alios cognomines, somnium euentum habet.

De Obstetrice. CAP. 32.

Obstetrix conspecta, occulta reuelat, propterea quòd arcana & occulta perscrutetur, significat & dãnum & ægrotantibus mortem. Educit enim ex continente semper contentum, ipsúmque terræ committit. Eos verò qui violenter ab aliquo detinentur, liberat. Nam contentum corpus à continente exoluit, atque sic contentum corpus à continente liberans, corpus leuius facit. Si verò sæpe conspicatur obstetrix à muliere non habente in ventre, morbum ipsi denuntiat. Ei verò quæ vterum gestat nihil significat, propter partus curam.

De Spina, & Aculeis.

CAP. 33.

Spinæ & aculei, dolores significant propter acumen, & impeditiones, propter detentionem, & curas ac tristitias, propter asperitatem. Multis verò & amores, & iniurias ab hominibus malis: & amores quidem, propterea quòd non sint læti amantes. Iniurias autem ab hominibus malis, propter sanguinis ex vulneribus per illa inflictis excretionem. Et spinæ quidem ex mulieribus iniurias. Aculei verò ex viris denuntiant.

μὲν, διὰ τὴν ὁμοιότητα, γνώμην δὲ καὶ προαίρεσιν, διὰ τὸ ἐπαγγέλλεσθαι πάντας εἰκόσιν. ἡ δὲ ἐξ ὕλης στερεᾶς καὶ ἀσήπτου γεγενημένη, ἀμείνων ἐστὶ τῶν γραπτῶν καὶ πηλίνων καὶ κηρίνων, καὶ τῶν ἄλλων τῶν ὁμοίων. ὅτι δ' ἂν πάθωσιν αἱ εἰκόνες, τοῦτο πείσονται καὶ οἱ παῖδες τοῦ ἰδόντος, καὶ αἱ ὁρμαὶ τῶν πράξεων· πολλάκις δὲ καὶ εἰς γονεῖς καὶ εἰς ἀδελφοὺς καὶ εἰς ἄλλους ὁμωνύμους ἀποβαίνει τὸ ὄναρ.

Περὶ μαίας. λβ'.

Μαῖα ὁρωμένη, τὰ κρυπτὰ ἐλέγχει διὰ τὸ τὰ ἀπόρρητα καὶ κεκρυμμένα διερευνᾶν, καὶ βλάβας σημαίνει, καὶ τοῖς νοσοῦσι θάνατον. ἐξάγει γὰρ τοῦ περιέχοντος ἀεὶ τὸ περιεχόμενον, καὶ δίδωσι τῇ γῇ. τοῖς δὲ βίᾳ ὑπό τινος κατεχομένοις, ἀπαλλάσσει. καὶ γὰρ τὸ περιεχόμενον τοῦ περιέχοντος ἀπαλλάσσει σῶμα, καὶ οὕτως τὸ περιεχόμενον σῶμα τοῦ περιέχοντος ἀπαλλάξασα, κουφότερον ποιεῖ τὸ σῶμα. πολλάκις δὲ ὁρωμένη μαῖα, γυναικὶ μὴ ἐχούσῃ ἐν γαστρὶ νόσον προαγορεύει, ἐν γαστρὶ δὲ ἐχούσῃ, οὐδὲν ἐπίσημον, διὰ τὴν περὶ τὸν τοκετὸν φροντίδα.

Περὶ ἀκάνθης καὶ σκολόπων. λγ'.

Ἄκανθαι καὶ σκόλοπες, ὀδύνας σημαίνουσι διὰ τὸ ὀξύ, καὶ ἐμποδισμοὺς διὰ τὸ καθεκτικόν, καὶ φροντίδας καὶ λύπας, διὰ τὸ τραχύ. πολλοῖς δὲ καὶ ἔρωτας καὶ ἀδικίας ἀπὸ ἀνθρώπων πονηρῶν. ἔρωτας μὲν, διὰ τὸ μὴ εὐθύμους τοὺς ἐρῶντας εἶναι. ἀδικίας δὲ ὑπὸ ἀνθρώπων τινῶν πονηρῶν, διὰ τὴν γινομένην ὑπὸ τούτων ἐκ τῶν τραυμάτων τοῦ αἵματος ἀπόκρισιν. καὶ αἱ μὲν ἄκανθαι, ἐκ γυναικῶν τὰς ἀδικίας. οἱ δὲ σκόλοπες, ὑπὸ ἀνδρῶν προσημαίνουσιν.

Περὶ τοῦ ρ̄, στοιχείου καὶ ἑκατόν. λδ΄.

Τῶν γραμμάτων καθ' ἓν ὁρώμενον ἕκαστον, τὰ μὲν φωνήεντα, καὶ φόβους καὶ ταραχὰς σημαίνει. τὰ δὲ ἡμίφωνα, ἀπραξίαν μὲν οὐχί, φόβους δὲ ἐπάγει. τὰ δὲ ἄφωνα, οὔτε φόβους, οὔτε πράξεις. ἰδίᾳ δὲ τὸ ρ̄, ἀπὸ τοῦ ἀριθμοῦ κρίνεται. ἔστιν οὖν τοῖς ἐπὶ πρᾶξιν ὁρμωμένοις ἀγαθὸν διὰ τὸ ἰσόψηφον. ἔστι γὰρ καὶ τὸ ἐπ' ἀγαθὰ τὴν ἑκατὸν ἐκπληροῦσαν ψῆφον. καὶ τοῖς προσδοκοῦσιν ἀποδήμοις. ἔστι γὰρ ἀγγελία τὰ ἑκατόν. καὶ τοῖς διαποροῦσι πότερον πεζῇ ἀπιτέον αὐτοῖς, ἢ κατὰ τὸν πλοῦν, συμβουλεύει πεζῇ. ἴση γὰρ καὶ τούτου ἡ ψῆφος. τοῖς δὲ περὶ τοῦ ὅλως ἢ ἐξιτέον φροντίζουσι συμβουλεύει μένειν· καὶ γὰρ τὸ μένε, ἑκατόν. κακούργους δὲ δεσμεύει. καὶ γὰρ αἱ πέδαι ἑκατόν. ποιμέσι δὲ καὶ ἱπποφορβοῖς, ἀγαθὸν τὸ ρ̄. καὶ γὰρ τὸ νέμε, τῇ ψήφῳ, ἑκατόν.

Περὶ ἁλύσεως. λε΄.

Ἅλυσις γυναῖκα σημαίνει, διὰ τὸ ὄνομα καὶ τὸ καθεκτικόν. καὶ πλοκὴν πραγμάτων οὐκ εὐθύμων οὐδὲ τερπνῶν. πέπλεκται μὲν γὰρ ἐκ πολλῶν. οὐκ εὐθύμους δὲ τοὺς δεδεμένους ποιεῖ. καὶ κατοχὴν καὶ ἐμποδισμὸν πράξεων δηλοῖ.

Περὶ ἱστοῦ καὶ συνέργων. λϛ΄.

Ἱστὸς ὄρθιος, κίνησιν καὶ ἀποδημίαν σημαίνει· χρὴ γὰρ περιπατεῖν τὴν ὑφαίνουσαν.

De litera ρ, & numero centenario. CAP. 34.

Ex literis singulis singulatim conspectis, vocales quidem, & timores & turbationes significant. Semiuocales verò, res quidẽ & actiones non impediunt, timores autem inducũt. Mutæ autem neque timores, neque actiones inducunt. Priuatim verò litera ρ à numero iudicatur. Est igitur his qui ad actionem animũ conuertunt bona, propter numeri parilitatem. Nam & ἐπ' ἀγαθὰ vox, quæ in bonum significat, centenarium numerum repræsentat ac explet. Est & bona his qui peregrinos expectant. Est enim numerus centenarius & in dictione ἀγγελὴν, quæ significat nuntium: & his qui dubitant vtrum pedestri itinere ipsis abeũdum sit, aut nauigatione, consulit profectionem pedestrem. Nam vox πεζῇ, quę pedestrem profectionem significat, itidem centenarium numerũ repræsentat. Qui verò curiosi sunt an ipsis omnino exeundum sit, his consulit vt maneant. Nam vox μένε, mane significans, centũ repræsentat. Maleficos autem in vincula coniicit. Nam & pedicæ Græcis πέδαι appellatæ, centenarium numerum explent, singularum literarum numero in πέδαι voce supputato. Pastoribus porrò & equisonibus bona est litera ρ. Nam νέμε, hoc est pasce, si supputetur centenarium numerum efficit.

De Catena. CAP. 35.

Catena vxorem significat, propter nomen, & detentionem. Significat & negotiorum non gratorum, neque iucũdorum implicationem: multas enim connexiones & iuncturas habet, & vinctos non lætos facit. Insuper verò remoras, cohibitionémque ac impeditionem actionum significat.

De Tela, & auxiliaribus instrumentis. CAP. 36.

Tela recta motum & peregrinationẽ significat: textricẽ enim deambulare

oportet. Altera verò tela detentionis significatiua est: nam desidentes mulieres talem telam texunt. Omnibus autem melius est telam recens texi inchoatam videre, quàm iam excidendam, similis est enim fini vitæ. Quæ igitur nuper texi cœpit tela, longam vitam prædicit. Quæ verò iam excidenda est, breuem, excisa verò, mortem. Cæterùm de rerum textarum differentia, in sermone de vestitu & ornatu, tum virili, tum muliebri, libri secundi principio mentionem feci. Inde sanè iudicationes transferre oportet. Si quis nauigans telam viderit, putet se malum nauis videre. Quicquid igitur circa telam euenerit, idem etiam circa malum eueniet. Auxiliaria autem instrumenta, & quæ ad telæ texturam præparantur, multas curas & negotiorum confusionem significant, quorum discretio serò & vix tandem continget: quàmdiu enim auxiliaria sunt, confusa sunt & indiscreta. Vbi autem tela fuerit absoluta, singula in proprium digesta & ordinata locum, & vtilitatem significant similitérque exhibent.

De Coticula. CAP. 37.

COticula exhortationis est signum ac lætitiæ, & quodam modo dicit, acutiores nos fieri oportere. In amicitiis autem non auxiliantes significat, sed exhortantes & incitantes. Coticula enim nihil communiter facit cum ferro, acutius tamen ipsum reddit. Sepè verò etiam vxorem coticula significat.

De Etymologia, & Originatione nominum. CAP. 38.

NOmina quorum originatio explicari potest, non inutilia putanda sunt ad indicationes. Siue etiam in bonis ab aliis significatis nomina fuerint gratiosa, perfectiora bona erunt. Siue in malis, minora & obtusiora mala faciunt. At verò infamia nomina contraria voluntatibus, mala quidem extendunt, bona verò

ὁ δὲ ἕτερος ἱστὸς, κατοχῆς ἐστὶ σημαντικός· ἐπειδὴ γὰρ καθεζόμεναι ὑφαίνουσιν αἱ γυναῖκες τὸν τοιοῦτον ἱστόν. ἅπασι δὲ ἄμεινον ἀρχόμενον ὑφαίνεσθαι ἱστὸν ἰδεῖν, ἢ πρὸς τὸ ἐκτέμνεσθαι ὄντα. ἔοικε γὰρ τῇ τοῦ βίου τελευτῇ. ὁ μὲν οὖν ἄρτι ἀρχόμενος ὑφαίνεσθαι, μακρὸν ὑπαγορεύει βίον. ὁ δὲ πρὸς ἐκτομῇ ὤν, ὀλίγον. ὁ δὲ ἐκτετμημένος, θάνατον. Περὶ δὲ χρημάτων διαφορᾶς, ἀπὸ τοῦ λόγου τοῦ περὶ ἱματίου καὶ κόσμου ἀνδρείου τε καὶ γυναικείου, ἐν τῷ δευτέρῳ βιβλίῳ ἐν ἀρχῇ ἐπεμνήσθην. ἔξεστι δὲ τὰς κρίσεις μεταφέρειν. εἴ τις πλέων ἱστὸν ἴδοι, ἡγείσθω τὴν κατάρτιον ὁρᾶν. ὅτι ἂν οὖν περὶ τὸν ἱστὸν ἀποβαίνοι, τὸ αὐτὸ καὶ περὶ τὴν κατάρτιον ἔσται. Συνεργὰ δὲ καὶ τὰ εἰς ὕφην ἱστοῦ παρασκευαζόμενα πολλὰς φροντίδας καὶ σύγχυσιν πραγμάτων σημαίνει, ὧν ὀψὲ καὶ μόγις ἔσται διάκρισις· ἕως μὲν γὰρ ἔτι συνεργὰ, συγκέχυται καὶ ἀδιάκριτά ἐστι. ἐπειδὰν δὲ ὑφανθῇ, εἰς τὴν οἰκείαν ἕκαστον κατατεταγμένον χώραν, καὶ τὴν εὐχρηστίαν σημαίνει ὁμοίως καὶ παρέχει.

Περὶ ἀκόνης. λζ'.

ΑΚόνη, προτροπῆς ἐστὶ σημεῖον, καὶ εὐθυμίας, καὶ τρόπον τινὰ ὀξυτέρους φησὶ δεῖν γενέσθαι. ἐν δὲ ταῖς φιλίαις, οὐ τοὺς συλλαμβανομένους σημαίνει, ἀλλὰ τοὺς προτρέποντας καὶ παρορμῶντας. συμπράττει μὲν γὰρ οὐδὲν τοῖς σιδηροῖς ἡ ἀκόνη. ὀξύτερα δὲ αὐτὰ ποιεῖ. πολλάκις δὲ ἀκόνη καὶ γυναῖκα σημαίνει.

Περὶ ἐτυμολογίας ὀνομάτων. λη'.

ΤΑ δὲ ἐτυμολογούμενα τῶν ὀνομάτων, οὐκ ἄχρηστα νομίζειν χρὴ πρὸς τὰς κρίσεις. ἐάν τι γὰρ ἐπ' ἀγαθοῖς τοῖς ὑπὸ τῶν ἄλλων σημαινομένοις τὰ ὀνόματα εὔφημα ᾖ, τελειότερα τὰ ἀγαθά. ἐὰν τ' ἐπὶ τοῖς κακοῖς, ἐλάττονα καὶ ἀμβλύτερα τὰ κακὰ ποιεῖ. τὰ δὲ δύσφημα, ἐναντία ταῖς προαιρέσεσι, τὰ μὲν κακὰ ἐπιτείνει, τὰ δὲ ἀγαθὰ

ἐπαμβλύνει. πολλάκις δὲ καὶ ἀπὸ μόνων αὐτῶν ἔστι τι προαγορεῦσαι. οἷον Μένων μὲν καὶ Μενεκράτης καὶ Κρατῖνος, ἀποδημεῖν κωλύουσι. Ζήνων δὲ καὶ Ζηνόφιλος, καὶ Θεόδωρος, τοὺς νοσοῦντας ἀνίστησι. Κάρπος δὲ καὶ Ἐλπιδιφόρος καὶ Εὔτυχος, πορισμὸν ὑποδεικνύουσι. Θράσων δὲ καὶ Θράσυλος, Εὔβουλος, καὶ Θρασύβουλος, παρορμῶσι πράττειν καὶ μὴ ἀποκνεῖν κελεύουσιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν θηλυκῶν ὀνομάτων τὰς κρίσεις χρὴ ποιεῖσθαι.

obtundunt. Sæpè autem & ab ipsis solis aliquid prædicere licet, velut apud Græcos, Μένων, & Μενεκράτης, & Κρατῖνος, peregrinari prohibent. Ζήνων autem & Ζηνόφιλος, & Θεόδωρος, ægrotos erigunt. Κάρπος autem & Ἐλπιδοφόρος, & Εὔτυχος, lucrum & pecuniarium adeptionem subindicant. Θράσων autem & Θράσυλος, & Εὔβουλος, & Θρασύβουλος, ad agendum incitant, & non segnem esse iubent. Similiter etiam in fœmininis nominibus iudicationes facere oportet.

Περὶ παραμυθίας. λθ΄.

Ἡ δὲ παραμυθία, τοὺς μὲν εὐδαιμονοῦντας, ἀδικεῖ, τοὺς δὲ ἐν περιστάσει ὄντας, ὠφελεῖ. τοὺς μὲν γὰρ εἰς τοῦτο κατάγει, ὥς τι δεῖν αὐτοῖς παραμυθίας, διὰ τὸ ἀθυμεῖν ἐπὶ τοῖς συμβαίνουσι κακοῖς. τοῖς δὲ, χρηστὰς ὑποτίθεται τὰς ἐλπίδας. ὀρθῶς καὶ εὐλόγως τοῦ τοιούτου ἀποβαίνοντος. οὔτε γὰρ τῷ ὁρῶντι φήσει τις, ἀναβλέψεις, ἀλλ' εἰκὸς τὸ ὑποκεχυμένον εἰς ἐπιθυμίαν ἄγει αὐτόν. οὔτε τῷ ὑγιαίνοντι λέγει τις, ἀνάρρωσον. ἀλλ' ὡς εἰκὸς τῷ κάμνοντι. οὕτως οὖν ἐπειδὰν τινὶ προσελθὼν λέγῃς, πλουτήσεις, εὐδαιμονήσεις, εὐτυχήσεις, πράξεις ὃ βούλει, οὐκ εὐδαιμονοῦντι οὐδὲ πράττοντι κατὰ γνώμην λέγει. εἰ δὲ ἄρα τῷ ἐν περιστάσει ὄντι προαγορεύει τις τῆς περιστάσεως λύσιν, τότε χρὴ ἀνανεώσασθαι τὸν περὶ τῶν ἀξιοπίστων λόγον. ὃν ἐπὶ τέλει τοῦ δευτέρου βιβλίου εἴρηκα· καὶ εἰ μὲν ἀξιόπιστος εἴη ὁ λέγων, πιστεύειν. εἰ δὲ μὴ, καταφρονεῖν ὡς ἐξαπατώμενον.

De Consolatiome. CAP. 39.

CONsolatio felices quidem iniuria afficit, eos verò qui in infortunio constituti sunt, iuuat. Illos enim ad hoc perducit, vt consolatione opus habeant, propter animi abiectionem in accidentibus malis. His verò bonas spes suggerit, rectè & rationabiliter huiusmodi eueniente. Neque enim videnti quispiam dixerit, videbis, sed & verisimile est oculos suffusos habenti, quo spem & desiderium eius excitet. Neque sano quisquam dicit, conualesce, sed vt par est ægrotanti. Sic igitur quando ad aliquem progressus dixeris, ditesces, felix eris, fortunatus eris, facies quod voles, non vtique felici, neque ex animi sententia agenti dicis. Si verò ei qui in calamitate constitutus est quispiam prædicit calamitatis solutionē, tunc sanè sermonem de fide dignis resumere ac renouare oportet, quem in fine secundi libri dixi: & si quidem fide dignus fuerit qui prædixit, credere. Sin minus, ipsum vt deceptorem contemnere.

Περὶ τραυμάτων καὶ οὐλῆς. μ΄.

Ἐν ἄλλῳ μέρει τοῦ σώματος ὁτῳοῦν τραῦμα ὑπάρχον, σὺν τῷ μέρει κρινέσθω, ὡς βλαπτομένῳ. ἠκρίβωται δὲ ὁ λόγος, ἐν τῷ πρώτῳ βιβλίῳ, ἐν ᾧ περὶ σώματος καὶ τῶν ἐν σώματι μερῶν. κατὰ δὲ τοῦ

De Vulneribus, & Cicatrice. CAP. 40.

SI in alia quacunq; parte corporis vulnus extiterit, vnà cum ipsa parte, velut læsa iudicetur. Exactè autē hic sermo traditus est in primo libro, capitib. quib' de corpore corporisq; partibus ago. Si verò

in pectus aut cor vulnus fuerit inflictum, iuuenibus quidem tum viris, tum fœminis, amorem significat: senioribus verò mœrorem. In dextram autem manum inflictum, in ipsam volam, debitum significat, & mœrorem ob chirographum. Cicatrix porrò omnibus curarum finem ac conclusionem præsagit.

De Debito, & Creditore, & Locatore domus.

CAP. 41.

DEbitum eandem cùm vita rationem habet, debemus igitur & vitam naturæ vniuersorum, velut mutuum ei qui id in manum dedit. Quin & creditor eãdem cum debito rationem habet. Quare ægrotantibus instans & expostulans, periculum significat: accipiens verò etiam mortem. Creditor moriens, à tristitia & cura liberat. Insuper verò & creditor & filia, eandem rationem habent, quandoquidem & filia cum necessitate expostulat, & vbi cum multis curis fuerit educata, discedit dote accepta velut creditor. Creditor famulo dominum significat pensionem expostulantem. Eadem quæ creditor significat etiam domus elocator.

De Insania, & Ebrietate.

CAP. 42.

FVrere bonum est his qui ad agendum aliquid animum conuertunt, improhibiti enim sunt furiosi ad quodcunque agendum concitentur. Maximè autem bonum fuerit tribunis plebis, & populi imperium affectantibus, & qui seipsos in turbas demittũt, maiorem enim laudem ac dignationem assequentur. Bonum est & his qui pueros erudire volunt, quoniã & furiosos pueri sequuntur. Sed & pauperes opulentiores fore insania indicat. Ab omnibus enim furiosi accipiunt: & ægrotanti sanitatem prædicit, moueri

στήθεσι γινόμενον ἢ τῆς καρδίας, νέοις μὲν καὶ ἀνδράσι καὶ γυναιξὶν, ἔρωτα σημαίνει· πρεσβυτέροις δὲ, λύπην. ἐν δὲ τῇ δεξιᾷ χειρὶ γινόμενον ἐν αὐτῷ τῷ θέναρι, δάνειον προαγορεύει, καὶ τὴν ἐπὶ χειρογράφῳ λύπην. Οὐλὴ δὲ, πᾶσι συμπέρασμα φροντίδων σημαίνει.

Περὶ δανειοῦ καὶ δανειστοῦ ἐνοικιολόγου. μα'.

ΔΑνειον, τῷ ζῆν τὸν αὐτὸν ἔχει λόγον, ὀφείλομεν οὖν καὶ τὸ ζῆν τῇ τῶν ὅλων φύσει, ὡς καὶ τὸ δάνειον τῷ ἐγχειρίσαντι. καὶ ὁ δανειστὴς δὲ, τὸν αὐτὸν ἔχει τῷ δανείῳ λόγον. ὅθεν τοῖς νοσοῦσιν ἐφιστάμενος καὶ ἀπαιτῶν, κίνδυνον σημαίνει· λαμβάνων δέ τι, καὶ θάνατον. δανειστὴς ἀποθνήσκων, λύπης καὶ φροντίδος ἀπαλλάσσει. ἔτι δὲ καὶ δανειστὴς καὶ θυγάτηρ, τὸν αὐτὸν ἔχουσι λόγον. ἐπειδήπερ καὶ ἡ θυγάτηρ μετ' ἀνάγκης ἀπαιτεῖ. καὶ ὅταν μετὰ πολλῶν ἀνατραφῇ φροντίδων, ἀπαλλάσσεται λαβοῦσα προῖκα ὡς δανειστής. δανειστὴς οἰκέτης, δεσπότην σημαίνει ἀποφορὰν ἀπαιτοῦντα. τὰ δὲ αὐτὰ τῷ δανειστῇ καὶ ὁ ἐνοικιολόγος σημαίνει.

Περὶ μανίας καὶ μέθης. μβ'.

ΜΑίνεσθαι ἀγαθὸν τοῖς ἐπὶ τὸ πράττειν ὁρμωμένοις, ἀκώλυτοι γὰρ οἱ μαινόμενοι, ἐφ' ὃ τινι ἂν ὁρμήσωσι. μάλιστα δὲ ἂν εἴη ἀγαθὸν, τοῖς δημαγωγεῖν καὶ ὄχλου ἀρχὴν πειρωμένοις, καὶ τοῖς εἰς ὄχλον καθιᾶσιν ἑαυτούς. πλείονος γὰρ ἀποδοχῆς ἀξιωθήσονται. ἀγαθὸν δὲ καὶ τοῖς παιδεύειν βουλομένοις, καὶ μαινομένοις. ἐπειδὴ καὶ παῖδες τοῖς μαινομένοις ἀκολουθοῦσι. καὶ τοὺς πένητας εὐπορωτέρους ἔσεσθαι ἡ μανία δηλοῖ. παρὰ πάντων γὰρ οἱ μαινόμενοι λαμβάνουσι· καὶ τῷ νοσοῦντι ὑγείαν προαγορεύει, κινεῖσθαι

γὰρ ἡ μανία καὶ περιπατεῖν προσάγεται· καὶ μὴ κατερρίφθαι καὶ μὴ ἠρεμεῖν, ὥσπερ ἐν νόσῳ, ὅπερ ὑγιείας ἐστὶ σύμβολον. Μεθύειν, οὐδενὶ ἀγαθὸν, οὔτε ἀνδρὶ οὔτε γυναικί. πολλὴν γὰρ ἀφροσύνην καὶ παραποδισμὸν τῶν χρειῶν σημαίνει· τούτων γὰρ καὶ ἡ μέθη ἐστὶν αἰτία. ἀγαθὸν δὲ τὸ μεθύειν τοῖς φοβουμένοις. οὐκ ἐπιστρέφονται γὰρ καὶ οὐ φοβοῦνται οἱ μεθύοντες.

Περὶ φόβου. μγ΄.

Φοβεῖσθαι, οὐδενὶ ἀγαθὸν, ἐπειδὴ ὁ φοβούμενος, ἀντέχειν μὲν πρὸς οὐδὲν δύναται, καταπροδοὺς δὲ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα, πρὸς ταῦτα ἐπιτηδειότερον ἑαυτὸν παρέχει· ὥστε θᾶττον παθεῖν ὃ ἂν μάλιστα φοβῆται.

Περὶ ἐπιστολῆς. μδ΄.

Ἐπιστολὴν εἰ μέν τις ἴδοι καὶ τὰ ἐν αὐτῇ γεγραμμένα, εἰς τοῦτο ἀποβαίνει, εἰς ὅ, τι ἂν τὰ γεγραμμένα εἴπῃ. εἰ δὲ μὴ, πάντως ἐστὶν ἀγαθή. ἴδιον γὰρ πάσης ἐπιστολῆς, τὸ, χαῖρε καὶ ἔρρωσο λέγειν.

Περὶ κήλης. με΄.

Κήλη, ζημίας ἐστὶ σημαντική, τοῦτο μὲν, διὰ τὸ ἰσόψηφον· τοῦτο δὲ, ὅτι καὶ πάντα ὅσα ἐπιφύεται τῷ σώματι, μήτ' ἰσχὺν μήτε κάλλος προστιθέντα. ἀλλὰ καὶ τῆς οὔσης εὐπρεπείας παραιρούμενα τὰ σώματα, βλάβης καὶ φροντίδων εἰσὶ σημαντικά. ἐπειδὴ δὲ πάθος ἐστὶν ἡ κήλη, καὶ τοῦτο περὶ τὰ αἰδοῖα, οὐδὲν ἧττον καὶ ἐπὶ τούτοις λύπην καὶ ἀνίαν σημαίνει, ἐπὶ τοῖς ὑπὸ τῶν αἰδοίων σημαινομένοις· περὶ ὧν ἀκριβέστερον ἐν τῷ προτέρῳ βιβλίῳ, ἐν τῷ περὶ σώματος λόγῳ εἴρηκα.

enim & deambulare insania permittit: & non decumbere neque quiescere, quemadmodum in morbo, quod sanitatis signum est. Ebrium esse nemini bonum est, neque viro neque mulieri, multam enim desipientiam & rerum necessariarum impedimentum significat: horum enim etiam ebrietas est causa. Bonum est inebriari timentibus. Non enim conuertuntur neque timent ebrij.

De Timore. CAP. 43.

Timere nemini bonum est, quoniam timidus ad nihil resistere potest, verùm prodens & animam & corpus, insuper aptiorem seipsum exhibet, vt citius ea patiatur quæ vel maximè timet ac formidat.

De Epistola. CAP. 44.

Si quis epistolam videat, & quæ sunt in ipsa scripta, euentus erit in id quod scriptum ipsum dixerit. Si verò non viderit quæ sunt in ipsa scripta, omnino bona erit. Proprium est enim omni epistolæ, vt salue siue gaude, & vale dicat.

De Hernia. CAP. 45.

Hernia damni significationem habet partim quidem quòd æqualem numerum, vox κήλη quæ herniam significat, & vox ζημία quæ damnum repræsentent: partim verò quòd omnia quæ corpori innascuntur, neque robur neque pulchritudinem addentia, sed etiam præsentem decorem corporibus detrahentia, damni & curarum sunt significatiua. Quandoquidem verò vitium est hernia, atque hoc circa pudenda, nihilominus & in his tristitiam & anxietatem significat quæ per pudenda significantur: de quibus exactius primo libro in corporis tractatione dixi.

De Plantis in corpore nascentibus. CAP. 46.

QVamcunque plantam ex corpore quis produxisse sibi videatur, iuxta quorundam opinionem morietur: ex terra enim nascuntur plantæ, & in terram resoluũtur corpora mortuorum. Verùm vt sentio, iudicationes facere oportet, nõ solum ab ipsis plantis istinc enascentibus, sed etiam à partibus ex quibus plantæ producuntur. Sæpè enim non ipse qui somnium vidit mortuus est, sed qui indicatur à particula in qua planta erat. Est autem & aliqua circa ipsas plantas differentia, vt aliquando non mortem inducant, sed sectiones & chirurgias, id quòd euenire potest ab his quæ frequenter secantur, velut vite, & similibus. Itaque ego noui quendam qui vitem ex capite suo produxisse sibi visus erat, & hoc solùm ipsi euenit, vt vua ipsi excideretur.

De Scabie, & Lepra, & Elephante corporis vitio. CAP. 47.

SCabies & Lepra & Elephas, insigniores & celebres pauperes faciunt, & spectabiles propter opulentiam. Nam & vitia hæc conspicuos habentes ipsa faciunt. Occulta autem manifestant, propter eandem rationem. At verò diuitibus & multùm potentibus viris, principatus conciliant. Semper autem bonum est vt quis seipsum putet habere scabiem, aut leprã, aut elephantem, aut tale quoddam vitiũ, velut est vitiligo, alphos Græcis dicta, & impetigo. Si quis enim alium habentem videat, mœrorem aut curam significat. Omnia enim turpia odiosaque & ingrati aspectus visa, animas videntium contrahunt & mœstas reddunt. Verùm absurdius adhuc fuerit, si ex domesticis quendam viderit tali vitio occupatum. Si enim famulus somniantis fuerit, inutilis ad ministerium ipsi erit. Si verò filius, non ex sententia patris vitam instituet. Si

Περὶ φυτῶν τῶν ἐν τῷ σώματι φυομένων. μϛʹ.

ΟΤΙ δ' αὖ ἐκ σώματος φυτὸν δόξειέ τις πεφυκέναι, ὡς μὲν ἔνιοι λέγουσι, τεθνήξεται, γῆθεν γὰρ φύεται τὰ φυτά· καὶ εἰς γῆν δὲ τὰ τῶν ἀποθανόντων ἀναλύεται σώματα. ὡς δὲ ἐγώ φημι τὰς κρίσεις δεῖ ποιεῖσθαι, μὴ αὐτόθεν μόνον ἀπὸ τῶν φυτῶν, ἀλλὰ καὶ ἀπὸ τῶν μερῶν ἐξ ὧν φύεται τὰ φυτά. πολλάκις γὰρ οὐκ αὐτὸς ὁ ἰδὼν ἀπέθανεν, ἀλλὰ τὸ δεικνύμενον ὑπὸ τοῦ μέρους ἐν ᾧ τὸ φυτὸν ἦν. ἔστι δέ τις καὶ περὶ αὐτὰ τὰ φυτὰ διαφορά. ὡς ἔστιν ὅτε μὴ θάνατον ποιεῖν, ἀλλὰ τομὰς καὶ χειρουργίας. τοῦτο δ' ἂν συμβαίνοι, ἀπὸ τῶν ἑκάστοτε τεμνομένων· οἷον ἀμπέλου καὶ τῶν ὁμοίων. οἶδα γοῦν τινὰ ὃς ἔδοξεν ἐκ τῆς κεφαλῆς αὐτοῦ ἄμπελον πεφυκέναι καὶ αὐτὸ μόνον ἐσταφυλοτομήθη.

Περὶ ψώρας καὶ λέπρας, καὶ ἐλέφαντος τοῦ πάθους. μζʹ.

Ψώρα δὲ καὶ λέπρα καὶ ἐλέφας, ἐπισημοτέρους καὶ ἐνδόξους τοὺς πένητας ποιοῦσι, καὶ περιβλέπτους διὰ τὴν εὐπορίαν. καὶ γὰρ τὰ πάθη ταῦτα, ἀποβλέπτους τοὺς ἔχοντας ποιεῖ. τὰ δὲ κρυπτὰ ἐλέγχει, διὰ τὸν αὐτὸν λόγον. τοῖς δὲ πλουσίοις καὶ τοῖς μέγα δυναμένοις ἀνδράσιν, ἀρχὰς περιποιοῦσιν. ἀεὶ δὲ ἀγαθὸν αὐτὸν ἔχειν δοκεῖν ψώραν, ἢ λέπραν, ἢ ἐλέφαντα, ἢ τοιοῦτό τι πάθος. οἷον ἀλφοὺς ἢ λειχῆνας. τὸ δὲ ἄλλον ἔχοντα ἰδεῖν, λύπην ἢ φροντίδα σημαίνει. πάντα γὰρ εἰδεχθῆ καὶ δυσπρόσωπον ὁραθέντα, συνάγει τὰς ψυχὰς τῶν ὁρώντων καὶ συστέλλει. ἀτοπώτερον δ' ἂν εἴη, εἰ τῶν οἰκείων τινὰ ἴδοι τοιούτῳ συνεχόμενον πάθει. εἰ μὲν γὰρ οἰκέτης τοῦ ἰδόντος εἴη, ἄχρηστος εἰς ὑπηρεσίαν ἔσται αὐτῷ. εἰ δὲ παῖς, οὐ φυλάξει τὸ κατὰ γνώμην τοῦ πατρὸς ζῆν. εἰ

δὲ γυνὴ, πάντως ὑπὸ τοῖς πραττομένοις ὑπ' αὐτοῖς αἰσχύνεται. τοῖς δὲ ἐξ ὄχλου πορειζομένοις συμφέρει, καὶ περὶ τῶν ἄλλων δὲ κατ' ἀναλογίαν κρίνειν χρή.

Περὶ τοῦ λιθοβολεῖν ἢ λιθοβολεῖσθαι. μη'.

ΒΑλλειν λίθοις τινὰ, κακῶς εἰπεῖν τινα σημαίνει. βάλλεσθαι δὲ ὑπό τινος, ἀκούεσθαι κακῶς προαγορεύει. ἐοίκασι γὰρ οἱ λίθοι λόγοις ἀπρεπέσι καὶ μαχίμοις. πολλάκις δὲ τὸ βάλλεσθαι λίθοις, καὶ ἀποδημίαν προαγορεύει. δεῖ γὰρ ὡς εἰκὸς τὸν βαλλόμενον φεύγειν. ἐπειδὰν δὲ πολλοὶ πάνυ ὦσιν οἱ βάλλοντες, ἀγαθοὶ τετήρηνται μόνοις τοῖς ἐξ ὄχλου πορειζομένοις.

Περὶ τεττίγων. μθ'.

ΤΕττιγες, ἄνδρας δηλοῦσι μουσικοὺς, διὰ τὴν περὶ αὐτοὺς ἱστορίαν. ἐν δὲ ταῖς χρείαις, τοὺς οὐδὲν ὠφελοῦντας, ἢ αὐτὸ μόνον περὶ τῶν πραγμάτων λέγοντας καὶ μεμνημένους. ἐν δὲ τοῖς φόβοις, τοὺς μόνον ἀπειλοῦντας, οὐδὲν δὲ δυναμένους πρᾶξαι. οὐδὲν γάρ εἰσι τέττιγες πλὴν φωνῆς ἰσχύουσι. τοὺς δὲ νοσοῦντας, δίψῃ συνέχεσθαι λέγουσι, καὶ πάντως ἀποθανεῖσθαι. τροφῆς γὰρ οὐ μέτεστιν αὐτοῖς.

Περὶ σκίλλης καὶ ἀσφοδέλου. ν'.

ΣΚίλλα, γεωργοῖς μὲν ἀφορίας ἐστὶ σημαντικὴ, διὰ τὸ μηδὲν ἐδώδιμον ἔχειν. ποιμέσι δὲ ἀγαθὴ, ὅτι φύσει συμβέβηκεν αὐτῇ εἶναι λύκων φθαρτικήν. ἀγαθὴ δ' αὖ εἴη πᾶσι τοῖς ἐν φροντίσι καὶ λύπῃ οὖσι: καθάρσιος γὰρ εἶναι νενόμισται. τοῖς δὲ εὖ πράττουσι, δειμάτων ἐπαγωγὸς καὶ φροντίδων οὖσα τετήρηται, οὐ γὰρ δεῖ καθαρμοῦ τοῖς μὴ ἐν περιστάσει τινὶ οὖσιν.

autem vxor, penitus ex his quæ per illam fiunt pudefiet. Cæterùm his qui ex turba victum sibi quærunt conducit, & de aliis sanè iuxta proportioné iudicare oportet.

Lapidibus iacere, aut ici.

CAP. 48.

LApides iacere in aliquem, malis verbis aliquem impetere significat. Verùm lapidibus ab aliquo peti, malè auditurum esse prædicit. Similes enim sunt lapides sermonibus indecoris & litigiosis. Sæpè verò & peregrinationem præsagit lapidibus impeti. Oportet enim vt verisimile est, eum qui impetitur fugere. Quando autem multi fuerint qui lapides iaciunt, boni obseruati sunt solis his qui ex turba victum quærunt.

De Cicadis. CAP. 49.

CIcadæ viros musicos indicant, propter historiam quę de ipsis fertur. In necessitatibus autem, nihil iuuantes, aut solùm negotiis dicentes, & commemorantes. In timoribus verò, minantes, & nihil facere potentes. Nihil enim sunt cicadæ, verùm voce tantùm præstant. Ægrotantes porrò siti grauati dicunt, & omnino morituros esse. Cibo enim non fruuntur.

De Scilla, & Asphodelo.

CAP. 50.

SCilla agricolis sterilitatis signum est, propterea quòd nihil esui aptum habeat. Pastoribus autem bona est, quòd ex natura sua vim habeat perdendi lupos. Bona fuerit etiam omnibus in curis & mœrore constitutis: purgatoriam enim vim habere creditur. Feliciter agentibus, terrorum inductrix itemq; curarum obseruata est: neq; enim purgatione & purificatione opus est his qui non in calamitate aliqua constituti sunt.

Aspho-

Asphodelus autem siue hastula regia, eundem quem scilla euentum, & similiter habet: solos verò ægrotos occidit, quemadmodum sæpè obseruaui. Causam autem manifestam non est, quòd dicere queam, verisimilitudinem verò habet, si propterea id contingere quis dicat, quòd apud inferos campus plenus asphodelis esse creditur.

Ἀσφόδελος δὲ τῇ σκίλλῃ τὰ αὐτὰ καὶ ὡσαύτως ἀποβαίνει· μόνους δὲ τοὺς νοσοῦντας ἀναιρεῖ, ὥς γε πολλάκις ἐτήρησα. τὴν δὲ αἰτίαν, σαφῶς μὲν εἰπεῖν οὐκ ἔχω, εἰκὸς δὲ εἰπεῖν, ὅτι νενόμισται τὸ ἐν τῷ ᾅδῃ πεδίον ἀσφοδελῶν εἶναι πλῆρες.

Eadem cum alio pati.

CAP. 51.

PAti sibi videri eadem cum alio quocunque tandem noto, velut eundem pedem, aut eandem manum, aut aliam quandam corporis partem, eandem pati, & omnino coægrotare, aut condolere, peccatorum illius socium fore significat. Nam corporis morbi, & partium mutilationes ac læsiones, similes sunt animæ intemperantiis, & irrationabilibus concupiscentiis. Qui igitur eadem patitur, meritò simul delinquit. Noui autē quendam mutilum dextro pede, qui sibi visus est famulum ipsius eundem pedem claudum habere, & similiter claudicare, & sanè deprehendit ipsum in amica, ex qua ipse pendebat, atque hoc erat quòd somnium ipsi prædixerat, famulum videlicet simul cum ipso peccaturum esse.

Περὶ τοῦ τὰ αὐτὰ ἄλλῳ πάσχειν. να'.

ΠΆσχειν δὲ δοκεῖν τὰ αὐτὰ ἄλλῳ ὁτῳοῦν γνωρίμῳ, οἷον τὸν αὐτὸν πόδα, ἢ τὴν αὐτὴν χεῖρα, ἢ ἄλλο τι μέρος τοῦ σώματος, τὸ αὐτὸ πάσχειν, καὶ ὅλως συννοσεῖν ἢ συναλγεῖν, κοινωνῆσαι σημαίνει τῶν ἁμαρτημάτων ἐκείνῳ. τὰ μὲν γὰρ νοσήματα τοῦ σώματος καὶ τῶν μερῶν πηρώσεις, ἐοίκασι ταῖς τῆς ψυχῆς ἀκολασίαις καὶ ἀλόγοις ἐπιθυμίαις. ὁ δὲ τὰ αὐτὰ πάσχων, εἰκότως ἂν συνεξαμαρτάνοι. οἶδα δέ τινα πηρὸν τῷ δεξιῷ ποδί, ὃς ἔδοξε τὸν οἰκέτην αὐτοῦ, τὸν αὐτὸν πόδα πηρὸν ἔχειν, καὶ ὁμοίως ἐπισκάζειν, καὶ δὴ κατέλαβεν ἐπὶ τῆς ἐρωμένης ἧς αὐτὸς ἤλητο, καὶ τοῦτο ἦν ὅπερ προηγόρευσεν αὐτῷ τὸ ὄνειρον, συνεξαμαρτάνειν αὐτῷ τὸν οἰκέτην.

De Sterquilinio. CAP. 52.

STerquilinium videre, bonum est ex turba quæstum facientibus, & sordida opificia exercentibus: ex multis enim superfluitatibus sterquilinia fiunt, & à multis reiiciuntur. Bonum est & his qui publica negotia perficienda suscipiunt & conducunt. Bonum est etiam viro pauperi in sterquilinio dormire, multas enim pecunias acquiret ac coacernabit. Diuiti autem principatum procurat hoc somnium, aut publicum aliquem honorem, quoniam omnes populares aliquid ad sterquilinium afferūt & adiiciunt, quemadmodum etiam principibus conferunt & dant. Perfundi sterquilinio à quodam familiari, non est bonum: inimicitiam

Περὶ κοπρίας. νβ'.

ΚΟπρίαν ἰδεῖν, ἀγαθὸν τοῖς ἐξ ὄχλου ποριζομένοις, καὶ τοῖς τὰς ῥυπώδεις ἐργασίας ἐργαζομένοις· ἐκ πολλῶν γὰρ περισσευμάτων τὰ κόπρια γίνεται, καὶ ὑπὸ πολλῶν ῥίπτεται. ἀγαθὸν δὲ καὶ τοῖς τὰ δημόσια ἐργολαβοῦσιν ἢ μισθουμένοις. ἀγαθὸν δὲ καὶ ἐπὶ κοπρίας καθεύδειν ἀνδρὶ πένητι. πολλὰ γὰρ κτήσεται καὶ περιβαλεῖται χρήματα. πλουσίῳ δέ, ἀρχῆς ἐστι ποιητικὸν τὸ ὄναρ, ἢ τιμῆς τινος δημοσίας, ἐπειδὴ πάντες οἱ δημόται τῇ κοπρίᾳ προσφέρουσί τι καὶ προσβάλλουσιν, ὥσπερ καὶ τοῖς ἄρχουσι συντελοῦσί τε καὶ διδόασιν. περιχεῖσθαι δὲ κοπρίαν ὑπό τινος γνωρίμου, οὐκ ἀγαθόν· ἔχθραν

γὰρ καὶ διχόνοιαν καὶ ἀδικίαν ὑπὸ τοῦ προσχέοντος σημαίνει. αὐτῷ δὲ ἄλλον κοπρίαν προσρίπτειν, βλάβην πολλὴν προαγορεύει.

Περὶ προσευχῆς. νγ'.

Προσευχὴ καὶ μεταῖται καὶ πάντες ἄνθρωποι προσαῖται καὶ οἰκτροὶ καὶ πτωχοί, λύπην καὶ φροντίδα καὶ τηκεδόνα τῆς ψυχῆς καὶ ἀνδρὶ καὶ γυναικὶ προαγορεύουσι. τοῦτο μὲν γὰρ οὐδεὶς ἄπεισιν εἰς προσευχὴν μὴ οὐχὶ φροντίζων σφόδρα· τοῦτο δὲ καὶ οἱ μεταῖται πάνυ εἰδεχθεῖς ὄντες καὶ ἄποροι καὶ μηδὲν ἔχοντες ὑγιὲς ἐμποδὼν ἵστανται πάσῃ προαιρέσει. ἔστι γὰρ τοῦτο καθόλου καὶ ἐπὶ πᾶσιν ἄπταιστον. οἱ ἀγνοούμενοι ἄνθρωποι, εἰκόνες εἰσὶ τῶν ἀποβησομένων ἑκάστῳ πραγμάτων. οἱ δὲ μεταῖται, ὁμοίως καὶ αὐτοὶ τὰς περὶ αὐτοὺς φαντασίας καὶ πράξεις τοῖς ὁρῶσι σημαίνουσι. λαβόντες δέ τι νόμισμα, βλάβην μεγάλην καὶ ἐπικίνδυνον προαγορεύουσι. πολλάκις δὲ καὶ θάνατον αὐτῷ τῷ ἰδόντι ἤ τινι τῶν περὶ αὐτόν. ἐοίκασι δὲ θανάτῳ, ἐπειδὴ μόνοι ἀνθρώπων ὥσπερ ὁ θάνατος οὐδὲν λαβόντες ἀποδιδόασι. μεταῖται δὲ εἰς οἰκίαν εἰσερχόμενοι, τῆς οἰκίας ἀμφισβήτησίν τινα σημαίνουσι, καὶ ἂν λάβωσιν, ἢ αὐτοὶ βίᾳ χρησάμενοι, ἢ παρέχοντος ἑκόντος τινός, βλάβην ὑπερβάλλουσάν τινα σημαίνουσι. τὸ δὲ αὐτὸ καὶ εἰς χωρίον τινὸς εἰσιόντες σημαίνουσιν.

Περὶ κλειδός. νδ'.

Κλεὶς ὄναρ ὁρωμένη, γῆμαι μὲν προῃρημένῳ, πιστὴν καὶ οἰκουρὸν ἔσεσθαι τὴν γυναῖκα σημαίνει, καὶ τῷ θεράπαιναν ὠνήσασθαι βουλομένῳ, εὔνουν ἔσεσθαι τὴν θεράπαιναν προαγορεύει. ἀποδημεῖν δὲ κωλύει, ἀποκλεισμοῦ καὶ κατοχῆς οὖσα σημαντική, οὐ γὰρ ἐπὶ τῷ ἀνοίγνυσθαι ἀλλ' ἐπὶ τῷ κατακλείεσθαι τὰς θύρας γέγονεν ἡ κλείς· ἐπεὶ οὐκ ἂν ἔδει τι κλειδὸς οὐδὲ θυρῶν -

enim & dissensionem, & iniuriam ex affundente significat. Si verò aliquis ignotus sterquilinium iniiciat, damnum ingens prædicit.

De Oratione. CAP. 53.

ORatio & petitores, & omnes homines mendici, miserabilésque & inopes, tristitiam & curam, & tabem animæ, & viro & mulieri prædicũt. Partim quòd nullus ad orandum abit, qui non vehementer curis angatur: partim quòd petitores & mendici valde turpes existentes, & inopes, nihil sani habentes, omni proposito obstant & impedimento sunt. Est enim hoc vniuersale, & in omnibus infallibile, quòd ignoti homines imagines sunt rerum ac negotiorum somniantibus euenturorum. Mendici verò similiter etiam ipsi apparentias & actiones suas videntibus significant. Si verò numisma aliquod acceperint, detrimentum ingens & periculosum prædicunt. Sæpè verò & mortem ipsi qui somnium vidit, aut cuidam eius familiari. Similes enim sunt morti, quoniam hi hominum, quemadmodum mors, nihil eorum quæ acceperunt reddunt. Mendici porrò in domum ingredientes cõtentionem quandam domus significant, & si quid acceperint, aut ipsi vi vtentes, aut exhibente aliquo vltro, superexcellens detrimentum quoddam significant. Quam significationem etiam exhibent, vbi in regionem alicuius fuerint ingressi.

De Claue. CAP. 54.

CLauis per somnium conspecta, ei qui vxorem ducere proposuit, fidelem & custodem domus, vxorem fore significat, & ei qui familiam emere vult, beneuolam ancillam fore prædicit. Peregrinari autem prohibet, exclusionis & detentionis significatiua existens, quoniam non ad apertas, sed ad conclusas fores clauis facta est: aliâs neque opus erat claue, neque foribus.

Nunc autem quum non adsit custos, tunc sanè clauis vsus est, foribus conclusis. Meritò igitur obstaculo est peregrinari volentibus. Qui verò curare & dispensare res alienas volunt, his fidei & autoritatis significatiua est.

νυνὶ δὲ ἐπειδὰν μὴ παρῇ ὁ φυλάξων, τὸ τῆς κλειδὸς χρεία γίνεται, κεκλεισμένων τῶν θυρῶν. εἰκότως οὖν ἐμπόδιον γίνεται τοῖς ἀποδημεῖν βουλομένοις. τοῖς δὲ πιστεύειν θέλουσι καὶ διέπειν τὰ ἀλλότρια, πίστεως ἐστὶ σημαντική.

De Coco. CAP. 55.

COcus qui in domo videtur, bonus est his qui vxorem ducere proposuerunt: opus est enim in nuptiis coco, & pauperibus: qui enim prolixa conuiuia habent, illi coco vtuntur. Ægrotantibus autem exacerbationes significat & inflãmationes, propter assationem, & variam intemperiem à quibus humores fiunt acres, velut tradunt hi qui circa artem quæ de illis tractat celebres existunt. Ad finem etiam lachrymas, propter fumum qui à coco excitatur. Occulta quoque reuelat, & quæ clàm facta sunt in medium producit: quoniam & opera coci in medium prolata conuiuantibus apponuntur, & qualia sunt apparent.

Περὶ μαγείρου. νε.

ΜΑγειρος ὁ μὲν κατ' οἶκον ὁρώμενος, ἀγαθὸν τοῖς γῆμαι προῃρημένοις· δεῖ γὰρ ἐν γάμοις μαγείρου, καὶ τοῖς πένησιν· οἱ γὰρ ἐκτενεῖς τροφὰς ἔχοντες, οὗτοι μαγείρῳ χρῶνται. τοῖς δὲ νοσοῦσι, παροξυσμοὺς σημαίνει καὶ φλεγμονὰς διὰ τὸ παροπτᾶν, καὶ ποικίλην δυσκρασίαν. ἀφ' ὧν χυμοὶ γίγνονται δριμεῖς, ὥς φασιν οἱ περὶ ταῦτα δεινοί. τέλος δὲ καὶ δάκρυα, διὰ τὸν ὑπὸ τοῦ μαγείρου γινόμενον καπνόν. καὶ τὰ κρυπτὰ ἐλέγχει, καὶ τὰ λάθρα γινόμενα εἰς μέσον ἄγει· ἐπεὶ καὶ τὰ ἔργα τοῦ μαγείρου εἰς μέσον κομισθέντα παρατίθενται τοῖς εὐωχουμένοις, καὶ φαίνεται οἷά ἐστιν.

De Ludo calculorum, siue Latrunculorum. CAP. 56.

CAlculis, siue latrunculis ludere sibi videri eum qui non scit, multam vtilitatem significat ex deceptione & mendacio; propterea quòd multos calculos furetur, eósque aliâs aliter ostendat, non iuxta aliquem simplicem modum, sed malitiosè. Si verò quis alium calculis ludentem videat, eum deceptum ac defraudatum detrimentum ac damnum passurum esse significat.

Περὶ τοῦ ψηφοπαικτεῖν. νς'.

ΨΗφοπαικτεῖν δοκεῖν οὐκ ἐπιστάμενον, πολλὰ ὠφεληθῆναι σημαίνει, παραλογιζόμενον καὶ ψευδόμενον διὰ τὸ πολλὰς ψήφους κλέπτειν, καὶ ταύτας ἄλλοτε ἄλλως δεικνύειν, οὐ κατά τινα ἁπλοῦν τρόπον, ἀλλὰ πανούργως. ἰδεῖν δὲ ψηφοπαικτοῦντά τινα, παραλογισθέντα καὶ ἐξαπατηθέντα βλαβῆναι σημαίνει.

De Lanio, siue Macellario. CAP. 57.

QVI in foro versantur coci, carnes conscindentes & vendentes, periculorum & damni significatiui sunt: & ægrotantes citò occidunt, quoniam mortua corpora contingunt, atque hæc non

Περὶ κρεοπώλου. νζ.

ΟΙ δὲ ἐν ἀγορᾷ μάγειροι, οἱ τὰ κρέα κατακόπτοντες καὶ πιπράσκοντες, κινδύνων εἰσὶ σημαντικοὶ καὶ βλάβης· καὶ τοὺς νοσοῦντας, ταχέως ἀναιροῦσιν, ἐπειδὴ νεκρῶν ἅπτονται σωμάτων, καὶ ταῦτα δὲ οὐκ

ἐκόκληρα οὐδὲ ὑγιεινὰ ἐῶσιν, ἀλλὰ κατακόπ|ουσι. πλουσίοις δὲ καὶ βλάβης πρὸς τοὺς κινδύνους σημαντικοί εἰσι· καὶ κατὰ τὸ πλεῖστον εἰς τὸ δημόσιον διὰ τὸ τῷ δήμῳ διανέμειν τὸν τοιοῦτον μάγειρον τὰ κρέα. καὶ τοῖς φοβουμένοις στερεώτερον ἐπάγει τὸν φόβον. τὰ δάνεια δὲ καὶ τὰ δεσμὰ λύει, διὰ τὸ αἴρειν καὶ διακόπτειν.

Περὶ πανδοκέως. νη΄.

Πανδοκεὺς τοῖς μὲν νοσοῦσι θάνατον σημαίνει, ἔοικε γὰρ θανάτῳ διὰ τὸ πάντας ἀποδέχεσθαι. τοῖς δὲ λοιποῖς πᾶσι θλίψεις καὶ στενοχωρίας καὶ κινδύνους καὶ ἀποδημίας προαγορεύει, καὶ ὁ λόγος φανερός. τί γὰρ δεῖ τὰ οὕτω σαφῆ ἑρμηνεύειν; τὰ δὲ αὐτὰ τῷ πανδοκεῖ καὶ τὸ πανδοκεῖον σημαίνει.

Περὶ τελώνου. νθ΄.

Τελώνης, ἀγαθὸς τὴν χρείαν ἥντινα οὖν ἀπαρτῆσαι βουλομένῳ, ἀπὸ γὰρ τοῦ τέλους τὸν συμπερασμὸν ἑκάστης χρείας προαγορεύει, καὶ τοῖς κινεῖσθαι ποι προαιρουμένοις. ἀεὶ γὰρ πρὸς ταῖς ἐξόδοις ἕστηκε· μικρὰς κατοχὰς προαγορεύσας, τὸ λοιπὸν ἐπιτρέπει κινεῖσθαι καὶ πάσης ἀποδημίας χρῆσθαι. νοσοῦσι δὲ θάνατον προαγορεύει. τελευτὴν γὰρ καὶ τὸν θάνατον καλοῦμεν. πρὸς γάμους δὲ καὶ κοινωνίας, εὔνους μὲν εἶναι λέγει τοὺς κοινωνοὺς καὶ τὰς γυναῖκας. στασιώδεις δὲ καὶ μαχίμους, διὰ τὴν γινομένην ἑκάστοτε περὶ τῶν τελῶν ἀμφισβήτησιν. τὸ δὲ εὔνουν αὐτῶν καὶ πιστὸν, ἀπὸ τοῦ παραφυλακτικοῦ ἐστι τεκμήρασθαι.

Περὶ λευκέας, καὶ λίνου, καὶ καννάβεως. ξ΄.

Λευκέα τοῖς μὲν φοβουμένοις ἐστὶ πονηρά, στερρότερον γὰρ καὶ φορτικώτερον ἐπάγει

integra, neque sana velut sunt relinquũt, sed conscindunt. Diuitibus autem etiam dãni supra pericula significatiui sunt: & vt plurimũ in rẽpubl. propterea quòd eiusmodi cocus carnes populo distribuat. Sed & timentibus solidiorem timorẽ inducit. Debita autem & vincula soluit, propterea quòd dissecet & auferat.

De Stabulario, siue Hospite publico. CAP. 58.

Stabularius ægrotantibus mortem significat, similis est enim morti, propterea quòd omnes recipit. Reliquis omnibus tribulationes & angustias & pericula & peregrinationes prædicit. Estque ratio manifesta, quid enim opus est adeò manifesta interpretari? Eadem autem quæ stabularius significat etiam ipsum stabulum.

De Publicano. CAP. 59.

Publicanus bonus est necessitatem quamcunque tandem dirimere volenti, à fine enim vnde Græcis τελώνης appellatur, complementum & finem omnis necessitatis prædicit. Bonus est & his qui aliquò moueri ac prodire proposuerunt: semper enim ad exitus stat, & parua detentione denuntiata, de cætero moueri permittit, omníque profectione vti. Ægrotantibus autem mortem præsagit: τελευτὴν enim Græci mortem, voce eiusdẽ cum ea quæ publicanum indicat originis, appellant. Ad nuptias verò & societates, beneuolos quidem fore ait socios & vxores, verùm seditiosos & pugnaces, propter eam quæ frequenter fieri solet de vectigalibus contentionem. Cæterùm beneuolentiam & fidelitatem ex custodiæ diligentia coniectare oportet.

De Leucea, & Lino, & Cannabe. CAP. 60.

Leucea timentibus quidem mala est, solidiorem enim & grauiorẽ timorẽ

inducit, & seruis tormenta & tribulationes prædicit, & pauperibus libertatem: exceptis his qui ex ipsa, aut per ipsam quæstum habent. Nam & tunditur, & torquetur, & contexitur. His verò qui in delitiis viuunt tribulationes & angustias significat, & apud exteros degentes reducit, maximè vbi trans mare fuerint. Nam & ipsa per mare apportatur.

Linum ad nuptias & societates bonũ est, propter texturam: & ad ea quæ sperãtur propter retia, & plagas siue nubeculas, & similia, quibus homines ea quæ procul & longè absunt venantur. Verùm ad reliqua, eadem quæ leucea significat, sed viribus minora.

Cannabis super extendit, ea quæ per leuceam significantur, itémque per linũ, & immensa quædam tormenta significat, & vincula robusta: soluta tamen omnibus liberat. Sola enim ipsa post multũ vsum detrita resoluitur. Cæterùm nosse expedierit, quòd singula hæc mercaturam exercentibus ipsorum, tum emendo, tùm vendendo, item his qui ex ipsis, aut per ipsa operantur, nihil horrendum aut absurdum prædicunt.

Seruari, siue teneri.

CAP. 61.

SEruari ab aliquo detentum, impedimenta rerum necessariarum, & detentiones, & remoras in præfinitis temporibus, & intentionem ac prolongationem in morbis prædicit. Qui verò in extremis laborant, his salutem denuntiat. Custodiam enim & conseruationem & permanentiam rerum, vitam vocamus. Contrarium verò huius, solutionem & perditionem, hoc est mortem. At verò in carcerem & vincula ingredi volentem, aut per vim ab aliquibus induci, morbum fortem, aut mœrorem ingentem prædicit. Lictores autem & carnifices, detentionis & mœroris significationem habent. Malefactoribus autem & occulta manifestant. Deprehensos enim, & eos quorum crimina manifesta facta sunt, accedunt.

τὸν φόβον, καὶ τοῖς δούλοις βασάνους καὶ θλίψεις προαγορεύει, καὶ ἐλευθερίαν τοῖς πένησι· πλὴν τῶν ἐχόντων ἐξ αὐτῆς ἢ δι' αὐτῆς τὴν ἐργασίαν. καὶ γὰρ κόπτεται, καὶ βασανίζεται, καὶ καταπλέκεται. τοῖς δὲ ἐν τρυφῇ διάγουσι, θλίψεις καὶ στενοχωρίας σημαίνει, καὶ τοὺς ἀποδήμους ἄγει, μάλιστα δὲ ὅταν διαπόντιοι ὦσι. καὶ αὐτὴ γὰρ διαπόντιος κομίζεται.

Λίνον δὲ πρὸς γάμον καὶ κοινωνίαν, ἀγαθὸν, διὰ τὴν πλοκήν· καὶ πρὸς τὰ ἐλπιζόμενα, διὰ τὴν ἐξ αὐτοῦ γινομένην ἀρκυοστασίαν, καὶ τὰς κεφέλας, καὶ τὰ ὅμοια, οἷς ἄνθρωποι τὰ ἄποθεν καὶ μακρὰν θηρῶσι. πρὸς δὲ τὰ λοιπὰ, τὰ μὲν αὐτὰ τῇ λευκέᾳ σημαίνει, ἧττονα δὲ τῇ δυνάμει.

Κάναβις ὑπερτείνει τὰ σημαινόμενα ὑπὸ τῆς λευκέας καὶ τοῦ λίνου, καὶ τὰς βασάνους ὑπερβαλλούσας τινὰς σημαίνει, καὶ τὰ δεσμὰ εὔτονα· λυθεῖσα μέντοι, πάντων ἀπαλλάσσει. μόνη γὰρ αὐτὴ καὶ ἀναλύεται μετὰ πολλὴν τρίβην. Εἰδέναι δὲ χρὴ, ὅτι ἕκαστον τούτων, τοῖς ἐμπορευομένοις καὶ τοῖς πιπράσκουσι, καὶ τοῖς ἐξ αὐτῶν ἢ δι' αὐτῶν ἐργαζομένοις, οὐδὲν ἀποτρόπαιον καὶ ἄτοπον προαγορεύει.

Περὶ τοῦ τηρεῖσθαι. ξα'.

Φυλάττεσθαι ὑπό τινος κατεχόμενον, ἐμποδισμοὺς χρειῶν καὶ κατοχὰς καὶ παρολκὰς ἐν ταῖς προθεσμίαις, καὶ ἐπίτασιν ἐν ταῖς νόσοις προαγορεύει. τοῖς δὲ ἐσχάτως ἔχουσι, σωτηρίαν προαγορεύει. φυλακὴν μὲν γὰρ καὶ διατήρησιν καὶ μονὴν τῶν πραγμάτων τὴν ζωὴν καλοῦμεν. τὸ δὲ ἐναντίον τούτου λύσιν καὶ ἀπώλειαν, τουτέστι τὸν θάνατον. εἰς δὲ τὸ δεσμωτήριον καὶ τὴν εἱρκτὴν εἰσελθεῖν ἑκόντα, ἢ βίᾳ πρός τινων εἰσαχθῆναι, νόσον ἰσχυρὰν ἢ λύπην μεγάλην προαγορεύει. δήμιοι δὲ καὶ δεσμοφύλακες, κατοχῆς καὶ λύπης εἰσὶ σημαντικοί. κακούργοις δὲ καὶ τὰ κρυπτὰ ἐλέγχει. τοῖς γὰρ ἐληλεγμένοις καὶ καταφώροις γεγονόσι προσίασιν.

Περὶ παννυχίδων. ξβʹ.

Παννυχίδες δὲ καὶ ἑορταὶ νυκτεριναὶ καὶ μετ' ἀγρυπνίας εὐφροσύναι, πρὸς γάμους καὶ κοινωνίας εἰσὶν ἀγαθαί, καὶ τοῖς πένησιν εὐπορίας καὶ προσκτήσεως εἰσὶ σημαντικαί· καθότι καὶ τοῖς λυπουμένοις καὶ τοῖς φοβουμένοις, ἄφοβοι καὶ ἄλυποι τετήρηνται. οὐ γάρ ἐστι παννυχίζειν, μὴ οὐχὶ ἐν πολλῇ εὐφροσύνῃ ὄντας. μοιχοὺς δὲ καὶ μοιχευομένας ἐκφανεῖς μὲν τίθησι. κολάζει δὲ οὐδαμῶς. ἐπειδὴ τὰ πραττόμενα ἐν ταῖς παννυχίσι, γνώριμα μὲν τοῖς συναναστρεφομένοις ἐστί, καὶ ἀκόλαστα ᾖ. τρόπον δέ τινα συγκεχώρηται διὰ τὴν μέθην. τοῖς δὲ ἐν ἀπορείᾳ καθεστῶσι, καὶ οἷς ἐστιν ὁ βίος ἐπίλαμπρος, ταραχὰς καὶ περιβοησίας τίθησιν, ὧν τὸ τέλος ἄλυπον ἂν γένοιτο.

De Excubiis. CAP. 62.

Excubiæ & festiuitates nocturnæ, & lætitiæ cum peruigilio, ad nuptias & sodalitates bonæ sunt, & pauperibus opulentiæ ac acquisitionis significatiuæ: quemadmodum & mœrentibus & timētibus, timorem & tristitiam eximere obseruatæ sunt. Neque enim totam noctem peruigilarint, qui non in multa lætitia constituti sint. Adulteros autem & adulteras manifestos quidem faciunt, nequaquam verò puniunt: quoniam quæ in peruigiliis aguntur, nota quidem sunt simul conuersantibus, etiamsi sint impunita, & quodammodo concessa, propter ebrietatem. His verò qui opulenti sunt, & quorum vita splendida est, turbationes & diuulgationes inducunt, quarum tamen finis tristitia carebit.

Περὶ ἀγορᾶς. ξγʹ.

Ἀγορὰ, ταραχῆς ἐστι σημαντικὴ καὶ θορύβου, διὰ τὸν ἐν αὐτῇ ἀγειρόμενον ὄχλον. τοῖς δὲ ἐν ἀγορᾷ ζῶσιν ἀνθρώποις, ἀγαθὴ, καὶ ὄχλου πλήθουσα, καὶ θορύβου μεστὴ ὁρωμένη. ἡ δὲ ἔρημος καὶ ἀθόρυβος, ἀπραξίαν μὲν τούτοις· τοῖς δὲ ἄλλοις πολλὴν ἀσφάλειαν προαγορεύει. ἀγορὰ ἐσπαρμένη πάντη δήπουθεν ἄβατος γίνεται. ὅ, τι ἂν ᾖ τὸ ἐν αὐτῇ ἐσπαρμένον, λέγουσι δὲ ἔνιοι τὸ τοιοῦτον τῇ πόλει, ἐν μὲν εὐποτμίᾳ λιμὸν, ἐν λιμῷ δὲ εὐποτμίαν σημαίνειν. θέατρα δὲ καὶ προάστεια καὶ πλατεῖαι, καὶ τεμένη, καὶ περίπατοι, καὶ πάντα τὰ κοινὰ, τὸν αὐτὸν τῇ ἀγορᾷ λόγον ἔχει.

De Foro. CAP. 63.

Forum turbationis & tumultus significatiuum est, propter turbam quæ in ipso congregari solet. Verùm hominibus in foro viuentibus bonum est, si & turba plenum, & tumultu refertum conspiciatur. Desertum verò & tumultu destitutū, his quidem otium & rerum successum impeditum, aliis verò multam securitatē prædicit. Forum consitum penitus vtique imperuium existit, quicquid tandem fuerit in ipso consitum. Verùm aliqui tradūt eiusmodi forum in fertilitate quidem famem ciuitati, in fame verò fertilitatem portendere. Theatra porrò & suburbia, & plateæ, & delubra, & deambulacra, & omnia communia, eandem cum foro rationem habent.

Περὶ ἀνδριάντων. ξδʹ.

Ἀνδριάντες χαλκοῖ κινούμενοι, οἱ μὲν μεγάλοι σφόδρα, εὐπορίας εἰσὶ καὶ προσόδου καὶ χαλκοῦ κτήσεως σημαντικοὶ, διὰ τὴν τοῦ χαλκοῦ κίνησιν. οἱ δὲ

De Statuis. CAP. 64.

Statuæ æreæ valde magnæ si moueantur, opulentiæ & redditus, & possessionis ac acquisitionis æris significatiuæ sunt, propter æris motum. Verùm quæ

magnitudinis sunt superexcellentis, hæ ipsæ quomodocunque moueantur, terrores & pericula non vulgaria inducunt: horrendus est enim & animum percellens horum motus videntibus. At verò lapideæ & ex alia materia, iuxta eundem modum velut Deorum statuæ iudicentur. Insuper & primates ciuitatis per statuas significantur. Quicquid igitur faciunt aut patiuntur, eadem vrbis principes facturos aut passuros esse significant.

De Talpa. CAP. 65.

TAlpa hominem significat cæcum, ab accidente, & irritum laborem, propter vanum animalis conatum. Significat & eum qui occultus esse vult à seipso proditum esse. Nam talpa ex propriis operibus manifesta deprehenditur.

De Auibus nocturnis. CAP. 66.

NOctua, aluco, bubo, vlula, asio, nycticorax, insupérque vespertilio, & si quæ est alia auicula nocturna, ad actiones quidē omnes sunt inefficaces, verùm ad timores, pauores eximunt: quoniam neque venantur, neque carniuoræ sunt nocturnæ aues. Sola vespertilio mulieribus prægnantibus bona est. Non enim oua parit quemadmodum aliæ aues, sed animal gignit, & lac in vberibus habet, & proprios filios educat. Quamcunque autem harum auium quis viderit nauigans, aut pedes iter faciens, in magnam tempestatem, aut prædones incidet. Si verò in domum aliquam inhabitandam immigrent, omnem domum desertam fore præsagiunt.

De Horologio. CAP. 67.

HOrologium, actiones, & impetus, & motus, & insidias rerum necessariarum significat. Omnia enim ad horas respiciendo homines faciunt. Quare si collabatur aut frangatur, malum sanè

ὑπερμεγέθεις ὅπως ἂν κινῶνται, φόβους καὶ κινδύνους οὐ τοὺς τυχόντας ἐπάγουσι· φοβερὰ γὰρ ἡ τούτων καὶ καταπληκτικὴ κίνησις ὡς εἰκὸς τοῖς ὁρῶσι γίνεται. οἱ δὲ λίθινοι καὶ οἱ ἐξ ἄλλης ὕλης κατὰ τὰ αὐτὰ τοῖς τῶν θεῶν ἀγάλμασι κρινέσθωσαν. ἔτι καὶ τοὺς ἐν τῇ πόλει πρωτεύοντας σημαίνουσιν οἱ ἀνδριάντες. ὅ, τι οὖν ἢ δρῶσιν ἢ πάσχουσι, τὰ αὐτὰ τοὺς ἡγουμένους τῆς πόλεως δράσειν, ἢ παθεῖν προσημαίνουσι.

Περὶ ἀσπάλακος. ξέ.

Ἀσπάλαξ, ἄνθρωπον τυφλὸν ἀπὸ τοῦ συμβεβηκότος σημαίνει, καὶ ματαιοπονίαν, διὰ τὸν μάταιον τοῦ ζώου πόνον. καὶ τὸν ἀποκρύπτεσθαι βουλόμενον σημαίνει ὑφ᾽ ἑαυτοῦ ἐλεγχθῆναι. καὶ γὰρ ὁ ἀσπάλαξ ὑπὸ τῶν ἰδίων ἐλεγχόμενος ἔργων, συλλαμβάνεται.

Περὶ νυκτερινῶν ὀρνέων. ξϛ.

Γλαὺξ, ἐλεὸς, ῥύαξ, αἰπολειός, σκὼψ, νυκτικόραξ, καὶ προσέτι νυκτερὶς, καὶ εἴ τι ἄλλο νυκτερινὸν ὄρνεον, πρὸς μὲν τὰς πράξεις πάντα εἰσὶν ἄπρακτα, πρὸς δὲ τοὺς φόβους ἄφοβα· ὅτι μήτε θηρεύει μήτε σαρκοφαγεῖ τὰ νυκτερινὰ ὄρνεα. μόνη γυναιξὶν ἐγκύμοσι, νυκτερὶς ἐστιν ἀγαθή. οὐχ ᾠοτοκεῖ γὰρ ὥσπερ οἱ ὄρνιθες. ἀλλὰ ζωοτοκεῖ, καὶ γάλα ἐν μαζοῖς ἔχει, καὶ τοὺς ἰδίους παῖδας ἐκτρέφει. ὅ, τι δ᾽ ἂν τούτων τῶν ὀρνέων τις ἴδῃ πλέων, ἢ ὁδεύων, χειμῶνι μεγάλῳ ἢ λῃσταῖς περιπεσεῖται. εἰσοικιζόμενα δὲ εἰς οἰκίαν, πᾶσαν ἔρημον τὴν οἰκίαν ἔσεσθαι προμαντεύεται.

Περὶ ὡρολογίου. ξζ.

Ὡρολόγιον, πράξεις, καὶ ὁρμὰς, καὶ κινήσεις, καὶ ἐπιβουλὰς χρειῶν σημαίνει. πάντα γὰρ πρὸς τὰς ὥρας ἀποβλέποντες ἄνθρωποι πράσσουσιν. ὅθεν συμπίπτον ἢ κατασπώμενον, πονηρὸν ἂν

εἴη καὶ ὀλέθριον, μάλιστά γε τοῖς νοσοῦσιν. ἀεὶ δὲ τὰς πρὸ τῆς ἕκτης ὥρας ἀριθμεῖν ἄμεινον, ἢ τὰς μετὰ τὴν ἕκτην.

Τὰ μὲν οὖν εἰς ἀναπλήρωσιν τῶν δεόντων, ὅσα μὴ ἐν ταῖς προτέραις βίβλοις ἐχρῆν γράφειν, ὥσπερ δὴ εἰς οἰκείαν κατατεθέντα καὶ ἀλλοτρίαν χώραν, μήτε μὴν ἄγραφα καταλιπεῖν εὔλογον ἦν, ὅπως μή τινα ὡς ἔφην πάροδον καὶ ἐπιβάθραν καταλείπω τοῦ γράφειν, αὐταρκῶς ἐμοί γε ἔχειν δοκεῖ. Χρὴ δὲ γινώσκειν, ὅτι οὐδὲν οὕτως χαλεπόν ἐστι καὶ δύσκολον, ὡς τὸ τὴν κρᾶσιν καὶ τὴν μίξιν τῶν ὁρωμένων ἐν τοῖς ὕπνοις συνιδόντα, μίαν ἐκ πάντων ἀπόφασιν ποιήσασθαι. ἐπειδὴ πολλάκις ἐναντία ἀλλήλοις, καὶ οὐδὲν ὅμοιον ἔχοντα ἔστιν ἰδεῖν. ἀδύνατον δὲ μαχόμενα εἶναι τὰ σημαινόμενα ἀλλήλοις. εἴγε τὰ πάντα ἐσόμενα οἱ ὄνειροι προαγορεύουσιν. ἀλλ᾽ ὥσπερ ἄλλων πραγμάτων ἐστὶ τάξις καὶ ἀκολουθία, οὕτω καὶ τοῖς ὀνείροις εἰκὸς ἀκολουθεῖν τάξιν τινά. Ἐπειδὰν οὖν τις ἴδῃ ὁμοῦ ἀγαθὰ καὶ κακά, ἐν νῷ δεῖ λαβεῖν, ὁπότερα πρότερον, τὰ ἀγαθὰ ἢ τὰ κακὰ εἶδε. καὶ γὰρ ἐν τοῖς πράγμασι, ποτὲ μὲν χρησταὶ φανεῖσαι ἐλπίδες, εἰς κακὸν ἀπέβησαν. ποτὲ δὲ οἱ προσδοκηθέντες φόβοι, ἀγαθῶν αἴτιοι κατέστησαν. ἔστι δὲ ὅτε καὶ ἀντὶ μεγάλων κακῶν λυσιτελεῖ μικρὰ παθεῖν. Καὶ πάλιν οὖν ἐφάνη τις μικρὰ προσδοκία ἀγαθῶν ἢ κακῶν ψευδὴς οὖσα καὶ ματαία. τὸν αὐτὸν οὖν τρόπον καὶ οἱ ὄνειροι μεμιγμένοι, εἰκότως εἰσὶ ποικίλοι, καὶ τοῖς πολλοῖς δυσερμήνευτοι. Ἐγὼ δὲ ὡς εὐπαρακολούθητον ἕκαστον τῶν σημαινομένων γένηται, ἐν τάξει ἕκαστον καὶ κοσμίως, καὶ ὡς μάλιστα ἐνεδέχετο, διδασκαλικῶς ἀνέγραψα. Ὥσπερ δὲ οἱ γραμματικοὶ τῶν στοιχείων ἐπειδὰν τὰς δυνάμεις διδάξωσι τοὺς παῖδας, τότε καὶ ὅπως ὁμοῦ πᾶσι χρῆσθαι δεῖ ὑποτίθενται, οὕτω καὶ ἐγὼ μικράς τινας καὶ εὐπαρακολουθήτους ὑποθήκας πρὸς τοῖς εἰρημένοις ἐπισωρεύσω. ὡς ἂν ἔχῃ εὐμαθῶς τὰ βιβλία πᾶσιν. ἐπεὶ τοῖς γε πεῖραν κεχρημένοις καὶ τριβαῖς πολλαῖς, εὐπαρακολούθητός ἐστιν ὁ λόγος, καὶ ἱκανὸς ἕκαστα διδάξαι ὡς

fuerit & pernitiosum, maximè ægrotantibus. Semper autem melius, horas ante sextam horam præcedentes, hoc est antemeridionales, numerare est, quàm eas quæ post sextam sequuntur.


Quæ quidem igitur in complemētum eorum quæ desunt, & quæ prioribus libris adscribere non conueniebat, in proprium locum & alienam regionem collocanda esse duxi, neque enim intacta relinquere par erat, vt ne quem accessum, velut dixi, & quasi scalam ad scribendum alicui relinquam, abundè mihi relata esse videntur. Verùm nosse operæpretium est, quòd nihil ita graue & difficile est, velut temperaturam & mixturam eorum quæ in somnis videntur intelligere, & vnum ex omnibus pronūtiatum ac sententiam facere, quandoquidem sæpè contraria inter se, & nihil simile habentia videre datur. Impossibile est autem ea quæ significantur inter se pugnantia esse, si quidem omnia futura præsagiunt somnia. Sed quemadmodum aliarum rerum ordo est & consequentia, sic & in somniis verisimile est ordinem aliquem consequi & esse. Quando igitur aliquis viderit simul bona & mala, & in animo cōcipere oportet, vtra prius, bonáne an mala vidit. Etenim in rebus humanis aliquando bonæ spes apparentes, malum euentum habuerunt, aliquando expectati timores, bonorum causa fuerunt. Interdum verò & pro magnis malis conducibile est parua pati, & rursus apparuit quandoque parua aliqua expectatio bonorum aut malorum falsa existens & vana. Eodem igitur modo & somnia mixta, meritò sunt varia, & à plerisq; ægre ac difficulter exponi possunt. Ego verò quo singula quæ significantur quisque facilè assequi posset, ordinatè & ornatè singula, & quantum possibile fuit, plano docendi modo conscripsi. Quemadmodum autem Grammatici vbi elementorum vires pueros docuerint, inde etiam quomodo omnibus simul vti oporteat admoneat: Sic & ego parua quędam & quæ facilè est assequi documenta, ad ea quæ relata sunt accumulabo, quo procliuè sit omnib. hos libros intelligere & discere. Nam qui experientia & multo vsu exercitati sunt, his expositus est & intellectu facilis sermo, & qui per se sufficiat singula abūdè docere quemadmodū habent.

habent. In primò quidem libro caput diximus esse patrem eius qui somnium vidit. In secundò verò Leonem diximus esse regem aut morbũ, & in capite de morse, pauperibus mori bonum & conducibile esse demonstraui. Quãdo igitur pauper vir patrem habens diuitem, per somnium sibi videtur caput per Leoné auulsum esse & mori, verisimile est patrem ipsius moriturum, ipsúmque hæredem relicturum esse, atque hoc modo & mœrorem deponet, & opulentus euadet, quũ neq; onerosum amplius habeat patrem, neque à paupertate prematur. Est enim caput, pater, ablatio siue auulsio, priuatio patris. Leo, morbus, quo pater ægrotans moriturus est. Mors verò permutatio vitæ, & quòd ob diuitiarum accessionem non amplius inops futurus est. Hoc sanè modò etiam in omnibus variis somniis iudicationes facere oportet, ita vt ex singulis capitibus collectis & coactis, vnum corpus faciamus. Sententiam porrò ferre & pronuntiare oportet imitatione sacrificulorum victimariorum, qui singula signa rimantur, & sciunt ad quid singula conueniant, & tamen pronuntiata ac sententias nihil magis ex vno quoque quàm ex omnibus faciunt ac proferunt. Cæterùm opto vt mihi contingant lectores, qui cùm multa beneuolentia hos libros legere concupiscant, & non antè quàm exactè didicerint criminentur, alioqui iureiurando affirmare audeam, quòd eos qui diligenter legent, non permittent hi libri à sermonibus suis discedere & auelli.

Et nunc sanè ea quæ vtilia sunt, quemadmodum conuenire putaui, Cassi Maxime omnia ex integro in hos libros relata sunt. At verò de inscriptione ne mireris, quapropter Artemidori Daldiani, & non Ephesij inscriptum legis, quemadmodum multos iam alios libros diuersis argumentis à me conscriptos habere vidisti. Etenim Ephesum contigit ipsam per seipsam celebrem esse, insuperque multos præclaros & fidedignos præcones nancisci: Daldia autem Lydiæ oppidulum nõ valde clarum, propterea quòd eiusmodi viros non est nactum, vsque ad me penitus inoblile permansit. Quapropter ipsi quòd mihi à matre patria existit, hæc in nutritiorum vicem rependo.

ἔχει. ἐν μὲν τῷ πρώτῳ βιβλίῳ φαμὲν εἶναι τὴν κεφαλὴν πατέρα τοῦ ἰδόντος. ἐν δὲ τῷ δευτέρῳ, λέοντα εἶναι καὶ βασιλέα, ἢ νόσον, καὶ ἐν τῷ περὶ θανάτου τοῖς πενομένοις τὸ ἀποθανεῖν, χρηστὸν εἶναι καὶ λυσιτελὲς ὑπέδειξα. ἐπειδὰν οὖν πένης ἀνὴρ πατέρα ἔχων πλούσιον, κατ' ὄναρ ὑπὸ λέοντος τὴν κεφαλὴν ἀφαιρῆσθαι δόξῃ καὶ ἀποθανεῖν, εἰκός ἐστι τὸν πατέρα αὐτοῦ ἀποθανεῖν, καὶ κληρονόμον αὐτὸν καταλεῖψαι. καὶ τοῦτον τὸν τρόπον ἄλυπος ἂν γένοιτο καὶ εὔπορος. οὔτε φορτικὸν ἔτι ἔχων τὸν πατέρα, οὔτε ὑπὸ τῆς πενίας θλιβόμενον. ἔστι μὲν γὰρ κεφαλὴ, ὁ πατήρ. ἡ δὲ ἀφαίρεσις, ἡ στέρησις τοῦ πατρός. ὁ δὲ λέων, ἡ νόσος. ἣν νοσήσας ὁ πατὴρ, ἀποθάνοι ἄν. ὁ δὲ θάνατος, ἡ μεταβολὴ τοῦ βίου καὶ τὸ διὰ τὸν πλοῦτον ἀνενδεές. Τοῦτον δὴ τὸν τρόπον καὶ ἐπὶ πάντων τῶν ποικίλων ὀνείρων χρὴ ποιεῖσθαι τὰς κρίσεις. συνάγοντα καὶ ποιοῦντα καθ' ἕκαστον τῶν κεφαλαίων σῶμα ἕν. χρὴ δὲ ἀποφαίνεσθαι μιμουμένον τοὺς θύτας· οἱ καθ' ἕκαστον τῶν σημείων ἐπίστανται, πρὸς τί ἕκαστον ἁρμόζει, καὶ τὰς ἀποφάσεις, οὐδέν τι μᾶλλον ἐξ ἑνὸς ἑκάστου ἐκ πάντων ποιοῦνται. γένοιτο δὲ μετὰ πολλῆς εὐμενείας τοὺς ἐντυγχάνοντας ἐπιθυμῆσαι τὰ βιβλία ἀναγνῶναι, καὶ μὴ πρὸς τοῦ ἀκριβῶς καταμαθεῖν ἐγκαλεῖν. ἐπείτοι γε τοὺς ἐπιμελῶς ἀναγινώσκοντας, οὐκ ἐάσει ποτὲ ἀποστῆναι τῶν λόγων τούτων τὰ βιβλία, καὶ διομόσασθαι ἔχων.

Τὰ μὲν δὴ χρειώδη Κάσσιε Μάξιμε τοῖς βιβλίοις καθὼς προσῆκεν, ἐξ ὁλοκλήρου πάντα ἀποδέδοται. τὴν δὲ ἐπιγραφὴν μὴ θαυμάσῃς, διότι Ἀρτεμιδώρου Δαλδιανοῦ καὶ οὐχὶ Ἐφεσίου ἐπιγέγραπται. ὥσπερ πολλὰ τῶν ἤδη εἰς ἄλλας πραγματείας πεποιημένων μοι βιβλίων. τὴν μὲν γὰρ Ἔφεσον συμβέβηκε καὶ αὐτὴν δι' ἑαυτὴν περιώνυμον εἶναι, καὶ πολλῶν ἀξιολόγων κηρύκων τετυχηκέναι. Δαλδία δὲ, πόλισμα Λυδίας καὶ οὐ σφόδρα ἐλλόγιμον. διὰ τὸ μὴ τοιούτων ἀνδρῶν τετυχηκέναι, ἄγνωστον τὸ μέχρι εἰς ἐμὲ μεμένηκε. διὸ θρεπτήρια οὔσῃ μοι πατρίδι πρὸς μητρὸς, ταῦτα ἀποδίδωμι αὐτῇ.



ΤΑ' ΔΕ ἘΝΕΣΤΙΝ ἘΝ ΤΩ͂Ι ΤΕΤΑ'ΡΤΩΙ ΒΙΒΛΙ'ΩΙ ΤΩ͂Ν Ἀρτεμιδώρου Ὀνειροκριτικῶν.

QVÆ IN QVARTO LIBRO ARTEMIDORI DE SOMNIORVM interpretatione contineantur.



ἈΡΤΕΜΙΔΩΡΟΥ ΔΑΛΔΙΑΝΟΥ ὈΝΕΙΡΩΝ ΚΡΙΣΕΩΣ, Βιβλίον τέταρτον.

ΠΡΟΟΙΜΙΟΝ ΚΑΙ ΔΙΑΛΑΛΙΑ. α.

ARTEMIDORI DALDIANI DE SOMNIORVM INTERPR. LIB. IV.

PRÆFATIO, SEV DISSERTATIO. CAP. I.

Artemidorus Artemidoro filio gaudium.

QVandoquidē numinis impulsu, & optimi viri Cassij Maximi studio, ad libros de somniorum interpretatione conscribendos excitatus sum, & progressus, quo amico gratificarer, & sapientiam meam non silentio & pigritiæ deditam, frustra insumerem, & sanè hos libros quantum vires meæ tulerunt, & pro scientiæ meæ facultate, neque magnitudine artis inferiores, neque ad sufficientiam inopes & mācos, si quis modò non penitus rudis existat, feci, singulis somniis quæ videri possunt, & quæ in vsu sunt collectis, vsus ad hoc ordine quodam & consequentia simili vitæ humanæ, à natiuitate vsq; mortem singulis qu.e fiunt digestis, ita vt ad quod referri, & in quod euenire vnumquodque somnium possit ostenderim, atque hoc non nuda coniectura & verisi-

Ἀρτεμίδωρος Ἀρτεμιδώρῳ τῷ υἱῷ χαίρειν.

Ἐπειδὴ κατὰ δαίμονα τε καὶ τοῦ κρατίστου Κασσίου Μαξίμου σπουδὴν, προετράπην ὀνειροκριτικὰ βιβλία ποιήσασθαι, ὅπως τῷ ἑταίρῳ χαρισαίμην, καὶ τὴν ἐμαυτοῦ σοφίαν μὴ σιγῇ παραδοὺς καὶ ὄκνῳ ματαίως ἀναλώσαιμι, καὶ ταῦτα ὅπως εἶχον δυνάμεως ὥς τε ἐμαυτὸν εἰδέναι, οὔτε τοῦ μεγαλείου τῆς τέχνης ἀποδέοντα, οὔτε πρὸς αὐτάρκειαν ἐνδεῶς ἔχοντα τοῖς γε μὴ παντελῶς ἀνοήτοις, ἐποίησα συναγαγὼν ἕκαστα τῶν ὁρᾶσθαι δυναμένων καὶ ἐν χρήσει ὄντων ἐνυπνίων, τάξει τινὶ καὶ ἀκολουθίᾳ χρησάμενος ὁμοίᾳ βίῳ ἀνθρωπίνῳ, ἀπὸ γενέσεως ἄχρι θανάτου καθ' ἕκαστον τῶν περιπτομένων ἀναγαβὼν, καὶ πρὸς ὅ, τι τὴν ἀναφορὰν ἕκαστον ἔχειν, καὶ εἰς ὅ, τι ἀποβαίνειν δύναται, οὐ ψιλῇ εἰκα-

σίᾳ, ἀλλ' ἢ πείρᾳ, καὶ ταῖς τῶν ἀποτελεσμάτων μαρτυρίαις πειθόμενος. καὶ ὅσα σπερματωδέστερα καὶ οὐκ ἐξειργασμένα οἱ παλαιοὶ συνέγραψαν, ἐξειργασάμενος εἰς λεπτὴν καὶ ἀληθῆ διαίρεσιν, καὶ ὅσα καινοτέρας ἔχοντα τὰς ἀποβάσεις, ἢ καὶ αὐτὰ καινὰ ὄντα ὑπέπιπτε, συμπεριέλαβον· καὶ ἐδόκουν ἀποχρώντως ἔχειν τὴν πραγματείαν, δυσὶ περιωρισμένην βιβλίοις. ἔπειτα μέντοι διαπεφευγότα τινὰ πραγματείαν ἀνευρίσκετο. μικρὰ μὲν καὶ οὐ πολλῆς ἄξια φροντίδος. ὅμως δὲ ἐπιζητούμενα ὑπὸ τῶν ὀνυχιζόντων πάντα, καὶ μηδὲν ἀβασάνιστον πειρωμένων εὑρίσκειν. ἀθροίσας οὖν ὡς ἐνῆν τὰ πλεῖστα καὶ ἀξιόλογα, οὐκ ἀπὸ ὑποθέσεως μιᾶς λόγου, οὐδὲ γὰρ οὐδὲ ἐνεδέχετο τά γε οὕτως ἀλλήλων κεχωρισμένα σωματοποιεῖν καὶ εἰς ἓν συνάγειν, ἀλλ' ὡς ἐν ἐπιδρομῇ λόγων, τρίτον βιβλίον τὸ φιλαλήθης ἔφοδον ἐποίησα. Ἦν δέ τις ἄρα ἐν ἀνθρώποις μῶμος ἀπεληλαμένος θεῶν καὶ δαιμόνων οὐκ ἀγαθός, ᾧ χρὴ κατὰ τὸ καρτερὸν ἐνίστασθαι. ἐπιστάμενον ὅτι πλείοσιν ὅπλοις πρὸς τὰ κρείττονα τῶν ἔργων ἀγωνίζεται. καὶ γὰρ νῦν αἰσθάνομαί τινων τοῖς βιβλίοις ἐπικαλούντων. ὡς τῶν ἐν αὐτοῖς γεγραμμένων, ἀληθείας μὲν οὐδ' ὁπουοῦν ἀποδεόντων. οὐ πάντων δὲ ἐξειργασμένων. οὐδὲ ἀπολελογημένων. ἔστι δὲ καὶ ὧν παραλελειμμένων ἀναγκαίων ὄντων τῇ ὑποθέσει. διὸ μετὰ πολλῆς ἐπιστροφῆς ὑπέρ τε ἐμαυτοῦ καὶ σοῦ ὡρμήθην ἐπὶ τὴν συγγραφὴν τοῦδε τοῦ βιβλίου. ὅπως ἂν ἔχῃς πρὸς ἕκαστα ἐπιβόλως τε, εἰ αὐτὸ μόνον δέοι κρίνειν, καὶ πρὸς τοὺς ζητητικοὺς τῶν ἀνθρώπων εὐκόλως πρὸς ἀπόκρισιν. μεμνημένος ὅτι σοὶ προσπεφώνηται τὸ βιβλίον. ὅπως αὐτὸς ἔχῃς χρῆσθαι καὶ μὴ πολλοῖς κοινωνῇς ἀντιγράφοις. τὰ ἐνταῦθα γραφησόμενα μένοντα μὲν παρὰ σοί, πάντων ὑπέρτερον, ἢ οὐδενὸς λειπόμενον ὀνειροκριτικόν σε ποιήσει. κοινωθέντα δέ, οὐδέν τι μᾶλλον ἑτέρων σε ἐπιστάμενον ἐπιδείξει. εὖ γὰρ ἴσθι ὅτι τῶν λόγων τῶν ἡμετέρων ἥττονες εἰσὶ πολλοί, καὶ σχεδὸν πάντες οἷς

militudine, ſed experientia & euentuum teſtimoniis confiſus. Quin & ea quæ veteres ſparſim, & velut ſeminibus tantum iactis,& non elaborata conſcripſerunt,in ſubtilem & veram diſtinctionem digeſti, & quæ nouos euentus habent, aut quæ etiam per ſe noua ſuccurrunt,ſimul comprehendi: & videbatur mihi hæc ipſa tractatio ſufficienter eſſe abſoluta, duobus nimirum libris circumſcripta & comprehenſa.Poſtea tamen inuenta ſunt quædã quæ hoc opus effugerunt, parua quidem & non multa opera digna,ſed quæ tamen ab his inquirũtur qui ſingula ad vnguem exigunt,& nihil inexploratum relinquere conantur. Quare plurimis & memorabilibus,quãtum poſſibile erat, coaceruatis,non vnius argumenti ſermone(neque enim poſſibile erat ea quæ ſic inuicem ſeparata ſunt in vnum cogere, & quaſi vnũ corpus facere)ſed velut in incurſione ſermonum tertium librum feci, Amatorem veritatis, aut Inuitatorium, ſiue Mercurialem inſcriptum. Erat porrò quis inter homines Momus,deorum ac dæmonum exagitator, nemini bonus ac æquus, cui pro potentia reſiſtere oportet, ita vt non ignoremus, quòd pluribus armis præſtãtiora opera inuadit.Etenim nunc tandem ſentio eſſe aliquos criminãtes hos libros, tanquam hæc quæ in ipſis ſcripta ſunt à veritate quidem nulla parte deficiant.Verùm non penitus elaborata ſint,neq; cauſis abunde munita.Quin relicta quędam eſſe argumento tractando neceſſaria in crimen vertunt.Quapropter & meipſius & tui gratia, re ipſa multa agitatione mecum perpenſa, ad hunc librum conſcribendum progreſſus ſum, vt habeas vnde poſſis felici coniectura ſomnia iudicare.ſi hoc ipſum ſaltem à te expetatur, & his qui ineptis quæſtionibus libenter moleſti ſunt hominibus,expedite reſpondere. Memineris autem tibi inſcriptũ ac præfatione dicatum hunc librũ eſſe, quo ſcilicet ipſe eo vtaris,& exẽplar non multis communices. Quæ enim hic conſcribentur,ſi apud te manſerint,omnibus ſuperiorem, aut certè nulli inferiorẽ te facient ſomniorũ interpretem.Si verò alijs communicaueris, nihil quicquam te magis aliis ſcientem iudicabunt. Satis enim noſti quòd pleriq; omnes rationibus noſtris ſunt inferiores, & ferè omnes quib.

studio fuit, vt pro viribus suis vaticinationem collapsam emendarent ac restituerent. Regulariter itaque & definitè de singulis quæstionibus, iuxta propositum superiorum librorũ rursus ex integro adscribã. Ad eos igitur qui non omnia causis abunde munita esse dicunt, rectè dices illud ex præfatione primi libri repetitũ. Nimirum manifestas demonstrationes, & quæ ab omnibus facilè comprehendi queant, me ex simplicibus adeò fecisse, nisi sanè quid aliâs ita euidens sit, vt superfluum existimauerim eius apponere interpretationem. Ad eos verò qui non omnia elaborata esse dicunt, & eos qui aliqua relicta esse criminantur, dices, Quòd aliqua quibusdam similia existentia, velut facilè cognobilia relicta sunt, aut non elaborata, velut fascia diademati, & lepus ceruo, & camelus elephanto, & crocus vnguentis, & quæcunque alia sunt odorata, & quòd porcus & aues non eandem habent carnium suarum rationem. Cæterùm his qui de somnij & insomnij differentia percunctantur, seriò iam antè prædixi, quòd aliud à somnio diuersum insomnium existat, & alicubi non idem, sed etiam contrarium rectè dixeris. Quando etenim artificiosè quis loquitur, singula propriè appellare oportet. & id quòd nihil significat, nihilque prædicit, sed in solo somnio vim habent, & ab irrationali concupiscentia, aut ab excellenti timore, aut repletione, aut alimenti inopia productum est, insomnium vocare oportet. Quod verò post somniũ euenturum est, manifestè existens bonum aut malum, somniũ propter causas quas etiam istic prædixi. Cùm verò communiter quis loquitur, nominibus abuti licet, velut etiam poëta fecit, vbi inquit:

Scite viri diuus dedit hæc insomnia somnus.

Habet enim hunc morem vt æquipollentibus nominibus & verbis vtatur, & omnibus adeò orationis partibus, velut etiam, ἀμφὶ περὶ κρήνην inquiens, id est: Circum circa fontem. Et alibi:

Ast vbi venerit, & præsens statuetur Vlysses,

& alia quædam multa, sic etiam ait:

--- Diuus dedit hæc insomnia somnus.

Porrò meminisse oportet, quòd hi qui rēs aliquas ex instituto aggrediũtur & exordiuntur, bona & proposito accommoda insomnia non habent, neque alias quas-

ἐπιμελές ἐστι τὸ κατ᾽ αὐτοὺς ἐπανορθοῦν ἐν μαντικῇ. κανονικῶς οὖν καὶ ὁρικῶς περὶ τῶν ζητουμένων ἕκαστά σοι κατὰ τὴν ὑπόθεσιν τὴν ἐν τοῖς προτέροις βιβλίοις ἀπαρχῆς ἀναγράφω. πρὸς μὲν οὖν τοὺς μὴ πάντα ἀπολογήσασθαι λέγοντας, ὀρθῶς ἐρεῖς τὸ ἐπὶ τοῦ προοιμίου τοῦ πρώτου βιβλίου ῥητόν. εἰ μή που ἄλλοις οὕτως ἀσφαλὲς εἴη, ὡς περιττὴν ἡγεῖσθαι τὴν περὶ αὐτοῦ ἐξήγησιν. πρὸς δὲ τοὺς μὴ πάντα ἐξειργάσθαι λέγοντας, καὶ τοὺς τινὰ καταλελεῖφθαι, ἐρεῖς. ὅτι ἔνιά τισιν ὅμοια ὄντα, ὡς εὔγνωστα παραλέλειπται, ἢ οὐκ ἐξείργασται, ὡς στρόφιον διαδήματι, καὶ λαγὼς ἐλάφῳ, καὶ κάμηλος ἐλέφαντι, καὶ κρόκος μύροις, καὶ ὅσα ἄλλα ἐστὶν εὐώδη, καὶ ὅτι χοῖρος καὶ ὄρνιθες, ταῖς ἑαυτῶν σαρξὶ, τὸν αὐτὸν οὐκ ἔχουσι λόγον. πρὸς δὲ τοὺς πυνθανομένους περὶ ὀνείρου καὶ ἐνυπνίου διαφορᾶς, ἐπιμελῶς προεῖπον, ὅτι ἕτερόν ἐστι τοῦ ὀνείρου τὸ ἐνύπνιον, καὶ ἀλλαχῇ οὐ ταὐτόν. ἀλλὰ καὶ τὸ ἐνύπνιον καλῶς εἴπης ἂν, ὅταν μὲν τεχνικῶς λέγῃ τις, κυρίως ἕκαστον χρὴ καλεῖν. καὶ τὸ μὲν ἀσήμαντον καὶ οὐδενὸς προαγορευτικόν, ἀλλ᾽ ἐν μόνῳ τῷ ὕπνῳ τὴν δύναμιν ἔχοντα, γινόμενον δὲ ἀπὸ ἐπιθυμίας ἀλόγου, ἢ ἀπὸ ὑπερβάλλοντος φόβου, ἢ πλησμονῆς, ἢ ἐνδείας τροφῆς, ἐνύπνιον χρὴ καλεῖν. τὸ δὲ μετὰ τὸν ὕπνον ἀποβησόμενον ἐναργὲς ὂν ἀγαθὸν ἢ κακὸν, ὄνειρον, δι᾽ αἰτίας ἃς ἐκεῖ προείρηκα. ὅταν δὲ κοινῶς τις λέγῃ, καταχρηστέον τοῖς ὀνόμασιν, ὡς καὶ ὁ ποιητής,

Κλῦτε φίλοι, θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.

Φίλον γὰρ αὐτῷ, τὸ ἰσοδυναμοῦσι χρῆσθαι ὀνόμασι καὶ ῥήμασι, καὶ πᾶσι τοῖς τοῦ λόγου μέρεσιν, ὡς καὶ ἀμφὶ περὶ κρήνην, καὶ

--- εἰ δ᾽ ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτο.

καὶ ἄλλα ἄττα πολλὰ, οὕτως καὶ

--- θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.

μέμνησο, ὅτι τοῖς ἐν στάσει χρωμένοις, ἀγαθὰ καὶ προαιρετὰ ἐνύπνια οὐ γίνεται, ὅτι ἄλλαι τινὲς

ἄλογοι φαντασίαι, ἀλλὰ πάντα ὄνειροι, καὶ ὡς ἐπιτοπλεῖστον, θεωρηματικοί. οὐ γὰρ ἐπιθολοῦται αὐτῶν ἡ ψυχὴ, οὔτε ἐν φόβοις, οὔτε ἐν ἐλπίσιν· καὶ μέν τοι καὶ τῶν τοῦ σώματος ἡδονῶν ἄρχουσι. τὸ δὲ κεφάλαιον εἰπεῖν, ἐν τῷ σπουδαίῳ ἐνύπνιον οὐ φαίνεται, οὐδέ τις ἄλλη ἄλογος φαντασία. ἵνα δὲ μή ποτε ἐξαπατηθῇς τοῖς πολλοῖς ἐνύπνια καὶ τοῖς δυναμένοις αὐτὰ διακρίνειν, οἱ μὲν πολλοὶ, οἷα βούλονται, ἢ οἷα φοβοῦνται, τοιαῦτα καὶ κατὰ τὸν ὕπνον ὁρῶσιν. οἱ δὲ αὖ σοφοὶ περὶ ταῦτα καὶ δεινοὶ, οἷα βούλονται, τοιαῦτα σημαίνουσιν. ἐὰν δέ τις τῶν ἀπείρων ἴδοι, χρὴ πιστεύειν, οὐχ ὡς ἐνυπνίοις, ἀλλ' ὡς ὀνείροις· οἷα δυνάμενος διακρίνειν τὰ τοιαῦτα, ἢ διὰ τὸ βιβλίοις ἐντετυχηκέναι ὀνειροκριτικοῖς, ἢ διὰ τὸ ὀνειροκρίταις συναναστρέφεσθαι, ἢ διὰ τὸ εὐεπιβόλως ἔχειν πρὸς τὰς κρίσεις. εἰ μὲν τύχοι ἐρῶν γυναικὸς, οὐ τὴν ἐρωμένην ὄψεται, ἀλλ' ἵππον, ἢ κάτοπτρον, ἢ ναῦν, ἢ θάλασσαν, ἢ θηρίον θῆλυ, ἢ ἐσθῆτα γυναικείαν, ἢ ἄλλο τι τῶν σημαινόντων γυναῖκα. εἰ δὲ πρὸς ἀποδημίαν ἔχοιτο, οὐχὶ ὀχήματα ὄψεται, οὐδὲ ναῦς, ἀλλὰ στρωματοδέσμους, ἢ σκεύη συνειλημμένα, ἢ παρασκευὴν ἀποδημίας· ἵπτασθαι δὲ εἰ δόξῃ, ἢ σεισμὸν, ἢ πόλεμον, ἢ κεραυνὸν ὄψεται, καὶ εἴ τι ἄλλο ἀποδημίας ἐστὶ σύμβολον. καὶ εἰ φοβοῖτό τις τινὰ ἢ φεύγοι, οὐκ αὐτὸν ἐκεῖνον ὄψεται, ἀλλὰ θηρίον ἐκφεύγειν νομίσει, καὶ δεσμὰ διαῤῥήσσειν, καὶ λῃστὰς ἀναιρεῖν, καὶ θεοῖς θύειν, καὶ ὅσα ἰδόντες ἄλλοι ἄνθρωποι, ἔξω δέους καὶ ταραχῆς γίνονται. ὡς καὶ ἐν Κορίνθῳ ὁ ζωγράφος τὸν δεσπότην καθυβρίζων πολλάκις ἐδόκει. τοῦτο μὲν τὴν ὀροφὴν τοῦ οἰκείου οἰκήματος ἐν ᾧ διέτριβεν, ἀπόλλυσθαι· τοῦτο δὲ καὶ τὴν ἑαυτοῦ κεφαλὴν ἀποτετμῆσθαι. καὶ οὐδὲν ἧττον παρῆν αὐτῷ ὁ δεσπότης, καὶ ἔτι νῦν περίεστιν. ἀλλ' ἐπειδὴ κριτικῶς εἶχε τῶν τοιούτων, τεχνικώτερον αὐτῷ προσέπαιξεν ἡ ψυχή. αὐτὰ γὰρ ταῦτα ἄλλῳ ἰδόντι, τοῦ δεσπότου ὄλεθρον προεμαντεύετο. ἵνα δὲ μὴ ἄπορον φαίνηταί σοι τὸ τοιοῦτον, εὖ ἴσθι ὅτι πολλοὶ μὲν καὶ σχεδὸν οἱ πλεῖστοι, ἵνα μὴ λέγω πάντες,

dam irrationales imaginationes, ſed omnia ſomnia, & vt plurimum ſpeculatiua. Neque enim turbatur ipſorum anima, neque ſpe, neque timore: & ſanè etiam corporis voluptatibus imperant & ſuperiores exiſtunt. Et vt in ſumma dicam, in viro graui & ſerio inſomnium non apparet, neque alia aliqua irrationalis imaginatio. Quo verò nunquam decipiaris, inſomnia tum vulgò, tum his qui ipſa diiudicare poſſunt, apparent. Et vulgus quidem qualia vult, aut qualia timet, talia etiam in ſomno videt. Verùm ſapientes & ea iudicare potentes, qualia volũt, talium ſignificatiua cernunt. Si verò quis inexpertus talia viderit, credere oportet non vt inſomniis, ſed velut ſomniis. Velut exempli cauſa: Qui talia diiudicare poteſt, aut propterea quòd libros de ſomniorum interpretatione contigit & legit, aut quòd cum ſomniorum interpretibus conuerſatus eſt, aut quòd felici ad iudicandum coniectura vtitur, ſi quidem contigerit ipſum amare mulierem aliquã, non ipſam quam amat videbit, ſed equum, aut ſpeculum, aut nauem, aut mare, aut animal fœmininum, aut veſtem muliebrem, aut aliud quiddam ex his quæ mulierem ſignificant. Si verò animo peregrinationi dedito fuerit, non vehicula videbit, neque naues, ſed ſtrata colligata, aut ſuppellectilem conuolutam, aut peregrinationis apparatum, aut etiam ſibi volare videbitur, aut terræmotum, aut bellum, aut fulmen videbit. Et ſi quidem timuerit quis ipſorum aliquem, aut fugerit, nõ illum ipſum videbit, ſed feram aliquam effugere ſe putabit, & vincula dirumpere, & prædones occidere, & diis ſacrificare, & facere quæcunque alij homines faciunt, quo timore & turbatione ſe eximant. Quemadmodum pictor in Corintho qui domini ædes perfringere ſolebat, multoties ſibi videbatur, partim quidem tectũ propriæ domus in qua degebat periiſſe, partim verò etiam ſuum caput abſciſſum eſſe. Et nihilominus aderat ipſi dominus, & adhuc nunc ſupereſt. Verùm quoniam iudicandi de huiuſmodi artem nouerat, anima ipſi artificioſius colluſit. Hæc enim ipſa ſi alius vidiſſet, domini mortem ipſi præſagiuiſſent. Quo verò minimè dubius circa hæc hæreas, ſcias quòd multi quidẽ & ferè plurimi, vt ne dicã omnes ſunt

ſunt qui communia inſomnia vident. Omnino autem pauci, & ſoli ſomniorum interpretationem docti homines, qui alia, de quibus præſcriptus ſermo mihi habitus eſt.

εἰσὶν οἱ τὰ κοινὰ ἐνύπνια ὁρῶντες. παντελῶς δὲ ὀλίγοι, καὶ μόνοι οἱ ὀνειροκριτικοὶ τῶν ἀνθρώπων τὰ ἕτερα, περὶ ὧν ὁ προγεγραμμένος λόγος εἴρηται.

De Differentia ſomniorum.

CAP. 2.

SOmniorum omnium alia ſpeculatiua, alia allegorica, id eſt aliorum ſignificatiua dicimus. Et ſpeculatiua quidem quæ ſic eueniunt quemadmodum videntur. Allegorica verò quæ ea quæ ſignificantur per ænigmata oſtendunt. Quandoquidem verò & in his error quidam accidit dubitantibus, vtrum viſa ipſa expectare oporteat, aut aliud quid ex his euenturum, non facilè fuerit & hic tibi diiudicare poſſe. Primum igitur quæcunque ſpeculatiua ſunt, eueſtigiò & valde ſtatim eueniunt. Quæ verò allegorica, omnino tempore, aut multo, aut modico intercedente, aut ad ſummum die vna. Poſtea autem ſtolidũ vtique fuerit, monſtroſa & quæ impoſſibile eſt vigilanti cõtingere, ea ipſa ſic vt ſpeculatiua accipere ac expectare. Velut ſi quis ſibi videatur Deus factus eſſe, aut volare, aut cornua habere, aut ad inferos deſcendiſſe, aut à cane morſus eſſe, aut depoſitum accipere, aut amicum videre, aut ſolem, aut fugitiuum reperire, aut apud ſe cœnam parare, aut bibere, aut aliquo intentionem dirigere, aut aliquid perdere. Hæc enim & quæcunque his ſimilia, alicubi quidem ſic eueniunt velut videntur, alicubi verò allegoricè & ſignificatiuè. Si quidem igitur ſtatim eueniunt, ſuperfluum eſt ipſa iudicare. Si verò nõ, ſingulis cõueniẽtem iudicationem ex priorib. libris adaptare oportet. Quę tamen rara ſunt, & ſemel alicubi fiunt, ea velut monſtroſa & præter ordinem & naturam harum rationum exiſtentia, ſuſcipienda quidem ſunt, vt quæ fieri poſſint, vſurpanda verò non vt penitus & omnino vniuerſalia. Etenim Druſon Laodicenſis qui ſibi videbatur amici domum emiſſe, poſt triennium tãdem emit. Verùm hoc quidem ſpeculatiuum ſomnium mihi allatum eſt, ſeri & non repentini euentus. Porrò propriorũ

Περὶ διαφορᾶς ὀνείρων. β'.

ΤΩΝ δὲ ὀνείρων πάντων, οἷς μὲν θεωρηματικοῖς, οἷς δὲ καὶ ἀλληγορικοῖς καλοῦμεν. καὶ θεωρηματικοὺς μὲν, τοὺς οὕτως ἀποβαίνοντας ὡς θεωροῦνται· ἀλληγορικοὺς δὲ, τοὺς τὰ σημαινόμενα δι' αἰνιγμάτων ἐπιδεικνύντας. ἐπειδὴ δὲ καὶ ἐν τούτοις γίνεταί τις πλάνη ἀμφιβαλλόντων, πότερον χρὴ τὰ θεωρηθέντα αὐτὰ προσδέχεσθαι, ἢ ἄλλο τι ἐκ τούτων ἀποβησόμενον, οὐκ ἄπορόν σοι τὸ διακρίνειν δυνάσθαι. πρῶτον μὲν ὅσα θεωρηματικά ἐστι παραχρῆμα καὶ αὐτίκα μάλα ἀποβαίνει. ὅσα δὲ ἀλληγορικὰ, πάντως χρόνου διαλείποντος ἢ πολλοῦ ἢ ὀλίγου, ἢ τὸ ἐλάχιστον ἡμέρας μιᾶς, ἔπειτα καὶ εὐήθες ἂν εἴη, τὰ τεράστια καὶ οὐδαμῶς ἐνδεχόμενα ἐγρηγορότι συμβαίνειν, ταῦτα οὕτως ὡς θεωρηματικὰ προσδέχεσθαι. οἷον εἴ τις ὑπολάβοι θεὸς γεγονέναι, ἢ πέτεσθαι, ἢ κέρατα ἔχειν, ἢ εἰς ᾅδου καταβεβηκέναι, ἢ ὑπὸ κυνὸς δεδῆχθαι, ἢ παρακαταθήκην λαβεῖν, φίλον ἰδεῖν, ἢ ἥλιον, ἢ δραπέτην εὑρεῖν, ἢ δειπνεῖν παρ' ἑαυτῷ, ἢ πίνειν, ἢ συντείνειν, ἢ ἀπολέσαι τι· ταῦτα γὰρ καὶ ὅσα τούτοις ὅμοια, πῆ μὲν οὕτως ἀποβαίνει ὡς θεωρεῖται. πῆ δὲ καὶ ἀλληγορικῶς. εἰ μὲν οὖν παραυτίκα ἀποβαίνει, περιττὸν αὐτὰ κρίνειν. εἰ δὲ μὴ, ἐφαρμόζειν ἑκάστῳ τὴν προσήκουσαν κρίσιν ἐκ τῶν προτέρων βιβλίων. ὅσα μέν τοι σπάνιά εἰσι, καὶ ἅπαξ που γινόμενα, ταῦτα ὡς τεράστια καὶ ἔκφυλα τῶνδε τῶν λόγων, προσδέχου μὲν ὡς ἐνδεχόμενα γενέσθαι. χρῶ δὲ μὴ ὡς πάντη καὶ πάντως καθολικοῖς. καὶ γὰρ Δρούσων ὁ Λαοδικεὺς τὴν τοῦ φίλου οἰκίαν ὠνήσασθαι δόξας, μετὰ τριετίαν ὠνήσατο, ἀλλὰ τοῦτο μὲν θεωρηματικὸν ἦλθε εἰς ἡμᾶς, ὀψὲ καὶ μὴ αὐτίκα ἀποβάν. τῶν δὲ ἰδίων τι

καὶ κοινῶν, καὶ ἀλλοτρίων, καὶ δημοσίων, καὶ κοσμικῶν ὀνείρων, τὸν λόγον ἠκριβωμένον καὶ σφόδρα τι ἔχειν ἐν τῷ πρώτῳ βιβλίῳ. ὅμως δὲ καὶ ἐν τούτῳ τῷ θεωρήματι. οἱ τὰς αὐτὰς ἔν τισι τέχνας ἔχοντες, καὶ εἰ πάνυ εἶεν γνώριμοι, τῶν τεχνῶν αὐτῶν εἰσὶ σημαντικοί. τοιγαροῦν γραμματικὸν οὐδὲν ἄλλο, ἢ τὴν γραμματικὴν εἶναι τέχνην, καὶ ῥήτορα ῥητορικήν. οὕτως δὲ καὶ ἐπὶ τῶν βαναύσων. χαλκέα καὶ τέκτονα, τὴν χαλκευτικὴν καὶ τεκτονικὴν τέχνην σημαίνειν. οἷα Φιλάγριος ὁ ῥήτωρ, Οὔαρον τὸν ῥήτορα νοσοῦντα ἐθεάσατο, καὶ ἐπιπολὺ παρὰ προαίρεσιν τὴν ἑαυτοῦ ἐσίγησε. καὶ ἐν Κυζίκῳ τέκτων τὸν ἀγχίθυρον τέκτονα ἀποθανόντα καὶ ἐκφερόμενον ἰδὼν, καὶ διαναστὰς, ἐξεχώρησε τοῦ ἐργαστηρίου, καὶ μετανέστη τὴν πόλιν.

& communium, & alienorum & publicorum, & mundanorum somniorum rationem, valde sanè exactè traditam in primo libro habes. Attamē & in hac speculatione illud adiiciemus, quòd hi qui easdem cum aliquibus artes habent, & si valde fuerint noti, ipsarum artium sunt significatiui. Proinde grammaticus nihil aliud fuerit, quàm ipsa grammatica ars, & rhetor rhetorice. Atque sic etiam in artibus mechanicis faber ferrarius & lignarius, artem fabrilem ferrariam & lignariam significant. Velut, Philagrius rhetor, Varum rhetorem ægrotantem in somnis vidit, & diu præter propositum suum consiluit. Et in Cyzico faber qui fabrum vicinum sibi mortuum efferri vidit, exurgens ab officina, discessit, ac vrbem deseruit.

Περὶ στοιχείων. γ΄.

Περὶ δὲ τῶν στοιχείων πρὸς τοὺς ἐπιφθόνως εἰρῆσθαι δοκοῦντας, ὅδε ὁ λόγος ἁρμόσει, ὅπως ἔχῃς ἀποκρίνασθαι καὶ αὐτὸς, καὶ μὴ ἐξαπατηθῇς ὑπὸ τῶν πλείονα λεγόντων εἶναι. Τῶν ὄντων, ἃ μὲν φύσει ἐστὶν, ἃ δὲ νενόμισται. ἔστι δὲ πρῶτα μὲν ταῦτα καὶ ἡγεμονικὰ δύο στοιχεῖα. Τὰ μὲν οὖν φύσει, δεῖ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν. τῶν δὲ νενομισμένων, ἃ μὲν συνθέμενοι ἀλλήλοις οἱ ἄνθρωποι αὐτοὶ ἑαυτοῖς περιποιοῦσι, καὶ καλεῖται τὸ τοιοῦτον ἔθος. ἔστι δὲ ὡς ἡ φήμη λέγει, νόμος ἄγραφος. ἃ δὲ φόβῳ τοῦ παραβαίνεσθαι γραψάμενοι, νόμους καλοῦσι. παρὰ τὸ νενομικέναι ταῦτα δεῖν οὕτως ἔχειν, κοινῇ μὲν οὖν ἑαυτοῖς ὡμολογήκασι μυστήρια, καὶ τελετὰς, καὶ πανηγύρεις, καὶ ἀγῶνας, καὶ στρατείαν, καὶ γεωργίαν, καὶ πόλεων συνοικήσεις, καὶ γάμους, καὶ παίδων ἀναστροφὰς, καὶ ὅσα ἄλλα τούτοις ὅμοια. ἑαυτῷ δὲ ἕκαστος ὁμολογήσας, ἐπὶ πᾶσι χρῆται ἰδίᾳ ἐσθῆτι, καὶ ὑποδήσει, καὶ τροφῇ, καὶ κουρᾷ, καὶ ἄλλῳ τῷ περὶ τὸ σῶμα κόσμῳ, καὶ ἐπιτηδεύματι, καὶ προαιρέσει, ἣν ἂν μάλιστα ἐπαινῇ. ἄλλα δὲ ἄλλοις νόμιμα σφέτερα δέδεκται ἑκάσ-

De Elementis. CAP. 3.

Cæterùm aduersus eos qui inuidiosè & non abunde de elementis dictum esse putant, hic sermo conueniet, quo habeas quòd ipse respondere possis, & non ab his qui plura esse dicunt decipiaris. Eorum quæ sunt, alia natura sunt, alia solennia & recepta existunt. Sunt autem prima hæc & principalia duo elementa. Quæ igitur natura existunt, eodem modo & similiter habere oportet. Eorum verò quæ solēnia sint & recepta, alia quidem ipsi homines inter se constituentes sibiipsis faciunt, & appellatur huiusmodi consuetudo: est autem vt fama fert, lex non scripta: alia autem ob timorem trāsgressionis conscribentes, leges appellant: propterea quòd lege sancita hæc ita habere oportet. In communi quidem igitur paciscuntur inter se, de mysteriis, de festiuitatibus, de nundinis, de certaminibus, de militia, de agricultura, de vrbibus inhabitandis, de nuptiis, de puerorum educatione, & de aliis his similibus. Verùm ex sua quisque sententia & professione, inter omnes vtitur proprio vestitu, & calciatu, & victu, & tonsura, & reliquo circa corpus ornatu, & studio ac exercitio, & proposito quòd omnium maximè probat. Nam, Alia aliis, legitima sua sin-

gulis existunt, Pindarus inquit. At verò scriptarum legum eadem potentia est. Facienti autē iuxta scripturam, laudes & honores, & celebritas magna, multáque securitas adest. Trāsgrediendi autem scriptas leges, damna, pœnæ, & pericula instant. Quod igitur lege sancitum est, indiuisibile est, præterquàm temporis respectu. Consuetudo verò segmēta habet. & temporis, & artis, & nominum. Omnia enim quæ fiunt tum secundum legem, tū sine lege, omnino in tempore quodam fiunt, aut facta sunt, aut erunt. Temporis autem segmenta sunt occasiones & horę. Faciunt autem singula homines aut artificiosè, aut inartificiosè. Artificiosè quidem scientes & docti. Inartificiosè verò, qui non collectionem meditationum & sententiarum apprehēsarum ad aliquem finem vtilem, artem esse diffiniunt. Opus autem est arti instrumentis & machinis, & his quæ vnicuique cōmoda & propria iudicata sunt. Quod verò nihil eorū quæ existunt sine nomine fit, superfluum est dicere. Ex nominibus autem alia gratiosa, alia infamia sunt. Quare si quis aliquid dixerit præter ipsa sex elementa, potentia quidem horum alicuius proprium dicet, voce autem non proprium, velut gaudiū, tristitia, & inimicitia & amicitia, & morbus & sanitas, & collapsio & profectus corporum, & pulchritudo & turpitudo, & augmentum & decremētum, & generatio & finis, & quæcunque alia his similia, secundum naturam omnia sunt, neq; enim alia sunt à natura, neque vt elemēta. neque enim est nudum nomē natura, sed eorum quæ penitus & omnino futura, & non futura sunt circumuolutio, natura appellatur. Sic etiam lex & consuetudo, non ipsa iuxta seipsa nomina sunt veluti vox βείτυει & σκινδαψός, sed alicuius lex, & alicuius consuetudo. Quare vbi quis dixerit nuptias, & adulterium, & latrocinium, & depositum, & iniuriam, & rursus tonsuram, & vestem, & aliquem cibum, seipsum latet quod legis aut consuetudinis nomē dicit, velut aliud quoddam elementum. Sic etiam quum vas, aut machinam aliquam, aut instrumentum, velut elementum aliquod dicit, aut artem dicit, aut nomen, aut tempus. Artem quidem quum opificium per instrumenta indicat, nomen verò quum machinam

τοῖς φησὶν ὁ Πίνδαρος. τῶν δὲ γεγραμμένων νόμων, δύναμις μὲν ἡ αὐτὴ, περιέποντι δὲ κατὰ τὴν γραφὴν, ἔπαινοι καὶ τιμαὶ, καὶ δόξα ἀγαθὴ, καὶ ἀσφάλεια πολλή. παραβαίνοντι δὲ τοὺς γεγραμμένους νόμους, ζημίαι τε καὶ κολάσεις, καὶ κίνδυνοι. τὸ μὲν οὖν κατὰ τὸν νόμον, ἀδιαίρετον, πλὴν ὅσον ἐν χρόνῳ. τὸ δὲ ἔθος, ἀποχέσεις ἔσχηκε, τήν τε τοῦ χρόνου, καὶ τὴν τῆς τέχνης, καὶ τὸ τῶν ὀνομάτων. πάντα γὰρ τὰ περιπτόμενα κατὰ νόμον καὶ ἄνευ νόμου, πάντως ἔν τινι χρόνῳ γίνεται, ἢ γέγονεν, ἢ ἔσται. χρόνου δὲ ἀποχέσεις, καιροὶ καὶ ὧραι. περιέπουσι δὲ ἕκαστα ἄνθρωποι, ἤτοι τεχνικῶς, ἢ ἀτέχνως. τεχνικῶς μὲν οἱ ἐπιστάμενοι· ἀτέχνως δὲ, οἱ μὴ τὴν τέχνην, σύστημα ἐγκαταλήψεων πρός τι τέλος εὔχρηστον ὁρίζονται εἶναι. δεῖ δὲ τῇ τέχνῃ, ἐργαλείων καὶ μηχανημάτων, καὶ τῶν ὅσα ἑκάστῃ πρόσφορα καὶ οἰκεῖα νενόμισται. ὅτι δὲ οὐδὲν τῶν ὄντων ἀνώνυμον ἐστὶ, περιττὸν καὶ λέγειν. τῶν δὲ ὀνομάτων, ἃ μὲν εὔφημα, ἃ δὲ δύσφημα νενόμισται. ὥς τε ἐάν τι λέγῃ τις παρ' αὐτὰ τὰ ἓξ στοιχεῖα, δυνάμει μὲν τινὸς τούτων ἴδιον ἐρεῖ, φωνῇ δὲ οὐκ ἴδιον. οἷον, χαρὰ, λύπη, καὶ ἔχθρα καὶ φιλία, καὶ νόσος καὶ ὑγεία, καὶ ἔμπτωσις καὶ πρόσκλισις σωμάτων, καὶ κάλλος καὶ αἰσχρότης, καὶ αὔξησις καὶ μείωσις, καὶ γένεσις καὶ τελευτὴ, καὶ ὅσα ἄλλα τούτοις ὅμοια κατὰ φύσιν πάντα. οὐδὲ γὰρ ἐστιν ἕτερα τῆς φύσεως, οὐδὲ ὡς στοιχεῖα· οὐδὲ γάρ ἐστιν ἡ φύσις ψιλὸν ὄνομα, ἀλλ' ἡ τῶν πάντῃ καὶ πάντως ἐσομένων τε καὶ οὐκ ἐσομένων περιφορὰ, φύσις ὠνόμασται. οὕτως δὲ καὶ ὁ νόμος καὶ τὸ ἔθος, οὐκ αὐτὰ καθ' ἑαυτά ἐστιν ὀνόματα, ὡς τὸ βείτυει καὶ σκινδαψός, ἀλλὰ τινὸς νόμος καὶ τινὸς ἔθος. ὥσθ' ὅταν τις εἴποι γάμον, καὶ μοιχείαν καὶ λῃστείαν, καὶ παρακαταθήκην, καὶ ὕβριν, καὶ πάλιν αὖ κουρὰν, καὶ ἐσθῆτα ἢ ποιὰν τροφὴν, λέληθεν ἑαυτὸν νόμου ὄνομα ἢ ἔθους λέγων, ὥσπερ ἄλλο τι στοιχεῖον. οὕτως καὶ ὅταν σκεῦος ἢ μηχάνημά τι ἢ ἐργαλεῖον, ὥσπερ τι στοιχεῖον ἢ τέχνην λέγῃ, ἢ ὄνομα ἢ χρόνον. τέχνην μὲν, ὅταν τὴν δι' ἐργαλείων ἐργασίαν, ὄνομα δὲ, ὅταν μηχάνημα

ἢ σκεῦος. χρόνον δὲ, ὅταν ἀμφότερα, οἷον δρέπανον, ἢ δίκελλαν, ἀμᾷν ἢ γεωργεῖν. ἐν ὡρισμένοις γὰρ χρόνοις καὶ δρεπάνης καὶ δικέλλης δεῖ τοῖς ἀνθρώποις. κοινὸς μὲν οὖν λόγος ἐστὶν, ὅτι πάντα τὰ κατὰ φύσιν ἢ νόμον, ἢ φήμην, ἢ ἔθος, ἢ χρόνον, ἢ τέχνην, ἢ ὀνόματα βλεπόμενα, ἀγαθὰ, τὰ δὲ ἐναντία τούτοις, πονηρὰ καὶ ἀλυσιτελῆ. Μέμνησο δὲ, ὅτι οὐ πάντως καθολικὸς ἐστὶν ὁ λόγος. ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον μᾶλλον οὕτως ἔχων, πολλὰ γὰρ καὶ παρὰ τὰς ὑποστάσεις τῶν πραγμάτων ἀκολούθως τῇ φύσει καὶ τῶν ἄλλων τινὶ στοιχείων ὁρώμενα, ἀγαθὰ γίνεται. Οἷον ἔδοξέ τις τὴν μητέρα τύπτειν. τοῦτο μὲν οὖν παρὰ νόμον, ἀλλ' οὐδὲν ἧττον ἐλυσιτέλησεν αὐτῷ, ἐπειδὴ κεραμεὺς ἐτύγχανεν ὤν· μητέρα δὲ τὴν γῆν καλοῦμεν, ἣν ὁ κεραμεὺς τύπτων ἐργάζεται. τοιγαροῦν εἰργάσατο πολλά. Μέμνησο δὲ ὅτι μεῖζον ἔθος μικροτέρου κρατεῖ. ὡς Ἀριστείδης ὁ νομικός. καί τις ἔθος ἔχων ἐν λευκοῖς περιϊέναι, νοσῶν, ἔδοξε φορεῖν ἱμάτια λευκά. καὶ οὐδὲν ἀπώνατο τοῦ ἔθους. οὐ γὰρ εἰς μακρὰν ἀπέθανεν. τὸ γὰρ μεῖζον ἔθος τὸ ἐπεῖχεν. καθὸ οἱ νεκροὶ ἐν λευκοῖς ἐκφέρονται. καὶ τῶν τεχνῶν δὲ αἱ δυνάμεις ὅμοιαι. καὶ εἰ τῇ ἐνεργείᾳ εἶεν ἀνόμοιοι, εἰς ταυτὸν ἀποβαίνουσιν. ὡς Ἀπολλωνίδης ὁ χειρουργὸς, ὁμηρίζειν νομίσας καὶ πολλοὺς τιτρώσκειν, πολλοὺς ἐχειρούργησε. καὶ γὰρ οἱ ὁμηρισταὶ τιτρώσκουσι μὲν καὶ αἱμάσσουσιν, ἀλλ' οὐκ ἀποκτεῖναί γε βούλονται. οὕτω δὲ καὶ ὁ χειρουργός. καὶ τοῖς τρόποις δὲ τοῖς εἰρημένοις ἐν τῷ προτέρῳ βιβλίῳ ὡς ἀληθέσι πρόσεχε, καὶ οὐχ ἁμαρτήσεις. σαφῶς δὲ ἐκεῖ καὶ διδασκαλικῶς αὐτῶν ἑρμηνευομένων, περισσὸν ἐνταῦθά σοι λέγειν. Μεριμνηματικοὺς δὲ ὀνείρους ἡγοῦμαι εἶναι, περὶ ὧν μεριμνήσαντες πραγμάτων, ἀλόγῳ τινὶ ὁρμῇ ἐπιθυμίᾳ χρώμενοι, ἴδωσιν οἱ ἄνθρωποι ὀνείρους. τοὺς δὲ αὐτοὺς καὶ αἰτηματικοὺς καλεῖν. διὰ τὸ αἰτεῖν παρὰ θεῶν ἰδεῖν τι τῶν ἐν ποσὶ πραγμάτων. Μέμνησο δὲ ὅταν μὲν αἰτῇς ὀνείρους τοῖς θεοῖς, μήτε ἐπιθυμιᾶν λιβανωτὸν, μήτε ὀνόματα ἄρρητα λέγειν, καὶ

ipsam aut vas. Tempus autẽ quum vtraque, velut falcem aut ligonem, messem & agriculturam. In definitis enim temporibus & falce & ligone hominib. opus est. Cõmunis quidem igitur sermo est quòd omnia quæ secundum naturam, aut legẽ, aut consuetudinem, aut tempus, aut artẽ, aut nomina videntur, bona sunt, verùm his contraria, mala & incõmoda. Memineris autem quòd non omninò vniuersalis est hic sermo, sed vt plurimum magis sic habet. Multa enim etiam iuxta rerum substantias, naturæ & alicui aliorũ elemẽtorũ conuenienter visa, bona fiunt. velut verbi gratia, visus est sibi quidã matrem verberare, eratque factum ipsum præter legẽ, sed nihilominus vtile ipsi fuit, quãdoquidem figulus erat: matrem autem terram ipsam vocamus, quã figulus verberans operatur. proinde multum operatus & lucratus est. Meminisse autem & eius oportet, quod maior consuetudo minorem superarat. Velut Aristides legisperitus consuetudinem habens in albis vestibus prodire, ægrotans visus est sibi albas vestes ferre, & nihil profuit ipsi consuetudo. Non enim ita diu postea mortuus est. Maior enim erat consuetudo vrgens, iuxta quam mortui in albis vestib⁹ efferuntur. Quin & artium potestates similes sunt, atq; etiam si actione sint dissimiles, eundem euentum habent. Velut, Apollonides Chirurgus putauit se in theatrum ad conflictum vulnerariũ progressum esse, & multos sauciare, & sanè multos per chirurgiam curauit. nã & qui vulnerarium conflictũ exercent, homeristæ Græcis appellati, vulnerãt quidem & cruentant, sed non occidere volunt. Sic etiam chirurgus. Insuper verò & modis in libro relatis vt veris, animum aduerte, & nõ delinques neque aberrabis. Quum autem manifestè istic & bono dicendi genere sint declarati, superfluum est hic de ipsis rursus verba facere. Porrò curiosa somnia esse opinor, de rebus & negociis quorum curiosi sunt homines irrationali impetu & concupiscentia vtentes, si somnia de his videant. eadem verò etiã petitoria vocari, propterea quòd putant à diis videre aliquid earum rerum quæ præ manibus sunt. Memineris autem quum somnium à diis petis, vt neque thus suffumiges, neque nomina arcana dicas, &

in summa, nihil curiosius deos interroga. Ridiculum enim sit, si homines graues his qui cum necessitate & violenter petunt, nihil præbent, mansuetis autem largiuntur: Deos eos qui violenter expetunt aliquid exaudire. At verò post somnium visum, & sacrifica & gratias age. Insuper & ridiculi sunt qui diis leges præscribunt, de his dico qui sic petunt, si mihi faciendum hoc est, si mihi hoc continget, & si nunc viderem Cereris fructum, sin minus, Bacchi. &, si quidem conduceret mihi & vtile esset, acciperem aliquid. Si verò non, darem. In eiusmodi enim multus error contingit. Nam Deus ad id quod euenturum est somnia suggerit animæ videntis, quæ natura vaticinatrix existit, etiam si est alia somniãdi causa. Qui verò ad suam ipsius interrogationem in somnis visa excipit, si contraria fuerint, seducitur. velut ægrotanti panes crudi, quamuis Cereris fructus sunt, sed tamen propterea quod assabuntur, vehementiorem febrem inducunt. Ei verò qui vxorem ducere & sodalitatem contrahere vult, vitis & vinum, illa quidem propter pampinos, hoc verò propter temperaturam, conuenientiora sunt quàm triticum aut hordeum. Et ei qui de profectu & promotione sua curiosus est, donare & dare aliquid melius est quàm accipere, nisi sanè à præstantioribus accipiat. Qui enim multa habet, etiam elargiri potest: qui verò non habet, accipere non verebitur. Quare petendum quidem est à diis somnium, de his rebus quarum aliquis est curiosus. Quomodo autem prædicere oportet, permittendum est ipsis diis, & suæ ipsius animæ.

De diuinitus immissis somniis.

CAP. 4.

Diuina autem somnia, ea quæ derepente instant & apparent quemadmodum etiam omnia inexpectata, diuina, & diuinitus immissa, vocamus. Iudicare autem oportet ea quorum memoria ex integro restat, & quorum exactam comprehensionē somniator ipse habet, & quorum exactè meminit. Quoniam si visa euenient, tu autem reperiaris non visa

τὸ κεφάλαιον εἰπεῖν, περιεργότερον τοὺς θεοὺς ἐρώτα μηδέν. γελοῖον γὰρ ἂν εἴη, ἀνθρώπους μὲν τοὺς σπουδαίους, τοῖς μετ᾽ ἀνάγκης αἰτοῦσι καὶ βιαίως μηδὲν παρέχειν, τοῖς δὲ ἐπιεικέσι χαρίζεσθαι, θεοὺς δὲ πρὸς βίαν αἰτουμένοις τι ὑπακούειν. μετὰ δὲ τὸ ἰδεῖν, καὶ θῦε καὶ εὐχαρίστει. Ἔτι δὲ καὶ τῶν νομοθετούντων τοὺς θεούς, καταγελᾶν. λέγω δὲ τῶν εὐχομένων οὕτω. εἴ μοι πρακτέον τόδε. καὶ, εἴ μοι ἔσται τόδε. καὶ, εἰ νῦν ἴδοιμι δήμητρος καρπόν. εἰ δὲ μή, Διονύσου. καὶ εἰ μὲν συμφέροι μοι, καὶ εἰ λυσιτελῇ, λάβοιμί τι· εἰ δὲ μή, δοίην. ἐπὶ γὰρ τοῖς τοιούτοις πλάνη γίνεται πολλή. ὁ μὲν γὰρ θεός, πρὸς τὸ ἀποβησόμενον δίδωσι τοὺς ὀνείρους τῇ ψυχῇ τοῦ ὁρῶντος, φύσει μαντικῇ οὔσῃ. εἰ καί τι ἐστὶν ἄλλο αἴτιον τοῦ ὀνειρώσσειν. ὁ δὲ πρὸς τὴν ἑαυτοῦ ἐρώτησιν ἐκλαμβάνων τὰ ἐν τοῖς ὕπνοις ὁραθέντα, εἰ ἐναντία εἴη, πλανᾶται. οἷον τῷ νοσοῦντι ἄρτοι ὠμοί. καί τοι τῆς δήμητρος καρπός ἐστιν. ἀλλὰ διὰ τὸ μέλλειν ὀπτᾶσθαι, λαβρότερον ἐπάγουσι τὸν πυρετόν. Τῷ δὲ γῆμαι καὶ κοινωνῆσαι θέλοντι, ἄμπελοι καὶ οἶνος. ἡ μὲν, διὰ τὰς ἕλικας· ὁ δὲ, διὰ τὴν κρᾶσιν, ἐπιτηδειότερα πυρῶν ἢ κριθῶν. καὶ τῷ περὶ προκοπῆς φροντίζοντι, δωρεῖσθαι καὶ διδόναι τι κρεῖττον, ἢ λαμβάνειν. εἰ μὴ ἄρα παρὰ τῶν βελτιόνων λαμβάνοι. ὁ μὲν γὰρ πολλὰ ἔχων, καὶ μεταδοίη ἄν. ὁ δὲ οὐκ ἔχων, λάβοι ἄν. χρὴ οὖν εὔχεσθαι μὲν τοῖς θεοῖς, περὶ ὧν τις φροντίζει. ὅπως δὲ χρὴ προαγορεύειν, ἐπιτρεπτέον αὐτοῖς τοῖς θεοῖς, ἢ τῇ ἑαυτοῦ ψυχῇ.

Περὶ θεοπέμπτων ὀνείρων. δ΄.

Θεοπέμπτους δὲ ὀνείρους, τοὺς αἰφνίδιον ἐφισταμένους, ὡς καὶ πάντα τὰ ἀπροσδόκητα, θεόπεμπτα καλοῦμεν. κρίναι δὲ τὰ ἐξ ὁλοκλήρου μνημονευόμενα, καὶ ὧν ἀκριβῆ κατάληψιν ὁ ἰδὼν ἔχει. καὶ ὧν ἀκριβῶς μέμνηται. ἐπεὶ εἰ τὰ μὲν ὁραθέντα ἀποβήσεται, σὺ δὲ εὑρεθῇς τὰ μὴ ὁραθέντα

κρίνων, πταίσεις. χρὴ δὲ φεύγειν δόξαν ἀμαθίας.

Περὶ ἐθῶν τοπικῶν. ε.

Ἔθη δὲ τὰ τοπικὰ καὶ τῶν τόπων τὸ ἴδιον εἰ μὴ ἐπίστασαι, πυνθάνου. ἀποδημίαι δὲ καὶ ἀναγνώσεις, ἕξιν σοι περιποιοῦσι τούτων μάλιστα. οὐ γὰρ τὰ ὀνειροκριτικὰ μόνον βιβλία ἱκανά ἐστιν ὠφελεῖν, ἀλλὰ καὶ ἡ ἄλλη ὕλη. Γυνὴ ἔδοξεν εἰς τὸν νεὼν ἢ οἶκον τῆς Ἀρτέμιδος τῆς Ἐφεσίας εἰσελθοῦσα, δειπνεῖν· ἡ δέ, οὐκ εἰς μακρὰν ἀπέθανε. θάνατος γὰρ ἡ ζημία τῇ εἰσελθούσῃ ἐκεῖ γυναικί. ἑταίρα δὲ ἔδοξεν εἰς τὸ τῆς Ἀρτέμιδος ἱερὸν εἰσεληλυθέναι, καὶ ἠλευθερώθη, καὶ κατέλυσε τὴν ἑταιρείαν. οὐ γὰρ εἰς τὸ ἱερὸν πρότερον εἰσέλθοι ἄν, εἰ μὴ καταλύσειε τὴν ἑταιρείαν. καὶ περὶ τῶν ἄλλων δὲ ἐθῶν, καθ' ἑκάστην πόλιν ἢ χώραν, πρὸς τὸ τοπικὸν ἔθος ποιοῦ τὰς κρίσεις. Πυνθάνεσθαι δὲ ἐπιμελῶς ἕκαστα τῶν ἐν τοῖς ὕπνοις ὁρωμένων, μὴ ὀκνεῖν. ὡς ἔστιν ὅτε ἐπὶ μικροῦ τινὸς προσθέσει ἢ ἀφαιρέσει, τὰ ἀποτελέσματα διαφέροντα γίνεται. καὶ περὶ αὐτὴν τὴν διάθεσιν τῆς γνώμης. οἷον νοσοῦντα τις ἔχων υἱόν, ἔδοξε περαίνειν αὐτὸν καὶ ἥδεσθαι, ἔζησεν ὁ παῖς· καὶ γὰρ τὸ περαίνειν ἔχειν λέγομεν, καὶ τὸ κεκτῆσθαι. εἴληπται δὲ τὸ τοιοῦτον, ἀπὸ τοῦ ἥδεσθαι. ἄλλος δὲ πάλιν νοσοῦντα ἔχων υἱόν, ἔδοξε περαίνειν αὐτὸν καὶ ἄχθεσθαι, καὶ μεταγινώσκειν. ἀπέθανεν ὁ παῖς, φθείρεσθαι γὰρ καὶ τὸ περαίνειν καὶ ἀποθνήσκειν ἐπίσης καλοῦμεν. εἰλήφθη δὲ τοῦτο, ἀπὸ τοῦ ἄχθεσθαι. ἐπεὶ δὲ αὐτὸς ὁ πατὴρ ἐνήργει, αὐτὸς ἦν ὁ καὶ τοῦ θανάτου τῷ παιδὶ αἴτιος, οὐκ ἐνδέοντι καιρῷ τῆς νόσου θρέψας αὐτόν. Περὶ μὲν οὖν τῶν ἐν τῷ προοιμίῳ τοῦ πρώτου καὶ δευτέρου βιβλίου γεγραμμένων, ταῦτα. τὰ δὲ ἄλλα ὅσα χρὴ ἐπίστασθαί σε, ὧδε ἔχει.

iudicaſſe, erroris reprehenſionem incurres. Oportet autem omnibus modis ignorantiæ opinionem fugere & vitare.

De Moribus localibus.

CAP. 5.

Mores porrò locales, & locorũ proprietates ſi non noſti, percunctare. Peregrinationes autem & lectiones vel maximè habitum tibi horum inducent. Neque enim ſoli libri de ſomniorum interpretatione ſcripti hãc commoditatem de ſe præbent, ſed & qui aliam materiam ac argumentum tractãt. Mulier quædam exiſtimauit ſe in templum ſiue domum Dianæ Epheſiæ ingreſſam eſſe, iſticque cœnare. Ipſa verò nõ ita diu poſtea mortua eſt. Mors enim pœna eſt ingreſſæ eò mulierculæ. Meretricula autem quædam viſa eſt ſibi in Dianæ ſacellum ingreſſa eſſe, & libertatem adepta eſt, & ſcortationem exercere deſiit. Non enim prius in ſacellum ingredi poterat, niſi à meretricatu deſtitiſſet. Proinde etiam de aliis moribus iuxta ſingulas ciuitates aut regiones, ſecundum conſuetudinem localem iudicabis. Minimè verò negliges diligenter percunctari ſingula quæ in ſomniis viſa ſunt. Nam aliquando ob paruam aliquam appoſitionem aut detractionem euentus diuerſi fiũt, etiam circa ipſam animi diſpoſitionem ac affectionem. Velut, Quidam ægrotantem filium habens, viſus eſt ſibi ipſum inire, & lætari, conualuit puer. Nam initus verbum Græcis περαίνειν, habere & perficere ac nanciſci etiam ſignificat. Sumptum autem eſt huiuſmodi ſomnij iudicium, ab eo quod lætatus eſt. Alius verò rurſum ægrotantem filium habens, viſus eſt ſibi inire ipſum, & triſtari & pœnitere. Mortuus eſt puer. Corrumpi enim & mori, itidem verbũ initus περαίνειν ſignificat. Verùm iudicium ab eo quod triſtatus eſt acceptum eſt. Quoniam autem ipſe pater erat actor, ipſe adeò erat etiã puero mortis cauſa, qui non debito morbi tempore ipſum nutrierat. De his quidem igitur quæ in prefatione & ab initio primi libri ſcripta ſunt, hæc ſufficiunt. Alia verò quæ te ſcire oportet hoc modo habent.

De Supellectile texta.

CAP. 6.

QVæcunquæ texta sunt & plicata, nõ solùm lina & retia, & sportæ, & nubeculæ siue vela, sed & canistra & corbes, & calathi, & vittæ, & monilia aurea, & omnes catenæ ac coronæ & quæcunque similes species, ad nuptias, & amicitias & sodalitates bona sunt, propter cõplicationem. Verùm ad peregrinationem & cursum & fugam, impedimento sunt, propter ligationes, & ad actiones inefficacia sunt, exceptis his qui cum dolo aliquid faciunt. Sunt etiam timentibus horrenda, propter vim detinendi.

De hominum obuentione.

CAP. 7.

QVicunque obuiam veniunt, & quicunque videntur tum viri, tum mulieres, amici quidem & benefactores, & in vniuersum qui non nocent, aut non nocuerunt, & viuentes & mortui, boni sunt. Imagines enim rerum eos qui videntur reputare oportet, bonarum quidem amicos, malarum verò inimicos.

De priore Fortuna.

CAP. 8.

QVas olim quis possedit opes aut possessiones, aut quos olim quum diues erat, habebat homines, eos nunc habere indigus aut pauper si sibi videatur, bonum est ipsi. Eius enim fortunæ quæ tunc fuit, reuersionem significat. Quæ olim quis possedit, aut quos olim homines habuit, quum erat egenus aut pauper, si nunc diues habere videatur, multorum malorum & paupertatis ipsi signum est.

Περὶ πλεκτῶν σκευῶν. ϛʹ.

Ὅσα πέπλεκται οὐ μόνον λίνα καὶ δίκτυα, καὶ σπυρίδες, καὶ νεφέλαι, ἀλλὰ καὶ κανᾶ, καὶ κανθήλια, καὶ κάλαθοι, καὶ κεκρύφαλοι, καὶ ὅρμοι χρύσεοι, καὶ ἁλύσεις πᾶσαι, καὶ στέφανοι, καὶ ὅσα εἴδη ὅμοια, πρὸς μὲν γάμους καὶ φιλίας καὶ κοινωνίας, ἀγαθὰ, διὰ τὴν συμπλοκήν. πρὸς δὲ ἀποδημίαν καὶ δρόμον καὶ φυγὴν, ἐμπόδια, διὰ τὰς δήσεις, καὶ πρὸς τὰς πράξεις, ἄπρακτα. χωρὶς τῶν μετὰ δόλου τι πραττόντων, καὶ τοῖς φοβουμένοις ἐπίφοβα, διὰ τὸ καθεκτικόν.

Περὶ συναντήσεως ἀνθρώπων. ζʹ.

Ὅσοι συναντῶσι, καὶ ὅσοι βλέπονται ἄνδρες τε καὶ γυναῖκες, οἱ μὲν φίλοι τε καὶ εὐεργέται, καὶ τὸ ὅλον οἱ μὴ βλάπτοντες ἢ μὴ βλάψαντες, ζῶντές τε καὶ νεκροὶ, ἀγαθοί. οἱ δὲ βλάπτοντες, ἢ βλάψαντες, πονηροί. εἰκόνας γὰρ τῶν πραγμάτων τοὺς ὁρωμένους χρὴ λογίζεσθαι, ἀγαθῶν μὲν τοὺς φίλους, κακῶν δὲ τοὺς ἐχθρούς.*

Περὶ προτέρας τύχης. ηʹ.

Ἃ πάλαι τὶς ἐκέκτητο χρήματα ἢ κτήματα οἷς πάλαι εἶχεν ἀνθρώποις ὅτε εὐτύχει, τούτοις νῦν ἔχειν ἀπορῶν ἢ πενόμενος δόξῃ, ἀγαθὸν αὐτῷ. τῆς γὰρ τότε τύχης, ἐπιστροφὴν σημαίνει. ἃ πάλαι τὶς ἐκέκτητο, ἢ οἷς πάλαι εἶχεν ἀνθρώποις, ὅτε ἦν ἄπορος ἢ πένης, νῦν εὐπορῶν εἰ δόξειεν ἔχειν, κακῶν αὐτῷ πολλῶν καὶ πενίας σύμβολον.

Περὶ διαφορᾶς τῶν ἐν ὕπνοις ὁρωμένων ἀνθρώπων. θ'.

ΤΩΝ ἐν τοῖς ὕπνοις ὁρωμένων ἀνθρώπων, ἀγαθὰς ἡμέρας ποιοῦσι τὰς ἐπιούσας, οἱ ἥδιστοι ἢ φίλτατοι ἢ οἱ φιλοῦντες τοὺς ὁρῶντας. κἂν ἀγνοῶσιν αὐτούς. κακὰς δὲ οἱ ἔχθιστοι ἢ οἱ μισούμενοι ἢ οἱ μισοῦντες τοὺς ὁρῶντας· κἂν λανθάνωσιν. ἵνα δὲ μὴ ἄπορον τὸ τοιοῦτον εἶναι νομίσῃς, ὅταν τινὰ τῶν φίλων ἴδῃς καὶ κακὴν ἡμέραν διάγῃς, γίνωσκε ὅτι μισεῖ μέν σε, προσποιεῖται δὲ σε φιλεῖν. καὶ ἐάν τινα τῶν ἐχθρῶν βλέπῃς καὶ καλὴν ἡμέραν διάγῃς, γίνωσκε ὅτι οὐ δικαίως αὐτὸν μισεῖς.

De differentia hominum qui in somnis videntur. CAP. 9.

EX hominibus qui in somnis videntur, bonas insequentes dies faciunt, qui sunt iucundissimi aut charissimi, aut qui videntes amant, etiam si ipsos non noscãt. malas verò inimicissimi aut odiosi, aut qui videntes odio habent, etiam si ipsos qui illi sunt lateat. Quo verò minimè dubius circa hunc sermonem hæreas, quum aliquem amicorum videris, & malum diem transegeris, scito quòd odio habet te, simulat autem erga te amorem. Et quum quendam inimicum videris, & bona dies successerit, scito quòd immeritò ipsum odio persequeris.

Περὶ συναντήσεως τεχνιτῶν. ι'.

ΟΣοι συναντῶσι καὶ βλέπονται τεχνῖται, ὁμοίως ταῖς τέχναις ἀποβαίνουσιν. αὐτοῖς δὲ καὶ ταῖς τέχναις, ὁμοίως τὰ ἐργαστήρια αὐτῶν ὁρώμενα ἀποβαίνει. χωρὶς ἑταίρας καὶ πορνείου. αὐτὴ μὲν γὰρ καθ' ἑαυτὴν ἡ πόρνη, ἀγαθή. τὸ δὲ ἐργαστήριον αὐτῆς, πονηρόν. τὰς δὲ αἰτίας, ἐν τῷ περὶ συνουσίας λόγῳ ἔχεις.

De opificum obuentione. CAP. 10.

QVicunque opifices obuiam fiunt & videntur, similes cum artibus euentus habent. Consimiles autem tum ipsis, cum artibus, officinæ ipsorum conspectæ euentus habent, excepta meretrice & lupanari. Ipsa enim per se meretrix bona est. Officina verò ipsius mala. Quorum causas in sermone de coitu relatas habes.

Περὶ παιδίων, νεανίσκων καὶ γερόντων. ια'.

ΠΑιδίων δὲ τὰ μὲν ἀρσενικὰ, ἀγαθά· τὰ δὲ θηλυκὰ, πονηρά· ἀμφότερα δὲ, φροντίδων εἰσὶ σημαντικά. παῖδες δὲ καὶ νεανίσκοι, γερόντων συμφορώτεροι βλέπεσθαι πρὸς τὰς πράξεις. πρὸς δὲ τὰς πίστεις ἄνδρες καὶ πρεσβῦται, παίδων καὶ νεανίσκων ἀμείνονες, πλὴν εἰ μή τι πράττοιεν ἢ λέγοιεν ἄτοπον.

De Pueris, Iuuenibus, & Senibus. CAP. II.

EX pueris masculi boni sunt: fœminæ malæ: ambo autem curarum significationem habent. Pueri & iuuenes conducibiliores sunt quàm senes. Verùm ad fidem faciendam viri & senes conspecti pueris & iuuenibus sunt meliores, præterquam si quid absurdi fecerint aut dixerint.

De plantis citò aut tardè nascentibus, itémque de animalibus. CAP. 12.

QVæcunque tardè nascuntur, & tardè augescunt, ex plantis quidem quercus, olea, cupressus, & similes. Ex animalibus verò elephas, cornix, ceruus & similia: tum bona, tum mala tardius inducũt. Quæcunque autem citò nascuntur, & citò augescunt, ex plantis quidem vitis & persica. Ex animalibus verò porcus & similia, citò etiam tum bona, tum mala inducunt. Atque hæc etiam in præfinitis temporibus eandem rationem habent. Similiter etiam omnia quæ in agro nascuntur ad comparationem hortensium accipienda sunt: & agricolam cõspectum similiter vt hortulanum. Propriè autem hortus lenonibus conducit, propter multa semina, & tempestiuam culturã. Omnes autem mulieres criminatur, velut impudicas & meretrices. Quæcunque longa sunt, velut cupressi, & pinus, & perticę, & viri longi, & quæcunque similia, omnia longanimum esse iubent, & non frustra festinare. Verùm mutila & breuia, festinare iubent.

Περὶ τῶν βραδέως ἢ ταχέως φυομένων φυτῶν. ιβ'.

Ὅσα δὲ βραδέως φύεται, καὶ βραδέως αὔξεται, φυτῶν μὲν, δρῦς, ἐλαία, κυπάρισσος, καὶ τὰ ὅμοια. τῶν δὲ ζώων, ἐλέφας, κορώνη, ἔλαφος, καὶ τὰ ὅμοια, καὶ τὰ καλὰ καὶ τὰ κακὰ, βράδιον ἐπάγει. ὅσα δὲ ταχέως φύεται καὶ ταχέως αὔξεται, φυτῶν μὲν, ἄμπελος καὶ περσίκη. ζώων δὲ χοῖρος καὶ τὰ ὅμοια, ταχέως καὶ τὰ καλὰ καὶ τὰ κακὰ ἐπάγει. ταῦτα δὲ καὶ ἐν ταῖς προθεσμίαις τὸν αὐτὸν ἔχει λόγον. ὁμοίως λάμβανε καὶ τὰ ἐν ἀγρῷ γινόμενα πάντα πρὸς σύγκρισιν τῶν ἐν κήπῳ· καὶ γεωργὸν ὁρώμενον καὶ κηπωρόν. ἰδίως δὲ ὁ κῆπος, πορνοβοσκοῖς συμφέρει, διὰ τὰ πολλὰ σπέρματα καὶ τὴν πρόσκαιρον ἐργασίαν. πάσας δὲ γυναῖκας διαβάλλει, ὡς ἀσέμνους καὶ μαχλάδας. ὅσα μακρά ἐστιν, οἷον κυπάρισσοι, καὶ πίτυες, καὶ κάμακες, καὶ ἄνδρες ἐπιμήκεις, καὶ ὅσα ὅμοια, πάντα μακροθυμεῖν κελεύει, καὶ μὴ κενοσπουδεῖν. τὰ δὲ κολοβὰ καὶ βραχέα, σπεύδειν ἐγκελεύεται.

De Muris, Fundamentis, & Arboribus. CAP. 13.

QVæcunque solida, muri, & fundamenta, & arbores vetustæ, & ferrea & adamantina, timentibus bona sunt, si quis non ab ipsis contineatur. propter securitatem enim, timorem eximunt. Sin minus, fugiendum esse significant. Quæcunque mollia & robusta, bona ex æquo omnibus sunt. Quæcunque mollia & debilia, timentibus bona sunt. Quæcunque grauia, detentionis & paupertatis sunt significatiua. Citò enim deorsum repunt.

Περὶ τειχῶν καὶ θεμελίων καὶ δένδρων. ιγ'.

Ὅσα δὲ στερεὰ τείχη, καὶ θεμέλιοι, καὶ δένδρα παλαιὰ, καὶ τὰ σιδηρᾶ καὶ τὰ ἀδαμάντινα, φοβουμένοις ἀγαθὰ, ὅταν μὴ ἐκπεριέχηταί τις ὑπ' αὐτῶν. διὰ γὰρ τὸ ἀσφαλὲς ἄφοβα γίνεται. εἰ δὲ μὴ, τὸ διαφεύγειν σημαίνει. ὅσα μαλακὰ καὶ εὔτονα, ἀγαθὰ ἐπίσης πᾶσιν. ὅσα μαλακὰ καὶ ἄτονα, τοῖς φοβουμένοις ἀγαθά. ὅσα βαρέα, κατοχῆς ἐστι καὶ πενίας σημαντικά. ταχέως γὰρ εἰς τὸ κάτω ῥέπει.

Περὶ ὀχημάτων παντοίων. ιδʹ.

Ὀχήματα ὅσα νενόμισται, οἷον ἵππων, ὄνων, ἡμιόνων, οἷς μὲν, ἀγαθὰ, οἷς δὲ, κακὰ σημαίνει. δείξομεν δὲ, ὅταν εἰς τὸν περὶ ζώων ἥκωμεν λόγον. Ὅσα δὲ μὴ νενόμισται, οἷον λύκων, παρδάλεων, κυνῶν, καὶ τῶν ἄλλων θηρίων, μόνοις ἀγαθὰ τοῖς φοβουμένοις ἐχθροὺς δυνατοὺς, διὰ τὸ ὑποτετάχθαι τῷ ἡνιόχῳ τὰ ὑπεζευγμένα. Ἐπ᾽ ἀνθρώπων δὲ ὀχεῖσθαι, μόνοις ἀγαθὸν, τοῖς ἄρχειν τινὸς θέλουσι, καὶ σοφισταῖς, καὶ διδασκάλοις, καὶ παιδοτρίβαις, καὶ ἀνδραποδισταῖς, τοὺς δὲ λοιποὺς, εἰς περιβοησίας καὶ ὄλεθρον κατάγει.

De Vehiculis omnis generis.

CAP. 14.

Vehicula quæcunque in vſum recepta ſunt, velut equorum, aſinorum, mulorum, quibuſdam bona, quibuſdam mala ſignificant. Oſtendemus autem de his rationem, vbi ad ſermonem de animalibus peruenerimus. Quæ verò non ſunt recepta, velut luporum, pardorum, canum, & aliarum beſtiarum, ſolis his bona ſunt qui potentes inimicos timent, propterea quòd ſubiecta ſunt aurigæ animalia in his ſubiugata. Cæterùm hominibus impoſitum vehi, ſolis his qui alicui imperare volunt bonum eſt, & ſophiſtis, & doctoribus, & pædotribis, & mancipibus. Reliquos ad diuulgationem & perniciem deducit.

Περὶ κολακείας. ιεʹ.

Κολακεύειν, τοῖς ἔθος ἔχουσι μόνον συμφέρει, τοὺς δὲ λοιποὺς, ταπεινοῖ. ἥττονες γὰρ οἱ κολακεύοντες τῶν οὐ κολακευόντων. κολακεύεσθαι δὲ ὑπ᾽ οὐδενὸς οὐ συμφέρει, μάλιστα δὲ ὑπὸ γνωρίμου. προδοσίαν γὰρ ἐξ ἐκείνου προσδέχεσθαι χρή.

De Adulatione. CAP. 15.

Adulari ſolis his qui id in conſuetudine habent conducit, reliquos humiliores facit. Minores enim ſunt adulantes quàm qui non adulantur. Adulatorem ferre aliquem, non conducit, maximè familiarem, proditionem enim ex illo expectare oportet.

Περὶ τοῦ πωλεῖσθαι. ιϛʹ.

Πωλεῖσθαι, ἀγαθὸν τοῖς τὰ παρόντα ἀλλάξαι βουλομένοις δούλοις καὶ πένησι. κακὸν δὲ εὐπόροις καὶ νοσοῦσι καὶ πεπιστευμένοις. πολλοὶ δὲ καὶ ἡρπάσθησαν καὶ ἐπράθησαν. τὸ δὲ πεπρᾶσθαι τοῦ πωλεῖσθαι ταύτῃ διαφέρει, τῷ μὴ τελείως τι γίνεσθαι, καὶ τὸ τελείως γίνεσθαι. ἢ τὸ μὲν πεπρᾶσθαι, πάντῃ καὶ πάντως ἀποβαίνει. τὸ δὲ πωλεῖσθαι, ἔστιν ὅτε καὶ οὐκ ἀποβαίνει. ἐνδέχεται γὰρ τὸν ἐπιπωλούμενον, μὴ πραθῆναι. τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων ὀνείρων, τὰ γινόμενα πάντως ἀποβαίνει.

De Venditione. CAP. 16.

Venum proponi, bonum eſt his qui præſentem ſtatum permutare volunt pauperibus & ſeruis. Malum autem opulentis, & ægrotantibus, & autoritate ac potentia præditis. Multi verò etiam rapti ſunt & venditi. At verò venditum eſſe à venum propoſitum eſſe hac ratione differt, qua perfectè factum eſſe quid, à non perfectè factum eſſe. aut quod venditum eſſe, penitus & omnino euenit, Venum propoſitum eſſe, aliquando etiam non euenit. Poſſibile eſt enim venum propoſitum non diuendi. At verò in aliis omnibus ſomniis, quæ fiunt omnino eueniunt.

De Emptione. CAP. 17.

EMere & superacquirere omnia quæ homines in vsum emunt, & thesauri loco reponunt, bonum est. Verùm ea quæ in alimentum & victum emuntur, pauperibus aptiora sunt. Opulentis autem sumptus & impensas significant.

De Acquisitione. CAP. 18.

ACquirere, & bona pretiosiora & multa supellectile instructa habere, & his quæ prius nobis sunt sumptuosiora, aut etiam mediocriter meliora, bonum est. Verùm non penitus supra vires ditescere. Est enim hoc absurdum, & dãni signum. Oportet autem ditescentem sumptus facere, & insidiis ac inuidiæ expositum esse. Nam & insidiæ diuiti struũtur, & inuidiam multorum sustinent. At verò iuxta vel supra vires ditescere, ad vniuscuiusque potentiam ac animi magnitudinem referre oportet.

De Paupertate. CAP. 19.

PAupertas nemini conducit, maximè tamen rhetoribus & omnibus philologis qui sermonis studio tenentur incommoda est. Nam inopiæ verbum ἀπορεῖσθαι, ex æquo pauperem esse, & loqui non posse significat.

De his quæ præter ætatem infantibus accidunt.

CAP. 20.

QVæ præter ætatem infantibus contingunt, mala sunt. Velut masculis barba & canicies, fœminis nuptiæ & partus, & alia omnia ante tempus mala sunt, excepta loquela. Meritò autem reliqua prius quàm solitum contingentia, mortem significant, quia propinqua est senecta, post quam omnino sequitur mors. Loquela autem bona est, quia natura

Περὶ ἀγορασίας. ιζ'.

ΑΓοράζειν ἀγαθὸν πάντα καὶ ἐπικτᾶσθαι, ὅσα γε εἰς τὴν χρῆσιν ἀγοράζουσιν ἄνθρωποι κειμήλια. τὰ δὲ πρὸς τροφὴν, πένησιν ἐπιτηδειότερα· τοῖς δὲ εὐπόροις, ἀναλώματα σημαίνει.

Περὶ τοῦ ἐπικτᾶσθαι. ιη'.

Ἐπικτᾶσθαι, καὶ πολυτελέστερον ἔχειν καὶ ἐν κατασκευῇ οὐσίαν, τῆς τε οὔσης πολυτελεστέραν, ἢ καὶ μετρίως ἀμείνονα, καλόν. μὴ παντελῶς δὲ ὑπὲρ δύναμιν πλουτεῖν. ἄτοπον γὰρ καὶ ζημίας ἐστὶ σημεῖον. χρὴ δὲ τὸν πλουτοῦντα ἀναλίσκειν, καὶ ἐπιβουλῆς μετέχειν καὶ φθόνου. καὶ γὰρ ἐπιβουλεύεται καὶ φθονεῖται ὁ πλούσιος. τὸ δὲ παρὰ δύναμιν, εἰς τὴν ἑκάστου ὑπόστασιν σκόπει.

Περὶ τοῦ πένεσθαι. ιθ'.

ΠΈνεσθαι, οὐδενὶ συμφέρει, μάλιστα δὲ ῥήτορσι καὶ πᾶσι φιλολόγοις. ἀπορεῖσθαι γὰρ ἐπίσης τὸ πένεσθαι καὶ τὸ μὴ δύνασθαι φθέγγεσθαι φασίν.

Περὶ τῶν παρ' ἡλικίαν τοῖς βρέφεσι γινομένων, καὶ ἐκβάσεις ὀνείρων. κ'.

ΤΆ παρ' ἡλικίας τοῖς βρέφεσι γινόμενα, πονηρά. ἄρσεσι μὲν πώγων καὶ πολιά, θηλείας δὲ, γάμοι καὶ τόκετοι, καὶ τὰ ἄλλα πρὸ τῆς ὥρας πάντα κακά, πλὴν λαλιᾶς. εἰκότως δὲ τὰ ἄλλα τὰ πρὸ τοῦ δέοντος γινόμενα θάνατον σημαίνει, ὅτι ἐγγύς ἐστι τὸ γῆρας, μεθ' ὃ πάντως ἀκολουθεῖ θάνατος. λαλιὰ δὲ, ἀγαθὴ, ὅτι φύσει

λογικὸν ζῶον ἐστὶν ἄνθρωπος. ὁ γραμματικὸς ἐδόκει τὸν υἱὸν αὐτοῦ μηνῶν ὄντα πέντε, λαλεῖν τρανῶς καὶ ἐναργῶς, καὶ προσεδόκων μὲν τινες τὸ παιδίον ἀποθανεῖσθαι. ἔζησε δὲ καὶ πολλὰ ἄλλα παιδία ἐπὶ τούτῳ τῷ ὀνείρῳ. περὶ δὲ τῶν ἄλλων τῶν παρ᾽ ἡλικίαν ἐπὶ τῶν μηκέτι βρεφῶν, ἐν τῷ περὶ ἀλλοιώσεως, ἐν τῷ πρώτῳ βιβλίῳ ἐπιμελῶς διείρηται.

Περὶ αἰτιολογίας. κα΄.

ΠΕιρῶ δὲ πάντων μὲν αἰτιολογεῖν, καὶ προσάπτειν ἑκάστῳ λόγῳ πιθανάς τινας ἀποδείξεις, ὡς εἰ καὶ πάνυ ἀληθῆ λέγῃς, ψιλὰ καὶ περιεσπασμένα πράγματα, ἧττον εἶναι δόξεις ἔμπειρος, αὐτὸς δὲ μὴ ἐξαπατηθῇς ὡς τῆς αἰτιολογίας κυρίας τῶν ἀποτελεσμάτων οὔσης, πολλὰ γὰρ ἀποβαίνει συνεχῶς ἐνίοις, καὶ ὅ, τι μὲν κατὰ λόγον ἀποβαίνει, ἴσμεν ἐκ τοῦ πάντοτε ὁμοίως ἀποβαίνειν. τὰς δὲ αἰτίας δι᾽ ἃς οὕτως ἀποβαίνει, εὑρεῖν οὐ δυνάμεθα. ὅθεν ἡγούμεθα τὰς μὲν ἀποβάσεις ὑπὸ τῆς πείρας εὑρῆσθαι. τὰς δὲ αἰτιολογίας ἀπὸ ἡμῶν αὐτῶν κατὰ τὴν ἑκάστου δύναμιν. Ἔτι καὶ τοῦτο, ὅσα πάντη καὶ πάντως ἀκολουθεῖ τισὶ τῶν γινομένων, καὶ ἐν τοῖς ὕπνοις ἀκολουθῆσαι ἀνάγκη. οἷον, ὁ ζωγράφος ἔδοξε τὴν ἑαυτοῦ μητρυιὰν περαίνειν· ἔπειτα εἰς ἔχθραν κατέστη τῷ πατρί. ἀκολουθεῖ γὰρ πάσῃ μοιχείᾳ ζηλοτυπία τε καὶ ἔχθρα. τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων παρατήρει ὀνείρων, καὶ οὐχ ἁμαρτήσεις. ὅσοι σημαίνουσιν ὄνειροι παίδων γονὴν ἢ γάμον, οἱ αὐτοὶ καὶ τοὺς ἀποδήμους παῖδας ἐπανάγουσι. καὶ τὴν ἀπηλλαγμένην γυναῖκα καὶ παιδία.

Περὶ ἀρότρου. κβ΄.

ΕΔοξέ τις ἀροτριᾶν καὶ σπείρειν πυρούς, καὶ ἐπανῆκον αὐτῷ παῖδες ἐξ ἀποδημίας, καὶ ἡ γυνὴ χωρὶς οἰκοῦσα.

animal sermonis facultatem habens est homo. Grammaticus quidam visus est sibi filium suum quinquemestrem integrè & clarè loqui, & expectabant quidem aliqui puerum moriturum esse. Verùm vixit, & multi alij pueri ex hoc somnio. Cæterum de aliis præter ætatem contingentibus in his qui non sunt amplius infantes in capite de alteratione libro primo exactè explicatum est.

De causarum ratione.

CAP. 21.

COnaberis autem de omnibus causas reddere, & singulis rationibus probabiles quasdā demonstrationes annectere, vt ne, etiamsi valde vera dicas, & tum nudas, tum distractas res proponas, minus expertus esse videaris, & vt ipse ne decipiaris, quum causarum relatio velut domina euentuum, fidem & autoritatem ipsis faciat. Multa enim aliquibus assiduè eueniunt, & quod iuxta rationem eueniunt scimus, ex eo quod semper similiter eueniunt. Verùm causas ob quas sic eueniunt inuenire non possumus. Vnde sanè putamus euentus quidem ab experientia inuentos esse, causarum autem rationes à nobis ipsis iuxta vniuscuiusque vires excogitari. Insuper porrò & hoc obseruabis. Quæcunque penitus & omnino consequūtur ad quædam contingentia, ea etiam in somnijs consequi necesse est, velut, pictor quidam visus est sibi nouercam suam inire, postea inimicitiam cum patre suscepit. Consequitur enim ad omne adulterium æmulatio & inimicitia. Hoc verò etiam in aliis omnibus somniis obseruabis, & non aberrabis. Quæcunque autem somnia puerorum generationem aut nuptias significant, ea ipsa etiam filios apud exteros degentes reducunt. Vxorem item ademtam & liberos restituunt.

De Aratro. CAP. 22.

VIsus est sibi quis arare & triticum serere, & redierunt ipsi filij ex peregrinatione, item vxor quæ ab eo discesserat.

De his qui dicunt quòd mala somnia citius, bona verò tardius eueniunt.

CAP. 23.

AT verò ad eos qui dicunt, quòd mala somnia citius eueniunt, bona verò tardius, aut etiam non eueniunt, dicere potes quòd non est verùm huiusmodi quod dicũt. Causa autem erroris hæc est. Aut mala vident somnia habentia imaginationes bonas, & quũ mala eueniant, putant se à bonis somniis deceptos esse: quapropter propones ex modo speciali somnia, quæ intus quidem bona extra verò mala existunt. Aut homines in præsens infeliciter agentes, & mala somnia vident, significatiua instantium malorũ, & bona, præsagientia futura bona, ad animi consolationem, quo videlicet spe futurorum bonorum, non despondeant animum ob improsperum rerum successum: quum verò nondum eueniant bona, putant se deceptos esse. Apparent autem & feliciter agentibus mala somnia, & quum nondum eueniant contemnuntur, sed tamen omnino eueniunt. Cæterùm ex veris somniis, alia omnibus mala sunt, vnicuique autem iuxta vires aliquale malum significantia omnia, quę & intus & extra mala sunt, quorum in primo libro mentionem feci: alia ex æquo omnibus bona sunt, quæ & intus & extra omnibus bona sunt: alia iuxta alteram partem bona, iuxta alteram mala sunt, & aliis quidem bona, aliis verò mala fiunt. Cognosces autem quando bona aut quãdo mala fient, à fortuna, aut actionibus, aut cura, aut ætate eorum qui somnia viderunt.

De medicamentorum compositionibus. CAP. 24.

CAETERVM de medicamentorum compositionibus, quod dij quidem hominibus componunt medicinas, & curationes constituunt, vanum

Περὶ τῶν λεγόντων ὅτι οἱ κακοὶ ὄνειροι τάχιον ἀποβαίνουσιν, οἱ δὲ ἀγαθοὶ βράδιον. κγ'.

ΠΡὸς δὲ τοὺς λέγοντας ὅτι οἱ κακοὶ ὄνειροι τάχιον ἀποβαίνουσιν, οἱ δὲ ἀγαθοὶ βράδιον, ἢ καὶ οὐκ ἀποβαίνουσιν, εἴποις ἂν ὅτι οὐκ ἔστιν ἀληθὲς τὸ τοιοῦτον. ἡ δὲ αἰτία τῆς πλάνης ἐστὶν, ἥδε. ἤτοι κακοὺς ὁρῶσιν ὀνείρους ἔχοντας φαντασίας ἀγαθὰς, καὶ κακῶν ἀποβαινόντων, ἡγοῦνται ὑπὸ ἀγαθῶν ὀνείρων ἐξαπατεῖσθαι· διὸ προσθήσεις τοὺς ἐκ τοῦ ἰδικοῦ τρόπου ὀνείρους. τοὺς κατὰ τὸ ἐντὸς μὲν ἀγαθοὺς, κατὰ τὸ ἐκτὸς δὲ κακούς. ἢ τὸ παρὸν οἱ ἄνθρωποι κακοδαιμονοῦντες ὁρῶσι, καὶ κακοὺς ὀνείρους σημαντικοὺς τῶν ἐνεστώτων κακῶν. καὶ ἀγαθοὺς προσαγορευτικοὺς τῶν ἐσομένων ἀγαθῶν εἰς εὐθυμίαν. ἵνα ἐλπίδι τῶν ἐσομένων ἀγαθῶν, μὴ ἀπαγορεύσωσι κακοπραγοῦντες. οὐδέπω δὲ ἀποβαινόντων τῶν ἀγαθῶν ἡγοῦνται ἐξηπατῆσθαι. φαίνεται δὲ καὶ τοῖς εὐδαιμονοῦσι κακὰ ἐνύπνια, καὶ οὐδέπω ἀποβαίνοντα καταφρονεῖται, ἀλλὰ πάντως ἀποβαίνει· τῶν δὲ ὄντων ὀνείρων, οἱ μὲν, εἰσὶ πᾶσι κακοὶ, ἑκάστῳ δὲ κατὰ δύναμιν ποιόν τι κακὸν σημαίνοντες πάντες, οἱ δὲ, κατὰ τὸ ἐντὸς καὶ κατὰ τὸ ἐκτὸς κακοὶ, ὧν ἐν τῷ πρώτῳ βιβλίῳ ἐπεμνήσθην· οἱ δ' ἐπίσης πᾶσιν ἀγαθοὶ, οἱ καὶ κατὰ τὸ ἐντὸς καὶ κατὰ τὸ ἐκτὸς καὶ πᾶσιν ἀγαθοί· οἱ δὲ, κατὰ μὲν τὸ ἕτερον, ἀγαθοὶ, κατὰ δὲ τὸ ἕτερον, κακοὶ, οἷς μὲν ἀγαθοὶ, οἷς δὲ κακοὶ γίνονται. γνώσῃ δὲ πότε μὲν ἀγαθοὶ, πότε δὲ κακοὶ γίνονται, ἀπὸ τῆς τύχης, ἢ τῶν πράξεων, ἢ τῆς φροντίδος, ἢ τῆς ἡλικίας τῶν ὁρώντων.

Περὶ συνταγῶν. κδ'.

ΠΕρὶ δὲ συνταγῶν, ὅτι μὲν οἱ θεοὶ ἀνθρώποις συντάσσουσι θεραπείας, μάταιον.

τὸ ζητεῖν. πολλοὶ γὰρ καὶ ἐν Περγάμῳ καὶ ἐν Ἀλεξανδρείᾳ, καὶ ἀλλαχοῦ συνταγαῖς ἐθεραπεύθησαν. εἰσὶ δὲ οἳ καὶ τὴν ἰατρικὴν ἐκ τοιούτων συνταγῶν λέγουσιν εὑρεῖσθαι. ὅτι δὲ ἀναγράφουσί τινες συντάγας, πολλοῦ γέλωτος εἰσὶ μεσταί, καὶ τοῖς ἐπιπόσον ἀφιγμένοις φρονήσεως ἡγοῦμαι σαφὲς εἶναι. οὐ γὰρ τὰ ὁρώμενα γράφουσιν, ἀλλ' ὅσα ἂν αὐτοὶ πλάσσωσιν. ὅταν γάρ τις λέγων ἢ ῥείδων* ζωμῶν χειμῶνι συνταγὴν δεδόσθαι τισί, δοκεῖ μοι τὰς χηλὰς* τῶν πελωρίδων ἀποκληρώσας βελτίονας ἡγεῖσθαι, καὶ πελωρείου ἐγκέφαλον,* καὶ ἀλεκτρυόνος. καὶ Ἰνδοὺς δάκνοντας, πεπέρεως τι μέλαν εἶδος καὶ δάκνει. καὶ παρθένου γάλα, καὶ ἄστρον δ' αἱμαδρόσον, καὶ πρόβατον κρητικόν· μῆλον κυδώνιον, καὶ ὅσα τοιαῦτα, ἵνα μὴ μακρότερον ἀποτείνω λόγον. δεῖ γὰρ μὴ τοὺς ἀλλοτρίοις λήροις διαβάλλοντας τῆς ὑποθέσεως ἀποπλανᾶσθαι. ἀρκεῖ γὰρ καὶ δι' ὀλίγων ἐν ὑποδείγματος λόγῳ ἐλέγχειν τὰ τοιαῦτα. Ὅταν οὖν τὰ τοιαῦτα ἄτοπα ἀναγράφωσι, δοκοῦσί μοι τὴν ἕξιν ἐπιδεικνύειν, ὅτι δύνανται πλάσσειν ὀνείρους μᾶλλον, ἢ τὸ τῶν θεῶν φιλάνθρωπον συνιέναι. ἓν γὰρ οὐδὲ ἓν τοιοῦτον ἀληθῶς ὁραθὲν εἰς ἡμᾶς ἦλθεν. ὅρα δὲ καὶ τὰ τούτων ἔτι γελοιότερα. σκέπαρνον τὸ κῴδιον,* τὸ κῴδιον ἔφη τις· ἐπεὶ σκέπει τὸν ἄρνα. οὕτω γὰρ καὶ διαυλόδρομος ὁ ἀλεκτρυὼν γίνεται. διὰ γὰρ τῆς αὐλῆς τρέχει. καὶ ἄλλα δὲ ἄν τις εἴποι ὅμοια ἢ γελοιότερα. ἡγοῦμαι δὲ καὶ τοὺς θεοὺς οἷς ταῦτα προσάπτουσιν, εἰκότως ἂν χαλεπαίνειν τοῖς ἀναπλάσσουσιν αὐτά. ὅτι κακοζήλους καὶ πανούργους καὶ ἀσόφους τοὺς θεοὺς διαβάλλουσι. Πολλοὶ δὲ καὶ ἐκ τῶν Ἀριστοτέλους περὶ ζώων καὶ Ἀρχελάου καὶ τῶν Ξενοκράτους Ἀφροδισιέως παρηκηκοότες ὑφ' οὗ ἕκαστον τῶν ζώων θεραπεύεται, καὶ τί ἕκαστον φοβεῖται, ᾧ μάλιστα χαίρει, εἰς συντάγας καὶ θεραπείας ἀναπεπλάκασι. καί τις καινὴν* συντάγας καὶ θεραπείας ἀναπλάσσει, ὃς μάλιστα κατακόρως ἐν τρίτῳ τῆς ἑαυτοῦ συντάξεως κέχρηται οὕτως. οὐ ἐγὼ καὶ παρ

est quærere. Multi enim & in Pergamo, & in Alexandria, itémque alibi, compositionibus diuinis curati sunt. Sunt autem qui etiam medicinam ex huiusmodi cõpositionibus inuẽtam esse dicunt. Quod verò quidam perscribant tales compositiones multo risu dignas, etiam his qui aliquantulum modo sapiunt manifestum esse puto. Non enim visa scribunt, sed quæ ipsi finxerunt. Quum enim quis dixerit, facilium iusculorum compositionem hyeme quibusdam datam esse, videtur mihi chelas peloridum selectas meliores ducere, & pelorij cerebellum, ipsius galli: Et Indos mordaces, piperis nigri quoddam genus indicat, quod mordet. Et lac virginis, & sidus cruore roscidum, & ouem creticam, malum cydonium: (propterea quod *μῆλον* vox, id est malum siue pomum, etiam ouem, id est *πρόβατον* significet Græcis) & quæcunque huiusmodi, vt ne longius sermonem extendam. Neque enim decet alienas nugas calumniando à proposito abscedere. Satis est autem exempli gratia per pauca hæc, talia redarguisse. Quum igitur huiusmodi absurda præscribant, videntur mihi habitum suum ostendere, quod videlicet possint somnia fingere, magis quàm deorum erga homines benignitatem intelligere. Nam ne vnum quidem reuera eiusmodi visum ad nos peruenit. Sed vide tamen his adhuc magis ridicula. *σκέπαρνον* quæ vox asciam Græcis significat, quidam dixit pellem agninam, iuxta etymon vocis Græcæ, quoniam agnum tegit. Sic enim & diaulodromos gallus fit, per aulam enim currit. Quin & alia quædam similia his dicere quis poterit, aut etiam magis ridicula. Opinor autem & ipsos deos, quibus hæc tribuunt, meritò indignari talia effingẽtibus, quoniam & ineptos imitatores, & malignos, & insipientes deos criminantur. Multi verò etiam ex libris Aristotelis de animalibus, & Archelai, itémque libris Xenocratis Aphrodisiensis edocti, ex qua re vnumquodque animal curetur, & quid singula timeant, & quo maximè gaudeat, inde compositiones & curationes confinxerunt. Et sanè quidam etiam nunc compositiones & curationes effingit, qui maximè abunde in tertio sui operis huiuscemodi prodit. Verùm ego etiamsi

probè mihi cognitum sit eius nomen, ipsius non faciam mentionem. At verò compositiones deorum, aut simplices & nullum ænigma habentes reperies. Vnguenta enim aut emplastra, aut cibos aut potus, iisdem nominibus quibus etiam nos appellamus, dij componunt & indicant. Aut quum etiam obscurè loquuntur dij, valde manifestè insinuant. Velut, mulier circa mammam inflammationem habens, visa est sibi ab ouicula exsugi, & arnoglossum herbam, plantaginem Latinis dictam, cataplasmatis modo imponens sanata est. Propterea quòd plantæ nomen Græcis ex lingua ouilla compositum, plantaginem herbã indicabat. Qualemcunque autem curationem repereris, siue ipse iudicaueris, siue alio iudicante euentum didiceris, si perscrutatus fueris reperies aliquid medicamenti complectentem, & non extra rei medicæ rationem traditam. Quemadmodum Fronto Arthriticus curatione à diis petita, visus est sibi in suburbiis deambulare, & ignis admotione vsus, multum alleuatus est: tanquam compar res esset medicamento & curationi. Quapropter quantum tibi possibile fuerit, rei medicæ experimenta diligenter inuestigato, quemadmodum iam sæpe te exhortatus sum. Quin & eius velut ridiculi & vani memineris, quod non ægrotantes, neque omnino quid dolentes, si dixerint, si accipiant compositionem aut à sacerdotibus, aut ab expertis, & acceptam gestent, profuturam prius quàm ægrotẽt aut aliquam corporis partem doleant. Non enim sanis, sed ægrotis opus est curationibus. Insuper etiam mearum iudicationum, & meæ aggressionis ad cognoscenda somnia memineris, & non ineptas quorundam iudicationes imitaberis, etiamsi ab aliquibus inde laudem speraueris. Neque etiam ab vna prima sillaba somnia iudicabis, ne erroribus implicatus inglorius fias. Cuius rei exemplum recensebo. Quidam ęgrotans visus est sibi, quendam Pisonem appellatum videre. hoc somnium quidam multam securitatem, & annuam fertilitatem significare respondit, insuperq; ægrũ nonaginta annos victurũ esse dixit, cõiectura ex prima syllaba pisonis Græcis literis scripti facta: & nihilominus mortuus est is qui somniũ vidit in eo ipso morbo. Nã Piso vnguenta ferre sibi visus erat ægrotanti

εὖ εἰδὼς τὸ ὄνομα, οὐκ ἐπιμνήσομαι. Τὰς δὲ συνταγὰς τῶν θεῶν, ἤτοι ἁπλᾶς καὶ οὐδὲν ἐχούσας αἴνιγμα εὑρήσεις, χρισμὰ γὰρ ἢ ἐπίπλασμα, ἢ βρωτὰ ἢ ποτὰ αὐτοῖς ὀνόμασιν οἷς καὶ ἡμεῖς καλοῦμεν, συντάσσουσιν οἱ θεοί. ἢ καὶ ὅταν αἰνίσσωνται οἱ θεοί, πάνυ σαφῶς αἰνίσσονται. οἷον γυνὴ ἔδοξε περὶ μαζὸν φλεγμονὴν ἔχουσα, ὑπὸ προβάτου θηλάζεσθαι, ἀρνόγλωσσον βοτάνην καταπλασαμένη ἰάθη. διὰ τὸ τοῦ φυτοῦ ὄνομα σύνθετον ἐδήλου τὴν τοῦ ἀρνογλώσσου βοτάνην. οἵαν δ' ἂν θεραπείαν εὕρῃς, ἐάν τε αὐτὸς κρίνῃς ἐάν τε ἄλλου κρίνοντος ἀπόβασιν μάθῃς, ἀνερευνῶν, εὑρήσεις ἰατρικώτατα ἔχουσαν. καὶ οὐκ ἔξω τοῦ ἐν ἰατρικῇ λόγου. ὡς καὶ Φρόντων ὁ ἀρθριτικὸς θεραπείαν αἰτήσας, ἔδοξεν ἐν τοῖς προαστείοις περιπατεῖν, καὶ πυρπολήσει χρησάμενος, παρηγορήθη ἱκανῶς. ὡς ἴσον εἶναι τὸ χρῆμα θεραπείᾳ. ὅθεν ἔστω σοι κατὰ τὸ ἐνδεχόμενον ἐπιμελῶς ὡς πολλάκις σοι παρῄνουν, ἰατρικῶν πεῖραν εἴσεσθαι λόγων. μέμνησο δὲ κἀκείνου. ὅτι οἱ μὴ νοσοῦντες, μὴ δὲ ὅλως ἀλγοῦντές τι, εἰ εἴποιεν ἂν λάβωσι συνταγὴν, ἢ ἀπὸ ἱερῶν ἢ ἐμπείρων, εἰ λαβόντες αὐτὸ φέροιεν ὡς ὠφελῆσον πρότερον, ἢ νοσήσουσιν ἢ ἀλγήσουσι τι μέρος τοῦ σώματος. οὐ γὰρ τοῖς κάμνουσι δεῖ θεραπειῶν, ἔτι κἀκεῖνο, μέμνησο, τῶν ἐμῶν κρίσεων καὶ τῆς ἐμῆς ἐπιβολῆς. καὶ μὴ ζηλώσῃς κακοζήλους κρίσεις· μὴ δὲ ἐὰν ἐπαινεῖσθαι πρός τινων μέλλεις, μὴ δὲ ἀπὸ μιᾶς συλλαβῆς τῆς πρώτης κρῖναι εἰς ὀνείρους· ἵνα μὴ πταίσμασι περιπίπτων ἀδοξήσῃς. οἷόν τι λέγω, νοσῶν τις ἔδοξε Πίσωνά τινα καλούμενον ὁρᾶν, τοῦτό τις ὑπεκρίνατο πολλὴν ἀσφάλειαν καὶ εὐετηρίαν, καὶ προσέτι ἔφη ἐνενήκοντα καὶ πέντε ἔτη ζήσειν αὐτὸν ἀπὸ τῆς πρώτης τοῦ πίσωνος συλλαβῆς. ἀλλ' οὐδὲν ἧττον ἀπέθανεν ὁ ἰδὼν τὸν ὄνειρον ἐν αὐτῇ τῇ νόσῳ. καὶ γὰρ ὁ Πίσων αὐτῷ μύρα βαστάζειν ἔδοξε νοσοῦντι

δὲ, πονηρὰ τὰ μύρα, διὰ τὸ συνεισφέρεσθαι νεκροῖς. μὴ νομίσης δὲ τὸν τοῦ ναυκλήρου ὄνειρον, τούτῳ ὅμοιον εἶναι. πυνθανομένῳ γὰρ αὐτῷ, εἰ ἀναβήσεται εἰς ῥώμην, ἀπεκρίνατό τις οὔ. ἐν τετρακοσίοις ἑβδομήκοντα ἡμέραις ἀνέβη, οὐδὲν γὰρ διέφερεν ἢ τὸν ἀριθμὸν αὐτῷ εἰπεῖν, ἢ τὸ ὄνομα τοῦ στοιχείου τοῦ δηλοῦντος τὸν ἀριθμόν.

autem vnguenta mala sunt, propterea quòd vnà cum mortuis inferuntur. Cæterùm ne putaueris naucleri somnium huic simile esse. Interroganti enim ipsi, num ascensurus esset Romam, quidam respondit non, Græca particula οὐ, quæ non significat vsus, & in quadringentis septuaginta diebus eo peruenit. Nihil enim intererat, siue numerum ipsi diceret, siue nomen elementi quod cum ipsum numerum significaret.

Περὶ ἀναγραμματισμοῦ. κέ.

Περὶ δὲ ἀναγραμματισμοῦ, Ἀρίσταρχος, καὶ ὅσοι ἄριστος ὢν ὀνειροκρίτης καὶ ἄλλοι τινὲς παλαιοὶ, παντελῶς γελοῖόν τι πεπόνθασιν. ἐν μὲν γὰρ τοῖς προοιμίοις διδάσκουσι τί ἐστιν ἀναγραμματισμὸς, οὐδαμοῦ δὲ φαίνονται αὐτοὶ χρησάμενοι, οὔτε μετατιθέντες συλλαβὰς, οὔτε ἀποβάλλοντες, οὔτε προστιθέντες γράμματα. ἐγὼ δὲ καὶ ἐν ἀρχῇ τῆς ἐμῆς συντάξεως ἐπεμνήσθην, καὶ νῦν σε παραινῶ χρῆσθαι μὲν ἀναγραμματισμῷ, ὅταν τινὶ κρίνης ὄνειρον, εἰ θέλεις ἑτέρου σοφώτερον δοκεῖν κρίνειν. ἑαυτῷ μὲν τοι κρίνων μὴ χρήση οὕτως, ἐπεὶ ἐξαπατήσῃ.

De Literarum retextu.

CAP. 25.

CIrca literarum retextum Aristarchus, quantumuis optimus somniorum interpres, & alij quidam veteres, omnino ridiculum quiddam admiserũt. In præfationibus enim docent quid est literarum retextus, anagrammatismus Græcis appellatus, sed planè videntur eo nunquam ipsi esse vsi, neque transponentes syllabas, neque reiicientes, neque literas apponentes. Ego verò & in principio mei operis eius mentionem feci, & nunc admoneo, vt literarum retextu vtaris, quum somnium alicui iudicas & interpretaris, si velis hac parte alio sapientius iudicare videri. At verò vbi tibi ipsi iudicabis non ita vtar quoniã decipieris.

Περὶ ἰσοψήφων. κϛ'.

Ἰσοψήφοις δὲ χρῆσθαι ὅταν καὶ χωρὶς τῶν ἰσοψήφων τὰ βλεπόμενα, τοῦθ' ὅπερ ἂν τὰ ἰσόψηφα προλέγῃ σημαίνει. οἷον γραῦς τοῖς νοσοῦσιν ὁρωμένη, θανάτου γίνεται σύμβολον. ἔστι γὰρ γραῦς ἑπτακόσια τέσσαρα, καὶ ἡ ἐκφορὰ, ἑπτακόσια τέσσαρα. ἀλλὰ καὶ χωρὶς τοῦ ἰσοψήφου, ἡ γραῦς ἐστιν ἐκφορᾶς σημαντικὴ αὐτὴ, μέλλουσα μὴ εἰς μακρὰν ἀποθνήσκειν. εἰ δέ ποτέ τινα ὄνειρον ἐν μηδενὶ τῶν ὀνειροκριτικῶν θεωρημάτων ὑποπίπτοντα εὕροις, μηδὲ δυνηθῇς κρίναι, μὴ ἀθυμήσης.

De his quæ æqualem calculum, siue numerum implent.

CAP. 26.

POrrò æqualem numerum implentibus vteris, quum ea quæ videntur, etiam citra ea quæ æqualem calculum repræsentant, hoc quod æqualem numerum implentia comprehendunt significant. Velut apud Græcos γραῦς id est anus, ægrotantibus visa mortis signum est. Etenim γραῦς septingenta & quatuor repræsentat, quem numerum implet etiã elatio Græce ἡ ἐκφορὰ appellata. Sed & citra æqualis calculi vtriusque vocis respectum, & ipsa anus elationis est significatiua, vtpote quæ non ita diu postea sit moritura. Si verò aliquando somnium in nulla somniorum indicandorum speculatione subiacens repereris, & iudicare non possis, ne animo abiecto tristeris.

Nam

Nam sunt quædam quæ ante euentum indicari non possunt, quæ tamen si fortè iudicaueris, felix & fortunatus esse mihi videberis. Sin minus, non propterea artis rudis. Velut, visus est sibi quidam exercitus Imperator, in machæra sua scriptas esse tres literas Græcas ι κ θ. gerebatur autem bellum Iudaicum in Cyrene, & is qui somnium vidit fortiter se gerens in bello victor euasit, atq; hoc erat quod diximus, per ι enim, Iudæis, per κ verò Cyrenæis, per θ mors hoc est θάνατος significabatur. Verùm ante euentum, somnium à nemine iudicari poterat. Vbi autem euentus contigissent, etiam valde bene iudicabile apparebat. Videtur autem mihi & Aristander Alexandro Macedoni Tyrum obsidenti, & propter temporis moram tristi & anxio, & per somnium sibi viso, in scuto suo satyrum ludentem videre, feliciter somnium hoc iudicasse. Nam in Tyro fuerat, & de bellanti regi Tyrios aderat. Etenim nomen Satyros Græcis literis scriptum, in σὰ τύρος distinguens, regem ad bellum alacrius vrgendum concitauit. Quare & vrbem cœpit, velut ex distinctione Aristander ei promisit. σὰ τύρος enim, tua Tyros est, significat. His simile est & subscriptum. Syrus Antipatri seruus visus est sibi infernas pedum suorum partes, ipsas videlicet plantas non habere, & viuus exustus est. Nam quod ab aliquo significatur, rursus illius significatiuū est à quo significatur. Velut, mulier quędam visa est sibi oculos dolere, ægrotauerūt eius filij. Alia mulier existimauit filios suos ęgrotare, & ex oculis ęgrotauit. Diogenes Nauclerus nauis faciem siue prorā visus est sibi perdidisse, & non longè post proreta ipsius mortuus est. Et in Mileto quidam proretam efferre sibi visus & sepelire, nauis faciem ac proram ipsam perdidit. Et qui patrem ægrotare putabat, caput doluit. Quod verò caput patris significatiuum sit in primo libro didicisti.

De partibus corporis.

CAP. 27.

IN vniuersum autem ex corporis partibus, superiores ad potiores & præstan-

καὶ γὰρ εἰσί τινες περὶ ἀποβάσεως ἄκριτοι, οὓς κρίνων μὲν αὖ, ἐπιτυχὴς παρά γε ἐμοὶ εἶναι δοκεῖς· μὴ κρίνων δὲ, οὐκ ἄτεχνος. οἷον ἔδοξέ τις στρατοπεδάρχης ἐπὶ τῇ μαχαίρᾳ αὐτοῦ γεγράφθαι, ι. κ. θ. ἐγένετο πόλεμος Ἰουδαϊκὸς ἐν Κυρήνῃ, καὶ ἠρίστευσεν ἐν τῷ πολέμῳ ὁ ἰδὼν τὸν ὄνειρον, καὶ τοῦτο ἦν ὃ εἴπομεν, ἀπὸ τοῦ ι, Ἰουδαίοις, ἀπὸ δὲ τοῦ κ, Κυρηναίοις, ἀπὸ δὲ τοῦ θ, θάνατος. ἀλλὰ πρὸ μὲν τῆς ἀποβάσεως ἦν ἄκριτος. ἀποβάντων δὲ τῶν ἀποτελεσμάτων, καὶ σφόδρα εὔκριτος. δοκεῖ δέ μοι καὶ Ἀρίστανδρος Ἀλεξάνδρῳ τῷ Μακεδόνι πολιορκοῦντι Τύρον καὶ προσκαθημένῳ, καὶ διὰ τὸν χρόνον ἀσχάζοντι καὶ ἀνιωμένῳ δόξαντι ὄναρ ἐπὶ τῆς ἀσπίδος αὐτοῦ Σάτυρον παίζοντα ἰδεῖν, ἐπιτυχῶς κρῖναι. ὅτι ἔτυχεν ἐν Τύρῳ τε ὢν καὶ πολεμοῦντι Τυρίοις τῷ βασιλεῖ συνών. τὸ γὰρ σάτυρος ὄνομα εἰς τὸ σὴ Τύρος διαλαβὼν, προθυμότερον τὸν βασιλέα πολεμεῖν ἐποίησεν. ὥστε καὶ εἷλε τὴν πόλιν. ἔστι δὲ τούτοις ὅμοιον, καὶ τὸ ὑπογεγραμμένον. ὁ Σύρος ὁ τοῦ Ἀντιπάτρου δοῦλος, τὰ ὑποκάτω τῶν ποδῶν αὐτοῦ, αὐτὰ τὰ πέλματα ἔδοξε μὴ ἔχειν, καὶ ζῶν κατεκάη. ὅτι τὸ δηλούμενον ὑπό τινος, πάλιν αὖ ὑπ᾽ ἐκείνου ἐστὶ σημαντικὸν, ὑφ᾽ οὗ δηλοῦται. Οἷον γυνὴ ἔδοξεν ἀλγεῖν τὰ ὄμματα. ἐνόσησαν αὐτῆς οἱ παῖδες. ἄλλη γυνὴ ἔδοξεν αὐτῆς τοὺς παῖδας νοσεῖν. ἐνόσησαν δὲ αὐτῆς τὰ ὄμματα. Διογένης ὁ Ναύκληρος, τῆς ἀκάτου τὸ ἀντιπρόσωπον ἔδοξεν ἀπολωλέναι. καὶ οὐκ εἰς μακρὰν ὁ πρῳρεὺς αὐτοῦ ἀπέθανε. καὶ ἐν Μιλήτῳ τὸν πρῳρέα τις ἐκφέρειν δόξας καὶ κατορύσσειν, τῆς νεὼς ἀπώλεσε τὸ ἀντιπρόσωπον. καὶ ὁ τὸν πατέρα δόξας νοσεῖν, τὴν κεφαλὴν ἤλγησεν. ὅτι δὲ πατρὸς ἐστὶ σημαντικὴ ἡ κεφαλὴ, οἶσθα ἐν τῷ πρώτῳ βιβλίῳ.

Περὶ μερῶν τοῦ σώματος. κζ.

ΚΑθόλου δὲ τῶν ἐν σώματι μερῶν, τὰ μὲν ἄνω, πρὸς τοὺς βελτίονας καὶ ἐντιμο-

τέρους λάμβανε, πάντα δὲ τὰ ὑποκάτω πρὸς τοὺς ἥττονας καὶ ὑποδεεστέρους. τῶν μὲν ἐν κεφαλῇ, ἐπὶ βλεφάρων καὶ ὀδόντων καὶ χειλῶν καὶ γλώττης. τῶν δὲ ἐν ὅλῳ τῷ σώματι, τὰ ὑπὲρ ζώνην καὶ ὑπὸ ζώνην. τὰ δὲ δεξιὰ, πρὸς ἄρσενας ἢ πρεσβυτέρους. τὰ δὲ ἀριστερὰ, πρὸς θηλείας ἢ νεωτέρους ἢ νεωτέρας. τὸ δὲ περὶ ἑκάστου πρὸς εἶδος, ἀπὸ τῆς περὶ τοῦ σώματος καὶ τῶν ἐν τῷ σώματι μερῶν διαιρέσεως, ἐκ τοῦ πρώτου βιβλίου λάμβανε.

Περὶ ἐμέτου. κη.

ΠΆντα δὲ ἔμετον καὶ αἵματος καὶ τροφῆς καὶ φλέγματος, τοῖς μὲν ἀπόροις εἰς ὠφέλειαν κρίναι. τοῖς δὲ εὐπόροις, εἰς βλάβην. οἱ μὲν γὰρ, οὐκ ἂν ἀπολέσειεν τι, εἰ μὴ κτήσαντο τὸ πρότερον. οἱ δὲ ἔχοντές τι, καὶ ἀπολλύουσι.

Περὶ τοῦ πολλάκις τοῖς αὐτοῖς ὀνείροις ὁρᾶν. κθ.

ΤΟὺς πολλάκις ὁρωμένους ὀνείρους, εἰ μὲν ἐκ μικρῶν διαστημάτων βλέποιντο καὶ συνεχῶς, ἀεὶ τὸ αὐτὸ σημαίνειν* νόμιζε. τούτου δὲ ἕνεκεν ὁρᾶσθαι πολλάκις, τοῦ μᾶλλον αὐτοῖς προσέχειν καὶ πιστεύειν. καὶ γὰρ ἡμεῖς ἐν τῇ συνηθείᾳ, ὅταν τι σπουδαῖον λέγωμεν, συνεχῶς λέγομεν. οὕτως οὖν καὶ ἡ ψυχή. ὅτε σπουδαῖα προαγορεύῃ καὶ ἀξιόλογα καὶ οὐ πάρεργα, πολλάκις αὐτὰ δείκνυσιν. ἢ ὅτι πρὸ πολλοῦ τῆς ἀποβάσεως αὐτῶν ἤρξατο καὶ οὐ διαλείπει αὐτὰ ὁρῶσα. ὅταν δὲ ᾖ μεγάλα τὰ διαστήματα, τῷ αὐτῷ πολλάκις ὁρωμένῳ ὀνείρῳ, ἄλλοτε ἄλλα σημαίνειν τὸ αὐτὸν νόμιζε. ὥσπερ γὰρ οἱ πολλοὶ τὸν αὐτὸν ἰδόντες ὄνειρον, διαφόρως ἑκάστῳ ἀποβήσεται, διὰ τὸ μὴ πάντας ἐν τοῖς αὐτοῖς εἶναι πράγμασιν· οὕτω καὶ ἐὰν ἐπὶ διαφόροις τὸ αὐτό τις ἴδῃ, διαφόρως αὐτῷ ἀποβήσεται. διὰ τὸ μὴ πάντως ἐν τοῖς αὐτοῖς εἶναι πράγμασιν. ἔδοξέ τις τὴν ῥῖνα ἀπολωλεκέναι. ἔτυχε δὲ ὢν μυροπώλης ἀπώλεσε τὴν ἐνθήκην, καὶ ἐπαύσατο μυροπωλῶν, διὰ τὸ μὴ ἔχειν ῥῖνα· οὐκ ἔτι γὰρ εἶχε τὸ δοκι-

tiores refer, omnes autem infernas ad minores & minus prestantes. Sunt autem in capite tales, palpebræ, dentes, labra & lingua. In toto verò corpore, quæ supra cingulum existunt. Dextras autem partes, ad viros aut seniores. Sinistras ad fœminas, aut iuniores tum mares, tum fœminas referes. Verùm de singulis speciatim, ex diuisione de corpore eiúsque partibus lib. 1. tractata iudicabis.

De Vomitu. CAP. 28.

OMnem vomitum & sanguinis, & cibi, & pituitæ, indigentibus quidem, in vtilitatem iudicabis, opulentis verò, in detrimentum. Illi enim non vtique perderent quid, si non prius possiderent. Hi verò habentes aliquid, id ipsum perdunt.

Sæpe eadem somnia videre. CAP. 29.

SOmnia quæ sæpe videntur, siquidem ex paruis interuallis videantur & continenter, semper idem significare putato. Ea gratia autem sæpe videri, vt magis ipsis animum aduertas & credas. Nam & nobis mos est, cùm quid serium dicamus, vt id sæpe repetamus. Sic igitur & anima quando seria præsagit, & memorabilia ac non præter rem existentia, sæpe ipsa ostendit, aut quòd multo ante tempore quàm eueniant ipsa videre cœpit, & non destitit, nec relinquit. Quãdo autem magna fuerint interualla, quibus idem somnium sæpe videtur, aliâs alia significare putato. Quemadmodum enim si multi idem somnium viderint, diuersimode vnicuique eueniet, propterea quòd non omnes in iisdem negotiis versantur. Sic etiam, si in diuersis temporibus idẽ somnium quis videat, diuersimode ipsi eueniet, propterea quòd non semper in iisdem negotiis versetur. Velut verbi causa. Visus est sibi quispiam nasum perdidisse, erat autem vnguẽtarius, & perdidit merces naui impositas, & cessauit vnguenta vendere, propterea quòd nasum non habebat: non habebat enim amplius instru-

mentum quo vnguenta probaret, in arte quam exercebat. Idem igitur cùm iã non amplius vnguentarius esset, rursus visus est sibi nasum nõ habere, & criminis falsi reus peractus, fugitiuus patriç suæ factus est. Quicquid enim faciei deest, indecoram & ignominiosè turpem ipsam facit. Est autem facies pudoris & reuerentiæ ac autoramenti imago. Meritò itaque etiam ille ignominiosus factus est. Idem ille visus est sibi rursus nasum non habere, & non longè post mortuus est. Nam caluæ mortuorum nasum non habent. At verò primum somniũ velut mercatori, in vnguenta euentum habuit. Secundum vt viro status & autoramenti integri, in ipsam dignitatem. Tertium autem ægrotanti, in ipsum corpus euenit: atque sic idem somnium in vno & eodem homine, ter non similiter euentum sortitũ est.

De Vasis, & Instrumentis.

CAP. 30.

VNumquodque vas & instrumentũ, aut artem significat, aut id quod in ipso continetur. Velut dolia, vinum aut oleum: & acerui, triticum, aut hordeum, aut iuxta proportionem simile quiddam quod in vsu est. Quemadmodum instrumenta omnia, amicos & liberos ac parẽtes, & penus, quæstorem penuarium, & cistæ & thesauraria, vxores & œconomos. Quidam equestris ordinis vir, expeditionem exercitus à rege petens, visus est sibi, vocatus ab aliquo exire è domo vbi erat, & cùm descendisset duos gradus, accipere ab eo qui vocarat coronam oleagineam, talem qualem in pompis equites Romani gestare solent, & valde quidem lætus erat. Confidebant autem somnio & hi qui circa ipsum erant. Verùm petitionem non est assequutus. Accipiebat enim coronam non ascendens, sed descendens de gradibus: dicimus autem profectus & successus, ascensus. Cæterùm corona fecit ipsum in vxorem ducere virginem, propter ligationem. Hoc somnium propterea tibi conscripsi, vt discas quòd primis somniorum imaginationib. animum adhibere nõ oportet, sed simul ordini omnium visorum. Qui enim à sola corona iudicauerunt, nulla descensus ratione habita, omnes decepti sunt.

μαστήριον τῶν μύρων, ἐν ᾗ ἐχρῆτο ἐργασίᾳ. ὁ αὐτὸς οὖν οὐκέτι μυροπωλῶν, ἔδοξε ῥῖνα οὐκ ἔχειν. ἑάλω πλαστογραφήσας, καὶ ἔφυγε τὴν ἑαυτοῦ πόλιν. ὅ,τι γὰρ ἂν λείποι τῷ προσώπῳ, ἄτιμον αὐτὸ ποιεῖ. ἔστι δὲ τὸ πρόσωπον, τῆς αἰδοῦς καὶ τῆς ἐπιτιμίας εἰκών. εἰκότως οὖν κἀκεῖνος ἄτιμος ἐγένετο. ὁ αὐτὸς αὖθις ἔδοξε ῥῖνα μὴ ἔχειν. καὶ οὐκ εἰς μακρὰν ἀπέθανε. καὶ γὰρ τὰ κρανία τῶν ἀποθανόντων ῥῖνα οὐκ ἔχει. ἀλλὰ πρότερον μὲν ὡς ἐμπόρῳ εἰς τὰ μύρα ἀπέβη. δεύτερον δὲ ὡς ἐπιτίμῳ εἰς τὸ ἀξίωμα. τρίτον δὲ νοσοῦντι, εἰς αὐτὸ τὸ σῶμα· καὶ ὅμως ὁ αὐτὸς ὄνειρος τῷ αὐτῷ τούτῳ τρὶς οὐχ ὁμοίως ἀπέβη.

Περὶ σκευῶν καὶ ἐργαλείων. λ'.

ΚΑΙ τῶν σκευῶν καὶ τῶν ἐργαλείων ἕκαστον, ἢ τὴν τέχνην σημαίνει, ἢ τὸ περιεχόμενον ὑπ' αὐτοῦ. ὡς πίθοι οἶνον ἢ ἔλαιον· καὶ σοροί, πυροὺς ἢ κριθάς, ἢ κατὰ ἀναλογίαν τὸ ὅμοιον ἐν τῇ χρήσει. ὥσπερ ἐργαλεῖα πάντα, φίλους καὶ τέκνα καὶ γονέας, καὶ ταμιεῖα τοὺς ταμίας, καὶ κίσται καὶ θησαυροφυλάκια, γυναῖκας καὶ οἰκονόμους. Ἱππικὸς ἀνὴρ στρατείαν αἰτῶν παρὰ βασιλέως, ἔδοξε κληθεὶς πρός τινος, ἐξελθεῖν τοῦ οἴκου ἔνθα ἦν. καὶ καταβὰς δύο κλίμακας, λαβεῖν ἀπὸ τοῦ καλέσαντος, στέφανον ἐλάϊνον. τοιοῦτον, οἷον ἐν πομπαῖς φοροῦσιν ἱππεῖς ῥωμαίων, καὶ πάνυ μὲν εὔθυμος ἦν. ἐθάρρουν δὲ τῷ ὀνείρῳ καὶ οἱ περὶ αὐτόν. ἀπέτυχε δὲ τῆς αἰτήσεως. ἔλαβε γὰρ τὸν στέφανον οὐκ ἀναβάς, ἀλλὰ καταβὰς τὰς κλίμακας· λέγομεν δὲ τὰς προκοπὰς ἀναβάσεις. ὁ δὲ στέφανος ἐποίησεν αὐτὸν γῆμαι παρθένον, διὰ τὴν δέσιν. τοῦτον σοι τὸν ὄνειρον συνέγραψα. ἵνα μάθῃς, ὅτι μὴ δεῖ ταῖς πρώταις φαντασίαις τῶν ὀνείρων προσέχειν. ἀλλ' ὁμοῦ τῇ τάξει πάντων τῶν ὁραθέντων. οἱ γὰρ ἀπὸ μόνου τοῦ στεφάνου κρίναντες, οὐ προσέχοντες τῇ καταβάσει, ἔπταισαν πάντες.

Περὶ συγγενείας. λα'.

Πάντες οἱ ἀπὸ γένους, τὸ γένος ὅλον σημαίνουσι, μάλιστα παῖδες. καὶ γὰρ ὅ, τι ἂν ἄλλο σημαίνωσιν, ἅμα δὲ τὴν γενεὰν δηλοῦσιν. οἷον ἔδοξέ τις τὴν ἑαυτοῦ θυγατέρα κυρτὴν ἰδεῖν. ἀπέθανε τοῦ ἰδόντος ἡ ἀδελφή, ὀρθῶς δὲ κατὰ λόγον· ἦν γὰρ αὐτῷ τὸ γένος οὐχ ὑγιές.

De Cognatione. CAP. 31.

OMnes à genere, totum genus significant, maximè pueri. Nam quicquid tandem aliud significet, simul etiam genus indicant. Velut, Visus est sibi quis suam filiam gibbosam videre, mortua est soror illius qui somnium vidit, rectè & secundum rationem: erat enim ipsi genus non sanum.

Περὶ περιεκτικῶν σημείων. λβ'.

Πάντα τὰ περιεκτικὰ ἡμῶν αὐτῶν, τὸν αὐτὸν ἔχει λόγον, ἱμάτιον, οἰκία, τεῖχος, ναῦς, καὶ τὰ ὅμοια. οἷον ξύλινον ἱμάτιον ἔδοξέ τις περιβεβλῆσθαι. ἔτυχε πλέων, καὶ ἐβραδυπλόησεν. ἦν γὰρ αὐτῷ ξύλινον ἱμάτιον ἡ ναῦς. τὸ ἱμάτιόν τις ἔδοξε μέσον ἐρρωγέναι. συνέπεσεν αὐτοῦ ἡ οἰκία· τὸ γὰρ περιέχον αὐτὸν ἦν οὐχ ὑγιές. τὸν κέραμον τῆς οἰκίας ἔδοξέ τις ἀπολωλέναι· τὰ ἱμάτια ἀπώλεσε. τὸ γὰρ σκέπον αὐτὸν οὐκέτι ἦν. τὸ τεῖχος ἔδοξέ τις ἐρρωγέναι, ναύκληρος δὲ ἦν. καὶ τὰ ἀμφιμήτρια τῆς νεὼς ἔσπασε. προσβάλλουσι γὰρ τῷ μὲν τείχει, πολέμιοι· τῷ δὲ πλοίῳ, θάλασσα καὶ χειμών. πάντα δὲ ταῦτα, καὶ πρὸς τὸ σῶμα τὴν διαφορὰν ἔχει. ὁ οὖν δόξας τὸ ἱμάτιον ἐρρωγὸς ἰδεῖν, εἰκότως ἐτρώθη. καὶ κατ' ἐκεῖνο τὸ μέρος, καθ' ὃ καὶ περιβληθέντος τοῦ ἱματίου ἡ ῥαγὰς ἦν. ὥσπερ γὰρ αὐτῷ τὸ ἱμάτιον, οὕτω καὶ τῇ ψυχῇ αὐτὸ τὸ σῶμα περιέκειτο. ἅμα τοῖς ἄλλοις ἀποτελέσμασιν, οἱ δοῦλοι, δὲ πρὸς τὸ σῶμα τῶν δεσποτῶν τὴν διαφορὰν ἔχουσιν. ὁ γοῦν δόξας τὸν οἰκέτην πυρέσσοντα ἰδεῖν, εἰκότως αὐτὸς ἐνόσησεν. ὃν γὰρ ἔχει λόγον ὁ οἰκέτης πρὸς τὸν ὁρῶντα, τὸν αὐτὸν καὶ τὸ σῶμα πρὸς τὴν ψυχήν. ἔδοξέ τις ἵππου ὑποδήματα ὑποδεδέσθαι. ἐστρατεύσατο καὶ ἐγένετο ἱππεύς. οὐδὲν γὰρ διέφερεν ἢ αὐτὸν ἢ τὸν βαστάζοντα ἵππον ὑποδεδέσθαι τὰ ὑποδήματα. πολλὰ τῶν ἀποβαινόντων καὶ εἰς τοὺς ὁμοίους καὶ εἰς τοὺς ἀφ' αἵματος καὶ εἰς τοὺς

De rebus nos complectentibus. CAP. 32.

OMnia contentiua & complexiua nostri ipsorum, eandem rationem habent vestis, domus, murus, nauis, & similia. Velut, visus est sibi quispiam lignea veste amictus esse. Nauigabat, & nauigatio ipsi tardè processit. Erat enim lignea vestis ipsa nauis. Visus est sibi quis vestem mediam scissam esse, contrita est ipsius domus. Nam quod ipsum continebat, nō erat integrum. Tegulam domus putauit quis se perdidisse, perdidit vestes. Nam quod tegeret ipsum non amplius erat. Murum putauit quis diffractum esse, erat autem nauclerus, & parietes ac latera nauis ipsi rupta sunt. Impetunt enim murū hostes, nauem mare & tempestas. Verùm hæc omnia etiam ad corpus relationem habent. Qui itaque vidit vestem per somnium ruptam, meritò vulneratus est, & iuxta illam partem, iuxta quam circundatæ vestis fissura erat. Quemadmodum enim ipsi vestis, sic animæ corpus circundatum erat. Cæterùm simul cum aliis euentibus, serui etiam ad corpus dominorum referuntur. Qui igitur visus est sibi, famulum febricitātem videre, meritò ipse ægrotauit. Quàm enim rationem habet famulus ad videntem, eandem habet corpus ad animam. Existimauit quis equi calciatum se habere, militauit & factus est eques. Nihil enim intererat aut ipsum, aut equum ipsius gestatorem, calciatum habere. Multi enim euentus & in similes, & in sanguine iunctos, & in co-

gnominés eueniunt. Velut, visa est sibi mulier quædam virum habens, alteri nupsisse. Neque autem vir ipsius ægrotabat, vt ipso defosso alteri nubere posset. Neque quicquam venale habebat, vt quemadmodum nupta cum alio commutationem & contractum faceret. Neque sanè filia ipsi erat nubilis, vt illam in matrimonium alicui collocaret, & sic nõ seipsam, sed filiam videret alteri nuptam. Neq; ipsa ægrotabat, vt moreretur: quoniam & nuptiæ, & mors eandem rationem habent, quia quæ ad vtrunque consequuntur similia existunt. Erat autem ipsi soror cognominis, quæ ægrotabat & mortua est, & quòd ipsi euenturum erat vbi ægrotasset, hoc sorori cognomini euenit.

De Rege. CAP. 33.

REx, templum, & miles, & epistola regis, & argentum, & quæcunque eiusmodi, se mutuò significant. Stratonicus putabat se regem calcitrare, & progressus inuenit aureum numisma quod calcauerat. Nihil enim differebat siue regem, siue ipsius imaginem, calcitrare, aut calcare. Zenon sibi visus est centurio factus esse: & progressus accepit centum regias epistolas. Cratinus noster argentei templi præfectus esse sibi visus, argentei regij præfectus & dispensator factus est. Quicquid ex ore dederit rex, per sententiam latam proderit accipienti. Chrysippus Corinthius ex ore regis duos accipiens dentes, in vna die duabus sententiis latis coram rege litigans vicit. Porrò vocabulum *βίος* id est vita, bifariam à te accipiatur, aliquando vt bona & possessiones, aliquando vt ipsum viuere.

De Coruis. CAP. 34.

MVlier opulẽta visa est sibi, tres coruos ipsi instare, & impudẽter intueri, vnum autem ex ipsis etiam voce rupta dicere, ego te exuiuã faciã, & eos coruos

ὁμωνύμοις ἀποβαίνει. ἔδοξέ τις γυνὴ ἄνδρα ἔχουσα, ἄλλῳ γαμεῖσθαι. οὔτε δὲ ὁ ἀνὴρ ἐνόσει αὐτῆς, ἵνα αὐτὸν κατορύξασα δυνηθῇ ἄλλῳ γαμηθῆναι· οὔτε εἶχέ τι ὃ πωλήσει, ἵν' ὥσπερ γαμουμένη ἄλλῳ συνάλλαγμα ποιήσῃ. οὔτ' ἦν αὐτῇ θυγάτηρ ὡραία γάμων, ἵνα ἐκείνην ἐκδῷ πρὸς γάμον. καὶ οὕτω μὴ ἑαυτὴν ἀλλὰ τὴν θυγατέρα ἴδῃ ἄλλῳ γαμουμένην. οὔτε αὐτὴ ἐνόσει ἵνα ἀποθάνῃ. ἐπειδὴ καὶ γάμος καὶ θάνατος, τὸν αὐτὸν ἔχουσι λόγον. ὅτι τὰ παρακολουθοῦντα ἀμφοτέροις ὅμοιά ἐστιν. ἦν δὲ αὐτῇ ἀδελφὴ ὁμώνυμος. καὶ ἔτυχε νοσοῦσα καὶ ἀπέθανε. καὶ τὸ αὐτῇ ἀποβησόμενον ἐπεὶ ἐνόσει, τοῦτο τῇ ἀδελφῇ ὁμωνύμῳ οὔσῃ ἀπέβη.

Περὶ βασιλέως. λγ'.

ΒΑσιλεὺς, καὶ ναὸς, καὶ στρατιώτης, καὶ ἐπιστολὴ βασιλέως καὶ ἀργύριον καὶ ὅσα τοιαῦτα, ὑπ' ἀλλήλων σημαίνεται. ὁ Στρατόνικος ᾤετο τὸν βασιλέα λακτίζειν. προελθὼν εὗρε χρυσοῦν νόμισμα ὃ ἔτυχε πατήσας. οὐδὲν γὰρ διέφερεν ἢ τὸν βασιλέα, ἢ τὴν εἰκόνα αὐτοῦ λακτίζειν ἢ πατεῖν. Ὁ Ζήνων ἔδοξεν ἑκατόνταρχος γεγονέναι, καὶ προελθὼν, ἔλαβεν ἑκατὸν βασιλικὰς ἐπιστολάς. Κρατῖνος ὁ ἡμέτερος, ἀργυρέου ναοῦ ἐργεπιστάτης δόξας εἶναι, ἀργυρείου βασιλικοῦ ἐγένετο ἐργεπιστάτης. ὅ,τι ἂν ἐκ στόματος δῷ βασιλεὺς, δι' ἀποφάσεως ὠφελήσει τὸν λαβόντα. Χρύσιππος ὁ Κορίνθιος ἐκ τοῦ στόματος τοῦ βασιλέως δύο λαβὼν ὀδόντας, ἐν ἡμέρᾳ μιᾷ δυσὶν ἀποφάσεσιν ἐπὶ τοῦ βασιλέως δικαζόμενος ἐνίκησεν. ὁ βίος διχῇ σοι νοείσθω, ποτὲ μὲν ὡς οὐσία καὶ κτήματα, ποτὲ δὲ ὡς αὐτὸ τὸ ζῆν.

Περὶ κοράκων. λδ'.

ΓΥνὴ πλουσία κόρακας ἔδοξεν ἐπιστάντας αὐτῇ τρεῖς, ἀναιδῶς προσβλέπειν. ἕνα δὲ ἐξ αὐτῶν καὶ φωνὴν ῥήξαντα εἰπεῖν, ἐγώ σε ἐκβῆναι ποιήσω, καὶ τρεῖς τοὺς κόρακας

περιελθόντας αὐτὴν, ἀποπτῆναι. αὕτη μετὰ ἐννέα ἡμέρας ἀπέθανεν. ὀρθῶς καὶ κατὰ λόγον, τὸ γὰρ ἔκβιόν σε ποιήσω, ὅμοιον ἦν τῷ, ἔξω τοῦ βίου ποιήσω, τουτέστιν ἀποκτενῶ. οἱ τρεῖς δὲ τρὶς περιελθόντες, τὰς ἐννέα ἐδήλουν ἡμέρας.

postquã ter circumuolassent ipsam auolare. Hæc post nonum diem mortua est, rectè & secundum rationem. Nam exuiuam te faciam, simile erat velut si dixisset, extra vitam te faciam, hoc est occidam. Tres verò ter circumacti, nouem dies indicabant.

Περὶ τῶν λεγομένων ἐν ὕπνοις καὶ ἀποβαινόντων. λέ.

De his quæ dicuntur in somnis, & eueniunt. CAP. 35.

Ὅσα λέγει τις ἄλλῳ μὴ ἀπὸ τῆς τέχνης τῆς ἑαυτοῦ, εἰς ἑαυτὸν ἀποβαίνει. ὅσα δὲ ἀπὸ τέχνης, εἰς ἐκεῖνον βλέπει, οὐδαμῶς δὲ εἰς αὐτὸν τὸν λέγοντα. ἀλλ' ὡς ἐπὶ βαναύσων τεχνῶν. ὅσα ἔμαθέ τις εἰ ποιοίη ἀγαθὸν, οὕτω καὶ ἐπὶ τῶν λοιπῶν. ὅσα μὲν γὰρ ἰατροὶ νομικὰ ἢ νομικοὶ ἰατρικὰ, ἢ ἰατροὶ μαντικὰ λέγουσι, ταῦτα, εἰς αὐτοὺς τοὺς λέγοντας ἀποβαίνει. ὅσα δὲ νομικοὶ νομικὰ, ἢ ἰατροὶ ἰατρικὰ, ἢ μάντεις μαντικὰ λέγουσι, ταῦτα ὡς παρὰ κατορθούντων ἐν ταῖς τέχναις λαμβάνειν δεῖ. Ἔδοξέ τις ἰατρὸς λέγειν τινὶ ῥωμαῖος ὢν, ἑλληνίδα μὴ γάμει. γαμήσας αὐτὸς, ὑπὸ τῆς γυναικὸς ἐβλάβη πολλά. ὧν τις ἔχει χρείαν, τούτοις χρὴ δοκεῖν εὐεργετεῖν, ἢ μηδαμῶς γε βλάπτειν. ἐπεὶ οὐ χρήσεται τῇ ἐξ αὐτῶν ὠφελείᾳ. Ἡρακλείδης ὁ θυατειρηνὸς ὁ τραγῳδὸς, μέλλων ἀγωνίζεσθαι ἐν ῥώμῃ τὸν τῶν τραγῳδῶν ἀγῶνα, ἔδοξε τοὺς θεατὰς ἀποσφάττειν. καὶ τοὺς κριτὰς καὶ τοὺς φίλους· ἐλείφθη. οὐ γὰρ εἴωθέ τις τοὺς φίλους ἀποκτείνειν, ἀλλὰ τοὺς ἐχθρούς. τρόπον οὖν τινὰ ἔλεγεν αὐτῷ τὸ ἐνύπνιον, ἐχθροὺς ἔσεσθαι τοὺς θεατάς. καὶ τοὺς κριτάς. ἄλλως τε καὶ οὐκ ἔμελλον αὐτῷ ἀποσφαγέντες οἴσειν ψήφους. Ἀλέξανδρος ὁ φιλόσοφος ἔδοξε τὴν ἐπὶ θανάτῳ κατακεκρίσθαι καὶ παραιτησάμενος, μόλις ἀπολελύσθαι ἀπ' αὐτοῦ τοῦ σταυροῦ. ἔμελε δὲ αὐτῷ ὄντι ἀνδρὶ ἀσκητῇ, οὔτε γάμου, οὔτε κοινωνίας, οὔτε πλούτου, οὔτε τῶν ὅσα ὑπὸ σταυροῦ σημαίνεται, τῇ ὑστεραίᾳ διενεχθεὶς πρός τινα Κυνικὸν, ἐπλήγη

Quæcunque quis dicit alteri non ex arte suipsius, in seipsum eueniunt. Quæcunque verò ex arte, in illum respiciunt, nequaquam verò in ipsum dicentem. Cæterùm velut in mechanicis artibus, quæcunque quis didicit si fecerit, bonum est. Sic etiam in reliquis. Quæcunque enim medici legalia, aut legisperiti medica, aut medici vatidica dicunt, hæc in ipsos dicentes eueniunt. Quęcunque verò legisperiti, legalia, aut Medici medica, aut vates vatidica dicunt, hæc ab ipsis velut egregium in artibus suis documentum præbentibus accipere oportet. Visus est sibi quidam medicus cuidam dicere, Romanus cùm sis, Græcam vxorem ne ducas: ipse ducta vxore, multa mala ab ipsa passus est. Ex quibus quis commoditatem percipit, his benefacere sibi videri, aut nequaquam sanè lædere ipsos, conueniens est: quoniam aliâs non fruetur vtilitate ex ipsis resultante. Heraclides Thyaterenus tragœdus, Romæ certaturus tragœdorum certamen, visus est sibi spectatores trucidare, & iudices, & amicos: superatus est certando. Neque enim solet quis amicos occidere, sed inimicos. Quodam igitur modo dicebat ipsi somnium, spectatores fore inimicos, itémque iudices: & sanè aliâs etiam ipsi suffragari non poterant trucidati. Alexander Philosophus visus est sibi morti adiudicatus, & excusationibus prætentis, vix à cruce solutus esse. Cùm autem esset vir philosophiæ studiis deditus, non nuptiarum, non sodalitatis, non diuitiarum, non aliarum rerum quæ per crucem significantur, curiosus erat. Sequenti die in contentionem cum Cynico quodam peruenit, &

ligno caput percussus est, atque hoc erat quod anima ipsi præsagiuerat, parum abfore vt ligno percussus moreretur: & citò sanè mortuus esset, nisi liberatus fuisset. Hoc somnium docebit te, quid quærere oporteat, etiam de his quæ possibile est euenire. Vxor fullonis nigras vestes habere sibi visa, & in his contempta induere albas, filium perdidit, & post triduum ipsum reperit. Sic etiam sunt alba nigris meliora. Quidam in Pergamo fragmenta panis, & integros panes excacare sibi visus, decollatus est. quemadmodum enim caput ipsi non esset quod commanducare posset, anima ipsi præsagiebat.

De Foco. CAP. 36.

FOcum apud exteros ædificare, ei qui non proposuit vxorem ducere, aut istic habitare, mortem præsagit. Bithynus adolescens Romæ focum extruere sibi visus, mortuus est.

De compositis somniis.

CAP. 37.

COmpositorum somniorum capita diuides, & vnumquodque seorsim iudicabis. Velut, si visus esset sibi quis nauigare, deinde è naui egressus super mare deambulare, hoc modo iudicabis: nauigationis quidem in secundo libro, deambulationis verò super mare in tertio libro iudicationes accipies.

De immobilibus vestibus.

CAP. 38.

NIhil immobilium circum corpus situm commodum est. Quidam in Magnesia sibi visus æreis vestibus amictus esse, rectè mortuus est. Erant enim vestes ipsum complectentes immobiles, quales statuis circundari solent, hæ autem non viuunt.

τὴν κεφαλὴν ξύλῳ· καὶ τοῦτο ἦν ὅπερ προηγόρευσεν αὐτῷ ἡ ψυχὴ, μέλλειν ξύλῳ μικροῦ δεῖν ἀποθανεῖσθαι· καὶ ταχὺ ἂν ἀπέθνησκεν, εἰ μὴ ἀπελύετο. τοῦτό σε ὁ ὄνειρος διδάξει, τί ζητεῖν, καὶ περὶ τῶν ἐνδεχομένων ἀποβαίνειν. Ἡ τοῦ κναφέως γυνὴ δόξασα μέλανα ἱμάτια ἔχειν, καὶ καταγνωσθεῖσα μεταλαβεῖν λευκὰ, τὸν υἱὸν ἀπώλεσε, καὶ μετὰ τρεῖς ἡμέρας εὗρεν αὐτόν. οὕτω καὶ τὰ λευκὰ τῶν μελάνων ἀμείνω. Ὁ ἐν Περγάμῳ δόξας κλάσματα ἄρτων καὶ ἄρτους ὑγιεῖς χέζειν, ἐτραχηλοκοπήθη· ὥσπερ γὰρ οὐκ ἦν αὐτῷ κεφαλὴ, ἡ δυναμένη μασήσασθαι ἄρτους.

Περὶ ἑστίας. λϛ.

ΕΣτίαν ἐπὶ ξένης οἰκοδομεῖν, μὴ προῃρημένῳ γῆμαι, ἢ κατοικῆσαι ἐκεῖ, θάνατον μαντεύεται. ὁ Βιθυνὸς νεανίσκος δόξας ἐν Ῥώμῃ ἑστίαν οἰκοδομεῖν, ἀπέθανεν.

Περὶ συνθέτων ὀνείρων. λζ.

ΤΩΝ δὲ συνθέτων ὀνείρων διελὼν τὰ κεφάλαια, κατὰ μόνας ἕκαστον κρῖναι. οἷον εἴ τις δόξειε πλέειν, εἶτα τοῦ πλοίου ἐξελθὼν ἐπὶ τῆς θαλάσσης περιπατεῖν, οὕτω κρῖναι ἔχεις, τὸ μὲν πλέειν ἐν τῷ δευτέρῳ βιβλίῳ· τὸ δὲ ἐπὶ θαλάσσης περιπατεῖν, ἐν τῷ τρίτῳ λάμβανε τὰς κρίσεις.

Περὶ ἀκινήτων αἰσθητικῶν. λή.

ΟΥ᾿δὲν τῶν ἀκινήτων περὶ τὸ σῶμα κείμενον ὠφελεῖ. ὁ ἐν Μαγνησίᾳ δόξας χαλκᾶ ἱμάτια περικεῖσθαι, ὀρθῶς ἀπέθανεν· ἦν γὰρ αὐτὸν τὰ περιέχοντα ἀκίνητα, οἷα τοῖς ἀγάλμασι περιτίθεται, ταῦτα δὲ οὐ ζῇ.

Περὶ κωμῳδοῦ καὶ τραγῳδοῦ. λθ'.

ΑΝδρόγυνον κωμῳδεῖν ἔδοξέ τις δρᾶμα, ἐνόσησεν αὐτῷ τὸ αἰδοῖον, γάλλοις ὁρᾶν ἔδοξέ τις. ἐνόσησεν αὐτῷ τὸ αἰδοῖον. τὸ μὲν πρῶτον διὰ τὸ ὄνομα. τὸ δὲ δεύτερον, διὰ τὸ συμβεβηκὸς τοῖς ὁρωμένοις. καὶ τοι καὶ τὸ κωμῳδεῖν οἶδα ὃ σημαίνει, καὶ τὸ γάλλος ὅ. μέμνησο δὲ ὅτι εἴτε κωμῳδεῖν, εἴτε τραγῳδεῖν ὑπολάβοι τις, καὶ μνημονεύῃ, κατὰ τὴν ὑπόθεσιν τοῦ δράματος, κρίνεται καὶ τὰ ἀποτελέσματα.

De Comœdo, & Tragœdo. CAP. 39.

VIsus est sibi quis fabulam docere semiuiri, Androgynon Græci appellant, & ægrotauit ipsi pudendum: & primum quidem propter nomen, secundum verò propter id quod accidit conspectis. Et sanè Androgynus quid significet nosti, itémque quid Gallus. Memineris autem quòd siue comœdiam, siue tragœdiam quis agere se putet, eiúsque recordatur, iuxta argumentum dramatis euentus iudicantur.

Περὶ χρωμάτων. μ'.

ΤΑ τῷ χρώματι ὅμοια, εἰς αὐτὸ ἀποβαίνει. αἰθίοπά τις λαβὼν δῶρον κατ' ὄναρ, μεθ' ἡμέραν ἀνθράκων πλῆρες ἐδέξατο ἀγγεῖον.

De Coloribus. CAP. 40.

QVæ colore similia sunt, in idem eueniunt. Æthiopem quis per somnium muneri accipiens, postridie vas carbonibus plenum accepit.

Περὶ μυστηρίων. μα'.

ΑΙ τελεσιουργίαι τῶν μυστηρίων, ὅμοια τὰ ἀποτελέσματα ποιοῦσι, καὶ ἐν χρόνῳ τοσούτῳ ὁρώμεναι, ἐν ὅσῳ τελοῦνται. ἦν τελετὴ τοῦ Διονύσου καὶ μυστήρια. ἔδοξε γυνὴ χορεύειν τῷ Διονύσῳ μεθυσθεῖσα, τὸ ἑαυτῆς τέκνον ἀπέκτεινεν ὂν τριετές. καὶ γὰρ ὁ περὶ Ἀγαύην καὶ Πενθέα λόγος τοιοῦτος· καὶ τῷ θεῷ τριετηρίδες ἄγονται ἑορταί.

De Mysteriis. CAP. 41.

QVicquid mysteria in se continent, similes euentus faciunt, & in tanto tempore conspecta, in quanto absoluuntur. Erat festiuitas & mysteria Dionysij siue Bacchi, visa est sibi fœmina, inebriata Baccho tripudiare, & proprium filium trium annorum occidit. Nam fabula quæ de Agaue & Pentheo fertur, eiusmodi est: & Deo ipsi Trieterica sacra celebrantur tertio quoque anno.

Περὶ τοῦ ἐργάζεσθαι. μβ'.

ὍΤι δὲ τὸ ἐργάζεσθαι τῷ ζῆν τὸν αὐτὸν ἔχει λόγον, παρακείσθω σοι ὁ ὄνειρος οὗτος. γυνὴ ἔδοξεν ἱστὸν ὑφαγκέναι· τῇ ὑστεραίᾳ ἀπέθανεν. οὐκέτι γὰρ εἶχεν ἔργον, τουτέστιν οὐκέτι εἶχε τὸ ζῆν.

De Operando. CAP. 42.

QVòd autem operari eandem quam viuere rationem habet, hoc somnium edocere potest. Visa est sibi mulier quædam telam texuisse, postridie mortua est. Non enim amplius quod operaretur habebat, hoc est non amplius habebat viuere.

Faciem cælare, & inungere.

CAP. 43.

NEque occultare, neque oblinere aliquo faciem, bonum est. Non enim insontem & à peccatis alienum esse aiunt eum qui somnium vidit. Paphius adolescēs visus est sibi faciem oblini, velut mulieres. In adulterio deprehensus est, & dānatus turpiter se gessit. Quæcunque in aliud commoda sunt, in aliud impensa incommoda fiunt, & non sunt somnianti vtilia. Creticus mercator visus est sibi vino lauari, & dixit quispiam ipsi ex his qui artis interpretandi somnia magnam famam obtinebat, quæstum facies ex vino, & æs alienum quo obstrictus es ablues. Verùm res minimè sic habebat: sed vinum ipsi corruptum est. Nam ipsum vinum lauacrum de cætero absurdum, & inutile erat.

Quod non omnia somnia iudicationem habeant.

CAP. 44.

SVnt quædam quæ in somniis ipsis ornatus gratia videntur, quæ relinquere oportet. Quemadmodum enim si quis in domum ingreditur, omnino & porticum & postim & superiorem ianuæ partem videt, sed non propter hæc ingreditur: sic non ex his iudicationem facere oportet, sed ab ipsa domo. Visus est sibi quidam videre vxorem suam in lupanari purpureis vestibus amictam sedere: fecimus iudicationem non à vestibus, neque à desessu, neque ab alio quopiam, sed à solo lupanari. Erat qui somnium vidit publicanus, & exercebat quæstum sordidum ac turpem. Artem enim aut negotiationē, aut opus somniantis, vxorem esse putamus. Quemadmodum igitur natura non necessitatis solius gratia omnia facit, sed etiam ornatus, velut pampinos in vitibus: sic etiam ipsa anima multa ornatus gratia contemplatur, & sæpe à parte totū demonstrat. Velut, existimauit quidam se

Περὶ τοῦ ἀποκρύπτεσθαι καὶ χρίεσθαι τὸ πρόσωπον. μγ΄.

ΟΥ῎τε τὸ ἀποκρύπτεσθαι, οὔτε τὸ περιχρίεσθαί τινι τὸ πρόσωπον, ἀγαθόν. οὐκ ἀναμάρτητον γάρ φασιν εἶναι τὸν ἰδόντα. Ὁ Πάφιος νεανίσκος, ἔδοξε καταχρίεσθαι τὸ πρόσωπον, ὥσπερ αἱ γυναῖκες. μοιχεύων ἑάλω, καὶ ἠσχημόνησεν. ὅσα εἰς ἄλλο ἐστὶν εὔχρηστα, εἰς ἄλλο δαπανηθέντα ἄχρηστα γίνεται, καὶ οὐκ ἔστι τῷ ἰδόντι χρήσιμα. ὁ κρητικὸς ἔμπορος, ἔδοξεν οἴνῳ νίπτεσθαι, καὶ εἶπέ τις αὐτῷ τῶν περὶ ταῦτα δεινῶν, ἐργάσῃ ἐκ τοῦ οἴνου καὶ τὰ δάνεια σαυτοῦ ἀποπλυνεῖς. τὸ δὲ, ἄρα ἦν οὐ τοιοῦτον· ἀλλ᾽ ὁ οἶνος αὐτῷ διέφθαρτο. τὸ γὰρ ἀπόνιμμα, ἄτοπον καὶ ἄχρηστον εἰς τὸ λοιπόν.

Περὶ τοῦ μὴ πάντα τὰ ἐνύπνια κρίσιν ἔχειν. μδ΄.

Ε῎Στι τινὰ τῶν ἐν τοῖς ὀνείροις κόσμου ἕνεκα θεωρούμενα, ἃ χρὴ καταλείπειν. ὥσπερ γὰρ εἴ τις εἰς οἶκον εἰσίοι πάντως καὶ τὴν παραστάδα καὶ τὴν φλιὰν καὶ τὸ ὑπέρθυρον βλέπει, ἀλλ᾽ οὐ διὰ ταῦτα εἴσεισιν, οὕτως οὐκ ἀπὸ τούτων τὴν κρίσιν ποιητέον, ἀλλ᾽ ἀπ᾽ αὐτοῦ τοῦ οἴκου. Ἔδοξέ τις τὴν ἑαυτοῦ γυναῖκα ἐπὶ πορνείῳ καθημένην ἐν ἱματίοις πορφυροῖς ὁρᾶν. ἐποιησάμεθα τὴν κρίσιν, οὐκ ἀπὸ τῶν ἱματίων, οὐδὲ ἀπὸ τῆς καθέδρας, οὐδὲ ἀπὸ ἄλλου τινός, ἢ ἀπὸ τοῦ πορνείου μόνου. τελώνης ὁ ἰδὼν ἐγένετο. ἦν γὰρ αὐτῷ ἡ ἐργασία ἄχρεωμος. τέχνην γὰρ ἢ πραγματείαν, ἢ ἔργον τοῦ ἰδόντος τὴν γυναῖκα νομίζομεν εἶναι. ὥσπερ οὖν ἡ φύσις οὐ τοῦ ἀναγκαίου χάριν πάντα μόνου ποιεῖ, ἀλλὰ καὶ τοῦ κόσμου, ὡς τὰς ἕλικας ἐν ταῖς ἀμπέλοις· οὕτω καὶ ἡ ψυχή, πολλὰ ἕνεκεν κόσμου συνθεωρεῖ, καὶ πολλάκις ἀπὸ μέρους τὰ ἄλλα δείκνυσιν. οἷον ἔδοξέ τις

τῆς ἀδελφῆς τὰ ἱμάτια ἔχειν, καὶ περικεῖσθαι, ἐκληρονόμησε τὴν ἀδελφήν. ὅτι δὲ τὸ φῶς τοῦ σκότους λυσιτελέστερον τοῖς μὴ λανθάνειν βουλομένοις, ἐντεῦθεν ἂν μάθοις. Μένιππος ὁ Μάγνης, οὐ πρὸ πολλοῦ τοῦ ἐν Ῥώμῃ ἀγῶνος, ἔδοξε παγκρατιάζοντος αὐτοῦ, νύκτα γίνεσθαι, οὐ μόνον ἡττήθη τὸν ἐν Ῥώμῃ ἀγῶνα, ἀλλὰ καὶ πληγεὶς τὴν χεῖρα, κατέλυσεν.

Περὶ τῶν καθ' ἱστορίαν ὀνείρων. μέ.

ΟΤΙ οὐκ ἐκφεύγουσι παντελῶς οἱ ὄνειροι τὸν λόγον τῶν ἱστοριῶν, μάθοις ἂν ἐντεῦθεν. γυνὴ ἔδοξε τοὺς τοῦ Ἡρακλέους ἄθλους τετελεκέναι, οὐκ εἰς μακρὰν ἐμπυρισμῷ περιληφθεῖσα ἀπέθανε. φασὶ γὰρ τὸν Ἡρακλέα, πυρὶ διαφθαρῆναι τὸ σῶμα. ὅτε μέντοι δεῖ προσέχειν ἱστορίαις καὶ ὅτε μή, ἐπὰν κατὰ τόδε τοῦ λόγου γένωμαι, διδάξω σε, ἔτι καὶ τοῦτο.

Περὶ τοῦ μή τινος καταφρονεῖν. μϛ'.

ΚΑταφρονεῖν, οὔτε ἰδιώτου ἑνὸς ἢ πολλῶν, οὔτε δήμου συμφέρει, ὥσπερ οὐδὲ τὰ τοῦ καταφρονοῦντος ἔργα ποιεῖν ἢ πάσχειν, εἰ μὴ μόνον τοῖς ἄρχειν δυναμένοις. Ἔδοξέ τις ἀνασυραμένην τὴν γυναῖκα, ἐπιδεικνύειν αὐτῷ τὸ αἰδοῖον. πολλῶν κακῶν αἰτία ἐγένετο αὐτῷ ἡ γυνή· ὥσπερ γὰρ ὡς καταφρονητῷ ἀνεστείλατο δεικνύουσα τὸ αἰδοῖον. Ἔδοξέ τις ἐν συμβιώσει καὶ φρατρίᾳ τοῖς συμβιώταις ἀνασυράμενον ἑκάστῳ προσουρεῖν. ἀπηλάθη τῆς φρατρίας ὡς ἄτιμος· εἰκὸς γὰρ τοὺς οὕτω παροινοῦντας, μισεῖσθαι καὶ ἀπελαύνεσθαι. Ἔδοξέ τις ἐν θεάτρῳ μεστῷ τοῦ ὄχλου κατουρεῖν. παρενόμησεν εἰκότως. τῶν γὰρ ἀρχόντων νόμων ὥσπερ ἐκεῖ τῶν θεατῶν κατεφρόνησε. τοῖς γε μὴν ἄρχοντας, οὐδὲν κωλύει δοκεῖν τῶν ὑποτεταγμένων καταφρονεῖν.

sororis vestes habere & indutus esse: hæres sororis factus est. Quòd autem lux commodior est tenebris, si quis non velit latere, vel inde condiscere potes. Menippus Magnesius non diu ante Romanum certamen, visus est sibi dum pancratium decertaret, noctem factam esse, & non solùm superatus est in certamine in vrbe Romana, sed etiam manum sauciatus artem deseruit.

De Somniis secundum historiam.

CAP. 45.

QVòd non penitus effugiant somnia historiarum rationem, inde sanè condidiceris. Mulier quædam visa est sibi Herculis labores perfecisse, non ita longè postea incendio correpta, finiuit vitam. Aiunt enim Herculem corpore igni consumptum esse. Quando tamen historiis animum aduertere oportet, & quando non, vbi ad eum ipsum locum peruenero, etiam hoc te docebo.

De eo quod nemo est contemnendus. CAP. 46.

COntemnere neque vnum aliquem priuatum, neque multos, neque populum conducit, quemadmodum neque contemnentis opera facere aut pati, nisi his solùm qui principes agere possunt. Existimauit quidam vxorem suam reductis vestibus ostendere ipsi pudendum. Multorúmque malorum causa ipsi vxor fuit. Etenim velut contemptibili denudatum obiecit. Visus est sibi quis in conuictu & sodalitio, sublatis vestibus singulos vrina aspergere: expulsus est è sodalitio velut ignominiosus. Par est enim eos qui per violentiam se tam petulanter & probrosè gerunt, odio haberi & expelli. Visus est sibi quis in theatro populo referto lotium egerere, is in leges deliquit: meritò, principes enim & præfectos legum, velut istic spectatores, contempsit. Cæterùm principes & magistratus sibi videri inferiores contemnere, nihil absoni est.

De Medicis. CAP. 47.

AT verò de medicis, quòd omnibus benefactoribus & opem ferentibus eādem rationem habent, in secundo libro diximus. Nunc verò documento quodam confirmabo eum sermonem à somnij euentu. Quidam litem habens, visus est sibi ægrotare, & medicos non habere, contigit vt aduocatis destitueretur. Morbus enim litem indicabat, iudicari enim vtrosque dicimus, & litigantes & ægrotantes. Medici autem aduocatos significabant.

De Propriis locis. CAP. 48.

INsuper & huius memineris, quòd quæ non in proprio loco videntur, contrarium ei quod aliâs significatur præsagiũt. Velut, visus est sibi quidam virum aliquẽ familiarem & amicum, cum cuius filia stupri consuetudinem habebat, equum ipsi mittere, equisonem autem per duos gradus adductum equum, in cubiculum vbi ipse decumbebat inducere, & non longè post prohibitus est ab accessu ad amicam. Equus enim mulierem significabat, locus autem, quòd non permansura esset. Neq; enim possibile erat equum vltra duos gradus sub tertiæ contignationis cœnaculum perductum, istic permanere.

De monstrosis, & historiis. CAP. 49.

QVæcunque monstrosa sunt, & nequaquam possibilia vt existant, velut Hippocentaurus & Scylla, vanas fore expectationes significant, velut in secundo libro est prædictum. Aliquando autem spes quidem ipsas non perficiunt: propositas verò res sibiipsis similes faciunt. Visus est sibi quidam vir cupiens sibi liberos gigni, vxorem habens prægnantem, hippocentaurum sibi natum esse: gemini ipsi nati sunt infantes, duo enim sunt corpora hippocentauri,

Περὶ ἰατρῶν. μζ'.

ΠΕρὶ δὲ ἰατρῶν, ὅτι πᾶσι τοῖς εὐεργέταις καὶ τοῖς ἀμύνουσι, τὸν αὐτὸν ἔχουσι λόγον, εἴπομεν ἐν τῷ δευτέρῳ βιβλίῳ. καὶ νῦν δὲ πιστώσομαί σοι τὸ δόγμα, καὶ ἀπ' ἐκβάσεως ὀνείρου. Δίκην τις ἔχων, ἔδοξε νοσεῖν, καὶ ἰατροὺς οὐκ ἔχειν, συνέβη αὐτῷ καταλειφθῆναι ὑπὸ τῶν συνηγόρων. ἡ μὲν γὰρ νόσος, τὴν δίκην ἐδήλου. κρίνεσθαι γὰρ ἀμφοτέρους φαμὲν καὶ τοὺς δικαζομένους καὶ τοὺς νοσοῦντας. οἱ δὲ ἰατροὶ τοὺς συνηγόρους ἐδήλουν.

Περὶ οἰκείων τόπων. μη'.

ΈΤΙ καὶ τοῦτο μέμνησο, ὅτι τὰ μὴ ἐν τόποις οἰκείοις βλεπόμενα, τὸ ἐναντίον τῷ σημαινομένῳ προαγορεύουσιν. οἷον ἔδοξέ τις ἄνδρα συνήθη καὶ φίλον, οὗ τὴν θυγατέρα ἐμοίχευεν, ἀποστεῖλαι αὐτῷ ἵππον, τὸν δὲ ἱπποκόμον, δύο κλίμακας ἀναγαγόντα τὸν ἵππον, εἰς τὸν κοιτωνίσκον εἰσαγαγεῖν ἔνθα ἦν αὐτὸς κατακείμενος, καὶ μετ' οὐ πολὺ ἀπείρχθη τῆς πρὸς τὴν ἐρωμένην ὁδοῦ. ὁ μὲν γὰρ ἵππος τὴν γυναῖκα ἐσήμαινεν· ὁ δὲ τόπος, τὸ μὴ παραμεῖναι. ὅτι μὴ δυνατὸν ἦν ἐπὶ τριστέγης γίνεσθαι ἵππον.

Περὶ τεραστίων καὶ ἱστοριῶν. μθ'.

ΟΣΑ τεράστιά ἐστι καὶ μηδαμῶς ἐνδεχόμενα γίνεσθαι, ὡς ἱπποκένταυρος καὶ σκύλλα, ψευδεῖς τὰς προσδοκίας ἔσεσθαι σημαίνῃ, ὡς ἐν τῷ δευτέρῳ βιβλίῳ προείρηται. ἐνίοτε δὲ τὰς μὲν ἐλπίδας οὐ τελειοῖ, τὰς δὲ ὑποθέσεις τῶν πραγμάτων, ταῖς περιοχαῖς ὁμοίως ποιεῖ. ἔδοξέ τις ἀνὴρ ἐπιθυμῶν παῖδας αὐτῷ γίνεσθαι, τὴν γυναῖκα κύουσαν ἔχων, ἱπποκένταυρον αὐτῷ γεγεννῆσθαι· δίδυμα αὐτῷ ἐγεννήθη βρέφη, δύο γὰρ σώματα τοῦ ἱπποκενταύρου,

ἀλλ' οὐδέτερον τῶν τέκνων ἐτράφη· οὐδαμῶς γὰρ ἐνδέχεται ἱπποκένταυρον γενέσθαι, εἰ δὲ καὶ γένοιτο, τοῦτον ἀδύνατον γε τραφῆναι. ὅσα τῶν ἱστορικῶν διπλοῦν ἔχει λόγον, τῶν μὲν, ὡς οὕτως ἔχουσι λεγόντων, τῶν δὲ, ὡς ἄλλως, τούτων ὁποτέρῳ αὖ ἀκολουθήσαις ὡς ὁμοίως ἀποβησομένῳ ὀρθῶς ποιήσεις, καὶ μὴ ἐπιτύχῃς. ἄμεινον δὲ ἀμφοτέρας τὰς δόξας εἰδέναι καὶ λέγειν. οἷον ὁ παρὰ τοῦ αἰγυπτίου λεχθεὶς ὄνειρος. ἔδοξέ τις φοίνικα τὸ ὄρνεον ζωγραφεῖν. εἶπεν οὖν ὁ αἰγύπτιος ὅτι ὁ ἰδὼν τὸν ὄνειρον εἰς τοσοῦτον ἥκει πενίας, ὥστε τὸν πατέρα ἀποθανόντα δι' ἀπορίαν πολλὴν, αὐτὸς ὑποδὺς ἐβάστασε καὶ ἐξεκόμισε. καὶ γὰρ ὁ φοίνιξ τὸ ὄρνεον, τὸν ἑαυτοῦ πατέρα καταθάπτει, καὶ οὐκ ἐᾷ ῥιπτόμενον. εἰ μὲν οὖν οὕτως ἀπέβη ὁ ὄνειρος, οὐκ οἶδα. ἀλλ' οὖν γε ἐκεῖνος οὕτω διηγεῖτο, καὶ κατὰ τοῦτο τῆς ἱστορίας εἰκὸς ἦν ἀποβεβηκέναι· λέγουσι δὲ ἔνιοι ὅτι ὁ φοῖνιξ, οὐ τὸν πατέρα καταθάπτει, οὐδὲ ὅλως ἐστὶ περιὼν αὐτῷ πατὴρ, οὐδὲ ἄλλος τὶς τῶν προγόνων. ἀλλ' ὅταν αὐτὸν τὸ μοιρίδιον ἄγῃ, ἄγεται εἰς αἴγυπτον, ὅθεν οὐκ ἴσασιν ἄνθρωποι, καὶ αὐτὸς ἑαυτοῦ ποιησάμενος ἐκ κασίας τε καὶ σμύρνης πυρὰν, ἀποθνήσκει. καυθείσης δὲ τῆς πυρᾶς μετὰ χρόνον, ἐκ τῆς σποδοῦ σκώληκα γενέσθαι λέγουσιν. ὅν τινα μεταβάλλειν αὐξανόμενον, καὶ γίνεσθαι πάλιν φοίνικα, καὶ ἀφίπτασθαι αἰγύπτου ἐκεῖσε, ὅθεν ἧκεν ὁ πρὸ αὐτοῦ φοῖνιξ. ὥστε εἰ καὶ τῶν γονέων εἴποι τὶς ἔρημον γενέσθαι τὸν ἰδόντα τὸν ὄνειρον, κατὰ τοῦτο τῆς ἱστορίας οὐκ ἀποτεύξεται. μέμνησο δὲ ὅτι τῶν ἱστοριῶν μόναις σοι προσεκτέον ταῖς πάνυ πεπιστευμέναις ἐκ πολλῶν καὶ μεγάλων τεκμηρίων, ὅτι εἰσὶν ἀληθεῖς. ὡς τῷ πολέμῳ τῷ περσικῷ, καὶ ἔτι ἄνωθεν τῷ τρωϊκῷ καὶ τοῖς ὁμοίοις. τούτων γὰρ καὶ ἐναυλίσματα δείκνυται, καὶ τόποι παρατάξεως, καὶ στρατοπέδων καθιδρύσεις. καὶ πόλεων καὶ βωμῶν κτίσεις, καὶ ὅσα ἄλλα τούτοις ἀκολουθεῖ. ὅταν οὖν τοιοῦτον ἴδῃ τὶς, πάντως ὅμοιόν τι αὐτῷ ἀποβήσεται. ἔτι τῶν ἱστοριῶν χρὴ προσέχειν καὶ ταῖς πολυθρυλλήτοις, καὶ πρὸς τῶν πλείστων πεπιστευμέναις, οἷα τὰ περὶ Προμηθέα, καὶ τὴν Νιόβην, καὶ τῶν τραγῳδουμένων ἕκαστον.

sed neuter puerorum educatus est: nequaquam enim possibile est hippocentaurum esse, aut nasci, si verò etiam nascatur, impossibile est educari. Quæcunque historiæ duplicem habent rationem, aliis quidem sic habere dicentibus aliis verò aliter, harum vtram tandem insequeris vt similiter eventuram, rectè feceris, etiamsi successus non respondeat. Præstat autem vtrasque opiniones & scire, & narrare, velut est somnium ab Ægyptio relatum. Visus est sibi quis phœnicem auem pingere. Interpretatus est Ægyptius, quòd is qui somnium vidit ad paupertatem tantam peruenturus esset, vt patrem mortuum, ob multam inopiam, ipse humeris impositum elaturus esset. Etenim Phœnix auis patrem suum sepelit, & abiectum esse non sinit. An quidem igitur sic euenit somnium haud scio: certè ille sic exposuit, & sanè iuxta hanc historiæ partem verisimile erat sic euenturum esse: verùm dicũt aliqui, quòd phœnix non sepelit patrem, neque omnino ipsi superstes est pater, neque alius quispiam progenitorum. Sed quum ipsum fatum ducit proficiscitur in Ægyptum, vnde non sanè ex hominibus notum, & ipse sibiipsi ex casia & myrrha construens rogum vita decedit. At verò vbi exusta est pyra, pòst tempus ex cinere vermiculum generari aiunt, qui incremẽtum adeptus transmutatur, & rursus phœnix euadit, & auolat ab Aegypto, eò vnde prior phœnix venerat. Quare si quis eum qui somnium vidit parentibus desertum fore dixerit, iuxta hanc historiæ partem successu non carebit. Memineris autem quod soli his historiis animum aduertere conuenit, quarum ex multis & magnis coniecturis fides firmata & recepta est, quòd veræ existant, velut bello persico, & quòd hoc præcessit Troiano, & similibus. Horum enim tentoria ostenduntur, & præliorum loci, & exercitus sedes, & vrbium ac ararum ædificationes, & quæcunque alia ad hæc sequi solent. Cùm igitur tale quoddam quis viderit, omnino simile quid ipsi euenturum est. Insuper & diuulgatis historiis mentem adhibere conuenit, & his quæ à plurimis creduntur, velut sunt quæ de Prometheo, & Niobe feruntur, & singulæ quæ in tragœdiis conscribuntur.

Hę enim etiamsi non ita habeant, tamen propterea quòd à plurimis creduntur, cõsimiles narrationi suæ euentus habent. Quæcunque verò exilis fidei, nugarúmque ac deliramentorum plenæ sunt, velut quæ de Gigantum pugna, & de Spartis tum in Thebis, tum in Colchis feruntur, ac similes: aut penitus non euenient, aut iuxta superiorem sermonem, omnem expectationem irritam faciunt & obliterant, & vanas ac inanes spes prædicunt. Nisi sanè ex physicis aliqua, physicam & naturalem suscipiant expositionem. Velut, visus est sibi quis Endymion factus esse, & à luna amari: contigit ipsi multa celebritas, & nominis gloria, & quæstus præterea insignis & luculentis, ex studio vaticinationis ex astris. Nam & Endymionem fabula refert quæ sanè vulgò circumfertur, à luna amatum esse, & cum ipsa coiuisse. Verùm qui talia studiosius rimantur tradunt, Endymionem astrologiæ cognitione maximè omnes homines præcelluisse, & noctu excubantem, putatum esse cum luna coire, ac consuetudinem habere.

ταῦτα γὰρ εἰ καὶ μὴ οὕτως ἔχοι, ἀλλ' οὖν γε διὰ τὸ προειλῆφθαι πρὸς τῶν πλείστων, ὁμοίως ταῖς προλογίαις ἀποβαίνει. ὅσα δὲ παντελῶς ἐξίτηλα καὶ φλυαρίας καὶ λήρου μεστά, ὡς τὰ περὶ τὴν γιγαντομαχίαν καὶ τοὺς σπαρτοὺς τούς τε ἐν Θήβαις καὶ τοὺς ἐν Κόλχοις καὶ τὰ ὅμοια, ἤτοι τέλεον οὐκ ἀποβήσεται, ἢ κατὰ τὸν ἔμπροσθεν λόγον, πᾶσαν ἀθετεῖ καὶ περιγράφει προσδοκίαν, καὶ ματαίας ὑπαγορεύει καὶ κενὰς τὰς ἐλπίδας. εἰ μή τι ἄρα τῶν φυσικῶν τούτων, φυσικὴν ἐπιδέχοιτο τὴν ἐξήγησιν. Οἷον ἔδοξέ τις Ἐνδυμίων γεγονέναι καὶ ὑπὸ τῆς σελήνης ἐρασθῆναι· συνέβη αὐτῷ πολλή τις εὔκλεια, καὶ πορισμὸς οὐκ ὀλίγος, ἐκπονήσαντι μαντικὴν τὴν δι' ἄστρων. καὶ γὰρ τὸν Ἐνδυμίωνα λόγος ἔχει, πρὸς μὲν τῶν πολλῶν, ὑπὸ τῆς σελήνης φιληθέντα συνεῖναι αὐτῇ. πρὸς δὲ τῶν τὰ τοιαῦτα ἐξηγουμένων, ἀστρολογίᾳ μάλιστα πάντων ἀνθρώπων προσέχοντα, καὶ νύκτωρ διαγρυπνοῦντα, δόξαι τῇ σελήνῃ συνεῖναι καὶ συνομιλεῖν.

De Similibus, & Cognatis.

CAP. 50.

QVicquid viderit quis simile aut cognatum aut familiare, hoc si cum familiari simul & cognato videatur, minus malum fuerit. Velut, visus est sibi quidam dolium vini plenum habens, vitem ex dolio enatam esse. Est autem & apud Phœbum Antiochenum tale somniũ. Visus est sibi quis dolium vino plenum habens, è dolio oleam excreuisse, & ait Phœbus, quòd omnes qui de vino biberunt mortui sunt, Vipera nimirum vino immortua. At verò ei qui sibi visus est, é dolio similiter vitem productam esse, erat quidem similiter vipera mortua in dolio, & vinum similiter corruptum erat, non tamen aliqui id biberunt, neque mortui sunt, placuit enim ipsis excolare vinum prius, vt antea quàm rursus biberent, quod accidisset discerent. Repertis autem feræ ossibus, effuderunt vinum, Verisimile autem erat illos non morituros esse. Non enim si quid vitis est, hoc

Περὶ ὁμοίων καὶ συγγενῶν. ν'.

ΟΤΙ δ' ἄν τις ἴδοι ὅμοιον ἢ συγγενὲς ἢ οἰκεῖον, τοῦτο ἅμα τῷ οἰκείῳ καὶ συγγενεῖ βλεπόμενον, ἧττον ἂν εἴη πονηρόν. οἷον ἔδοξέ τις πίθον ἔχων οἴνου μεστόν, ἄμπελον ἐκ τοῦ πίθου πεφυκέναι. ἔστι δὲ καὶ παρὰ Φοίβῳ τῷ Ἀντιοχεῖ ὄνειρος τοιοῦτος. ἔδοξέ τις πίθον ἔχων οἴνου πλέων, ἐκ τοῦ πίθου ἐλαίαν πεφυκέναι· καί φησιν ὁ Φοῖβος, ὅτι πάντες οἱ πιόντες τοῦ οἴνου, ἀπέθανον. ἐχίδνης ἐναποθανούσης τῷ οἴνῳ. τῷ δὲ δόξαντι ἐκ τοῦ πίθου ὁμοίως ἄμπελον πεφυκέναι, ἦν μὲν καὶ τούτῳ ἐν τῷ πίθῳ ἔχιδνα νεκρά, καὶ ὁ οἶνος ὁμοίως διέφθαρτο· οὐ μὴν ἔπιόν γε τινές, οὐδὲ ἀπέθανον. ἔδοξαν γὰρ διυλίζειν πρότερον τὸν οἶνον, ὡς αὖθις πιόμενοι μαθόντες τὸ συμβεβηκός. εὑρόντες δὲ τὰ θηρείου ὀστᾶ, ἐξέχεαν τὸν οἶνον. ἦν δὲ εἰκὸς τούτους μὴ ἀποθανεῖν. οὐ γὰρ εἴη ἄμπελος, τοῦτο

καὶ οἶνος. ὅθεν ἄποτος ἐγένετο ὁ οἶνος. ἐπεὶ δὲ οἰκεία ἡ ἄμπελος τῷ ἐν τῷ πίθῳ οἴνῳ, ἧττον ἐγένετο ὁ ὄνειρος πονηρός, διὸ καὶ οὐκ ἀπέθανον.

Περὶ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς. να'.

Πᾶσα ἐπὶ τὸ βέλτιον μεταβολὴ, ἀγαθὴ πλουσίοις, καὶ ἐάν τις εἰς θεὸν μεταβάλῃ. δεῖ δὲ μηδὲν ἐνδεῶς ἔχειν. οἷον ἔδοξέ τις ἥλιος γεγονέναι, καὶ διὰ τῆς ἀγορᾶς διέρχεσθαι ἔχων ἀκτῖνας ἕνδεκα. στρατηγὸς ἀπεδείχθη τῆς αὐτοῦ πόλεως, καὶ μῆνας ἕνδεκα ἐπιζήσας τῇ ἀρχῇ, ἀπέθανε. διὰ τὸ μὴ τέλειον ἔχειν τῶν ἀκτίνων τὸν ἀριθμόν. πολλὰ δὲ καὶ παρ' ἑαυτῶν οἱ τόποι εἰσφέρουσι ταῖς ἀποβάσεσιν. οἷον σημαίνει τοῦτο τὸ δοκεῖν ἐσταυρῶσθαι, δόξαν καὶ εὐπορίαν. δόξαν μὲν, διὰ τὸ ὑψηλότερον εἶναι τὸν ἐσταυρωμένον· εὐπορίαν δὲ, διὰ τὸ πολλοὺς τρέφειν οἰωνούς. Μένανδρος ἐν Ἑλλάδι ἔδοξεν ἐσταυρῶσθαι ἔμπροσθεν ἱεροῦ Διὸς πόλεως, καὶ ἱερεὺς ἀποδειχθεὶς ἐκείνου τοῦ θεοῦ, λαμπρότερος ἐγένετο καὶ εὐπορώτερος.

Περὶ ἐχθρῶν καὶ φίλων. νβ'.

ΕΤΙ καὶ τοῦτο. οἱ φίλοι ἅμα τοῖς ἐχθροῖς ἀναστρεφόμενοι καὶ συναγελαζόμενοι τοῖς ἐχθροῖς, εἰς ἔχθραν τῷ ἰδόντι καθίστανται. ὁ Φήλικος ἔδοξε τῶν ἑταίρων αὐτοῦ τινὰ ἅμα τοῖς ἐχθροῖς μέλλειν ἀποδημεῖν, καὶ εἰς ἔχθραν κατέστη τῶν ἑταίρων αὐτοῦ, διὰ τινὰς αἰτίας ἄλλας οὐδὲν προσηκούσας τοῖς ἐχθροῖς.

Περὶ ἡμιτελῶν ἔργων. νγ'.

ΤΑ ἡμιτελῆ τῶν ἔργων, ἀπραξίας σημαίνει τελείας,* καὶ οὐδὲ τὰς ἀρχὰς παρέχει.

ſtatim eſt & vinum. Vnde ſanè impotabile factum eſt vinum. Quoniam autem familiaris eſt vitis vino in dolio, minus malum ſomnium erat, quapropter etiam mortui non ſunt.

De permutatione in melius.

CAP. 51.

OMnis tranſmutatio in melius, bona eſt diuitibus, etiamſi quis in Deum tranſmutetur. Oportet autem nihil defectuoſum habere. Velut, viſus eſt ſibi quis, Sol factus eſſe, & per forum progredi, habens radios vndecim. Dux exercitus factus eſt ipſius vrbis, & vndecim tranſactis menſibus in principatu, mortuus eſt. Propterea quòd non haberet perfectum radiorum numerum. Multa autem & de ſeipſis addunt euentibus loci ipſi, quod vel inde cognoſcere potes. Videri ſibi crucifixum eſſe, gloriam & opulentiam ſignificat, gloriam quidem, propterea quòd altior reliquis crucifixus exiſtit, opulentiam autem, quòd multas aues nutriat. Menander in Græcia viſus eſt ſibi crucifixus eſſe, ante templum Dioſpolis vrbis, & ſacerdos illius Dei factus, ſplendidior & opulentior euaſit.

De Inimicis, & Amicis.

CAP. 52.

INſuper & eius meminiſſe te oportet. Quòd amici ſimul cum inimicis conuerſantes & congregati, in inimicitiam cum eo qui ſomnium vidit veniunt. Felenus viſus eſt ſibi, quoſdam amicorum ſuorum ſimul cum inimicis parare profectionem, & in hoſtilitatem cum amicis ſuis venit, ob quaſdam alias cauſas nihil ad inimicos pertinentes.

De ſemiperfectis operibus.

CAP. 53.

SEmiperfecta opera, penitus improſperum ſucceſſum & inefficaciam ſignificant, & ne principia quidem exhibent.

Cilix fratris hæreditatem à rege petens, visus est sibi ouiculam tondere vsque ad medietatem, & accepta plurima velleris parte, quòd reliquum erat detondere non potens, expergefactus est. Et expectabat quidem dimidium hæreditatis se accepturum esse, verùm accepit omnino nihil.

De Coronis non iuxta naturam sitis. CAP. 54.

QVæcunque coronæ bonum quid significant, hæ ipsæ non circa caput existentes, sed circa aliam quandam corporis partem, suprà hoc quod nihil boni significant, insuper etiam malæ existunt. Zoilus ad Olympia dúdens proprios filios certaturos, alterum lucta, alterum pancratio, visus est sibi talos pedis coronatos esse olea, & oleastro: & valde hilaris erat, tanquam sacræ & victoriales essent coronæ, & quæ in olympiis darentur. Verùm mortui sunt ipsi filij ante certamen. Nam coronæ circa talos sitæ non procul absunt à terra.

De Mari. CAP. 55.

QVæ mare significat, & scopuli circa ipsum, itémque portus, & subterfugia, & littora, & nauigia, ipsúmque nauigare, in secundo libro antea audiuisti. Et tamen etiam nunc quid tibi eiusmodi quod accidit narrabitur. Visus est sibi quis in mare cadere, & ad profundum deferri, & sentire quomodo diu deferretur, & tandem præ timore expergefactus est. Is ducta in vxorem meretrice, simul cum ipsa transmigrauit, & magnam vitæ partem apud exteros homines detriuit. Horum causas referre superuacaneum existimo.

ὁ κίλιξ ἀδελφοῦ κλῆρον ἀπὸ τοῦ βασιλέως αἰτῶν, ἔδοξε πρόβατον κείρειν μέχρις ἡμισείας, καὶ τοῦ πόκου λαβὼν τὸ πλεῖστον, τὸ περισσὸν οὐ δυνάμενος κεῖραι, διϋπνίσθη. καὶ προσδοκία μὲν ἦν αὐτῷ τὸ ἥμισυ τοῦ κλήρου λήψεσθαι, ἔλαβε δὲ οὐδέν.

Περὶ στεφάνων τῶν παρὰ φύσιν κειμένων. νδʹ.

ὍΣοι τῶν στεφάνων ἀγαθόν τι σημαίνουσιν, οὗτοι μὴ περὶ τὴν κεφαλὴν ὄντες, ἀλλὰ περὶ τινι ἄλλῳ μέρει τοῦ σώματος, πρὸς τῷ μηδὲν ἀγαθὸν σημαίνειν, προσέτι καὶ κακοὶ γίνονται. ὁ Ζωΐλσος* εἰς ὀλυμπίαν ἄγων παῖδας ἰδίους ἀγωνιζομένους, τὸν μὲν, πάλην, τὸν δὲ, παγκράτιον, ἔδοξεν ἐστεφανῶσθαι τὰ σφυρὰ ἐλαίᾳ, καὶ κοτίνῳ. καὶ σφόδρα μὲν ἦν εὔθυμος, ὡς ἱερῶν ὄντων καὶ ἐπινικίων τῶν στεφάνων, καὶ ὀλυμπιάσι διδομένων. ἀπέθανον δὲ αὐτῷ οἱ παῖδες πρὸ τοῦ ἀγῶνος. οἱ γὰρ περὶ τοῖς σφυροῖς στέφανοι, οὐ πολὺ τῆς γῆς ἀπέχουσιν.

Περὶ θαλάσσης. νέ.

ὍΣΑ ἡ θάλασσα σημαίνει, καὶ τὰ περὶ τὴν θάλασσαν λιμένες καὶ σκόπελοι, καὶ ὑποδρομαὶ, καὶ αἰγιαλοὶ, καὶ πλοῖα καὶ αὐτὸ τὸ πλεῖν, ἐν τῷ δευτέρῳ βιβλίῳ προακήκοας. ὅμως δέ τι καὶ νῦν εἰρήσεταί σοι τοιοῦτον ἀποβεβηκός. ἔδοξέ τις εἰς θάλασσαν πεσεῖν καὶ καταφέρεσθαι εἰς τὸν βυθόν. καὶ δι' αἰσθήσεως ἔχειν ἐπιπολὺ καταφερόμενος, καὶ τέλος ὑπὸ αὐτοῦ τοῦ δέους ἀφυπνίσθη. γήμας ἑταίραν, ἅμα αὐτῇ μετανέστη, καὶ τὸ πολὺ τοῦ βίου διετέλεσεν ἐπὶ ξένης. τούτων περισσὸν τὰς αἰτίας λέγειν.

Περὶ τῶν ἐκ τοῦ σώματος φυομένων. νϛʹ.

ὍΣΑ συνεχῶς περί τι μέρος τοῦ σώματός ἐστι, ταῦτα τὸν αὐτὸν τοῖς πεφυκόσιν ἔχει λόγον. ἔδοξέ τις ξύλα ἔχειν ἐκ τῶν δακτύλων ἐκπεφυκότα. καὶ πάλιν ἔδοξέ τις ἔρια ἔχειν ἐκ τοῦ στήθους πεφυκότα καὶ τοῦ μεταφρένου, καὶ ὁ μὲν ἐγένετο φθισικός· ὁ δὲ, κυβερνήτης. τῷ μὲν γὰρ, ἀεὶ ξύλα ἦν διὰ τῶν χειρῶν, τὰ τῶν πηδαλίων· τῷ δὲ, ἀεὶ ἔρια περὶ τῷ θώρακι διὰ τὴν νόσον.

De his quæ ex corpore naſcuntur.

CAP. 56.

QVæcunque aſſiduè circa partem aliquam corporis ſunt, hæc eandem cum enatis rationem habent. Velut, viſus eſt ſibi quidam ligna habere ex digitis enata. Et rurſus, viſus eſt ſibi quis lanas habere ex pectore enatas itémque ſcapulis: & hic quidem tabe cõſumptus, phthiſicus periit: ille Gubernator nauis factus eſt. Huic enim ſemper ligna erant in manibus, gubernaculorum videlicet. Alteri lanæ ſemper circa thoracem erant, propter morbum.

Περὶ τῶν παρὰ τὸ πλῆθος ἢ μέγεθος διαφόρως ἀποβαινόντων. νζʹ.

ἜΤΙ καὶ τοῦτο παρὰ τὸ μέγεθος καὶ παρὰ τὸ πλῆθος ἀποβαίνει. καὶ πάλιν παρὰ τὸ μέγεθος. παρὰ μὲν τὸ πλῆθος, ὡς ἐπὶ κρομμύων. εἴ τις νοσῶν δόξειεν ἅπαξ κρόμμυα ἐσθίειν, εἰ μὲν πολλὰ, ἀναστήσεται. ἄλλον δέ τινα πενθήσει· εἰ δὲ ὀλίγα, τεθνήξεται. δακρύουσι γὰρ οἱ τὰ κρόμμυα ἐσθίοντες. δακρύουσι δὲ καὶ οἱ ἀποθνήσκοντες. οὐ γὰρ ἄνευ δακρύων τις ἀπέθανεν. ὀλίγα αὐτοὶ δακρύουσιν, ὡς ἔστιν ὅτε καὶ τοὺς πλησίους λαθεῖν, μόνον νοτισθέντων τῶν βλεφάρων. οἱ δὲ πενθοῦντες, πολλά· καὶ γὰρ ἐπιπολὺ δακρύουσι. παρὰ δὲ τὸ μέγεθος, ὡς ἐπὶ αἰγῶν καὶ ἐρίφων. αἶγας μὲν γὰρ οὔτε λευκὰς οὔτε μελάνας ἰδεῖν ἀγαθόν· πλὴν αἰπόλου. ἔριφοι δὲ πάντες ἀγαθοί. ταῦτά σοι ἐπὶ πάντων ὀνείρων τηρείσθω, νῦν εἰς ὑπόδειγμα ἐπὶ τούτων μόνων εἰρημένα. ἔνια δὲ τὸν αὐτὸν ἔχει λόγον καὶ ἐν πλήθει καὶ ἐν μεγέθει, καὶ ἐν ὀλιγότητι καὶ σμικρότητι. ὡς πρόβατα. ταῦτα γὰρ καὶ πολλὰ καὶ ὀλίγα, καὶ ἓν ὁραθέντα, τὸν αὐτὸν ἔχει λόγον.

De his quæ iuxta multitudinem, aut magnitudinem, diuerſimodè eueniunt.

CAP. 57.

INſuper & hoc obſeruabis. Quòd ſomnia & iuxta multitudinem, & rurſus iuxta magnitudinẽ aliter eueniunt. Iuxta multitudinem quidem, velut in cepis, ſi quis ægrotans videatur ſibi ſemel cepas edere, ſi quidẽ multas conualeſcet, alium autem quendam lugebit. Si verò paucas, morietur. Lachrymantur enim qui cepas edunt, lachrymantur autem & moriẽtes. Neque enim ſine lachrymis aliquis vita decedit. Modicè autem ipſi lachrymãtur, vt aliquando etiam vicinos lateant, ſolis palpebris humectis. Verùm qui lugent, multum. Nam diu lachrymantur. Iuxta magnitudinem autem, velut capris & hœdis. Capras enim neque albas, neque nigras videre, bonum eſt, excepto ipſo caprario. Hœdi autem omnes boni ſunt. Hæc tibi in omnibus ſomniis obſeruentur, nunc exempli tantum gratia in his ſolis relata. Quædam verò eandem habent rationem, & in multitudine, & in magnitudine, & in paucitate ac paruitate, velut ouiculæ. Hæ enim & multæ & paucæ conſpectæ, itémque vna ſola, eandem habent rationem.

De Moribus animalium.

CAP. 58.

OPortet autem & animalium mores ad humanos conferre, & mentem ac voluntatem vniuſcuiuſque, iuxta ſimile animal conſiderare. Velut verbi cauſa, magnanima, & libera, & actualia, & horrenda, eiuſmodi homines prædicunt. Velut, leo, tigris, pardalis, elephas, aquila, harpe. Et violenta & aſpera, & implacabilia, & temeraria, ſimiles ſibiipſis homines præſagiunt, velut aper & vrſus. Et timida ac fugacia & illiberalia, timidos & fugitiuos nobis exhibent, velut ceruus, lepus, canis. Segnia & ignaua ac malefica, velut hyæna, ſegnes & ignauos, ſæpè verò etiam veneficos adducunt. Et ex iaculantibus venenum, ea quæ horrenda ſunt & robuſta ac potentia, magnos viros exhibent, velut draco, & baſiliſcus, & dryinas. Quæ verò multum venenum habent, diuites viros & mulieres, velut aſpis, & vipera, & ſeps. Maiora verò, imaginationem & apparentiam potentiæ habentia, arrogantes & inconſtantes homines, velut pareas, & phyſſalus, & typhlenis. Verùm parua, vt phalangia, & hydri, & lacerti, paruos quidem & contemptibiles, ſed ad malè afficiendum ſufficientes homines exhibent. Quæ palàm rapiunt, prædones, & raptores, velut accipiter, & lupus. Quæ verò rapiunt quidem, non autem palàm, inſidiatores, velut miluus & vulpes. Formoſa & gratioſa, honeſtatis & pulchritudinis amatores, velut pſittacus, & perdix, & pauo. Muſica & iucundam vocem habentia, philologos, & muſicos, & gratioſos, vt hirundo, & luſcinia, & regulus, & ſimilia. Imitatoria, præſtigiatores & maleficos, velut ſimia, merula, & pica. Varia & interpuncta, non ſimplici mente præditos, ſæpè verò & flagris cæſos ac notatos. Operaria laboris tolerantia, operarios & ſubditos, velut aſini & boues. Sunt enim hæc operaria. Verùm operaria quidem, non autem ſubdita, rebelles & ſuperbos, velut tauri, & bos armentarius & equi gregarij, & equæ armentariæ, & onagri.

Περὶ ἠθῶν ζώων. νή.

ΧΡὴ δέ γε καὶ τὰ ἤθη τῶν ζώων ἀντιπαραβάλλειν τοῖς ἤθεσι τοῖς ἀνθρωπίνοις, καὶ τὴν γνώμην καὶ τὴν προαίρεσιν ἑκάστου κατὰ τὸ ὅμοιον σκοπεῖν. οἷον τὰ μεγαλόφρονα καὶ τὰ ἐλευθέρια, καὶ τὰ πρακτικὰ, καὶ τὰ φοβερὰ, τοιούτους ἀνθρώπους προαγορεύει. οἷον, λέων, τίγρις, πάρδαλις, ἐλέφας, ἀετὸς, ἅρπη. καὶ τὰ βίαια καὶ τραχέα, καὶ ἀσύμβλητα, καὶ δυσσυμβούλευτα, ὁμοίους ἑαυτοῖς προαγορεύουσιν ἀνθρώπους, ὡς σύαγρος, καὶ ἄρκος. καὶ τὰ δειλὰ καὶ δρομικὰ καὶ ἀνελεύθερα, δειλοὺς ἢ δραπέτας παριστῶσιν. ὡς ἔλαφος, λαγὼς, κύων. τὰ νωθρὰ καὶ ἄπρακτα καὶ πανοῦργα, ὡς ὕαινα, νωθεῖς καὶ ἀπράκτους, πολλάκις δὲ καὶ φαρμακοὺς παρίστησι. καὶ τῶν ἰοβόλων τὰ φοβερὰ καὶ ἰσχυρὰ, καὶ δυνατὰ, μεγάλους ἄνδρας παρίστησιν, ὡς δράκων καὶ βασιλίσκος, καὶ δρυϊνάς. τὰ δὲ πολὺν ἰὸν ἔχοντα, πλουσίους ἄνδρας τε καὶ γυναῖκας, ὡς ἀσπὶς, καὶ ἔχιδνα καὶ σήψ. τὰ δὲ μείζονα τὴν φαντασίαν τῆς δυνάμεως ἔχοντα, ἀλαζόνας καὶ ἀνυποστάτους ἀνθρώπους, ὡς παρείας, καὶ φυσαλὸς, καὶ τυφλῖνις. τὰ δὲ μικρὰ ὡς φαλάγγια καὶ ὕδροι, καὶ σαυροὶ, μικροὺς μὲν καὶ εὐκαταφρονήτους, ἱκανοὺς δὲ κακῶς διαθεῖναι παρίστησιν ἀνθρώπους. τὰ ἁρπάζοντα φανερῶς, λῃστὰς, καὶ ἅρπαγας ὡς ἱέραξ, καὶ λύκος. τὰ δὲ ἁρπάζοντα μὲν, οὐ φανερῶς δὲ, ἐπιβούλους, ὡς ἰκτῖνος καὶ ἀλώπηξ. τὰ δὲ εὔμορφα καὶ χαρίεντα, φιλοκάλους, ὡς ψιττακὸς, καὶ πέρδιξ, καὶ ταώς. καὶ τὰ μουσικὰ δὲ καὶ εὔφωνα, φιλολόγους, καὶ μουσικοὺς, καὶ εὐφήμους, ὡς χελιδὼν, καὶ ἀηδὼν, καὶ βασιλίσκος, καὶ τὰ ὅμοια. τὰ μιμητικὰ δὲ, γόητας καὶ πανούργους. ὡς πίθηκος, καὶ κόσσυφος, καὶ κίσσα. τὰ δὲ ποικίλα καὶ κατάστικτα, οὐχ ἁπλοῦς τὸ νόημα· πολλάκις δὲ καὶ ἐστιγμένους. Τὰ ἐργατικὰ καὶ ταλαίπωρα, ἐργάτας καὶ ὑποτεταγμένους, ὡς ὄνοι, καὶ βόες. ἐργάται γάρ. τὰ δὲ ἐργατικὰ μὲν, ἀνυπότακτα δὲ, τοὺς ἀφηνιάζοντας καὶ ἀγερώχους, ὡς ταῦροι, καὶ βοῦς, καὶ ἀγελαῖα, καὶ ἵπποι, φορβάδες, καὶ φοράδες, καὶ ὄναγροι.

τὰ δὲ συναγελαζόμενα, κοινωνικοὺς καὶ συναγελαστικοὺς ἀνθρώπους, ὅθεν καὶ πρὸς κοινωνίαν εἰσὶ σύμφορα, ὡς πελαργοὶ καὶ γέρανοι, καὶ ψᾶρες, καὶ κολοιοί, καὶ περιστεραί. τούτων δὲ ἔνια καὶ χειμῶνας προαγορεύει, ὡς κολοιοὶ καὶ ψᾶρες, καὶ λῃστὰς καὶ πολεμίους, ὡς γέρανοι καὶ πελαργοί. τὰ δὲ νεκροῖς ἐφεδρεύοντα καὶ μὴ θηρεύοντα, ἀργοὺς καὶ νωθεῖς ἀνθρώπους, ἢ νεκροστόλους, ἢ ἐνταφιοπώλους, ἢ βυρσέας, ἢ ἀπεληλασμένους πόλεων, ὡς γῦπες. τὰ δὲ νυκτερινὰ καὶ μηδὲν ἐν ἡμέρᾳ πράσσοντά τι, μοιχοὺς ἢ κλέπτας, ἢ νυκτερινὴν ἔχοντας ἐργασίαν, ὡς γλαὺξ, καὶ νυκτικόραξ, καὶ αἰγώλιος καὶ κορώνη καὶ τὰ ὅμοια. τὰ πολλαῖς χρώμενα φωναῖς, πολυγλώσσους καὶ πολυΐστορας, ὡς κόραξ καὶ κορώνη καὶ τὰ ὅμοια. τὰ φιλόχωρα τοὺς πλησίον οἰκοῦντας καὶ τοὺς ἐγγὺς θυρῶν, ὡς χελιδὼν καὶ λαγώς. ταῦτα δὲ καὶ τοὺς δραπέτας εἰς τὴν οἰκίαν προσελθεῖν σημαίνει, φύσει ὄντας ἐλευθέρους. μέμνησο δὲ ὁπόσα τῶν ζώων τὰ αὐτὰ εἰς πολλὰ δύναται κρίνεσθαι, ταῦτα εἰς πάντα κρίνεται, οἷον πάρδαλις, καὶ μεγαλόφρονα σημαίνει διὰ τὰ ἤθη, καὶ ποικίλον διὰ τὸ χρῶμα. ὁμοίως καὶ πέρδιξ εὔμορφον καὶ πανοῦργον. καὶ τὸ ὅλον ἔχοντα ὑποδείγματα, περί τε αὐτῶν τούτων καὶ τῶν μὴ καταριθμημένων ἐνταῦθα, ἢ τοῖς προτέροις βιβλίοις ποιοῦ τὸν λόγον. ἔτι καὶ τοῦτο θέασαι, ὅσα τῶν ζώων θεοῖς τισὶν ἀνάκειται, τοὺς θεοὺς αὐτοὺς ἐκείνους σημαίνουσι. Κοινῇ δὲ πάντα, τὰ μὲν ἥμερα καὶ σύντροφα, πρὸς τοὺς οἰκείους λάμβανε· τὰ δὲ ἄγρια πρὸς τοὺς ἐχθροὺς ἢ πρὸς νόσον, ἢ πρὸς καιρὸν ἀηδῆ καὶ κακοπραγίαν. ὥσπερ γὰρ τὰ θηρία βλάπτει τοὺς ἀνθρώπους, οὕτως καὶ οἱ ἐχθροὶ καὶ αἱ νόσοι καὶ αἱ ἀπραγίαι. τὰ μὲν οὖν ἥμερα ζῶα, ἀγαθὸν ἔχειν, καὶ ἐρρωμένα ὁρᾶν, καὶ κρατούμενα ὑφ' ἡμῶν αὐτῶν καὶ ὑπὸ τῶν ἐχθρῶν καὶ τῶν θηρίων. τὰ δὲ ἄγρια καὶ ἀποθνήσκοντα καὶ μὴ χειρούμενα ὑφ' ἡμῶν, ἀγαθὰ ἂν εἴη, καὶ κρατούμενα ὑπὸ τῶν ἡμετέρων καὶ συντρόφων ἡμῖν ζώων. ὑπὸ δὲ τῶν ἐχθρῶν κρατούμενα, ἢ ὑπέρτερα τῶν ὁρώντων γινόμενα, καὶ διατιθέμενα τι πονηρόν, ἄτοπα ἂν εἴη καὶ σκαιὰ πάντα.

Quæ verò gregatim pascuntur, homines sociales & gregales exhibent, vnde etiam ad sodalitatem commoda existunt, velut ciconiæ, grues, sturni, graculi, & columbæ. Horum aliqua etiam tempestates prędicunt, velut graculi & sturni, & prædones ac hostes, velut grues & ciconiæ. Quæ verò morticiniis insident, & non venantur, segnes & pigros homines, aut vespillones & mortuorum funeratores ac sepultores, aut coriarios, aut aliâs ex vrbibus emotos significant, velut vultures. Nocturna & nihil interdiu facientia, adulteros aut fures, aut eos qui nocturnum quæstum faciunt, velut noctua, & nycticorax, & vlula, & cornix, & similia. Quæ multis vtuntur vociferationibus, multarum linguarũ peritos & multarum rerum scientiam habentes, velut coruus & cornix, & similia. Regionis amantia & vernacula, propè habitantes & propè fores, vt hirundo & lepus. Hæc verò etiam fugitiuos in domum redire significant, natura liberos existentes. Memineris autem quòd quæcunq; animalia in multa iudicari possunt, ea in omnia ista iudicantur, velut pardalis, & magnanimum significat ob mores, & varium ob colorem. Similiter & perdix, formosum & versutum ac scelestum. Et in vniuersum cum habeas exempla & de his, & de aliis quæ non sunt hic connumerata, in primis libris, inde ratiocinationem facito. Insuper verò & hoc considera. Quæcunque animalia diis dicata sunt, illos ipsos deos significant. In communi autem omnia mansueta & nobis familiariter connutrita, ad familiares refer, agrestia verò ad inimicos, aut ad morbum, aut tempus iniucundum, & improsperum rerum successum. Quemadmodũ enim ferę homines lædũt, sic etiam inimici, & morbi, & improsperi successus. Mansueta quidem igitur animalia habere, bonum est, itémque sana videre, & à nobis ipsis teneri, & ab inimicis, & à feris. Verùm agrestia, etiam morientia, & non capta à nobis, bona fuerint, item si à nostris & familiaribus nobis animalibus teneantur. Si verò ab hostibus teneantur, aut superiora videntibus fiant, aut mala aliqua dispositione affecta sint, absurda vtique fuerint, & sinistra omnia.

De Arboribus, & Plantis.

CAP. 59.

DE arboribus porrò & plantis specia-tim in sermone de agricultura libro secundo tractatum est. Memineris autem quòd arbor eandem cum fructibus rationem habet, & cum diis quibus vnaquæque sacrata est. In communi autem omnes frugiferæ syluestribus sunt meliores, & ex frugiferis quæ folia nō amittunt, excepta olea & lauro. Harum autem alteram, oleam scilicet, in ægrotantibus mortiferam esse obseruatum est, & ipsam, & fructus eius, & folia. Laurus verò salutaris est. Et valde quidem verisimiliter hoc contingit. Nam cum mortuis oleas simul efferunt. Nequaquam verò laurum. Infructuosæ arbores sunt peiores, exceptis his qui ex ipsis, aut per ipsas quæstum faciunt. Et annosæ quidem, in præfinitis temporibus dilationis signa sunt. In morbis autem, salutares sunt. Reliquos euentus tardius inducunt. Similiter etiam quæ tardè nascuntur & augescunt. Contrariæ his contrariorum significationem habent. Spinæ porrò & pali, & paliuri, & rubi, & glandes, ad securitatem quidem omnia commoda existunt, propterea quòd sæpes indè fiant, & regiones includantur. Verùm ad explicationes non valde commoda sunt, propter cohibendi facultatem. Publicanis autem & cauponibus, & prædonibus, & libripendis, & hominibus fraudulentis, commodiora aliis sunt, propterea quòd violenter aliena inuadant, & ab aliis etiam non volentibus abstrahant.

De Vasis, & Instrumentis.

CAP. 60.

INsuper & à vasis ac instrumentis, non solùm artes, & quæstum ex artibus accipere oportet, sed etiam ipsos artifices, aut vasis vtentes. Velut, visus est sibi quis frænum equi perdidisse mortuus est ipsius equiso. Rursus visus est sibi quidā cyathum ipsius de repente fractum esse.

Περὶ δένδρων καὶ φυτῶν. νθʹ.

ΠΕρὶ δένδρων δὲ καὶ φυτῶν κατ' εἶδος ἐν τῷ περὶ γεωργίας λόγῳ ἐν τῷ δευτέρῳ βιβλίῳ ἠκρίβωται. μέμνησο δὲ ὅτι τὸν αὐτὸν ἔχει λόγον τοῖς καρποῖς τὸ δένδρον καὶ τοῖς θεοῖς, ὧν ἕκαστον ἐστὶν ἱερόν. κοινῇ δὲ πάντα τὰ ἔγκαρπα τῶν ἀγρίων βελτίονα, καὶ ἐγκάρπων τὰ μὴ φυλλορροοῦντα, πλὴν ἐλαίας καὶ δάφνης. τούτων δὲ ἐπὶ τῶν νοσούντων, ἡ μὲν ἐλαία θανατηφόρος οὖσα τετήρηται, αὐτή τε καὶ ὁ καρπὸς αὐτῆς καὶ τὰ φύλλα. δάφνη δὲ, σωτήριος. καὶ γὰρ εἰκὸς, τοῖς μὲν γὰρ ἀποθανοῦσιν ἐλαίας συνεκφέρουσιν. δάφνας δὲ οὐδαμῶς. τὰ δὲ ἄκαρπα, χείρω. χωρὶς τῶν ἐχόντων τὴν ἐξ αὐτῶν ἢ δι' αὐτῶν ἐργασίαν. καὶ τὰ πολυχρόνια ἐν μὲν ταῖς προθεσμίαις, παρολκῆς ἐστὶ σημεῖα. ἐν δὲ ταῖς νόσοις, σωτήρια γίνεται. τὰ δὲ ἄλλα τῶν ἀποτελεσμάτων βράδιον ἐπάγει. ὁμοίως καὶ τὰ βραδὺ φυόμενα καὶ αὐξανόμενα. τὰ δὲ ἐναντία τούτοις, τῶν ἐναντίων ἐστὶ σημαντικά. ἄκανθαι δὲ καὶ σκόλοπες καὶ παλίουροι, καὶ βάτοι, καὶ βάλανοι, πρὸς μὲν ἀσφάλειαν, ἐπιτήδεια ἅπαντα, διὰ τὸ εἰς φραγμοὺς γίνεσθαι, καὶ ἕρκη χωρίων. πρὸς δὲ τὰς ἐκπλοκὰς, οὐ πάνυ τι ἐπιτήδεια, διὰ τὸ καθεκτικόν. τελώναις δὲ καὶ καπήλοις καὶ λῃσταῖς καὶ ζυγοκρούσταις καὶ παραλογισταῖς ἀνθρώποις ἐπιτηδειότερα τῶν ἄλλων γίνεται, διὰ τὸ βίᾳ τὰ ἀλλότρια τῶν ἄλλων καὶ μὴ βουλομένων ἀποσπᾶν.

Περὶ σκευῶν καὶ ἐργαλείων. ξʹ.

ΕΤΙ καὶ ἀπὸ τῶν σκευῶν καὶ ἐργαλείων οὐ μόνον τὰς τέχνας καὶ τὰς ἀπὸ τῶν τεχνῶν ἐργασίας λαμβάνειν χρὴ, ἀλλὰ καὶ αὐτοὺς τοὺς τεχνίτας ἢ τοὺς χρωμένους τοῖς σκεύεσιν. οἷον ἔδοξέ τις τὸν χαλινὸν τοῦ ἵππου διερρυηκέναι. καὶ ἀπέθανεν αὐτοῦ ὁ ἱπποκόμος. πάλιν ἔδοξέ τις τὸν κύαθον αὐτοῦ αἰφνίδιον κατεάχθαι.

ἀπέθανεν αὐτοῦ ὁ οἰνοχόος. ὁ δὲ αὐτὸς καὶ ἐπὶ πάντων τῶν σκευῶν καὶ ἐργαλείων τηρείσθω σοι λόγος. ἔτι καὶ ὅσα οὐδαμῆ οὐδαμῶς ἐνδεχόμενά ἐστιν ἀπολέσθαι, κατ' ὄναρ ἀπολλύμενα θάνατον τῷ ἰδόντι, ἢ τῶν ὀμμάτων βλάβην προσημαίνει. οἷον, ἔδοξέ τις τὸν κόσμον ἀπολωλεκέναι, καὶ ἀπέθανεν. ὥσπερ γὰρ τοῖς ἀπολλυμένοις οὐκ ἔστι χρῆσθαι, οὕτω καὶ οἷς τις μὴ χρῆται, ταῦτα ὡς πρὸς αὐτὸν ἀπόλωλεν.

Περὶ ἠθῶν ἀνθρωπίνων. ξα.

ΕΤΙ καὶ τῶν ἀνθρώπων τὰ ἤθη βασάνιζε πρότερον, τουτέστιν ἐπιμελῶς ἀναπυνθάνου, καὶ εἰ μὴ παρ' αὐτῶν ἀσφαλὲς εἴη σοι πυνθάνεσθαι, τὸ παρὸν ὑπερθέμενος, παρ' ἄλλου πυνθάνου τὰ περὶ αὐτοὺς, ἵνα μὴ πταίσῃς. οἷον ἔδοξέ τις τὴν ἑαυτοῦ γυναῖκα ἀρρητοποιεῖν, καὶ πάλιν, ἔδοξέ τις ὑπὸ τῆς γυναικὸς ἀρρητοποιεῖσθαι, καὶ πολλῷ χρόνῳ οὐδὲν αὐτοῖς ἀπέβαινε τῶν σημαινομένων ἐπὶ τῆς τοιαύτης ὄψεως. ὅσα γε ἐπὶ τῶν ἄλλων ἀνθρώπων ἀποβαίνειν ὀφείλει, ὡς δὲ οὐκ ἦν φανερὰ ἡ αἰτία, ἐθαύμαζον, καί μοι ἐδόκει ἄλογον εἶναι τὸ μηδὲν αὐτοῖς ἀποβαίνειν. ὕστερον δὲ τῷ χρόνῳ ἔμαθον, ὅτι ἦν ἄρα ἀμφοτέροις ἔθος τοῦτο πράσσειν. καὶ μὴ καθαρεύειν τὰ στόματα, διὸ καὶ εἰκότως οὐδὲν αὐτοῖς ἀπέβαινεν. πρὸς ἃ δὲ ἐπτοημένοι ἦσαν, ταῦτα ἔβλεπον. ὑπόδειγμα ἐπὶ τῶν κλέπτειν δοκούντων, καὶ φονεύειν, καὶ ἱεροσυλεῖν. πολλάκις γὰρ ταῦτα αὐτὰ ἐννοοῦσι. καὶ εἴ τις αὐτὰ ὡς αἰνίγματα ἑρμηνεύειν ἐπιχειρῇ, πταίει καὶ ἐξαπατᾶται περὶ τὰς τέχνας. περιίστασο δὲ καὶ τοὺς ἡγουμένους, ὅτι οἱ ὄνειροι κατὰ γένεσιν τὴν ἑκάστου θεωροῦνται, καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοί. λέγουσι γὰρ ὅτι οἱ ἀγαθοποιοὶ τῶν ἀστέρων, ὅταν μὴ δύνωνται ἀγαθόν τι ποιῆσαι, διά γε τῶν ὀνείρων εὐφραίνουσιν. οἱ δὲ κακοποιοὶ τῶν ἀστέρων ὅταν μὴ δύνωνται τι κακὸν ποιῆσαι διά τινα ἀντίβασιν ἄλλων ἀστέρων, διά γε τῶν ὀνείρων ἀεὶ ἐκταράσσουσι καὶ φοβοῦσιν. εἰ γὰρ ἦν τοῦτο ἀληθὲς, οὐκ ἂν οἱ ὄνειροι ἀπέβαινον.

Mortuus est ipsius pincerna. Eadem ratio à te in omnibus vasis ac instrumentis seruetur. Amplius autem quæcunque nullatenus possibile est perdere, ea si in somniis perdantur, mortem ei qui somnium vidit, aut oculorum detrimentum præsagit. Velut, visus est sibi quis mundum perdidisse, & mortuus est. Quemadmodum enim perditis nemo vti potest, sic etiam hæc quibus quis non vtitur, quantum ad se pertinet, perdidit.

De moribus humanis.

CAP. 61.

QVin & hominum mores prius diligenter explora, hoc est curiosè percunctare, & si non tutum sit ab ipsis percunctari, dilatione in præsens facta, ab alio interroga quomodo hac parte se habeant, vt ne aberres. Velut, visus est sibi quis ab vxore sua fellari, & per multum tempus nihil euenit ipsis eorum qui in tali visione significantur, quæ sanè aliis hominibus euenire solent. Quum autem non esset manifesta causa, mirabar, & mihi præter rationem esse videbatur, nihil ipsis euenire. Postea autem temporis progressu didici, quòd sanè vtrisque mos esset id facere, & ora non pura habere, quapropter & meritò nihil ipsis euenit, verùm ad quæ pauidi & consternati erant, ea videbant. Cuius exemplum habes eos qui sibi videntur furari, occidere, sacrilegium facere, & similia. Sæpè enim hæc ipsis animo obuersantur. Et si quis hæc velut ænigmata aliquid futuri significantia aggrediatur, errat & decipitur circa artes. Inhibebis autem & eos qui putant, quòd somnia secundum vniuscuiusque natiuitatem & bona & mala videntur. Dicunt enim stellas benignas, quum non possint bonum aliquod facere, per somnia tamen lætificant & exhilarant. Malignas contra stellas, quum non possint mali quid facere, propter aliarum stellarum reluctationem, per somnia sanè conturbant & perterrefaciunt. Etenim si hoc verum esset, somnia euentum non haberent.

Nunc verò & bona & mala somnia eueniunt, vnumquodque secundum propriam rationem. Et somnia eruditiora idiotæ homines nequaquam vident: de his dico qui indocti sunt idiotæ: sed quicunque doctrinam & philologiam amant, & qui non sunt inerudíti. Vnde quis vel maximè discere potest, quòd ipsius animæ opera sunt somnia, & non ab aliquo externo fiunt. Porrò ex versibus, aut iambis, aut epigrammatis, aut aliis sermonibus in somnis oblatis, quæcunque perfectam sententiam exhibent, ea ipsa euentum exhibent. Velut, visus est sibi quis, quendam fidedignum ipsi dicere Hesiodicum carmen hoc,

Ne malè lucreris, mala lucra æqualia damnis.

Hîc sanè prædationib. deditus, captus ac punitus est. Quædã verò ad poëmatis argumentum remittunt sui iudicationem, quæcunque scilicet non perfectam sententiam exhibent. Velut, visa est sibi serua quædam, dominam ipsi dicere Euripidis iambicum hunc,

Assas edas carnes meas, te te expleas.

Hæc æmulatione ob zelotypiam à domina infestata, infinita mala pertulit. Verisimile enim erat euentus ipsi consimiles successuros argumento Andromaches, quòd ab Euripide tractatur. Rursus vir pauper visus est sibi, quempiam hunc iambicum dicere,

Venere cuncta præter spem primum semel.

Thesaurum reperit & ditatus est. Mulier quædam visa est sibi dicere quendam:

Patroclus iacet, at nudata & mortua propter
Corpora decertant, Hector fert splendidus arma.

Huius vir apud exteros peregrinus mortuus est, & bonis ipsius in fiscum relatis in contentionem venit, & litibus diuexata nihil tamen profecit, sed dum adhuc litigaret mortua est. Vides quòd ex his aliqua quidem euentum abunde exhibuerunt, nihil opus habentia poëmatum argumentis: alia verò iuxta historias poëmatum euenerunt.

νυνὶ δὲ καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ ἀποβαίνουσι, κατὰ τὸν ἴδιον λόγον ἕκαστος. καὶ τοὺς ὀνείρους τοὺς φιλολογωτέρους οὐδαμῶς οἱ ἰδιῶται τῶν ἀνθρώπων ὁρῶσι. λέγω δὲ καὶ τοὺς ἀπαιδεύτους ἰδιώτας. ἀλλ' ὅσοι φιλολογοῦσι, καὶ ὅσοι μὴ ἀπαίδευτοί εἰσιν. ὅθεν ἄν τις καὶ μάλιστα καταμάθοι, καὶ ὅτι αὐτῆς τῆς ψυχῆς ἔργα εἰσὶν οἱ ὄνειροι, καὶ οὐχ ὑπό τινος ἔξωθεν γίνονται. τῶν δὲ ἐν τοῖς ὕπνοις λεγομένων ἐπῶν ἢ ἰάμβων, ἢ ἐπιγραμμάτων, ἢ ἄλλων ῥήσεων, τὰ μὲν αὐτὰ παρέχει τὴν ἀπόβασιν, ὅσα γε αὐτοτελῆ διάνοιαν περιέχει. οἷον ἔδοξέ τις λέγειν αὐτῷ τινὰ τῶν ἀξιοπίστων τὸ Ἡσιόδειον ἔπος,

Μὴ κακὰ κερδαίνειν, κακὰ κέρδεα ἶσ' ἄτῃσιν.

Οὗτος ἐπιθέμενος λῃστείαις ἑάλω, καὶ ἐκολάσθη. τὰ δὲ ἐπὶ τὴν ὑπόθεσιν τοῦ ποιήματος ἀναπέμπει τὴν κρίσιν, ὅσα μὴ αὐτοτελῆ διάνοιαν περιέχει. οἷον, ἔδοξέ τις λέγειν θεράπαιναν τὰ Εὐριπίδεια ἰάμβια,

Ὀπτὰς κατήσθιε σάρκας, ἐμπλήσθητί μου.

Αὕτη ζηλοτυπηθεῖσα ὑπὸ τῆς δεσποίνης, μυρία ἔπαθε κακά. ἦν γὰρ εἰκὸς τῇ ὑποθέσει τῇ περὶ Ἀνδρομάχην, ἀκόλουθα γενέσθαι αὐτῇ τὰ ἀποτελέσματα. πάλιν ἀνὴρ πένης ἔδοξε λέγειν τοῦτο τὸ ἰαμβεῖον.

Ἅπαντα τἀδόκητα προσφέρων ἦλθ' ἅπαξ.

Θησαυρὸν εὗρε καὶ ἐπλούτησε. γυνή τις ἔδοξε λέγειν αὐτῇ τινά.

Κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφιμάχονται.
Γυμνοῦ, ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.

Ταύτης ἀποδημῶν ὁ ἀνὴρ ἀπέθανε, καὶ τῆς οὐσίας ὑπὸ τοῦ φίσκου καταληφθείσης, εἰς μάχην κατέστη, καὶ ἐδικάσατο ἡ γυνή, καὶ οὐδὲν ἤνυσεν. ἀλλ' ἐν τῇ δίκῃ οὖσα, ἀπέθανεν. ὁρᾷς ὅτι τούτων ἃ μὲν αὐτάρκως τὴν ἀπόβασιν ἔδειξεν, οὐ προσδεηθέντα τῆς ἐκ τῶν ποιημάτων ὑποθέσεως, ἃ δὲ κατὰ τὰς ἱστορίας τὰς ἐν τοῖς ποιήμασιν ἀπέβη.

Περὶ πόλεων. ξβ'.

ΕΤΙ τῶν πόλεων τὰς οἰκειοτέρας ἄμεινον βλέπειν, ἢ τὰς ἄλλας· οἷον πατρίδας, ἢ ἐν αἷς διέτριψεν εὐτυχῶς. τὰς ξένας δὲ καὶ μὴ οἰκείας ἢ μὴ συνήθεις, ἧττον ἀγαθόν. ὁμοῦ δὲ πάσας ἀγαθὸν ὁρᾶν πολυάνδρους οὔσας καὶ εὖ οἰκουμένας καὶ πληθούσας πολίταις καὶ τοῖς ἄλλοις ὅσα πόλεως μέγεθος ἢ εὐδαιμονίαν ἐπιδείκνυσιν. ἐρήμους δὲ ἢ κατερρηγμένας βλέπειν, οὔτε ἰδίας οὔτε ἀλλοτρίας πόλεις ἀγαθόν. σημαίνουσι δὲ αἱ πατρίδες, καὶ τοὺς γονεῖς. οἷον ἔδοξέ τις τὴν πατρίδα σεισμῷ πεσεῖν, καὶ ὁ πατὴρ αὐτοῦ καταδικασθεὶς τὴν ἐπὶ θανάτῳ, ἀπώλετο.

De Ciuitatibus. CAP. 62.

INſuper & ex vrbibus præſtat familiariores videre, quàm aliâs: velut patrias, aut in quibus quis feliciter vixit. Peregrinas autem & non familiares aut non conſuetas videre, minus bonum eſt. Simul verò omnes bonum eſt videre viris refertas, & probè habitatas, & ciuibus plenas, & aliis rebus affluentes, ex quibus vrbis magnitudo aut felicitas oſtenditur. Verùm deſolatas aut confractas videre vrbes non eſt bonum, ſiue familiares ſint ſiue peregrinæ. Significant autem patriæ etiam parentes. Velut, viſus eſt ſibi quis patriam terræmotu corruere: & pater ipſius mortui adiudicatus periit.

Περὶ τοῦ πόσα τῶν κατ' ὄναρ βλεπομένων ἀποβαίνει. ξγ'.

ΟΣΑ τινὶ παρακολουθεῖ τῶν κατ' ὄναρ βλεπομένων, καθ' ἡμέραν ἀποβαίνει. μάλιστα δὲ τὸ μοιχεύειν, ἔχθραν πρὸς τὸν ἄνδρα τῆς μοιχευομένης ποιεῖ τῷ ἰδόντι. ἕπεται γὰρ καὶ ἀκολουθεῖ τῷ μοιχῷ μῖσος ἐκ τοῦ ἀνδρὸς τῆς μοιχευομένης. ὅσα δὲ οὐκ ἀκολουθεῖ τινὶ, ταῦτα οὐδὲ ἐν ὕπνοις τῶν πρώτων ὁραθέντων ἀποβαίνει. Οἷον ἔδοξέ τις τὸν δεσπότην παρακατακλίνειν αὐτῷ τὴν ἑαυτοῦ γυναῖκα, καὶ ἔχθρα μὲν αὐτῷ οὐδ' ἡντινοῦν ἐγένετο πρὸς τὸν δεσπότην. Τὰ δὲ χρήματα καὶ πᾶσαν τὴν οὐσίαν ἐπιτραπεῖσαν ὑπὸ τοῦ δεσπότου διῳκονόμησε, καὶ προέστη τοῦ παντὸς οἴκου. ἦν γὰρ εἰκὸς μηδεμίαν ἔσεσθαι ζηλοτυπίαν, πρὸς τὸν ἑαυτοῦ παρακομίζοντα γυναῖκα.

Quæ in ſomnis viſa eueniant. CAP. 63.

QVæcunque conſequuntur interdiu ad quædam in ſomnis viſa, ea ipſa eueniunt. Maximè verò adulterare, inimicitiam aduerſus virum conſtupratæ ipſi ſomnianti inducit. Sequitur enim odium adulteri ex marito adulteræ ſiue conſtupratæ. Quæcunque verò non conſequuntur interdiu, ea ipſa neque in ſomnis prima viſione eueniunt. Velut, viſus eſt ſibi quis, dominum ſuum proſtituere & acclinare ipſi propriam vxorem, & inimicitia penitus nulla inter ipſum & dominum oborta eſt. Verùm & pecunias & omnia bona heri ſibi commiſſa diſpenſauit, & vniuerſæ domui præfectus eſt. Veriſimile enim erat nullam fore æmulationem aduerſus eum, qui propriam vxorem ſuam ipſi proſtituiſſet.

Περὶ ἀγγείων γάλακτος. ξδ'.

ΕΤΙ ἔνια περὶ τὰ ἀγγεῖα, διαφόρως ἀποβαίνει, οἷον γάλα ἐν γαύλῳ, κερδαλέον, ἐν δὲ λεκάνῃ, ζημίας σύμβολον.

De Vaſis lactis. CAP. 64.

INſuper quædam circa vaſa diuerſimode eueniunt, velut lac in mulctra, quæſtuoſum eſt, in pelui verò, damni ſignum.

Neque enim vtatur ipso quispiam in cibo. Contrarium autem est, eò quòd ad vsum paratum est non vti, atque inde damnum oritur.

Non esse magna ænigmata somniis ammiscenda.

CAP. 65.

EOs porrò qui magna ænigmata somniis applicant perspuito & reiicito, tanquam non habentes intellectum aut somnij imaginationem, aut tanquam dij versutias & malignitatem non reprobent & damnent, si sanè in tantas nugas coniiciant eos qui somnia vident, qui pro eo quod futura per somnia discant, insuper etiam non quæ sunt ipsis necessaria quærunt. Satis enim nosti, quòd aliqua somnia nequaquam possibile est videre. Quale est huiusmodi quod dicunt. Quidam perdiderat seruum, & visus est sibi quendam ipsi dicere: In expeditionis immunibus est seruus tuus: inuentus est in Thebis seruus, quoniam soli Bœoticorum Thebani ad Ilium non militauerunt. Et rursus dicunt quòd ægrotans quis visus est sibi, quendam sibi dicere. Monocrepidi, hoc est vnam crepidam habenti sacrificato, & curaberis: sacrificauit is Mercurio: aiunt enim hunc Deum, Perso ad Gorgonis caput amputandum abeunte, alterum tantum calciamentum habuisse: multa autem etiam alia huiusmodi referunt, quæ magis historiæ inexpertes, & quibus res ipsa peregrina est, redarguere videntur, quàm ipsos somniorum interpretes. Omnia verò eiusmodi facile est volenti tibi discere, quò de his probè respondere possis. Sunt enim & apud Lycophronem in Alexandra, & apud Heraclidem Ponticum in fabulamentis, & apud Parthenium in Elogiis, & apud alios multos historiæ peregrinæ & non vulgares.

οὐ γὰρ ἄν τις αὐτῷ χρήσαιτο εἰς τροφήν. τὸ δὲ ἐναντίον τῷ χρῆσθαι, μὴ χρῆσθαι, δι' οὗ ζημία γίνεται.

Περὶ τοῦ μεγάλα αἰνίγματα τοῖς ὀνείροις προσφέρειν. ξέ.

ΤΩΝ δὲ τὰ λίαν μεγάλα αἰνίγματα προσαπτόντων τοῖς ὀνείροις, καταπτύε, ὡς οὐκ ἐχόντων ἔννοιαν ἢ ὀνείρου φαντασίαν, ἢ ὡς ὄντων θεῶν πανουργίαν, ἢ κακοπραγμοσύνην καταγνωκότων, εἴ γε εἰς τοσαύτην λέσχην ἐμβάλλουσι τοὺς ὁρῶντας τοὺς ὀνείρους. οἳ ἀντὶ τοῦ διὰ τῶν ὀνείρων μαθεῖν τὰ ἐσόμενα, προσέτι καὶ μὴ ὅσα ἐστὶν αὐτοῖς ἀνάγκη, ζητοῦσιν. εὖ γὰρ ἴσθι, ὅτι ἐνίους οὐδαμῶς ἐνδέχεται ἰδεῖν ὀνείρους. οἷ λέγουσι τι τοιοῦτον. ἀπολέσας τις ἀνδράποδον, ἔδοξε λέγειν αὐτῷ τινά, ἐν ἀστρατεύτοις ἐστὶ σου ὁ θεράπων. εὑρέθη ἐν θήβαις ὁ θεράπων. ἐπειδὴ μόνοι οἱ θηβαῖοι τῶν Βοιωτῶν, οὐκ ἐστράτευσαν εἰς ἴλιον. καὶ πάλιν λέγουσιν ὅτι νοσῶν τις, ἔδοξε λέγειν αὐτῷ τινά, τῷ μονοκρήπιδι θῦσον, καὶ θεραπευθήσῃ. ἔθυσε τῷ Ἑρμῇ· φασὶ γὰρ τοῦτον τὸν θεὸν Περσεῖ ἐπὶ γοργοῦς τομὴν ἀπιόντι, τὸ ἕτερον μόνον ἔχειν τῶν ὑποδημάτων. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα διαφέρουσιν. ἃ μᾶλλον τοὺς ἀπείρους ἱστορίας καὶ ξένως ἔχοντας ἐλέγχειν ἔοικεν, ἢ τοὺς ὀνειροκρίτας. πάντα δὲ τὰ τοιαῦτα βουλομένῳ σοι μαθεῖν, εὔκολον. ἵνα πρὸς ταῦτα ἀναποκρίτως ἔχῃς. εἰσὶ γὰρ καὶ παρὰ Λυκόφρονι ἐν τῇ Ἀλεξάνδρᾳ, καὶ παρὰ Ἡρακλείδῃ τῷ ποντικῷ ἐν ταῖς λέσχαις, καὶ παρὰ Παρθενίῳ ἐν ἐλεγείαις, καὶ παρ' ἄλλοις πολλοῖς ἱστορίαι ξέναι καὶ ἄπειροι. πρόσεχε δὲ καὶ ταῖς ὑπό τινων εὐξησίαις δυναμέναις γενέσθαι, ἢ μή.

Περὶ εὐεργεσιῶν ἢ ἐργασιῶν δυνατῶν. ξϛʹ.

ΕΔοξέ τις ὑπὸ δεσπότου πεφονεῦσθαι, ἠλευθερώθη ὑπὸ τοῦ φονεύοντος, ἐπειδὴ ὁ θάνατος τοῦτο ἐσήμαινεν. ὁ δὲ τοῦ θανάτου αἴτιος, καὶ τῆς ἐλευθερίας ἦν αἴτιος· ἐδύνατο γάρ· ὁ δὲ ἀπὸ τοῦ συνδούλου δόξας φονεύεσθαι, ἐλεύθερος μὲν οὐκ ἐγένετο. οὐ γὰρ οἷός τε ἦν αὐτὸν ὁ σύνδουλος ἐλευθεροῦν. εἰς ἔχθραν δὲ κατέστη αὐτῷ. οὐδὲ γὰρ φίλοι οἱ φονεύοντες τοῖς ἀναιρουμένοις.

De Beneficiis, aut Factis possibilibus. CAP. 66.

ANimaduersionem præterea habe & beneficiorum, aut factorum, quæ ab aliquibus fieri possunt, aut non. Visus est sibi quis ab hero occisus esse, ab occisore manumissus est: quoniam mors hoc significabat; qui verò mortis, idem etiam libertatis autor erat: poterat enim hoc. Qui verò à conseruo visus est sibi occidi, liber quidem non euasit, neque enim potens erat conseruus ipsum manumittere: in inimicitiam autem cum ipso deuenit. Non enim sunt amici occisores his qui occiduntur.

Περὶ τοῦ εἰ δυνατὸν τῷ αὐτῷ καιρῷ, πονηροῖς καὶ ἀγαθοῖς ὀνείροις ὁρᾶν. ξζʹ.

ΠΡὸς δὲ τοὺς πυνθανομένους εἰ δυνατὸν τὸν αὐτὸν καιρὸν ἀγαθοῖς καὶ κακοῖς ἰδεῖν ὀνείροις, καὶ ζητοῦντας ὁποτέροις χρὴ πιστεύειν, πότερον τοῖς κακοῖς ἢ τοῖς ἀγαθοῖς, καὶ εἰ ἕτεροι τῶν ἑτέρων εἰσὶν ἀναιρετικοὶ ἢ βέβαιοι, εἴποις ἄν· οὐ μόνον ἐν τῷ αὐτῷ καιρῷ δυνατὸν, ἀλλὰ καὶ ἐν νυκτὶ τῇ αὐτῇ καὶ ἐν ὀνείρῳ τῷ αὐτῷ, καὶ κακὸν καὶ ἀγαθὸν πολλάκις ἐστὶν ἰδεῖν· καὶ παραθήσεις τοὺς πολλὰ δι' ὀλίγων σημαίνοντας. ἢ πολλὰ διὰ πολλῶν. καὶ οὐδὲν θαυμαστὸν, εἰ ἑκάστῳ τῶν ἀνθρώπων τὰ πράγματα καὶ ὁ βίος ἐστὶ τοιοῦτος. πολλάκις γὰρ κατὰ τὸν αὐτὸν καιρὸν, καὶ ἀγαθόν τι καὶ κακὸν πάσχουσι. καὶ παράλληλα καὶ ὁμοῦ. πίστευε δὲ τοῖς ἀποβεβηκόσιν, ὡς πάλιν ὁμοίως ἀποβησομένοις. ἡγοῦ δέ τι καινότερον τι σημαίνειν αὐτοῖς, καὶ οὕτω σοι συμβήσεται. μὴ μόναις ἐπαναπαύεσθαι ταῖς παλαιαῖς ἀποβάσεσιν, ἀλλὰ καὶ πειρᾶσθαι ἀεί τι προσεξευρίσκειν ὅμοιον τοῖς προτέροις. ἐπεὶ καὶ γελοῖον ἂν εἴη ὁμοίως τοῖς πολλοῖς μόνα τὰ γεγραμμένα ἢ λεχθέντα μνημονεύειν οἷόν ποτε καὶ Ἀντιπάτρῳ τῷ ὀνειροκρίτῃ

An possibile sit eodem tempore bona & mala somnia videre.

CAP. 67.

POrrò ad eos qui interrogant an possibile sit eodem tempore bona & mala somnia videre, & veris fidem habere oporteat, quærunt, malisne an bonis, & num altera altera tollant, aut confirment, dicere potes. Non modò eodem tempore, verùm etiam eadem nocte, & eodem somnio, & bonum & malum possibile esse sæpè videre: & appones somnia quæ multa perpauca significant, aut multa per multa: atque nihil sanè miri est, si vnicuique homini & negotia, & vita, talia existunt. Sæpè enim eodem tempore, & bonum, & malum quippiam patiuntur, faciúntque & vicissim, & simul. Ne credas autem his quæ euenerunt, tanquam rursus similiter euenturis. Existimato verò aliquid recens ipsa tibi portendere, & sic tibi eueniet. Nec solis veteribus euentibus acquiescas, sed etiam semper quid prioribus simile adinuenire coneris: quoniam ridiculum planè fit, vulgi more sola ea quæ scripta aut dicta sunt in memoriam reuocare: quale quid aliquando Antipatro somniorum

inter-

interpreti contigit. Visus est sibi quidam cùm ferro coire, velut cùm muliere. Cōtigitque ipsum in seruiturē adiudicari ac damnari, & semper cùm ferro conuersari. Verùm bonus Antipater hoc somnium in memoriam reuocans, alteri cuidam sibi viso cùm ferro coire, interpretatus est damnationem in gladiatorium duellum. Hoc autem non sic euenit, sed qui somnium vidit virilibus priuatus & exectus est.

De Ponte. CAP. 68.

INsuper & hoc apud Phœbum relatum, multos in errorem inducit. Visus est sibi quis pons factus esse, & factus est fluminis transmissor, idem enim opus cum ponte habebat: atque hoc solùm Phœbus ipse perscribit. Nunc verò diues quidam vir visus est sibi pons factus esse, & à populi multitudine contemptus, velut pons conculcatus est. Viderunt autem aliquando hoc somnium & mulier, & puer formosus, & in scortationem collapsi, multos suscipient ac transmittent. Quin & litigans quispiam ob somnium superior inimicis suis euadet, atque ipso etiam iudice, simile enim flumen iudici, propterea quòd impunè quæ vult facit. Pons autem supernè supra fluuium existit.

De exercitatione excogitandi similia. CAP. 69.

CÆterùm ad exercitationem excogitandi similia, sufficiens fuerit tibi hoc propositum somnium. Mulier vterum ferēs visa est sibi, draconem genuisse. Qui ex ipsa natus est, rhetor optimus & celebris euasit. Duplicem enim linguā draco habet, quemadmodùm & rhetor. Erat autem & opulēta mulier. Viaticum enim eruditionis sunt diuitiæ. Alia idem somnium vidit, & qui ex ipsa natus est, sacerdos factus est. Sacer enim est draco, & mystes, & omnibus mysteriis præsens

συνέβη. ἔδοξέ τις σιδήρῳ πλησιάζειν ὥσπερ γυναικί· ἀπέβη αὐτῷ εἰς δοῦλον καταδικασθῆναι, καὶ ἀεὶ σιδήρῳ συναναστρέφεσθαι. ὁ δὲ βέλτιστος Ἀντίπατρος τούτου μεμνημένος, ἄλλῳ ποτὲ δόξαντι σιδήρῳ πλησιάζειν, ὑπεκρίνατο τὴν εἰς μονομάχους καταδίκην. τῷ δὲ, οὐχ οὕτως ἀπέβη, ἀλλ' ἐτμήθη τὰ αἰδοῖον ὁ ἰδὼν τὸν ὄνειρον.

Περὶ γεφύρας. ξή.

ἜΤΙ καὶ παρὰ Φοίβῳ κείμενον, πολλοῖς πλάνην ἐμποιεῖ. Ἔδοξέ τις αὐτὸς γέφυρα γεγονέναι, ἐγένετο ποταμοδιάρτης. τὸ γὰρ αὐτὸ γεφύρας ἔργον εἶχε· καὶ τοῦτο μόνος ὁ Φοῖβος ἀναγράφει. νυνὶ δὲ πλούσιός τις ἀνὴρ ἔδοξε γέφυρα γεγονέναι, ὑπὸ ὄχλων πολλῶν καταφρονηθεὶς, ὥσπερ γέφυρα κατεπατήθη. ἴδοι δ' ἄν ποτε καὶ γυνὴ τὸν ὄνειρον τοῦτον, καὶ παῖς ὡραῖος, καὶ πόρνοι γενόμενοι, πολλοὺς ὑποδέξονται, καὶ δικαζόμενός τις ἐπὶ τούτῳ τῷ ὀνείρῳ, ὑπέρτερος ἂν γένοιτο τῶν ἐχθρῶν, καὶ αὐτοῦ τοῦ κριτοῦ. ἔοικε γὰρ ὁ ποταμὸς τῷ κριτῇ, διὰ τὸ πράττειν ἀνυπευθύνως ἃ βούλεται. ἡ δὲ γέφυρα, ἄνωθεν ἐπὶ τοῦ ποταμοῦ ἐστίν.

Περὶ τοῦ τῆς τῶν ὁμοίων ἐπινοίας γυμνασίου. ξθ'.

ΕἸΣ δὲ τὸ γυμνάσιον τῆς τῶν ὁμοίων ἐπινοίας, αὐτάρκης ἄν σοι γένοιτο παρατεθεὶς ὁ ὄνειρος οὗτος. γυνὴ ἔδοξεν ἐν γαστρὶ ἔχουσα, δράκοντα γεγεννηκέναι. ὁ ἐξ αὐτῆς γενόμενος, ῥήτωρ ἄριστος καὶ διώνυμος ἐγένετο. διττὴν γὰρ ἔχει τὴν γλῶτταν ὁ δράκων, ὥσπερ καὶ ὁ ῥήτωρ. ἦν δὲ καὶ ἡ γυνὴ πλουσία. ἐφόδιον γὰρ παιδείας ὁ πλοῦτος, καὶ ἄλλη τὸν αὐτὸν εἶδεν ὄνειρον, καὶ ὁ ἐξ αὐτῆς γενόμενος, ἐγένετο ἱεροφάντης. ἱερὸς γὰρ ὁ δράκων, καὶ μύστης, καὶ πᾶσι μυστηρίοις παρών

τῶ, τῶ δὲ καὶ ἡ τὸν ὄνειρον ἰδοῦσα ἱερέως γυνή. καὶ ἄλλη τὸν αὐτὸν εἶδεν ὄνειρον, καὶ ὁ ἐξ αὐτῆς γενόμενος, μάντις ἄριστος ἀπέβη. ἔστι γὰρ ὁ δράκων ἱερὸς τῷ μαντικωτάτῳ Ἀπόλλωνι ἀνακείμενος. τῶ δὲ καὶ ἡ γυνὴ, μάντεως θυγάτηρ. καὶ ἄλλη τὸν αὐτὸν ὄνειρον εἶδε, καὶ ὁ ἐξ αὐτῆς γενόμενος, ἀκόλαστος καὶ ὑβριστὴς ἀπέβη, καὶ πολλὰς τῶν ἐν τῇ πόλει γυναικῶν ἐμοιχεύσατο· διὰ γὰρ τῶν στενωτάτων χηραμῶν διαδυόμενος, τοὺς ἐπιτηροῦντας πειρᾶται λανθάνειν. τῶ δὲ καὶ ἡ γυνὴ μαχλοτέρα, καὶ ἐπαίκτρια. καὶ ἄλλη τὸν αὐτὸν εἶδεν ὄνειρον, καὶ ὁ ἐξ αὐτῆς γενόμενος, λῃστεύων ἑάλω, καὶ ἐτραχηλοκοπήθη. καὶ γὰρ ὁ δράκων ἐπειδὰν ἁλῷ, εἰς τὴν κεφαλὴν παιόμενος ἀποθνήσκει. τῶ δὲ καὶ ἡ γυνὴ οὐ πάνυ τι ἀγαθή. καὶ ἄλλη τὸν αὐτὸν εἶδεν ὄνειρον, καὶ ὁ ἐξ αὐτῆς γενόμενος, δραπετικὸς ἐγένετο. οὐ γὰρ ὀρθῇ τῇ πορείᾳ χρῆται δράκων. τῶ γὰρ καὶ ἡ γυνὴ δούλη. καὶ ἄλλη τὸν αὐτὸν εἶδεν ὄνειρον, καὶ ὁ ἐξ αὐτῆς γενόμενος, παράλυτος ἐγένετο. καὶ γὰρ ὁ δράκων τῷ παντὶ σώματι εἰς τὴν πορείαν προσχρῆται. ὡς καὶ τῶν ἀνθρώπων οἱ παράλυτοι. τῶ δὲ ὅτε ἔβλεπε τὸν ὄνειρον ἡ γυνὴ ἐν νόσῳ. εἰκὸς οὖν καὶ τὸ βρέφος ἐν νόσῳ συλληφθὲν καὶ κυοφορηθὲν, μὴ φυλάξαι τοὺς πόρους ἐρρωμένους.

Περὶ τῶν ὁμοίως κινουμένων. ο.

ΟΣΑ ὁμοίως κινεῖται ἐν τοῖς ὕπνοις βλεπόμενα, τὸν αὐτὸν ἔχει λόγον. οἷον, ἔδοξέ τις ὑπὸ δράκοντος δεδῆχθαι τὸν ἕτερον τῶν ποδῶν. ὑπὸ τροχοῦ ἐπλήγη ἐν ὁδῷ τὸν αὐτὸν κεῖνον πόδα ὃν παρ' ἐδόκει δεδῆχθαι. καὶ γὰρ ὁ τροχὸς εἰλούμενος, ὅλῳ τῷ σώματι κινεῖται προβαινόμενος, ὥσπερ ὁ δράκων.

aderat, nam & ipsa quæ somnium vidit sacerdotis vxor erat. Alia idem somnium vidit, & qui ex ipsa natus est, vates optimus factus est. Est enim draco sacer, vatidissimo Deorum Apollini dicatus. Erat autem & ipsa mulier Vatis filia. Alia idem somnium vidit, & qui ex ipsa natus est, scelestus & legum violator euasit, & multas in vrbe fœminas constuprauit. Per angustissimos enim & remotos secessus subiens draco, obseruantes ipsum latere conatur. Erat autem & mulier adultera & scortatrix. Alia idem somnium vidit, & qui ex ipsa natus est, latrocinij reus ac damnatus, capite plexus est. Etenim draco vbi captus fuerit, in caput percussus moritur. Erat autem & mulier non valde probatæ vitæ. Alia idem somnium vidit, & qui ex ipsa natus est, fugitiuus euasit, non enim recto gressu vtitur draco. Erat autem & mulier serua. Alia idem somnium vidit, & qui ex ipsa natus est, paralyticus ac membris resolutus factus est: etenim draco toto corpore ad gradiendum vtitur, quemadmodum etiam homines paralysi resoluti. Erat autem & mulier vt somnium vidit in morbo. Verisimile erat igitur & infantem in morbo conceptum, ac vtero gestatum, non conseruaturum esse sanum gressum.

De his quæ similiter mouentur.

CAP. 70.

QVæcunque similiter mouentur, in somniis visa eandem rationem habent. Velut, visus est sibi quis à dracone in alterum pedem commorsus esse, & à rota percussus est in via in eundem pedem, quem commorsum sibi per somnium putabat. Etenim rota dum voluitur toto corpore mouetur, quemadmodum graditur draco.

Quod dei cum dominis eandem rationem habent.

CAP. 71.

QVòd Dei cum dominis eandem rationẽ habent, etiam in sermone de diis prædiximus, & euentus nihilominus te docebunt: & nunc eius rei demonstrandæ gratia, simile somnium tibi proponatur. Seruus quidam visus est sibi cum Ioue pila ludere, & cum domino in contentionem peruenit, & liberius eum alloquens odio habitus est. Iupiter enim dominũ significabat, pilæ lusus, ex æquo collatum sermonem & contentionem. Contentiosè enim ludunt qui pila ludunt. Quoties enim acceperint pilam toties repellunt. Et in vniuersum domini, parentes, præceptores, dij, eandem rationem habent. Et filius, & nepos, & pater, & auus, & filia, & neptis, & mater, & auia, eandem rationem habent.

Περὶ τοῦ ὅτι οἱ θεοὶ τοῖς δεσπόταις τὸν αὐτὸν ἔχουσι λόγον. οα.

ΟΤΙ δὲ οἱ θεοὶ τοῖς δεσπόταις τὸν αὐτὸν ἔχουσι λόγον, καὶ ἐν τῷ περὶ θεῶν λόγῳ προειρήκαμεν, καὶ τὰ ἀποτελέσματα δέ σε οὐδὲν ἧττον διδάξει· καὶ νῦν εἰς ἐπίδειξιν τοῦ τοιούτου, ὅμοιος ἔστω ὁ ὄνειρος, οὕτω παρακείσθω. δοῦλος τις ἔδοξε μετὰ τοῦ Διὸς σφαιρίζειν. ἐφιλονείκησε τῷ δεσπότῃ, καὶ ἠλευθερώτερον προσδιαλεγόμενος ἐμισήθη. ὁ μὲν γὰρ Ζεὺς, τὸν δεσπότην ἐσήμαινεν, ὁ δὲ σφαιρισμὸς, τὴν ἐξ ἴσου ῥῆσιν καὶ φιλονεικίαν. φιλονείκως γὰρ οἱ σφαιρίζοντες παίζουσιν. ὁσάκις δ' ἂν λάβωσι τὴν σφαῖραν, τοσαυτάκις ἀντικρούουσι. καὶ τὸ ὅλον δεσπόται, γονεῖς, διδάσκαλοι, θεοὶ, τὸν αὐτὸν ἔχουσι λόγον. καὶ υἱὸς, καὶ υἱωνὸς, καὶ πατὴρ, καὶ πάππος, καὶ θυγάτηρ, καὶ ἔγγονη, καὶ μήτηρ, καὶ μάμμη, τὸν αὐτὸν ἔχουσι λόγον.

Quòd fratres pro hostibus iudicantur. CAP. 72.

INsuper & fratres cum hostibus eandem rationem habent, quod ad euentus attinet, & vicissim hostes cum fratribus. Non enim in vtilitatem nascuntur, sed in detrimentum, quemadmodum etiam hostes: quoniam quæ quis solus habiturus erat, ea non solus, sed ex medietate, aut tertia parte, vnà cum fratribus habet. Timocrates visus est sibi, quẽdam fratrum suorum mortuum sepelire, & non ita diu postea quendam hostem mortuum vidit. Non solùm autem inimicorum perniciem fratres morientes significant, sed etiam damni expectati solutionem. Diocles grammaticus timens argenti perditionem ex inexperientia, fratrem mortuum esse sibi visus est, & indemnis permansit.

Περὶ τοῦ ὅτι οἱ ἀδελφοὶ εἰς ἐχθροὺς κρίνονται. οβ.

ΕΤΙ καὶ οἱ ἀδελφοὶ τοῖς ἐχθροῖς τὸν αὐτὸν ἔχουσι λόγον πρὸς τὰ ἀποτελέσματα, καὶ οἱ ἐχθροὶ τοῖς ἀδελφοῖς. οὐ γὰρ ἐπ' ὠφελείᾳ γίνονται, ἀλλ' ἐπὶ βλάβῃ, ὥσπερ καὶ οἱ ἐχθροί· ἐπειδὴ ἃ μόνος τις ἔμελλεν ἕξειν, ταῦτα οὐ μόνος ἀλλ' ἐξ ἡμισείας ἢ τρίτου μέρους μετὰ τῶν ἀδελφῶν ἔχει. ὁ Τιμοκράτης ἔδοξέ τινα τῶν ἀδελφῶν ἀποθανόντα καθορύττειν, καὶ οὐκ εἰς μακρὰν εἶδέ τινα τῶν ἀδελφῶν ἀποθανόντα. οὐ μόνον δὲ ἀδελφοὶ ἀποθνήσκοντες ἐχθρῶν ὄλεθρον σημαίνουσιν, ἀλλὰ καὶ ζημίας προσδοκωμένης λύσιν. οἷον Διοκλῆς ὁ γραμματικὸς φοβούμενος ἐξ ἀπειρίας ἀργύριον ἀπολέσαι, τὸν ἀδελφὸν ἔδοξε τεθνάναι, καὶ ἀζήμιος ἔμεινεν.

Περὶ τοῦ ὅτι ὅσα οἱ θεοὶ λέγουσιν, ἀληθῆ. ογ'.

ΟΤΙ δὲ οὔτε οἱ θεοὶ, οὔτε ἄλλοι ἀξιόπιστοι ψεύδονται, ἀλλ' οἷα ἂν λέγωσιν ἀληθῆ λέγουσιν, ἐν τῷ δευτέρῳ βιβλίῳ ἕκαστα διῄρηται. ἐπειδὴ δὲ πολλάκις οἱ ἄνθρωποι, ῥηθέντων τινῶν αὐτοῖς καὶ μὴ ἀποβαινόντων, οὕτως ἐξηπατῆσθαι νομίζουσι, παραδεικνύσθω σοι καὶ οὗτος ὁ λόγος. ὡς ἄρα οἱ θεοὶ καὶ πάντες οἱ ἀξιόπιστοι, πάντα μὲν ἀληθῆ λέγουσιν, ἀλλὰ ποτὲ μὲν ἁπλῶς λέγουσι, ποτὲ δὲ αἰνίσσονται. ὅταν μὲν οὖν ἁπλῶς λέγωσιν, οὐδὲν πρᾶγμα παρέχουσιν, οὐδὲ λέγειν διὰ τὸ ἁπλοῦν τῆς ῥήσεως. ὅταν δὲ αἰνίσσονται καὶ μὴ ἁπλῶς λέγωσιν, ἑρμηνευτέον σοι τὰ αἰνίγματα. καὶ γὰρ εἰκὸς τοὺς θεοὺς τὰ πολλὰ δι' αἰνιγμάτων λέγειν· ἐπειδὴ καὶ σοφώτεροι ὄντες ἡμῶν αὐτῶν, οὐδὲν ἡμᾶς ἀβασανίστως βούλονται μανθάνειν. οἷον, ἔδοξέ τις λέγειν αὐτῷ τὸν Πᾶνα, ἡ γυνή σοι φάρμακον δίδωσι, διὰ τοῦ δεῖνος ὄντος γνωρίμου καὶ συνήθους. τούτου ἡ γυνὴ φάρμακον μὲν οὐκ ἔδωκεν, ἐμοιχεύθη δὲ ὑπ' αὐτοῦ ἐκείνου, δι' οὗ ἔλεγε τὸ φάρμακον δώσειν. καὶ γὰρ ἡ φαρμακεία καὶ ἡ μοιχεία, λάθρα γίνονται, καὶ ἀμφότερα ἐπιβουλαὶ λέγονται· καὶ οὔτε ἡ μοιχευομένη, οὔτε ἡ φάρμακον παρέχουσα φιλοῦσι τοὺς ἄνδρας. καὶ ἐπὶ τούτοις οὐκ εἰς μακρὰν ἡ γυνὴ αὐτοῦ ἀπηλλάγη. πάντων μὲν γὰρ ὁ θάνατος ἐστὶ λυτικός. τὸ δὲ φάρμακον, τὸν αὐτὸν τῷ θανάτῳ λόγον ἔχει.

Quòd vera sint quæ dij dicunt.

CAP. 73.

QVòd neque dij, neque alij fide digni mentiantur, sed quæcunque dixerint vera dicant, in secundo libro singulatim tractatum est. Quandoquidem verò homines, quibusdam ipsis dictis, & nõ euenientibus, deceptos se esse putant, retractabitur tibi & hic sermo. Quòd sanè dij fide digníque omnes, omnia quidem vera dicunt, sed aliquando simpliciter loquuntur, aliquando per ænigmata insinuant. Cùm igitur simpliciter dixerint, nullum negotium exhibent, neque nugantur, propter dictionis simplicitatem. Vbi verò per ænigmata loquuntur, & nõ simpliciter dixerint, ęnigmata sunt interpretanda. Etenim verisimile est Deos multa per verborum inuolucra dicere: quandoquidem & sapiẽtiores nobis ipsis existentes, nihil volunt nos absque tortura assequi ac condicere Velut, visus est sibi quis Pana ipsi dicere, vxor tua venenum tibi dabit, per quendam notum & familiarem. Huius vxor venenum quidem non dedit, verùm per adulterium ab illo ipso construprata est, per quem dixerat Pan ipsam venenum exhibituram esse. Nam & veneni exhibitio, & adulterium, clandestinè fiunt, & ambo insidiæ vocantur: & neque adultera, neque venefica, amant viros. Insupérque non ita longè postea vxor ipsi morte adempta est. Omnia enim mors ipsa dissoluit. Venenum autem eandem cum morte rationem habet.

Περὶ θεῶν ἀνοικείαν σκευὴν ἐχόντων. οδ'.

ΕΤΙ καὶ οἱ θεοὶ ὅταν μὴ ἔχωσι τὴν οἰκείαν σκευὴν, μηδὲ ἐν τόπῳ τῷ ἐπιβάλλοντι, μηδὲ ἐν σχήματι τῷ προσήκοντι

De Diis improprium habitum habentibus.

CAP. 74.

INSVPER & dij vbi proprium habitum non habuerint, neque in loco iusto, neque in figura conuenienti

fuerint, quicquid sanè dixerint, mendacia dicunt & decipiunt. Quare omnium simul animaduersionem habere oportet, dicentis, dicti, loci, figuræ & habitus dicentis. Chrysampelus Lyrista causam habens super puero in seruitutem acto, visus est sibi, videre Pana in foro desidentem, Romanam vestem & calciatum habentem, & percunctanti ipsi de negotio dicere, vinces: causam perdidit & superatus est, & meritò certè hoc ipsi sic euenit. Etenim Deus deserti amator & negotiis nullis impeditus, & solam hinuli pellem habens, & fustem ligneum, & fistulam, in foro in veste ciuili sedebat. Ad eundem igitur modum etiam iudicationes somniorum in somnis obueniẽtes, si quidem simplices fuerint & non ænigmate inuolutæ, per se iudicandas esse putabis, & ipsas iudicationes in seipsis habere, neque temere conaberis dicere in ea quæ per somnium sunt iudicata. Cùm verò ipsæ iudicationes ab aliquibus in somniis factæ, non fuerint simplices, tentabis etiam ipsas iudicationes interpretari & diiudicare. Velut, Plutarchus in cœlum ascẽdere duce Mercurio sibi videbatur: & sequenti nocte per somnium interpretatus est ipsi quis somnium, & dixit, felicem ipsum fore, atque hoc esse, in cœlum ipsum ascendere, superexcellentem videlicet felicitatem. Ægrotabat autem Plutarchus, & à morbo malè afficiebatur, & nõ longè postea mortuus est, atque hoc erat quod & somnium, & interpretatio ipsi significabant. Etenim ascensus in cœlum, ægrotanti interitus, & magna felicitas, mortis signum est. Solus enim is felix est, qui nullius incommodi aut infelicitatis particeps est, talis autem est vita defunctus.

De Diis inter se inimicis.

CAP. 75.

Dij qui inimici inter se esse creduntur, simul conspecti inimicitiæ & seditionis sunt significatiui. Velut Mars & Vulcanus simul visi, & Neptunus ac Minerua, & Iupiter ac Saturnus. Et olympij dij simul cùm gigantibus conspecti.

ὦσιν, ὅ, τι ἂν λέγωσι, ψευδῆ λέγουσι καὶ ἐξαπατῶσι. προσεκτέον οὖν ὁμοῦ πᾶσι, τῷ λέγοντι, τῷ λεγομένῳ, τῷ τόπῳ, τῷ σχήματι, τῇ σκευῇ τοῦ λέγοντος. Χρυσάμπελος ὁ λυριστὴς δίκην ἔχων περὶ παιδὸς εἰς δουλείαν ἀγομένου, ἔδοξε τὸν Πᾶνα βλέπειν ἐν τῇ ἀγορᾷ καθεζόμενον, ἔχοντα Ῥωμαϊκὴν ἐσθῆτα καὶ ὑποδήματα, καὶ πυνθανομένῳ αὐτῷ περὶ τοῦ πράγματος, φάναι, νικήσεις. ἡττήθη· εἰκότως ἀποβάντος αὐτῷ τούτου. ὁ γὰρ φιλέρημος καὶ ἀπράγμων θεὸς, καὶ μόνον ἔχων νεβρίδιον καὶ καλαύροπα καὶ σύριγγα, ἐμφανὲν ἐν τῇ ἀγορᾷ καθήμενος ἐν ἐσθῆτι πολιτικῇ. οὕτως οὖν καὶ τὰς ἐν τοῖς ὕπνοις γενομένας κρίσεις τῶν ὀνείρων, ἐὰν μὲν ἁπλαῖ ὦσι καὶ μὴ αἰνιγματώδεις, αὐτοκρίτους εἶναι νόμιζε, καὶ ἔχειν αὐτὰς ἐν ἑαυταῖς τὰς κρίσεις, καὶ μηδὲν παρεγχείρει λέγειν εἰς τὰ κεκριμένα καθ᾽ ὕπνους. ὅταν δὲ αὐταὶ αἱ κρίσεις αἱ ἐν τοῖς ὕπνοις ὑπό τινων κρινόμεναι μὴ ἁπλαῖ ὦσι, πειρῶ καὶ αὐτὰς τὰς κρίσεις ἑρμηνεύειν καὶ διακρίνειν. οἷον, ὁ Πλούταρχος εἰς τὸν οὐρανὸν ἀναβαίνειν ὑπὸ τοῦ Ἑρμοῦ ἀγόμενος ἐδόκει· καὶ τῇ ἐπιούσῃ ὄναρ ὑπεκρίνατό τις αὐτῷ τὸν ὄνειρον, καὶ ἔφη μακάριον ἔσεσθαι αὐτόν· καὶ τοῦτο εἶναι τὸ εἰς τὸν οὐρανὸν αὐτὸν ἀναβαίνειν, τὴν ὑπερβάλλουσαν εὐδαιμονίαν· ἔτυχε δὲ νοσῶν, καὶ ὑπὸ τῆς νόσου κακῶς διακείμενος, καὶ οὐκ εἰς μακρὰν ἀπέθανε, καὶ τοῦτο ἦν ὅπερ αὐτῷ ὁ ὄνειρος καὶ ἡ κρίσις ἐσήμαινε. καὶ γὰρ ἡ εἰς τὸν οὐρανὸν ἀνάβασις, νοσοῦντι ὄλεθρος, καὶ ἡ μεγάλη εὐδαιμονία, θανάτου σημεῖον. μόνος γὰρ εὐδαιμονῶν, ᾧ μηδὲν μέτεστι κακοδαιμονίας. τοιοῦτος δὲ ἐστιν ὁ ἀποθανών.

Περὶ θεῶν ἐχθρῶν εἰς ἀλλήλους. οε.

ΤΩΝ θεῶν οἱ νομιζόμενοι ἐχθροὶ εἶναι, ὁμοῦ βλεπόμενοι, ἔχθρας εἰσὶ καὶ στάσεως σημαντικοί. ὡς Ἄρης, καὶ Ἥφαιστος ὁμοῦ βλεπόμενοι, καὶ ὁ Ποσειδῶν καὶ ἡ Ἀθηνᾶ, καὶ ὁ Ζεὺς καὶ ὁ Κρόνος. καὶ οἱ ὀλύμπιοι θεοὶ ἅμα τοῖς γίγασιν ὁρώμενοι.

Περὶ θεῶν καὶ τεχνῶν. ος΄.

Ὅσοι τῶν θεῶν ταῖς τέχναις τῶν ὁρώντων ἁρμόζουσι, τούτους ἄμεινον ἰδεῖν, ἢ τοὺς ἐναντίους. κακοὶ γὰρ οἱ μὴ συλλαμβανόμενοι ταῖς τέχναις· οἷον ὑδραγωγοῖς, ὁ Ἥφαιστος, καὶ χαλκεῦσιν, ὁ Ἀχελῶος, καὶ πορνοβοσκοῖς ἡ Ἄρτεμις.

Περὶ θεῶν ἀρρένων καὶ θηλειῶν. οζ΄.

Ὅσα οἱ ἄρρενες θεοὶ τοῖς ἀνδράσι σημαίνουσι, ταῦτα καὶ αἱ θήλειαι ταῖς γυναιξίν. οἱ ἄρρενες θεοὶ, ἀνδράσι συμφέρουσι μᾶλλον τῶν θηλειῶν, καὶ αἱ θήλειαι ταῖς γυναιξὶ μᾶλλον τῶν ἀρρένων. οἱ ἄρρενες θεοὶ, θηλειῶν ἔχοντες ἐσθῆτα ἢ ἐνδύματα, ἢ ἄλλά τινα φορήματα, γυναιξὶ μᾶλλον ἢ ἀνδράσι συμφέρουσιν· αἱ θήλειαι δὲ ἀνδρείαν ἔχουσαι στολὴν, ἀνδράσι μᾶλλον ἢ γυναιξὶ συμφέρουσιν.

Περὶ γυμνῶν θεῶν. οη΄.

Ἄνευ τῶν ὅπλων καὶ τῶν ἀναθημάτων οἱ θεοὶ βλεπόμενοι, πονηροί.

Περὶ θεῶν αἰσθητῶν καὶ πρεσβυτέρων. οθ΄.

Τῶν αἰσθητῶν θεῶν, τοῖς πενιχροῖς οὐδεὶς οὐδενὶ συμφέρει. καὶ οἱ μείζονες τῶν θεῶν καὶ οἱ πρεσβύτεροι, καὶ τῇ τάξει προύχοντες, τοῖς βελτίοσι μᾶλλον ἢ τοῖς ταπεινοτέροις συμφέρουσιν. ὁ ἥλιος ἅμα τοῖς ἄστροις βλεπόμενος, ἀηδὴς καὶ ἄτοπος, εἰ μὴ ἄρχοι τῶν ἄστρων καὶ προάγοι, ἀλλὰ περι-

De Diis, & Artibus.

CAP. 76.

Qvicunque dij artibus videntium conueniunt, eos videre præstat quàm contrarios. Mali enim sunt qui artibus non opitulantur: velut adaquatoribus Vulcanus, & fabris ferrariis Achelous, & lenonibus Diana.

De Diis maribus, & fœminis.

CAP. 77.

Qvæcunque masculi dij viris significant, eadem etiam deæ fœminæ fœminis. Masculi dij viris magis quàm fœminis conducunt, & fœminæ deæ mulieribus quàm viris. Masculi dij fœminarum vestitum aut indumenta habentes, aut alia quædam gestamina, mulieribus magis quàm viris conferunt: fœminæ deæ habitum indutæ virilem, viris magis quàm fœminis conducunt.

De Diis nudis. CAP. 78.

Dij absque armis & donariis conspecti, mali sunt.

De Diis sensibilibus, & senioribus. CAP. 79.

Nvllvs sensibilium Deorum vlli pauperi conducit. Et maiores dij, ac seniores, & ordine prælati, præstantioribus magis quàm vilioribus conferunt. Sol simul cum astris conspectus, iniucundus est & absurdus, nisi imperet astris ipsáque præcedat. Verùm circum-

uentus ab astris, ab inferioribus malè affectum iri somniantem prædicit. Imperans autem astris ipsáque præcedens, inimicis superiorem fore significat, & præsentem fortunam corroborat, & ad præsentia bona etiam alia acquisiturum esse significat. Simile est enim maius & potentius, videnti somnium. Minora verò & inferiora, inimicis & subditis.

De Heroibus.

CAP. 80.

HEroës & heroides eandem cum diis rationem habent, prgterquam quãtum potentia inferiores sunt. Nam & bona & mala minora significant. Semper autem humiles & subtristes ac parui conspecti, heroës significant propè videntis domum locatos, aut nondum consecratos, aut consecrationem & festiuitatem petentes, aut à quibusdam contumelia affectos, aut sub terra adhuc sepultos. Oportet igitur ipsos perquirere, ac inuentos consecrare & colere. Quodcunque verò malum fecerint heroës in domum ingressi, inimicorum aut latronum incursum ac irruptionem significant.

De Draconibus transformatis.

CAP. 81.

DRacones in viros transformati, heroas significant, in mulieres verò heroidas.

De originationibus nominum.

CAP. 82.

QVòd multa somnia etiam ex nominum originationibus & etymologiis indicanda sint, hic condiscere licet. Menecrates grammaticus somnium huiusmodi retulit. Quidam filios sibi nasci cupiens, visus est sibi occurrere debitori, & debitum accipere, & debitori apochen & receptæ debitæ pecuniæ testimonium

χόμενος ὑπὸ τῶν ἀστρων, ὑπὸ τῶν ἡττόνων τὸν ἰδόντα κακῶς παθεῖν προαγορεύει. ὁ δὲ ἄρχων τῶν ἄστρων καὶ προηγούμενος, καὶ τῶν ἐχθρῶν ὑπέρτερον ἔσεσθαι σημαίνει, καὶ τὴν ὑπάρχουσαν τύχην κρατύνει, καὶ πρὸς τοῖς ὑπάρχουσι, καὶ ἄλλα προσκτήσασθαι σημαίνει. ἔοικε γὰρ τὸ μὲν μεῖζον καὶ κρεῖττον τῷ ἰδόντι· τὰ δὲ μικρότερα καὶ χείρονα, τοῖς ἐχθροῖς καὶ ἀρχομένοις.

Περὶ ἡρώων. π'.

ΟΙ ἥρωες καὶ αἱ ἡρωΐδες, τοῖς θεοῖς τὸν αὐτὸν ἔχουσι λόγον, πλὴν ὅσοι δυνάμεως ἀπολείπονται. καὶ γὰρ τὰ ἀγαθὰ καὶ τὰ κακά, ἥττονα σημαίνουσιν. ἀεὶ δὲ οἱ μὲν κατηφεῖς καὶ λιτοὶ καὶ μικροὶ βλεπόμενοι, σημαίνουσιν ἥρωας, πλησίον τῆς τοῦ ἰδόντος οἰκίας ἱδρυμένους, ἢ ἀτελέστους, ἢ τελετῆς δεομένους, ἢ πρός τινων ὑβριζομένους, ἢ κατακεχωσμένους. Χρὴ οὖν ἀνευρόντα τελέσαι καὶ τιμᾶν. ὅ, τι δ' ἂν οἱ ἥρωες εἰσελθόντες εἰς τὴν οἰκίαν κακὸν πράξωσιν, ἐχθρῶν ἢ λῃστῶν ἔφοδον σημαίνουσιν.

Περὶ δρακόντων μεταβαλλομένων. πα'.

ΔΡάκοντες οἱ μὲν εἰς ἄνδρας μεταβαλλόμενοι, ἥρωας σημαίνουσιν, οἱ δὲ εἰς γυναῖκας, ἡρωΐδας.

Περὶ ἐτύμων* ὀνομάτων. πβ'.

ΟΤΙ πολλὰ καὶ ἐκ τῶν ἐτύμων* ὀνομάτων κριτέον, ἐντεῦθεν ἂν μάθῃς. Μενεκράτης ὁ γραμματικὸς, εἶπεν ὄνειρον τοιοῦτον. ἐπιθυμῶν τις τέκνων, ἔδοξε χρεώστῃ συναντήσας, τὸ χρέος ἀπολαβεῖν, καὶ ἀποχὴν τῷ χρεώστῃ

δυνῶνται. καὶ ὁ μὲν ὄνειρος, οὕτως. ἱστορεῖ δὲ ὅτι μὴ δυναμένων τῶν ἐν Ἀλεξανδρείᾳ ὀνειροκριτῶν κρῖναι αὐτὸν, ἀπορῶν ὁ ἄνθρωπος, τί ποτε θέλει σημαίνειν ὁ ὄνειρος, ηὔξατο τῷ Σαράπιδι κρῖναι αὐτῷ τὸ αἴνιγμα. καὶ δὴ ἔδοξεν ὄναρ λέγειν αὐτῷ τὸν Σάραπιν, οὐκ ἔσονταί σοι παῖδες· ὁ γὰρ ἀποχὴν παρέχων, τόκον οὐ λαμβάνει. τόκος δὲ καλεῖται πᾶς ὁ γινόμενος παῖς. μέμνησο δὲ ὅτι εὐφήμων ὀνομάτων ἄπιστοι αἱ εὐτυχίαι καὶ αἱ ἐτυμολογίαι, ἐὰν μὴ καὶ τὰ καθ' ὃν τέτακται τὰ ὀνόματα εἰς αὐτὸ ῥέπῃ. οἷον, Παῦλος ὁ νομικὸς δίκην ἔχων ἐπὶ τοῦ Αὐτοκράτορος, ἔδοξεν αὐτῷ συναγορεύειν Νίκωνα τινὰ καλούμενον. ὅτι μὴ τὴν ἐτυμολογίαν τοῦ ὀνόματος, ἀλλὰ καὶ τὴν πρᾶξιν τοῦ ὀνομαζομένου ἐν ὕπνῳ δεῖ προσέχειν. ἦν δὲ οὗτος ὁ Νίκων πάλαι ποτὲ ἐπὶ τοῦ Αὐτοκράτορος δίκην ἡττημένος. καὶ ὁ μὲν Παῦλος, τῷ ὀνόματι μόνῳ προσεῖχεν. ἦν δὲ αὐτῷ καταδίκης ὁ ὄνειρος σημαντικὸς, ὀρθῶς καὶ κατὰ λόγον, ὅτι ἦν καὶ ὁ Νίκων λελυμένος.

dare, atq; somnium quidem sic habebat. Narrat autem quod, cùm somniorum interpretes in Alexandria ipsum iudicare nō possent, dubius homo quidnam somnium significaret, supplicauerit Serapidi, vt ipsi ænigma interpretaretur. Et sanè visus est sibi, Serapin ipsi dicere, non erunt tibi filij: qui enim apochen exhibuit, vsuram non accipit. Appellatur autem Græcis omnis partus ac prognatus filius τόκος, qua voce etiam vsura significatur. Memineris autem quòd gratiosorum nominum inconstantes sunt successus & etymologiæ, si non etiam ea quibus impósita sunt nomina, in idem vergant. Quare non nominis solùm etymologiam, sed eius qui in somnis nominatur actum ac statum etiã respicere oportet. Velut, Paulus Iurisperitus litem habens coram Imperatore, visus est sibi Niconem quendam, hoc est victorem appellatum, ipsi adesse ac patrocinari. Erat autem Nicon olim coram Imperatore in causa quadam condemnatus. Et Paulus quidem nominis solùm animaduersionem habuit. Verùm somnium ipsi condemnationis significatiuum erat, rectè & iuxta rationem, quia erat etiam Nicon victus ac condemnatus.

Περὶ νεκυσίων καὶ περιδείπνων. πγ'.

ΤΑ' ἐν νεκυσίοις καὶ περιδείπνοις παρατεθέμενα ποιῶν, οὔτε ἰδεῖν, οὔτε φαγεῖν ἀγαθὸν, οὔτε περιδειπνεῖσθαι. νοσοῦντι μὲν γὰρ, ὄλεθρον μαντεύεται. ἐρρωμένοις δὲ, θάνατόν τινος τῶν οἰκείων προαγορεύει. Ὁ Σύρος ἔδοξε τῷ δεσπότῃ περίδειπνον παρατεθεῖναι, καὶ οὐκ εἰς μακρὰν, κατώρυξε τὸν δεσπότην. ὥσπερ καὶ ὁ ὑπὸ τοῦ πάτρωνος πάλιν ἐλευθερωμένος ὄναρ, ἀπέβαλε τὸν πάτρωνα θανάτῳ.

De mortuorum cœnis ac epulis funebribus. CAP. 83.

QVæ in mortuorum cœnis funebribúsque epulis, quibusdam apponũtur, neque videre, neque comedere bonũ est, neque etiam epulum funebre apponere. Ægrotanti enim mortem præsagit, sanis verò alicuius familiaris interitum prædicit. Syrus visus est sibi, funebre epulum hero apponere, & non ita longè post dominum sepeliuit. Quemadmodum & qui à patrono rursus liberatus ac manumissus, sibi in somnis videbatur, patronum per mortem amisit.

Περὶ ἀναβιώσεως. πδ'.

ΣΚοπεῖν δὲ καὶ ἐπὶ τῶν δοκούντων ἀποθνήσκειν χρὴ, μή ποτε ἀναβιῶναι νομίσῃ τις. οὐκέτι γὰρ τὰ ὑπὸ τοῦ θανάτου σημαινόμενα γίνεται.

De Reuiuiscendo. CAP. 84.

QVin & in his qui sibi mori videntur, considerare oportet ánne reuiuiscere aliquis se putet. Non enim amplius ea, quæ per mortem significantur eueniunt.

Leonas

Leonas Syrus luctator decertaturus Romæ certamen, visus est sibi mortuus esse & efferri, verùm aliptam quendam siue vnctorem obuiam ipsi factum, indignari aduersus efferentes, quòd confestim & nimis festinabundè ipsum efferrent, posse enim ipsum reuiuiscere. Deinde vbi oleo calido ac lanis ipsum circa pectus illeuisset, rursus viuentem ipsum fecisse. Hîc feliciter decertauit, & illustrem luctam perfecit. Iamiam verò coronandus, prohibitus est ab Alipta, proponente ac obiiciente coronæ lucellum: accepto enim argento non permisit ipsum pro corona luctantem decertare. Menander Smyrnæus, ad olympia proficiscens visus est sibi, in stadio in olympiis sepultus esse, & olympij certaminis victor euasit. Quæcunque mortuo dicantur, eá neque dare mortuo, neque accipere, à mortuo bonum est. Aut enim ipsi qui somnium, aut alicui ex cognatis eius, mortem prædicit. Accipere autem omnia & simul & singulatim à mortuo, conducit, maximè cibos, & argentum, & vestes, & vasa.

De Malis, & bonis in corpore.

CAP. 85.

QVæcunque mala ac bona circa corpus, non tota, sed ex dimidio videntur, & bona & mala minora faciunt. Velut, Diognosti vxor visa est sibi, in dextra solùm gena barbam habere, & cùm significet somnium omnibus mulieribus non innuptis, neque liberis carentibus: insuperque non gestantibus vterum, viduitatem, contigit vt ipsa, neque cùm viro esset, neque tamen ipso spoliata esset, sed multò tempore domum asseruaret relicta in patria, viro apud externos populos peregrinante. Nihil autem refert, siue mulier barbam habere sibi videatur, siue viri pudenda, siue vestitum, aut tonsuram, aut aliud quid virile habere sibi videatur, eadem

Λεωνᾶς ὁ Σύρος ὁ παλαιστής, μέλλων ἀγωνίζεσθαι τὸν ἐν Ῥώμῃ ἀγῶνα, ἔδοξε τεθνάναι καὶ ἐκφέρεσθαι, συναντήσαντα δὲ αὐτῷ τινὰ ἀλείπτην, χαλεπαίνειν πρὸς τοὺς ἐκφέροντας, ὅτι ταχέως καὶ κενοσπούδως αὐτὸν ἐκφέροιεν, δύνασθαι γὰρ αὐτὸν ἀναβιῶναι. ἔπειτα ἐλαίῳ θερμῷ καὶ ἐρίοις χρισάμενον κατὰ τοῦ στήθους, ποιῆσαι αὐτὸν ἀναβιῶναι. οὗτος ἐνίκησε τῷ ἀγῶνι ἐπιφανῶς παλαίσας. μέλλων δὲ στεφανοῦσθαι, ἐκωλύθη πρὸς τοῦ ἀλείπτου. ἐπιπροφερομένου τὴν ἐργασίαν τοῦ στεφάνου· λαβὼν γὰρ ἀργύριον, οὐκ εἴασεν αὐτὸν περὶ τοῦ στεφάνου παλαίοντα διαγωνίσασθαι. Μένανδρος ὁ Σμυρναῖος εἰς τὰ ὀλύμπια ἀπερχόμενος, ἔδοξεν ἐν τῷ σταδίῳ τῷ ἐν ὀλυμπιάσι κατωρορύχθαι, καὶ ἐγένετο ὀλυμπιονίκης. ὅσα νεκρῷ συντίθεται, ταῦτα οὔτε δοῦναι νεκρῷ, οὔτε παρὰ νεκροῦ λαβεῖν ἀγαθόν. ἢ γὰρ αὐτῷ τῷ ἰδόντι, ἢ τινὶ τῶν τοῦ ἰδόντος ὄλεθρος γίνεται, τῶν δὲ ἄλλων ἐν οὐδενὶ νεκρῷ ἃ δοῦναι συμφέρει. λαβεῖν δὲ πάντα καὶ ὁμοῦ καὶ καθ' ἓν παρὰ νεκροῦ, συμφέρει, μάλιστα δὲ τροφάς, καὶ ἀργύριον, καὶ ἱμάτια, καὶ σκεύη.

Περὶ κακῶν, καὶ ἀγαθῶν τῶν ἐν τῷ σώματι. πέ.

ΟΣΑ τῶν κακῶν καὶ ὅσα τῶν ἀγαθῶν τῶν περὶ τὸ σῶμα βλεπομένων, οὐχ ὅλα, ἀλλ' ἐξ ἡμισείας βλέπεται· καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ, ἥττονα ποιεῖ. Οἷον ἡ τοῦ Διογνώτου γυνὴ, ἔδοξεν ἐν τῇ δεξιᾷ μόνῃ παρειᾷ, γένειον ἔχειν, καὶ σημαίνοντος τοῦ ὀνείρου πάσαις γυναιξὶ ταῖς γε μὴ ἀγάμοις μήτε ἀτέκνοις, ἔτι καὶ ταῖς μὴ ἐν γαστρὶ ἐχούσαις χηρείαν, ἀπέβη αὐτῇ μήτε σὺν τῷ ἀνδρὶ εἶναι, μήτε μὴν ἀπηλλάχθαι αὐτοῦ. ἀλλὰ πολλῷ χρόνῳ οἰκουρεῖν ὑπολειφθεῖσαν ἐν τῇ πατρίδι παρὰ τὴν τοῦ ἀνδρὸς ἀποδημίαν. οὐδὲν δὲ διαφέρει γυναικὶ, ἐάν τε πώγωνα ἔχειν δοκῇ, ἐάν τε ἀνδρὸς αἰδοῖα. ἐάν τε στολὴν ἢ κουρὰν, ἢ ἄλλο τι ἀνδρεῖον ἔχειν δοκῇ. τὰ αὐτὰ

γὰρ ἀποβήσεται. ὁμοίως καὶ ἐπὶ ἀνδρῶν. οὐδὲν δὲ διαφέρει, ἐάν τε ὅλον τὸ σῶμα εἰς γυναῖκα μεταβεβληκέναι δόξῃ, ἐάν τε μόνην γυναικείαν φύσιν ἔχειν, ἐάν τε στολὴν ἢ ὑπόδησιν ἢ ἐμπλέγματα γυναικεῖα. ταῦτα γὰρ ἀποβήσεται οὐχ ὅμοια τοῖς ἡμιτελέσι τῶν ἔργων, οὐδὲ τῷ τοῦ Κίλικος ὀνείρῳ τοῦ τὸ πρόβατον δόξαντος κείρειν. τῶν ἀποβάσεων τὸ κεφάλαιον εὑρεῖν ἔστω σοι ἔργον, τὰ δὲ συμπτώματα ἐπακολουθοῦντα, πειρῶ μὲν εὑρίσκειν, ἀποτυχὼν δὲ μὴ ἄχθου. ὁ Σύρος ὄνειρον ὥρισεν ἀποβεβηκότα φιλονείκως. ἦν δὲ τοιοῦτος ὁ ὄνειρος. Γυνὴ ἐν γαστρὶ ἔχουσα, ἔδοξε χῆνα τετοκέναι. ἐκρίθη, εἰ μὲν ἱερέως εἴη ἡ γυνὴ, τὸ τεχθὲν ζήσεται. ἱεροὶ γὰρ οἱ χῆνες καὶ ἐν ναοῖς ἀναστρεφόμενοι. εἰ δὲ μὴ, εἰ μὲν θῆλυ εἴη, ζήσειν μὲν, ἑταιρικῷ δὲ χρήσεσθαι βίῳ, διὰ τὸ περικαλλὲς τῶν χηνῶν. εἰ δὲ ἄρρεν, μὴ ζῆν. ὅτι ἐστὶν ὁ μὲν χὴν, στεγανόπους, ὁ δὲ ἄνθρωπος, σχιζόπους. τὰ δὲ μὴ ἐκ τοῦ αὐτοῦ γένους ἢ τοῦ αὐτοῦ εἴδους, ταῦτα ἐναντία πρὸς ἀναστροφὴν παίδων. ὁ δὲ, εἶπεν. ἄρρεν τεχθὲν, ἐν ὕδατι τεθνάναι. εἰ μὲν οὐ πάντη καὶ πάντως ὁ χὴν ἦν ἐν ὕδατι, ἀλλ' ἀπέθνησκε μόνως, καὶ μὴ μυρίοι ἦσαν αὐτῷ οἱ θάνατοι, ἄξιον ἦν ἐγκαλεῖν τῷ κρίναντι, ὅτι μὴ εἶπεν ὕδατι τὸν παῖδα τεθνήξεσθαι. εἰ δὲ ἔδει μὲν ὀλιγοχρόνιον γενέσθαι, συνέπεσε δὲ αὐτῷ τὸ ἐν ὕδατι ἀποθανεῖν, αὐτάρκης ἦν ἡ κρίσις. καὶ γὰρ τὸ μὴ διακρῖναι πότερον ἄρρεν ἢ θῆλυ τέτοκε, κατὰ λόγον ἐγένετο· ἔνεστι μὲν γὰρ ἄρρενα εἶναι τὸν χῆνα, ἔνεστι δὲ καὶ θήλειαν.

Περὶ τοῦ πόσῳ χρόνῳ ἀποβαίνουσιν οἱ ὄνειροι. πϛ΄.

Πρὸς δὲ τοὺς πυνθανομένους πόσῳ χρόνῳ οἱ ὄνειροι ἀποβαίνουσιν, εἴποις ἂν εἰκότως ταῦτα· ὅσα τῶν ὄντων ἐν ὡρισμένοις γίνεται χρόνοις, ταῦτα καὶ ἐν τοῖς ὕπνοις ὁραθέντα, ἐν τοῖς αὐτοῖς ἀποβαίνει χρόνοις, ἀγῶνες, καὶ πανηγύρεις, καὶ ἄρχοντες, καὶ στρατηγοί,

enim euenient. Similiter & in viris. Nihil enim refert, siue totum corpus in mulierem transmutatum esse sibi videantur, siue solam muliebrem naturam habere, siue vestitum, aut calciatum, aut implicamenta muliebria. Hæc enim euenient, non similiter semiperfectis operibus, nec somnio Cilicis, qui sibi videbatur ouem tondere vsque ad medietatem. Porrò euentuum summam & caput inuenire tibi curæ sit, & consequentes accessiones conare quidem inuenire, verùm successu destitutus ne doleas, neque tristeris. Syrus somnium proposuit contentiosi euentus. Somnium autem huiusmodi erat. Mulier vterum gerens, visa est sibi anserem peperisse, iudicatum est, si quidem sacerdotis vxor fuerit, partus viuet. Sacri enim sunt anseres, & in templis diuersantur. Si verò non, si quidem puella fuerit, victuram quidem, sed meretritiam vitam instituturam esse, propter eximiam anserum pulchritudinem: si verò masculis, nō victurum esse, quia anser solidos & planos pedes, homo verò fissos. Quæ verò non eiusdem generis, aut eiusdem speciei sunt, ea contraria ad filiorum educationem existunt. Alius duxit, masculum genitum in aqua periturum esse. Si quidem igitur non penitus & omnino anser in aqua esset, sed solùm ipsi immoreretur, & non infinitæ essent ipsi mortes, meritò reprehenderetur somnij interpres, quòd non dixit puerum in aqua moriturum esse. Si verò oportebat quidem breuis vitæ ipsum nasci, concidit autem ipsi, quòd in aqua periturus esset, sufficiens & ex abundanti hæc iudicatio erat. Etenim nō discernere vtrum mas an fœmina in lucem proditus esset, rationabiliter contigit, possibile est enim & masculum & fœminam anserem esse.

Quanto tempore somnia eueniant. CAP. 86.

Cæterùm his qui interrogant quantò tempore somnia eueniunt, meritò sic respondebis: Quæcunque in definitis temporibus fiunt ex rebus quæ existunt, ea etiam in somniis visa, in iisdem tēporibus eueniunt, velut certamina, cōuentus, magistratus, & exercituum duces,

& similia. Quæcunque verò ex rebus existentibus, in indeterminatis & non fixis temporibus fiunt, indeterminatè etiam eueniunt, velut concubitus, & cibi, & excretiones, & præexcretiones, & his conferentia, exceptis animalibus. Hæc enim quanto tempore gignuntur, hoc ex, quātò in vtero gestantur, tantò etiam eueniunt. Insuper dij, & reges, & parentes, & domini, non in determinatis temporibus eueniunt. Accipies autem moderatos euentus & tempora, ex adiacentibus singulis eorum quæ videntur, aut ab ipsis expectationibus. Ridiculum enim fuerit ei qui de crastino timet aut sperat, & somnium vidit, in anni horas futura iudicare.

Amplius autem & quorum inuentio ad dies exposita est, diebus eueniunt, quorum verò diuturnior, longiori tempore. Et quæ à longè videntur, velut quæ circa cœlum, propter distantiam serius eueniunt. Quin & hoc obseruabis, quòd & bona & mala somnia, magnis quidem viris, aut mulieribus, magna & bona & mala inducūt. Mediocribus verò, mediocria, pauperibus & inopibus, penitus parua, & maximè bona somnia. Nam & hoc verisimilitudinē habet, cùm hi etiam quodcunque obtigit arripiunt, boníque consulunt, & valde lætantur. Rectè itaque Callimachium hoc habet:

Semper enim paruis parua dedere Dei.

Hæc quidem igitur ô fili abundè ac minimè defectuosè habent, omnibus dubiis in arte interpretandi somnia solutis, atque ita supinis iacentibus ac facilè cognobilibus tibi futuris. Nosti autem quòd non somniorum euentus tibi referre mihi propositum erat, sed segregatim ad vnamquamque quæstionem solutiones contrahere ac congregare. Euentus autem singulorum exempli gratia sunt adiecti. Porrò historiæ gratia, quò possis minori labore exercitationibus vti, collectis quàm plurimis somniis quomodo euenerunt, conabor tibi alium adhuc librum facere.

καὶ τὰ ὅμοια. ὅσα δὲ τῶν ὄντων ἐν ἀορίστοις καὶ μὴ πεπηγόσι χρόνοις γίνεται, ἀορίστως καὶ ἀποβαίνει, ὡς συνουσίαι, καὶ τροφαί, καὶ ἐκκρίσεις, καὶ προεκκρίσεις, καὶ τὰ συντελοῦντα τούτοις, χωρὶς ζώων. ταῦτα γὰρ δι' ὅσου χρόνου γίνεται, τουτέστιν ἴσω κυοφορεῖται, τοσούτῳ καὶ ἀποβαίνει. ἔτι θεοὶ, καὶ βασιλεῖς, καὶ γονεῖς, καὶ δεσπόται, οὐκ ἐν ὡρισμένοις ἀποβαίνουσι χρόνοις. λάμβανε δὲ σύμμετρα τὰ ἀποτελέσματα, καὶ τοὺς χρόνους ἐκ τῶν παρακειμένων ἑκάστοις τῶν ὁρωμένων, ἢ ἐξ αὐτῶν τῶν προσδοκιῶν. γελοῖον γὰρ ἂν εἴη, τῷ περὶ τὴν αὔριον φοβουμένῳ ἢ ἐλπίζοντι καὶ ἰδόντι τὸν ὄνειρον, τὰ εἰς ὥρας ἐσόμενα κρίνειν.

Ἔτι καὶ ὧν προσήμερός ἐστιν ἡ εὕρεσις, ἡμέραις ἀποβαίνει, ὧν δὲ χρονιωτέρα, χρόνῳ πλείονι. καὶ τὰ μακρόθεν ὁρώμενα, ὡς τὰ περὶ τὸν οὐρανὸν διὰ τὸ διάστημα, βραδύτερον ἀποβαίνει. Ἔτι καὶ τοῦτο, οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ ὄνειροι, τοῖς μὲν μεγάλοις ἀνδράσιν ἢ γυναιξὶ, μεγάλα καὶ τὰ ἀγαθὰ ποιοῦσι. τοῖς δὲ μετρίοις, μέτρια, τοῖς δὲ ἀπόροις, μικρὰ παντελῶς, καὶ μάλιστά γε οἱ ἀγαθοί· καὶ γὰρ εἰκός. Ἐπειδὴ οὗτοι καὶ τὸ τυχὸν λαβόντες, ἀγαπῶσι καὶ ὑπερχαίρουσιν. ὀρθῶς γοῦν καὶ τὸ Καλλιμάχειον ἔχει, τὸ*

Αἰεὶ τοῖς μικροῖς μικρὰ διδοῦσι θεοί.

Ταῦτα μὲν ὦ τέκνον ἱκανῶς καὶ ἀνενδεῶς ἔχει, πάντων τῶν ἐν ὀνειροκρισίᾳ ἀπόρων λελυμένων, καὶ οὕτως ὑπτίων κειμένων καὶ εὐεπιγνώστων σοι ἐσομένων. ἴσθι δὲ ὅτι οὐχὶ ὀνείρων ἀποβάσεις λέγειν σοι τὸ προκείμενόν μοι ἦν· ἀλλ' ἀφωρισμένως καθ' ἕκαστον ζήτημα τὰς ἐπιλύσεις συνάγειν. αἱ δὲ ἀποβάσεις ἑκάστων, παράκεινται εἰς ὑπόδειγμα. ἱστορίας δὲ ἕνεκα ὅπως ἔχῃς ἀπονώτερον ταῖς πείραις χρῆσθαι, πειράσομαι συναγαγὼν ὡς πλείστους ἀποβεβηκότας ὀνείρους, ἄλλο σοι βιβλίον ποιῆσαι.



ἈΡΤΕΜΙΔΩ΄ΡΟΥ ΔΑΛΔΙΑΝΟΥ͂ ΠΕΡΙ` ὈΝΕΙ΄ΡΩΝ ἈΠΟΒΑ΄σεων, Βιβλίον πέμπτον.

ΠΡΟΟΙ΄ΜΙΟΝ.

ARTEMIDORI DALDIANI DE SOMNIORVM EVENTIB. LIB. V.

PRÆFATIO.

Ἀρτεμίδωρος Ἀρτεμιδώρῳ υἱῷ, χαίρειν.



Ἄξιον μὲν ἴσως, ὦ τέκνον, ἐγκαλεῖν τῆς βραδυτῆτος ἡμῖν, εἰ διὰ ῥαθυμίαν ἐγένετο. Ἐπεὶ δὲ τὸ προκείμενον ἦν ἱστορίαν ὀνείρων ἀποβεβηκότων συναγαγεῖν σοι, χαλεπὸν δὲ καὶ ἐργῶδες ἦν τῷ γε βουλομένῳ ἀξίους ἀναγραφῆς ὀνείρους συναγαγεῖν, τοὺς μὲν γὰρ τυχόντας, καὶ πάνυ ἂν ῥᾴδιον καὶ ἐν βραχεῖ χρόνῳ παμπληθεῖς ἀναγράφειν, τοιούτους δὲ ὁποίους ἄν τις γράφων οὐ μόνον οὐκ αἰσχύνεται, ἀλλὰ καὶ μέγα φρονεῖν ἐπ' αὐτοῖς ἔχει, οὐκ ἄνευ πόνου καὶ χρόνου οἷόν τε ἦν ἀθροῖσαι, μάλιστα δὲ καὶ ῥᾳδιουργῆσαι μὴ βουλομένῳ. τοιγαροῦν ἔν τε ταῖς πανηγύρεσι ταῖς κατὰ τὴν Ἑλλάδα καὶ ἐν Ἀσίᾳ, καὶ πάλιν αὖ ἐν Ἰταλίᾳ ἐξεπίτηδες ἀπιών, μάλιστα ὅσους ἐδυνάμην εὑρών,

Artemidorus Artemidoro filio gaudium.



NON immeritò fortassis, ô fili, de tarditate nostra conquerereris, si ob segnitiem admissa esset. Quando verò propositum erat historiam somniorum, quæ euenerunt, tibi in vnum coaceruare, difficile sanè & operosum id erat, cùm proposuissem saltem ea quæ perscriptione digna essent somnia colligere. Nam vulgaria quidem & facilè, & in breui tempore, quàm plurima perscribere potuissem. Verùm talia ex qualium relatione non solùm quis non pudefiat, sed etiam sibi placere ac gloriari queat, non citra laborem ac temporis moram possibile est congregare, maximè si quis non supinam operam præstare, sed bona fide rem tractare velit. Proinde & ad conuentus Græciæ, & in Asia, & rursus in Italia, de industria digressus, & optima quæque quantum possibile fuit somnia adeptus,

hunc librum tibi post laborem mihi in præcedentibus libris exantlatum, vtilissimum futurum, tum tibi ipsi, tum si cui communicare libuerit, exemplarem feci. Reperies autem in singulis somniis nudos euentus, velut euenerũt, citra scenam & tragœdiam perscriptos. Nihil enim aliud quàm fidem ab experientia simulq; vtilitatem colligere, consilium fuit. Quapropter his quæ in omnia ab iisdem possibile est euenire, secundum videntium fortunas, & proposita, ætatésque ac alias circunstantias, relictis, quandoquidem primus quidem liber, & secundus, & tertius his maximè sunt referti, quartus verò tibi in hoc dicatus, artificialem continens speculationem, & intrepidam quæsitorum interpretationem exactè absolutus est, & tamen tibi amplius opus esse arbitratus exercitatione, qua tu teipsum exercere posses, quemadmodum in fine quarti libri promisi, nunc promissum meum ratum habens ac confirmans, fidem meam libero, ac promissum præsto.

SOMNIVM I.

Visus est sibi quis, ad firmamentum templi Neptuni, catena alligatus esse. Factus est sacerdos Neptuni, oportebat enim ipsum inseparabilem sacerdotem esse. 2.

Visus est sibi quis, propriam vxorem productam velut victimam mactare, & carnes concisas vendere, & quæstum valde magnum facere. Insuper verò gaudere sibi videbatur, & collectam ex diuendita carne pecuniam occultare conari, vt circunstantem inuidiam vitaret. Hic vxorem suam produxit ac turpiter prostituit, & erat quidem factum ipsum vtile ad quæstum, dignum autem quod occultaretur. 3.

Visus est sibi quis, in gymnasium quod in patria ipsius erat ingressus, videre imaginem suam, quæ sanè inerat istic suspensa. Deinde videbatur ipsi tota compages externa imaginis dissoluta esse: percunctanti autem cuidam quid circa imaginẽ accidisset, respondere se putabat: Imago quidem mea integra manet, compages verò soluta est. Claudus factus est vtrunque pedem. Meritò, Gymnasium enim signum erat bonæ habitudinis totius domus. Imago verò ea quæ circa faciem

τουτὶ δὲ τὸ βιβλίον μετὰ τὸν ἐν τοῖς ἔμπροσθεν πεπονημένοις μοι βιβλίοις, πόνον ὠφελιμώτατον ἐσόμενον, αὐτῷ τέ σοι καὶ εἴ τινι κοινωνήσαις, ἀντίγραφον πεποίηκα. εὕροις δ' ἂν καθ' ἕκαστον τῶν ὀνείρων ψιλάς τε ἀποβάσεις, ὡς ἀπέβησαν ἄνευ σκηνῆς καὶ τραγῳδίας ἀναγεγραμμένας. οὐδὲ γὰρ ἄλλο, ἢ τὴν ἀπὸ τῆς πείρας πίστιν ἅμα καὶ ὠφέλειαν συναγαγεῖν προεθέμην. διὸ γὰρ τὰ εἰς πάντα ἀπὸ τῶν αὐτῶν ἐνδεχόμενα ἀποβαίνειν, παρὰ τὰς τῶν θεωμένων ἡμῶν τύχας τε καὶ προαιρέσεις καὶ ἡλικίας καὶ περιστάσεις παραιτησάμενος· ἐπειδὴ τὸ μὲν πρῶτόν τε καὶ τὸ δεύτερον καὶ τὸ τρίτον μάλιστα τούτων ἐστὶν ἀνάπλεω, τὸ δὲ τέταρτον ταυτί σοι προσφωνηθὲν, τεχνικὴν περιέχον θεωρίαν καὶ ἄτρεστον τῶν ἐπιζητουμένων ἑρμηνείαν ἠκρίβωται, ὅμως σοι προσδεῖν ἡγούμενος τριβῆς τε καὶ γυμνασίας, ὡς ἐπηγγειλάμην ἐπὶ τέλει τοῦ τετάρτου, καὶ νῦν ἐμπεδῶν τὴν ὑπόσχεσιν, ἀποδίδωμι. α.

Ἔδοξέ τις τοῦ Ποσειδῶνος τῇ βάσει, ἁλύσει προσδεδέσθαι. ἱερεὺς ἐγένετο τοῦ Ποσειδῶνος, ἔδει γὰρ αὐτὸν ἀχώριστον εἶναι ἱερέα. β.

Ἔδοξέ τις τὴν ἑαυτοῦ γυναῖκα προσαγαγὼν, ὥσπερ τι ἱερεῖον ἀποθῦσαι, καὶ τὰ κρέα κατακόπτων πιπράσκειν, καὶ τὴν ἐμπολὴν αὐτῷ πάνυ πολλὴν γίνεσθαι. ἐπὶ δὲ τούτοις, χαίρειν τε ἔδοξε, καὶ τὸ συναγόμενον ἀργύριον ἀπὸ τοῦ κρεοπωλίου πειρᾶσθαι κρύπτειν. διὰ τὸν περιϊστάμενον φθόνον. οὗτος τὴν ἑαυτοῦ γυναῖκα προαγωγεύων ἐπ' αἰσχροῖς ἐπορίζετο, καὶ ἦν αὐτῷ τὸ ἔργον, λυσιτελὲς μὲν εἰς πορισμὸν, ἄξιον δὲ ἀποκρύπτεσθαι. γ.

Ἔδοξέ τις εἰς γυμνάσιον τὸ ἐν τῇ πατρίδι ὂν αὐτοῦ εἰσελθὼν, ἰδεῖν εἰκόνα ἰδίαν, ἥτις καὶ παρῆν ἀνακειμένη. εἶτα ἐδόκει αὐτῷ τὸ πῆγμα τῆς εἰκόνος πᾶν τὸ ἔξωθεν διαλελύσθαι. πυνθανομένῳ δέ τινι, τί συμβεβηκὸς εἴη περὶ τὴν εἰκόνα, λέγειν ᾤετο. ἡ μὲν εἰκὼν μου μένει ὑγιής· τὸ δὲ πῆγμα, λέλυται. χωλὸς ἐγένετο ἀμφοτέρους τοὺς πόδας. εἰκότως, τὸ μὲν γὰρ γυμνάσιον, σύμβολον ἦν τῆς καθ' ὅλον τὸν οἶκον εὐεξίας. ἡ δὲ εἰκὼν, τὰ περὶ τὰ

πρόσωπον ἐσήμαινε. τὸ δὲ ἔξωθεν πῆγμα, τὰ λοιπὰ τοῦ σώματος ἦν. δ'.

Ἔδοξέ τις λιβανωτῷ τὸν πρωκτὸν ἐκμάσσειν αὐτοῦ· ἀσεβείας ἑάλω. ἐπειδὴ ᾧ τοὺς θεοὺς τιμῶμεν, τοῦτο ἐξύβριζεν. ἡ δὲ ὀδμὴ, τὸ μὴ λαθεῖν αὐτὸν ἐσήμαινεν. έ.

Ἔδοξέ τις τετριμμένον ὑγρὸν σίνηπι πίνειν, ἔτυχε δὲ αὐτῷ δίκη οὖσα, καὶ ἔφυγε φόνου γραφὴν· ἑάλω, καὶ τῆς κεφαλῆς ἀφῃρέθη. ἦν γὰρ οὔτε συνήθες, οὔτε ὅλως πότιμον τὸ ποτόν. καὶ μέντοι διακριθὲν πρότερον ὑπὸ τοῦ λεγομένου, ἰσθμὸν τὸ νάπι ἔπινεν. ὑπὸ κριτοῦ τοίνυν, ὅπερ ἐστὶ δικαστοῦ, εἰς ὄλεθρον κατέστη. ς'.

Ἔδοξέ τις Χάνθον τὸν ποταμὸν τὸν ἐν τῇ Τροίᾳ γεγονέναι αἷμα· μέγα μὲν καὶ οὐχ οἷόν τε πιστεῦσαι, ἀλλ' οὖν γε οὕτως ἀποβὰν ἱστορήσαμεν. αἷμα ἀνήνεγκεν ἐπὶ δέκα ἔτη. οὐ μήν γε ἀπέθανεν. ὅπερ ἦν εἰκὸς, διὰ τὸ ἀθάνατον εἶναι τὸν ποταμόν. ζ'.

Ἔδοξέ τις ἐν Νεμέᾳ ἀγωνίζεσθαι ἀνδρῶν πάλην, καὶ νικᾶν καὶ στεφανοῦσθαι. ἔτυχε δὲ δίκη οὖσα περὶ ἀγροῦ, ἐν ᾧ παμμεγέθες ἦν ἕλος· καὶ δὴ ἐνίκησε τῷ τοῦ εἴδους λόγῳ, διὰ τὸ σελίνῳ τῷ ἐν Νεμέᾳ τοὺς νικῶντας στεφανοῦσθαι. ή.

Ἔδοξέ τις ἐν τῇ τύλῃ πυροὺς ἔχειν ἀντὶ κναφάλων. ἦν αὐτῷ γυνὴ, ἥτις μηδέπω ποτὲ συλλαβοῦσα πρότερον, ἐκείνου τοῦ ἔτους ἔγκυος γενομένη, παῖδα ἄρρενα ἐγέννησεν. ἡ μὲν γὰρ τύλη, τὴν γυναῖκα τεκεῖν ἐσήμαινεν, οἱ δὲ πυροὶ, ἄρρεν σπέρμα. θ'.

Ηὔξατό τις τῷ Ἀσκληπιῷ, εἰ διὰ τοῦ ἔτους ἄνοσος ἤθοι, θύσειν αὐτῷ ἀλεκτρυόνα. ἔπειτα διαλιπὼν ἡμέρας, ηὔξατο πάλιν τῷ Ἀσκληπιῷ, καὶ εἰ μὴ ὀφθαλμιάσειεν, ἕτερον ἀλεκτρυόνα θύσειν. καὶ δὴ καὶ εἰς νύκτα ἔδοξε λέγειν αὐτῷ τὸν Ἀσκληπιὸν, εἷς μοι ἀλεκτρυὼν ἀρκεῖ. ἄνοσος μὲν οὖν ἔμεινεν. ὠφθαλμίασε δὲ ἰσχυρῶς. ἐπὶ γὰρ μιᾷ εὐχῇ ἀρκούμενος ὁ θεὸς, τὸ ἕτερον ἀπένευσεν. ί.

Ἔδοξέ τις φεύγων γραφὴν ἀδικημάτων, τὰ γράμματα καὶ τὰ δικαιώματα ἀπολωλέναι· καὶ τῇ ὑστεραίᾳ εἰσαχθείσης τῆς δίκης,

ſunt ſignificabat. Externa autem compages, reliqua corporis membra erant. 4.

Viſus eſt ſibi quis, culum ſuum thure extergere, impietatis damnatus eſt. Nam id quo Deos colimus, ille contumelia affecit, odor autem iudicium fuit, rem non fore occultam. 5.

Viſus eſt ſibi quis, contritum liquidum ſinapi bibere, lis ipſi intendebatur, & cædis accuſatus, damnatus eſt ac capite plexus. Erat enim neque conſuetus, neque omnino potabilis potus & ſanè prius diiudicatus ab eo quòd dici ſolet. Quis vnquam ſinapi bibit? A iudice igitur ad mortem damnatus. 6.

Viſus eſt ſibi quis Xanthum fluuium Troianæ regionis ſanguinem factum eſſe: magnum quidem & vix credibile id erat, ſed tamen ſic aliquando accidiſſe legimus. Sanguinem is per integrum decennium reiectauit, non tamen mortuus eſt, quòd & veriſimile erat quòd immortalis fluuius exiſtat. 7.

Viſus eſt ſibi quis, in Nemea virorum luctam decertare, & vincere, & coronari. Lis erat ipſi de agro in quo maxima inerat palus: & ſanè victor euaſit iuxta viſionis rationem, propterea quòd victores in Nemea apio coronantur. 8.

Viſus eſt ſibi quis, in puluinari triticū pro tomento habere. Erat ipſi vxor quæ nunquam antea conceperat, ea hoc ipſo anno grauida facta puerum maſculum peperit. Nam puluinar vxorem parituram eſſe ſignificabat, triticum verò maſculum ſemen. 9.

Quidam Aeſculapio gallum ſe oblaturum eſſe uouit, ſi per annum à morbis liber maneret. Deinde paucis diebus interiectis, rurſus Aeſculapio vouit alterum adhuc gallum, ſi non lippitudine vexaretur. Et ſanè in noctem viſus eſt ſibi, Aeſculapium ipſi dicere, vnus gallus mihi ſufficit. A morbis igitur liber permanſit, ſed lippitudine fortiter vexatus eſt. Vno enim voto contentus Deus, alterum renuit. 10.

Viſus eſt ſibi quis iniuriarum accuſatus, literas ac libellos iuſtificationis ſuæ perdidiſſe, & ſequenti die lite intenta

ab omnibus actionibus liberatus est, atque hoc erat quod somnium ipsi significabat. Nimirum remissis actionibus, non amplius opus fore libellis iustificationis. 11.

Visus est sibi quis, à luna lucernam accendere, cæcus factus est: vnde enim impossibile erat accipere, inde lumen accipiebat. Et aliâs aiunt lunam proprium lumen non habere. 12.

Visa est sibi fœmina quædam, in luna tres proprias imagines videre, peperit tergeminas puellas, quæ eo ipso mense perierunt. Erãt enim imagines ipsæ puellæ, vnus autem continebat ipsas circulus, Nam in vna pellicula secunda appellata aiunt medici contineri infantes ac fœtus in vtero materno. Non vixerunt autem longiori tempore, propter lunam. 13.

Visus est sibi luctator quidam de iudicio solicitus, Aesculapium iudicem esse, & profectus cum aliis adolescẽtibus, antè eductionem luctatorum ad certamen, à Deo reprobatus esse, & sanè ante certamen mortuus est. Deus enim non certaminis, sed magis vitæ, iudex esse creditur. Meritò igitur ipsum eiecit. 14.

Visus est sibi quis, in luna suam faciem videre, peregrè profectus est in longinquas regiones, & plurimum tempus errabundus apud exteros transegit. Perpetuus enim lunæ motus, ipsum similiter diuagaturum esse indicabat. 15.

Visus est sibi quis, ferreum pudendum habere, natus est ipsi filius, à quo occisus est. Ferrum enim à rubigine, quæ ex ipso nascitur consumitur. 16.

Visus est sibi quis nauclerus, in beatorum insulis esse, ac inibi ab heroibus detineri, & postea à superueniente Agamemnone liberari. In coactam seruitutem illapsus, ab imperatoriis procuratoribus detentus est. Postea cum Rege colloquutus, è seruitute liberatus est. 17.

Visus est sibi quis à domo sua peregre profectus, clauem domus perdidisse: reuersus reperit filiam corruptam. Quodammodo enim dicebat ipsi somnium, res domi non adeò in tuto esse. 18.

Visus est sibi quis, ex capite suo oleam enatam esse: fortiter philosophiæ studia sectatus est, & doctrina ac exercitatione consequenter vsus. Semper virens enim

ἀφείθη τῶν ἐγκλημάτων, καὶ τοῦτο ἦν ἄρα ὅπερ ἐσήμαινεν αὐτῷ τὸ ὄναρ. ἀφεθέντα τῶν ἐγκλημάτων, μηκέτι δεήσεσθαι τῶν δικαιωμάτων. ιά.

Ἔδοξέ τις ἀπὸ τῆς σελήνης λύχνον ἅπτειν, τυφλὸς ἐγένετο· ὅθεν γὰρ οὐκ ἠδύνατο ἅψαι, ἐκεῖθεν ἐλάμβανε τὸ φῶς. ἄλλως τε καὶ τὴν σελήνην φασὶν οὐκ ἔχειν ἴδιον φῶς. ιβ'.

Ἔδοξέ τις γυνὴ ἐν τῇ σελήνῃ τρεῖς ὁρᾶν εἰκόνας ἰδίας, ἐγέννησε τρίδυμα θηλυκά, καὶ τὰ τρία αὐτοῦ τοῦ μηνὸς ἀπέθανον. ἦσαν γὰρ αἱ εἰκόνες τὰ τέκνα, εἷς δὲ περιεῖχεν αὐτὰ κύκλος. τοιοῦτοι ἐν ἑνὶ χορίῳ ὡς λέγουσιν ἰατρῶν παῖδες, περιείχετο τὰ βρέφη· ἔζησε δὲ οὐ πλείονα, διὰ τὴν σελήνην. ιγ'.

Ἔδοξέ τις παλαιστὴς περὶ τῆς κρίσεως πεφροντικὼς, τὸν Ἀσκληπιὸν κριτὴν εἶναι, καὶ παροδεύων ἅμα τοῖς ἄλλοις παισὶν, ἐν παρεξαγωγῇ ὑπὸ τοῦ θεοῦ ἐκκεκρίσθαι· καὶ δὴ πρὸ τοῦ ἀγῶνος ἀπέθανεν. ὁ γὰρ θεὸς, οὐ τοῦ ἀγῶνος, ἀλλὰ τοῦ ζῆν μᾶλλον κριτὴς νομίζεται εἶναι. ἐξέβαλεν οὖν αὐτόν. ιδ'.

Ἔδοξέ τις ἐν τῇ σελήνῃ τὸ ἑαυτοῦ πρόσωπον ἰδεῖν, ἀπεδήμησε μακρὰν ἀποδημίαν, καὶ τὸν πλεῖστον χρόνον, ἐν ἄλῃ καὶ ξενιτείᾳ διῆγε. τὸ γὰρ ἀεικίνητον τῆς σελήνης, ἔμελλε συμπεριοίσειν αὐτόν. ιέ.

Ἔδοξέ τις σιδηροῦν αἰδοῖον ἔχειν, ἐγένετο αὐτῷ υἱὸς, ὑφ' οὗ ἀνῃρέθη. καὶ γὰρ ὁ σίδηρος ὑπὸ τοῦ ἐξ αὐτοῦ ἰοῦ γινομένου, φθείρεται. ιϛ'.

Ἔδοξέ τις ναύκληρος ἐν μακάρων νήσοις εἶναι, καὶ ὑπὸ τῶν ἡρώων κατέχεσθαι, ἔπειτα ἐλθόντα τὸν Ἀγαμέμνονα, ἀπολῦσαι αὐτόν. ἀγγαρείᾳ περιπεσὼν ὑπὸ τῶν ἐπιτρόπων τοῦ αὐτοκράτορος, κατεσχέθη. ἔπειτα ἐντυχὼν τῷ βασιλεῖ, ἀφείθη τῆς ἀγγαρείας. ιζ'.

Ἔδοξέ τις ἀποδημῶν τῆς οἰκίας, τὴν κλεῖδα τοῦ οἰκήματος ἀπολωλεκέναι· ἀνακομισθεὶς, εὗρε τὴν θυγατέρα ἐφθαρμένην. τρόπον γάρ τινα ἔλεγεν αὐτῷ τὸ ὄναρ, οὐκ εἶναι ἐν ἀσφαλείᾳ τὰ οἴκοι. ιη.

Ἔδοξέ τις ἐκ τῆς κεφαλῆς αὐτοῦ ἐλαίαν πεφυκέναι· ἐφιλοσόφησεν εὐτόνως, καὶ τοῖς λόγοις καὶ τῇ ἀσκήσει χρησάμενος ἀκολούθως. καὶ γὰρ ἀειθαλὲς

τὸ φυτὸν, καὶ στερεὸν, καὶ τῇ Ἀθηνᾷ ἀνακείμενον. φρόνησις δὲ εἶναι νομίζεται ἡ θεός. ιθ'.

Ἔδοξέ τις συνανατέλλειν τῷ ἡλίῳ καὶ τῇ σελήνῃ συντρέχειν· ἀπήγξατο, καὶ οὕτως ὅ, τε ἥλιος καὶ ἡ σελήνη ἀνίσχοντες, ἔβλεπον αὐτὸν μετάρσιον ὄντα καὶ κρεμάμενον. κ'.

Ἔδοξέ τις τὸν δοῦλον αὐτοῦ, ὃν μάλιστα παρὰ τοὺς ἄλλους ἐτίμα φανὸν γεγονέναι, τοῦτον ὃν οἱ λαμπτῆρα καλοῦσι. τυφλὸς ἐγένετο, καὶ ὑπὸ τοῦ δούλου ἐκείνου ἐχειραγωγεῖτο, καὶ τούτῳ τῷ τρόπῳ, δι' ἐκείνου τὸ φῶς ἔβλεπεν. κα'.

Ἔδοξέ τις ἐπὶ κύκλῳ τρίποδος διαπλεῖν πέλαγος μέγα. φεύγων ἀδικημάτων γραφὴν, ἑάλω· καὶ εἰς νῆσον κατεδικάσθη. τὸ γὰρ περιέχον ἦν αὐτὸν περίρρυτον, καὶ κύκλος* τὸ σχῆμα τῆς νήσου. κβ'.

Ἔδοξέ τις τὸ ἑαυτοῦ παιδίον ἀποδέρειν καὶ ποιεῖν ἀσκόν· τῇ ὑστεραίᾳ τὸ παιδίον αὐτοῦ εἰς ποταμὸν πεσὸν, ἐπνίγη. καὶ γὰρ ἀπὸ νεκρῶν σαρκῶν ὁ ἀσκὸς γίνεται, καὶ ὑγροῦ ἐστι δεκτικός. κγ'.

Ἔδοξέ τις τοῦ οὐρανοῦ ἀστέρας ἐκπεσεῖν, καὶ ἄλλον χαμόθεν ἀστέρα, εἰς τὸν οὐρανὸν ἀναβῆναι. δοῦλος ἦν οἰκέτης τινὸς, ἔπειτα ὁ δεσπότης αὐτοῦ ἀπέθανεν. ἡγούμενος δὲ ἐλεύθερός τε καὶ ἀδέσποτος εἶναι, εὗρε παῖδα τοῦ προτέρου δεσπότου, ᾧ κατ' ἀνάγκην ἐδούλευσεν, ὁ μὲν οὖν πεσὼν ἀστὴρ, ἐσήμαινε τὸν ἀποθανούμενον, ὁ δὲ εἰς οὐρανὸν ἀνιὼν, τὸν ἐπογόμενον καὶ δεσπόσοντα αὐτοῦ. κδ'.

Ἔδοξέ τις εἰς χοίνικα χέζειν, ἑάλω ἀδελφῇ ἑαυτοῦ μιγνύμενος. μέτρον γὰρ ἡ χοῖνιξ. τὸ δὲ μέτρον, νόμῳ ἔοικε. τρόπον οὖν τινὰ παρενόμει. παρὰ τὰ νενομισμένα κοινῇ τοῖς Ἕλλησι πράττων. κε'.

Ἔδοξέ τις ἐρωμένην ἑαυτοῦ ὁρᾶν ἐν σταμνίῳ ὀστρακίνῳ καιομένην. καὶ ἀπέθανεν ἡ ἐρωμένη αὐτοῦ, σφαγεῖσα ὑπὸ δούλου δημοσίου. θάνατον μὲν γὰρ εἰκότως ἐσήμαινε τῇ γυναικὶ, τὸ εἶναι ἐν τῷ ὀστρακίνῳ σκεύει. ἐπὶ δημοσίου δὲ, ἐπεὶ καὶ τὸ σταμνίον δημόσιον, καὶ πᾶσιν ὑπηρετοῦν. κς'.

Ἔδοξέ τις τὸ ὄνομα τοῦ Σαράπιδος

est planta, & solida, & Mineruæ dicata. Ipsa autem dea sapientia esse putatur. 19.

Visus est sibi quis, cum sole exoriri, & cum luna pariter currere: strangulatus est, atque sic & sol & luna exorientes, videbant ipsum sublimem ac pendentē. 20.

Visus est sibi quis, seruum suum quem præ aliis multi faciebat, facem factum esse, eius generis quæ pharus appellatur. Cæcus factus est, & à seruo manu ducebatur, atque hoc modo per illum lucem videbat. 21.

Visus est sibi quis, in tripodis circulo magnum mare pernauigare: iniuriarum criminis accusatus, conuictus, & in insulam relegatus est. Nam quod ipsum continebat, alluebatur, & circulus figura insulæ erat. 22.

Visus est sibi quis, proprium filium excoriare, & vtrem facere, postridie filius ipsius in fluuium illapsus suffocatus est. Etenim à mortuis carnibus detractis coriis vtres fiunt, quibus liquores excipi solent. 23.

Visus est sibi quis, stellam è cœlo decidere, & aliam stellam à terra in cœlum ascendere. Is seruus cuiusdam erat, deinde dominus ipsius mortuus est. Arbitratus autem se liberum & sine domino esse, filium reperit prioris heri, cui seruire cogebatur. Stella itaque cadens, moriturum dominum significabat, quæ verò in cœlum ascendebat, filium sub cuius dominio rursus seruiturus esset. 24.

Visus est sibi quis, in chœnicem aluum exonerare, coitus cum sorore sua manifestus factus ac damnatus est. Est enim Chœnix mensura. Mensura autem legi similis est. Quodam igitur modò legem violabat, vtpote qui præter leges toti Græciæ communes faciebat. 25.

Visus est sibi quis, amicam suam videre in vrna testacea ardentem. Mortua est amica ipsius occisa à publico seruo. Mortem enim meritò significabat mulieri, quòd in fictili vase esset, à publico autem seruo, quoniam etiam vrna publica est, & omnibus subseruiens. 26.

Visus est sibi quis, nomen Serapidis

æreæ laminæ inſcriptum circum collum obligatum, velut lorum geſtare: Angina apprehenſus in ſeptem diebus mortuus eſt. Nam terreſtris Deus eſſe putatus eſt, & eandem cum Plutone rationẽ habet, & nomen eius ſeptem literas habet, & iuxta quam partem lorum obligatum habebat, iuxta illam ęgrotans mortuus eſt. 27.

Viſus eſt ſibi quis, focum apud exteros vbi degebat, extruere. Mortuus eſt apud exteros vbi ædificauit focum. Erat enim ſignum totius diſſolutionis ac finis focus ipſe, quem apud exteros extruens finem habiturus erat. 28.

Viſus eſt ſibi quis apud exteros degens, focum extruere, & pro lapidibus proprios libros luto oblinere, & incruſtare, deinde mutato conſilio ſtructuram deieciſſe, & ab ædificando ceſſaſſe: ægrotauit morbo maligno, & vbi ad extremum perueniſſet ſeruatus eſt. Horum cauſas manifeſtas exiſtentes ſuperfluum puto adſcribere. 29.

Viſus eſt ſibi quis, à muliere quam ex multo tempore nouerat, perſecutionem pati, quæ geſtiebat ipſi penulas circumnectere, in medio ex commiſſuris ac ſuturis diſſolutas, & tandem inuitus coactus eſſe. Hunc amans mulier ipſi inuito nupſit, & poſt paucos annos morte ipſi adempta eſt, propterea quòd penulæ eſſent diſſolutæ. 30.

Viſa eſt ſibi quædam mulier ægrotans, prægnans eſſe, iámque ex partu laborare, ac propè tempus pariendi eſſe. Inſuper verò mulierem quandam circa has res nõ inexpertam, attingere ipſam, ac dicere: Nunc quidem non pariet, verùm poſt menſes ſeptem puerum edet pulchrum valde & amabilem. Decubuit morbo valde periculoſo, vnde non putabat quiſpiam ipſam ſeruatum iri, & ſanè nihil remittente morbo quo ſanitatem conſequeretur, poſt ſeptem dies mortua eſt. Meritò, depoſitura enim erat onus & curas poſt ſeptem menſes. Verùm pulcher puer, mors ipſa erat, quæ amabilior erat & præeligenda, propterea quòd morbos & erumnas vitæ aufert. 31.

Viſus eſt ſibi quidam non obſcurus,

ἐγκεχαραγμένον λεπίδι χαλκῇ περὶ τὸν τράχηλον δεδέσθαι· ὥσπερεὶ * σκυτίδα. συνάγχῃ ληφθεὶς, εἰς ἑπτὰ ἡμέρας ἀπέθανε. καὶ γὰρ χθόνιος ὁ θεὸς εἶναι νενόμισται, καὶ τὸν αὐτὸν ἔχει λόγον τῷ Πλούτωνι, καὶ τὸ ὄνομα αὐτοῦ γράμματα ἑπτὰ ἔχει, καὶ καθ᾽ ὃ περιέκειτο τὴν σκυτίδα μέρος, κατ᾽ ἐκεῖνο τὸ μέρος νοσήσας ἀπέθανεν. κζ.

Ἔδοξέ τις ἐπὶ ξένης διατρίβων, ἑστίαν οἰκοδομεῖν. ἀπέθανεν ἐπὶ ξένης, ἔνθα καὶ ᾠκοδόμησεν εἰκότως. ἦν γὰρ σύμβολον τῆς ὅλης καταλύσεως καὶ τοῦ τέλους ἡ ἑστία. ἣν ἐπὶ ξένης οἰκοδομῶν, ἐδήλου ἕξειν τὸ τέλος. κη.

Ἔδοξέ τις ἐπὶ ξένης διατρίβων, ἑστίαν οἰκοδομεῖν, καὶ ἀντὶ λίθων, τὰ ἴδια βιβλία τῷ πηλῷ περιπλάσσειν, εἶτα δὲ μεταδόξαν αὐτῷ, καταβαλεῖν, καὶ παύσασθαι οἰκοδομοῦντα· ἐνόσησε, πονήρως, καὶ εἰς ἔσχατον ἐλθὼν, ἐσώθη. τούτων τὰς αἰτίας φανερὰς οὔσας, περισσὸν ἡγοῦμαι γράφειν. κθ.

Ἔδοξέ τις ὑπὸ γυναικὸς ἣν ἐκ πολλοῦ ἐγνώριζε διώκεσθαι, βουλομένης περιβάλλειν αὐτῷ τοὺς λεγομένους τῇ ῥωμαίων φωνῇ, * φαινόλας μέσους λελυμένους ἐκ τῶν ῥαφῶν. καὶ τέλος οὐ βουλόμενον καταναγκάσαι, τούτου ἐρασθεῖσα ἡ γυνὴ, ἐγήματο αὐτῷ οὐ βουλομένῳ, καὶ ὀλίγων ἐτῶν ἀπηλλάγη αὐτοῦ, διὰ τὸ λελύσθαι τοὺς * φαινόλας. λ.

Ἔδοξέ τις γυνὴ νοσοῦσα κύειν, ἤδη τε ὠδίνειν, καὶ ἐγγὺς τοῦ τεκεῖν εἶναι. ἅψασθαι δὲ τινα αὐτῆς, ἣν ᾤετο μὴ ἀπείρως ἔχειν τῶν περὶ τὰ τοιαῦτα, φαίνεται * [λέγειν] νῦν μὲν οὐ τέξει· μετὰ δὲ μῆνας ἑπτὰ παιδάριον καλὸν γε λίαν, ἐγένετο ἐν νόσῳ πάνυ κινδυνώδει. ὅθεν οὐκ ἂν ᾤετό τις αὐτὴν σωθήσεσθαι, καὶ μὴ γινομένην ῥᾷον ὡς μὴ τέλεον ὑγιάναι, μετὰ ἑπτὰ ἡμέρας ἀπέθανεν. εἰκότως, ἔμελλε γὰρ ἀποθήσασθαι τὸ βάρος καὶ τὰς ἀλγηδόνας μετὰ τοὺς ἑπτὰ μῆνας. τὸ δὲ καλὸν παιδάριον, ἦν ὁ θάνατος, ὃς τις αἱρετώτερος ἦν, διὰ τὸ ἄπονον τοῦ νοσώδους καὶ ταλαιπώρου βίου. λα.

Ἔδοξέ τις ἑαυτὸν περαίνειν, ἀνὴρ οὐκ ἄσημος

πλῶν μεγάλων μισθῶν τῆς εἰς αὐτὸν περιγαίσεως ἦλθε, ἕως τε δι' ἀπορίαν τε καὶ χρεῶν συνέχειαν ἑαυτὸν ἐξαγαγεῖν τοῦ βίου. εἰκότως, ἦν γὰρ αὐτῷ τοσαύτη ἑτέρου σώματος ἐρημία, καὶ δαπανημάτων* ἀπορία κατ' ὄναρ ὥς τε τὴν ὄρεξιν αὐτῆς ἀποστρέψαι· ἢ διὰ τὸ μὴ εἶναι ἄλλο σῶμα ᾧ ἂν ἐχρήσατο, ἢ διὰ τὸ μήτε βαίνειν δύνασθαι, μήτε ἀναλίσκειν ἔχειν. λβ'.

Ἔδοξέ τις τὸν δακτύλιον ἑαυτοῦ, ᾧ* πάντα κατεσημαίνετο, ἐκβαλεῖν, εἶτα ζητῶν καταλαβεῖν τὸν ἐν αὐτῷ λίθον κατεαγμένον εἰς πολλά, ὥς τε ἄχρηστον εἶναι· διέπνευσεν αὐτῷ πάντα τὰ τῶν πραγμάτων ἡμερῶν πέντε καὶ πεντήκοντα. λγ'.

Ἔδοξέ τις ἐπικύψας πονηρὸν ὄζοντας τοὺς περὶ τὸν ἀρχὸν καὶ ὀμφαλὸν τόπους καταλαβεῖν φάρμακον θανάσιμον ἑκών· ἔπιεν οὖν ὑπομένων περίστασιν ἀνάγκην τε χρεῶν.* φόβῳ γὰρ τοῦ μὴ τὰ ἀναγκαῖα καὶ ἀπόκρυφα αὐτοῦ ἐξοζέσῃ, καὶ ἠναγκάσθη παρὰ τὸ δέον, καὶ ἐκκαύθη θᾶττον, καὶ ἀπέθανεν. λδ'.

Ἔδοξέ τις λαμπάδας ἀπὸ τῆς ἑστίας τῆς ἔνδον παρ' αὐτῷ μὴ δύνασθαι ἅψαι, καὶ ἀπὸ τοῦ οὐρανοῦ ἀνάψαι, ἐσταυρώθη, καὶ κατὰ τοῦτον τὸν τρόπον, τῷ οὐρανίῳ πυρὶ ἐθάλπετο. λε'.

Ἔδοξέ τις ἀδελφὴν ἔχων πλουσίαν ἅμα καὶ νοσοῦσαν, περὶ τῆς οἰκίας τῆς ἀδελφῆς, συκῆν πεφυκέναι, καὶ ἐπ' αὐτῆς δρεπόμενος σῦκα μέλανα τὸν ἀριθμὸν ἑπτά, ἐσθίειν· ἀπέθανεν ἡ ἀδελφὴ ἐπὶ κληρονόμῳ τῷ ἰδόντι τὸν ὄνειρον, ἑπτὰ ἡμέρας ἐπιζήσασα· φανεροὶ οἱ λόγοι. λς'.

Ἔδοξέ τις ὑπὸ στρατηγοῦ τῆς ἑαυτοῦ πόλεως ἐκβάλλεσθαι τῆς οἰκίας καὶ τοῦ γυμνασίου· τοῦτον ὁ πατὴρ ἐξέβαλε τῆς οἰκίας. ὃν γὰρ ἔχει λόγον ἐν τῇ πόλει στρατηγός, τὸν αὐτὸν ἐν τῇ οἰκίᾳ πατήρ. λζ'.

Ἔδοξέ τις γυνὴ ἐν τῷ δεξιῷ μαζῷ ὀφθαλμὸν ἔχειν· υἱὸς ἦν αὐτῇ ἀγαπητός, ὃν οὐκ εἰς μακρὰν ἐκόψατο· ᾧ γὰρ λόγῳ ὁ δόξας ποτὲ ἐν τῷ δεξιῷ ὤμῳ ὀφθαλμὸν ἔχειν ἐξέβαλε τὸν ὦμον· τρόπον γάρ τινα ἔλεγεν

seipsum inire, publicanus mercium ingentium ad id calamitatis deuenit, vt per desperationem, ob inopiam & æris alieni frequentiam, seipsum vita priuaret. Meritò, aderat enim ipsi tantus alterius corporis defectus, & sumptuum inopia per somnium, vt etiam appetentiam ab ipsis auerteret: aut quòd nō esset aliud corpus quo vti posset, aut quòd neque coire posset, neque quod insumeret haberet. 32.

Visus est sibi quis anulum suum, quo omnia obsignabat, eiecisse, deinde quærens, lapidem qui in ipso erat in multas partes comminutum reperisse, ita vt de cætero inutilis esset: annihilata sunt ipsi omnia negotia, per quinque & quinquaginta dies. 33.

Visus est sibi quis, vbi prospexisset malè olentes circa podicem & vmbilicum locos, medicamentum letale vltro inuenire: ebibit igitur sustinēs infortunium fatorúmque necessitatem. Hīc ob timorem ne necessariæ & absconditæ ipsius partes olidæ fierent, præter rationem & decorum seipsum desperans damnauit, & vsturam citius admisit & interiit. 34.

Visus est sibi quis, faces à foco domestico accendere non posse, & de cœlo accendere: crucifixus est, atque hoc modo ab igne cœlesti concalfactus est. 35.

Visus est sibi quis, sororem habens diuitem simúlque ægrotantem, antè sororis domum ficum enatam esse, & decerptas ex ipsa ficus nigras septem numero comedere: mortua est soror, hærede relicto eo qui somnium vidit, vbi septem superuixisset dies. Rationes sunt euidentes. 36.

Visus est sibi quis, à duce exercitus suæ vrbis, & e domo eiici, & ex gymnasio, hūc pater ædibus expulit. Quam enim rationem dux exercitus in vrbe habet eandem habet pater domi. 37.

Visa est sibi quædam mulier, in dextra mamma oculū habere, ea filium habebat vnicè dilectū, quem non longè post planxit: qua ratione enim is qui aliquando visus est sibi in humero oculū habere, humerū perdidit, quodāmodo enim dicebat

per somnium, respice humerum, animaduersionem habe humeri. Eadem ratione & mulier, non mammam, sed similem mammæ filium amisit. 38.

Visus est sibi quis, suum ipsius stercus cum pane comedere, ac delectari: præter legem hæres factus est, citra culpam tamen, propterea quòd delectari sibi videbatur eo epulo, non autem extra suspicionem, propter stercus. Verisimile enim erat hoc lucrum turpitudine plenum esse. 39.

Visus est sibi quis, duas filias virgines habens, priorem quidem habere auream Venerem in capite alligatam, alteram verò vitis stipitem indidē enatam. Harum prior nupsit, altera mortua est. Nam Venus nuptiarum & generationis liberorum signum erat, iuxta illud Homericū,

Tu iucunda obeas genialis factáque lecti.

& materiæ pretiositas, iucunditatem nuptiarum signi ficabat: & aliâs conueniens est Veneri aurum quod illigatum habebat: & liberorum procreatio, indissolubiles nuptias significabat. At verò vitis, mortis signum erat alteri filiæ imminentis, propterea quòd è terra nascatur, in terram autem corpora etiam resoluuntur: & quòd summo vigoris tempore, vitis fructu priuetur. 40.

Visus est sibi quis, ex carnibus exire, velut serpens deposita senecta, & exuuio se exerit, postridie mortuus est. Nam anima corpus relictura tales imaginationes ipsi exhibebat. 41.

Visus est sibi quis per somnium in Isthmo esse, & proprium filium quærere. Periit filius ipsius, propter fabulam Melicertæ. 42.

Visus est sibi quis tres filios habens, à duobus concisus esitari; & iuniorem recognita aliis indignari ac tristem esse, & rem indignam auersatum dicere: Ego de parente non edam. Contigit iuniorem filium ipsius mori, solus enim non esurus erat, non de carnibus, sed de bonis paternis, prior parente vita decedens, & non assequens hæreditatem. Verùm reliqui qui esitarunt, successores bonorum paternorum facti sunt. 43.

αὐτῷ τὸ ὄναρ βλέπε τὸν ὦμον, αὐτῷ τούτῳ πρόσεχε τῷ ὤμῳ· τούτῳ τῷ λόγῳ καὶ ἡ γυνὴ, οὐ τὸν μαζὸν, ἀλλὰ τὴν ἐοικότα τῷ μαζῷ υἱὸν ἀπώλεσεν. λη'.

Ἔδοξέ τις τὴν ἑαυτοῦ κόπρον σὺν ἄρτῳ ἐσθίειν, καὶ ἥδεσθαι· παρανομήσας ἐκληρονόμησεν ἀνέγκλητος διὰ τὸ ἥδεσθαι, οὐκ ἀνυπονόητος δὲ διὰ τὴν κόπρον. εἰκὸς γὰρ ἦν αἰσχύνης αὐτῷ τὸ κέρδος πλῆρες εἶναι. λθ'.

Ἔδοξέ τις δύο θυγατέρας ἔχων παρθένους, τὴν μὲν προτέραν ἔχειν ἐπὶ τὴν κεφαλὴν χρυσέαν Ἀφροδίτην πεπεδημένην, τὴν δ' ἑτέραν, ἀμπέλου στέλεχος πεφυκός. τούτων ἡ μὲν προτέρα ἐγήματο, ἡ δὲ ἑτέρα ἀπέθανεν. ἡ γὰρ Ἀφροδίτη, γάμου καὶ παιδοποιίας ἦν σύμβολον, κατὰ τὸ Ὁμηρικόν.

Ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,

καὶ τὸ πολυτελὲς τῆς ὕλης, τὸ τερπνὸν τοῦ γάμου ἐσήμαινεν· ἄλλως τε καὶ κατάλληλος τῇ Ἀφροδίτῃ ὁ χρυσὸς ἐν ἐπεπέδητο· αὐτὴ παιδοποιίαι τὸ ἀδιάλυτον τοῦ γάμου ἐσήμαινεν. ἡ δὲ ἄμπελος, θανάτου σημεῖον ἦν, τοῦ περὶ τὴν ἑτέραν ἐσομένου, διὰ τὸ γῆθεν φύεσθαι, εἰς γῆν δὲ καὶ τὰ σώματα ἀναλύεται· καὶ ὅτι ἐν τῷ ἀκμαιοτάτῳ τῆς ὥρας, τοῦ καρποῦ στερίσκεται ἡ ἄμπελος. μ'.

Ἔδοξέ τις ἐκ τῶν σαρκῶν ἐκδύειν ὥσπερ ὄφις ἐκ τοῦ γήρως· τῇ ὑστεραίᾳ ἀπέθανε. καὶ γὰρ ἡ ψυχὴ τὸ σῶμα καταλιπεῖν μέλλουσα, τοιαύτας παρείχετο φαντασίας. μα'.

Ἔδοξέ τις κατ' ὄναρ ἐν ἰσθμῷ γενόμενος, τὸν ἴδιον υἱὸν ζητεῖν. ἀπώλετο ὁ υἱὸς αὐτοῦ, διὰ τὸν μῦθον τὸν μελικέρτιον. μβ'.

Ἔδοξέ τις τρεῖς ἔχων υἱοὺς, ὑπὸ τῶν δύο κατακοπεὶς ἐσθίεσθαι, ἐπιστάντα τε τὸν νεώτερον πρός γε τοὺς ἄλλους χαλεπαίνειν καὶ λυπεῖσθαι, καὶ μυσαττόμενον λέγειν· ἐγὼ τοῦ πατρὸς οὐ μὴ φάγω. συνέβη τὸν νεώτερον υἱὸν αὐτοῦ ἀποθανεῖν. μόνος γὰρ οὐκ ἔμελλεν ἐσθίειν οὐ τῶν σαρκῶν, ἀλλὰ τῆς ὑπάρξεως, πρότερος τοῦ πατρὸς ἀποθανὼν, καὶ μὴ κληρονομήσας. οἱ δὲ ἕτεροι οἱ φαγόντες, διάδοχοι τῆς οὐσίας τοῦ πατρὸς ἐγένοντο. μγ'.

Ἔδοξέ τις τὴν ἀδελφὴν αὐτοῦ ὑπὸ τοῦ πατρὸς τοῦ ἀνδρὸς ἀποσπᾶσθαι, καὶ ἄλλῳ δίδοσθαι γαμηθησομένην. συνέβη τὸν ἰδόντα ἀποθανεῖν. ὁ μὲν γὰρ πατὴρ εἰκότως ἐσήμαινε τὸν διὰ τὸν δαίμονά γε τὸν τοῦ ζῆν αἴτιον τῷ ἰδόντι. ἡ δὲ ἀδελφὴ τὸν αὐτὸν ἔχουσα λόγον τῇ ψυχῇ ἀποσπωμένη τοῦ ἀνδρὸς τοῦ σώματος, ἔμελλεν ἀποσπασθήσεσθαι ὑπὸ τοῦ δαίμονος καὶ ἐν ἄλλαις ἔσεσθαι διατριβαῖς καὶ ἤθεσιν. ὥσπερ ὑπολαμβάνουσιν ἄνθρωποι τῶν καμνόντων τὰς ψυχὰς ἀπαλλαγείσας τῶν σωμάτων, ἐν ἄλλαις γίνεσθαι διατριβαῖς. μδ΄.

Visus est sibi quis, sororem ipsius à patre, viro abstrahi, & alteri nuptum dari. Contigit eum qui somnium vidit mori. Etenim pater meritò significabat Iouem Deum vitæ autorem ipsi somnianti. Soror verò eandem cum anima rationem habens, abstracta à viro, de corpore abstrahenda erat à dæmone, & in aliis conuersationibus ac sedibus futura. Quemadmodum hominum opinio est, mortuorum animas corporibus separatas, in aliis conuersationibus esse. 44.

Ἔδοξέ τις ἀθλητὴς ἐν γαστρὶ ἔχειν καὶ δύο μέλανα θηλυκὰ βρέφη τεκεῖν· τυφλὸς ἐγένετο, καὶ αἱ κόραι αὐτοῦ προσέπεσον, καὶ ἐγένοντο μέλαιναι. με΄.

Visus est sibi quidam athleta, vterum gestare, & duas nigras infantes fœmellas parere: cæcus factus est, & pupillæ ipsius prolapsæ nigræ factæ sunt. 45.

Ἔδοξέ τις ἀνὴρ παγκρατιαστὴς πρὸς ἀγῶνα τετοκέναι, καὶ τὸ ἑαυτοῦ βρέφος τεθοινῆσθαι, * ἐλείφθη ἐκεῖνον τὸν ἀγῶνα, καὶ τοῦ λοιποῦ, κατέλυσε τὴν ἄθλησιν. οὐ γὰρ ἀνδρὸς ἔργα ἀλλὰ γυναικὸς ὑπομένειν ἐδόκει. μς΄.

Visus est sibi vir quidam pancratiastes, ad certamen peperisse, & infantem puerum suum comedisse, eo certamine inferior factus & superatus est, & de cætero athleticam desiuit. Non enim viri, sed mulieris opus sibi sustinere videbatur. 46.

Ἔδοξέ τις ὑπὸ τῆς ἑαυτοῦ μητρὸς πάλιν τίκτεσθαι. ἀπὸ ξένης ἀνακομισθεὶς εἰς τὴν ἑαυτοῦ, κατέλαβε τὴν μητέρα νοσοῦσαν, καὶ ἐκληρονόμησε, καὶ τοῦτο ἦν τὸ ὑπ' αὐτῆς γεννᾶσθαι· τὸ ἐκ πενίας εἰς εὐπορίαν καταστῆναι ὑπὸ τῆς μητρός. καὶ γὰρ ἔτυχεν ἐν πολλῇ ἐνδείᾳ καὶ πενίᾳ ὤν. μζ΄.

Visus est sibi quis, à sua matre rursus gigni: Ab exteris reuersus in patriam inuenit matrem ægrotantem, & hæres ipsi successit: atque hoc erat rursus ab ipsa gigni, nimirum ex paupertate ad opulentiam redigi à matre. Nam in multa inopia ac paupertate constitutus erat. 47.

Ἔδοξέ τις τὸ γένειον τὸ ἑαυτοῦ καίεσθαι λαμπρῷ καὶ καθαρῷ πυρί, τούτου ὁ υἱὸς ἐγένετο διάσημος καὶ λαμπρὸς ἐν μαντικῇ, οὐ μὴν ἐπιπολὺ συνεγένοντο ἀλλήλοις, ἀλλ' ὑπὸ περιστάσεως τινὸς χωρὶς ἀλλήλων ἐγένοντο. ἐπίσημον γὰρ αὐτοῦ ἐποίει τὸν υἱόν, τὸ καιόμενον γένειον, ὁ γὰρ παῖς πατρὸς κόσμος, ὥσπερ ὁ πώγων προσώπου. ἐπειδὴ δὲ τὸ πῦρ μειοῦν πέφυκε πᾶσαν ὕλην, οὐ παρέμεινεν αὐτῷ ὁ παῖς· ἐχωρίσθη δὲ οὐκ ἀποθανών, διὰ τὸ ἄνευ καπνοῦ τὸ πῦρ ἅπτεσθαι. μη΄.

Visus est sibi quis, barbam suam ardere splendido ac puro igne, huius filius nobilis & splendidus factus est in vaticinatione, non tamen diu simul vixerunt, sed per incommoditatem quandam separati seorsim vixerunt. Etenim nobilem faciebat filium barba ardens, nam filius ornamentum est patris, quemadmodum barba faciei. Quandoquidem verò ignis omnem materiam minuere solet, non permansit apud ipsum filius: separatus est autem, non mortuus, propterea quòd citra fumum ignis purus arderet. 48.

Ἀνὴρ Παγκρατιαστὴς Ὀλύμπια μέλλων ἀγωνίζεσθαι πάλην ἅμα καὶ παγκράτιον, ἔδοξεν ἀμφοτέρας τὰς χεῖρας αὐτοῦ χρυσᾶς γεγονέναι, οὐδέτερον τῶν στεφάνων ἤρατο.

Vir quidam Pancratiastes in Olympiis decertaturus lucta simul & pancratio, visus est sibi, vtrasque manus ipsius aureas factas esse, neutram coronã adeptus est,

Nam aureis manibus velut otiosis ac immobilibus vsurus erat. 49.

Visus est sibi quis, transformatus vrsæ manus habere, damnatus ad mortem, cum bestiis depugnauit, & ad palum ligatus ab vrso corrosus est. Hoc enim & manui contingit: quum enim intra speluncam latitat vrsa, ori manum inserit, & velut ad edens exugit, indéque nutritur. 50.

Visus est sibi quis apud exteros legati munus obiens, per somnium ad domum rediisse, deinde adstantem vxorem ipsi dicere, Musa parua mortua est: literas accepit ab vxore, quòd minimus natu ex liberis ipsius mortuus esset, suauis enim puer erat & desiderabilis, velut musæ. 51.

Visus est sibi quis, audire quędam dicẽtem, baculum ipsius confractum esse: ægrotauit, & paralysi resolutus est: firmamentum enim corporis à baculo indicabatur, hoc est robur & bona habitudo. Idem anxius & molestè ferens paralysim diutius perseuerantem, visus est sibi, baculum ipsius confractum esse, & valde statim sanitatem adeptus est. Non enim amplius ipsi fulcro opus fore significabat, quoniam ipso de cætero ad ambulandum vsurus erat. 52.

Visus est sibi quis fratrem habens apud exteros degentem, & significantem subinde de aduentu suo, fratrem ipsius cæcum factum adesse. Mortuus est qui somnium vidit. Meritò, quoniam impossibile erat vt frater ipsum videret. 53.

Visa est sibi mulier quædam, ancillam eius imagine ipsius, quàm in tabula depictum habebat, & vestibus ipsius ab ipsa acceptis vti, veluti ad pompam accessura esset. Ea ipsa ancilla statim virum ab ipsa: falsis criminationibus intentis: abduxit, & damni atque pomparum itineris faciendi, ipsi causa fuit. 54.

Visus est sibi quis alterum humerum videre volens, non posse, vnoculus factus est: atque hoc modo, iuxta illum humerum oculum non habens, neque humerum ipsum videre potuit. 55.

ἔμελλε γὰρ ὥσπερ χρυσέαις ταῖς χερσὶν, ἀργαῖς τε καὶ ἀκινήτοις χρήσασθαι. μθ'.

Ἔδοξέ τις μεταμορφωθεὶς, ἄρκτου χεῖρας γεγονέναι, καταδικασθεὶς τὴν ἐπὶ θανάτῳ, ἐθηριομάχησε. προσδεθεὶς ξύλῳ, ἐβρώθη ὑπὸ ἄρκτου. τοῦτο γὰρ καὶ τῇ χειρὶ συμβαίνει· ἐπειδὰν γὰρ φωλεύῃ ἡ ἄρκτος τῷ στόματι ἐμβάλλουσα τὴν χεῖρα ὥσπερ ἐσθίουσα, ἀπομυζᾷ καὶ τρέφεται. ν'.

Ἔδοξέ τις ἐπὶ ξένης διάγων κατὰ πρεσβείαν, κατ' ὄναρ εἰς τὴν οἰκίαν ἀποστραφῆναι. εἶτα παραστᾶσαν αὐτῷ τὴν γυναῖκα λέγειν, μοῦσα ἡ μικρὰ ἀπέθανεν. ἀπεστάλη αὐτῷ ὑπὸ τῆς γυναικός. ὅτι ὁ νεώτατος αὐτοῦ τῶν παίδων ἀπέθανεν, ἡδὺς γὰρ ὁ παῖς ἦν καὶ ποθεινὸς ὡς αἱ μοῦσαι. να'.

Ἔδοξέ τις ἀκούειν τινὸς τὸ βάκτρον αὐτοῦ κατεάχθαι, ἐνόσησε τε καὶ παρείθη· τὸ ἔρεισμα γὰρ τοῦ σώματος, ἐδηλοῦτο ὑπὸ τοῦ βάκτρου. τουτέστιν ἡ ῥώμη καὶ εὐεξία τοῦ σώματος. ὁ αὐτὸς αἰωρούμενος τε καὶ δυσφορῶν ἐπὶ τῇ παραλύσει χρονιωτέρᾳ γινομένῃ, ἔδοξε τὸ βάκτρον αὐτοῦ κατεάχθαι, αὐτίκα μάλα ἀνερρώσθη. οὐκέτι γὰρ αὐτῷ ἔμελλε δεήσειν ἐρείσματος, ἐπειδὴ ἔμελλεν αὐτῷ τὸ λοιπὸν χρῆσθαι εἰς πορείαν. νβ'.

Ἔδοξέ τις ἀδελφὸν ἔχων ἀποδημοῦντα, ἐπιδείξαντα ἑκάστοτε ὡς ἐλευσόμενον. τυφλὸν γενόμενον αὐτοῦ τὸν ἀδελφὸν παρεῖναι. ἀπέθανεν ὁ ἰδὼν τὸν ὄνειρον. εἰκότως, ἐπειδὴ οὐχ οἷός τε ἦν αὐτὸν ὁ ἀδελφὸς θεάσασθαι. νγ'.

Ἔδοξέ τις γυνὴ τὴν ἐμπλέκουσαν αὐτῇ θεράπαιναν, τὴν εἰκόνα αὐτῆς ἣν εἶχεν ἐπὶ πίνακι γεγραμμένην, καὶ τὰ ἱμάτια αὐτῆς χρῆσθαι. παρ' αὐτῆς ὡς εἰς πομπὴν παρελευσομένην. αὐτίκα ἡ θεράπαινα τὸν τε ἄνδρα ἀπέστησεν αὐτῆς ὑποδιαβάλλουσα, τε καὶ ζημιῶν, καὶ πομπῶν ἐγένετο αὐτῇ αἰτία. νδ'.

Ἔδοξέ τις τὸν ἕτερον τῶν ὤμων ἰδεῖν βουλόμενος, μὴ δύνασθαι, μονόφθαλμος ἐγένετο· τε τοῦτον τὸν τρόπον, κατ' ἐκεῖνον τὸν ὦμον ὀφθαλμὸν οὐκ ἔχων ἰδεῖν, οὐδὲ τὸν ὦμον ἰδεῖν ἠδύνατο. νε'.

Δρομεὺς ἐν Ὀλυμπίᾳ παίζων στάδιον ἐστεφανωμένος, μέλλων ἕτερον ἀγῶνα ἀγωνίζεσθαι, ἔδοξεν ἐν τῷ Ὀλυμπικῷ στεφάνῳ, ὥσπερ ἐν λεκάνῃ τοὺς πόδας νίπτεσθαι· ἐλείφθη ἐκεῖνον τὸν ἀγῶνα καὶ ἀδόξως τοῦ σταδίου. κατῄσχυνε γὰρ τὸν πρότερον στέφανον. νς'.

Ἔδοξέ τις ἐπὶ βοὸς μέλανος ὀχεῖσθαι, τὸν δὲ βοῦν ἄκοντα φέρειν αὐτὸν, ἢ ἄλλό τι κακὸν ἐργάσασθαι. ἔτυχε πλέων, καὶ ἐκείνης τῆς ἡμέρας ἐν κινδύνῳ ἐγένετο μεγάλῳ, καὶ οὐ μετὰ πολλὰς ἡμέρας, ναυαγίῳ περιπεσὼν, τῆς νεὼς ἀπολλομένης, μόλις ἐσώθη. ὡς δὲ ἐοίκασι βοῦς τε καὶ ναῦς, ἐν τῷ δευτέρῳ βιβλίῳ εἴρηταί μοι. νζ'.

Ἔδοξέ τις ἀετὸν τὰ σπλάγχνα ἑαυτοῦ τοῖς ὄνυξιν ἀναπείραντα φέρειν διὰ τῆς πόλεως εἰς τὸ θέατρον, ὄχλου ὄντος πλήρους, καὶ ἐπιδεικνύειν τοῖς θεαταῖς καὶ αὐτῷ τῷ πατρὶ ὄντι ἄπαιδι, ἐπὶ τούτῳ τῷ ὀνείρῳ ἐγένετο υἱὸς διάσημος καὶ λαμπρὸς ἐν τῇ πόλει· ὁ μὲν γὰρ ἀετὸς ἐσήμαινε τὸ ἔτος, ἐν ᾧ ἔμελλεν αὐτῷ ὁ παῖς τεχθῆναι, τὰ δὲ σπλάγχνα, τὸν παῖδα, οὕτω γὰρ καὶ τὸν παῖδα καλεῖν ἔθος ἐστίν. ἡ δὲ φορὰ ἡ εἰς τὸ θέατρον, τὸ ἐπίσημον τοῦ παιδὸς ἐσήμαινεν. νή.

Ἔδοξέ τις ἐπὶ μακρᾶς τῆς λεγομένης καρδόπου μεστῆς αἵματος ἀνθρωπίνου βασταζόμενος φέρεσθαι ὑπό τινων, καὶ ἐσθίειν πεπηγὸς τὸ αἷμα, εἶτα συναντήσασαν αὐτῷ τὴν μητέρα, λέγειν, ὦ τέκνον, ἄτιμόν με ἐποίησας, ἔπειτα δὲ ἀποθεμένων αὐτὸν τῶν φερόντων αὐτὸν, οἴκαδε ἀφῖχθαι ἐδόκει. ἐπεγράψατο εἰς μονομαχίαν. καὶ πολλοῖς ἔτεσιν ἐπύκτευσεν ἀπότομον πυγμήν. τό, τε γὰρ ἀνθρώπειον αἷμα ἐσθίειν, τὴν ἀπὸ αἵματος ἀνθρωπείου ὠμήν τε καὶ ἀνόσιον ἐσήμαινεν αὐτῷ τροφὴν, καὶ ἡ τῆς μητρὸς φωνὴ, τὴν ἀτιμίαν τοῦ βίου προεμαντεύετο, καὶ τὸν ἀεὶ καὶ συνεχῶς γενησόμενον κίνδυνον ἐσήμαινε, τὸ ἐπὶ τῆς μακρᾶς φέρεσθαι βασταζόμενος. τὰ γὰρ ἐκεῖ τιθέμενα, πάντως δαπανᾶται, καὶ τυχὸν ἂν ἀπέθανε τοῖς μονομάχοις. εἰ μὴ κατατεθεὶς εἰς τὸν οἶκον ἦλθε τὸν ἑαυτοῦ. ὀψὲ γὰρ σπευσάντων αὐτὸν τινῶν, ἀφείθη τῶν μονομάχων. νθ'.

Cursor in Olympia stadio decertans coronatus, aliud certamen parabat decertare, & videbatur sibi in corona Olympica, velut in pelui pedes lauari, inferior factus est eo certamine, & stadij quoque gloriam obfuscauit. Nam prioris coronę decus confusione affecit. 56.

Visus est sibi quis super boue nigro vehi, bouem verò inuitum ipsum ferre, aut aliud quid mali perpetrare. Nauigabat, & illa ipsa die in magno periculo fuit, & non post multos dies in naufragium collapsus, naue pereunte, vix seruatus est. Quomodo autem inter bouem ac nauem similitudo sit in secundo libro relatum est. 57.

Visus est sibi quis, aquilam viscera ipsius vnguibus correpta per vrbem in theatrum, multa turba refertum ferre, & ostendere spectatoribus, atque ipsius patri filiis carenti, in hoc somnio natus est ipsi filius insignis, & clarus in vrbe: etenim aquila Græca sui appellatione ἀετὸς, significabat hunc annum, in quo filius ipsi nasci deberet, viscera verò filium, sic enim & filium vocare consuetudo obtinuit. Delatio autem in theatrum filij celebritatem significabat. 58.

Visus est sibi quis, in alueolo panario (qui & Mactra, & Cardopus Græcis appellatur) sanguine humano referto, à quibusdam portari, & congelatum sanguinem edere, deinde obuiam veniētem ipsi matrem dicere, O fili, ignominiosam me fecisti. Postea verò deponentibus ipsum gestatoribus, ad domum peruenisse sibi videbatur. Duello ac monomachiæ nomina dedit, & multis annis crudelem pugillatum decertauit. Nam humanum sanguinem edere, ab humano sanguine crudele & impium alimentum ipsi significabat, & matris vox, ignominiam vitæ præsagiebat. Portari autem à baiulis & alueolo panario, perpetuum ac assiduum periculum significabat. Quæ enim istic ponuntur, omnino insumuntur, & forsassis in monomachia periisset tandem nisi depositus in domum suam peruenisset. Serò enim à quibusdam fauentibus ipsi permotus ac persuasus, à monomachis & gladiatoribus liber euasit. 59.

Visus est sibi quis, iaculum cœlitus delapsum ipsum sauciasse in alterum pedem, hic à serpente commorsus est, qui Acontias à iaculo Græcis appellatur, & pede illo carie ac putredine consumpto, mortuus est. 60.

Visus est sibi quis, sub iugum actus esse, & simul cum fratre subiugatus esse, qui iam diu vita defunctus erat, & sanè à matre sic subiugatus sibi videbatur, & velut iumentum impelli, matre habenas moderante. Is venit ad matrem ægrotans, & mortuus est, & sepultus simul cũ fratre, atque has bigas misera mater coniunxit. 61.

Visus est sibi quis, ab Æsculapio gladio percussus in ventrem vita decedere. Hinc abscessus in ventre factus est, & medicus ipsius Æsculapius fuit, sectione in ipso vsus. 62.

Visus est sibi quis, pudendum suum pane ac caseo, velut animal quoddam cibare, malè interiit. Cibum enim quem ori offerre oportebat pudendo obtulit. Velut obscurè & in ænigmate significans, quòd neque faciem, neque os haberet. 63.

Visa est sibi mulier quædam, e pectore ipsius tritici spicas enatas esse, & in naturam ipsius refractas rursus immergi. Hęc per casum aliquem ignara cum filio suo coiuit, deinde seipsam interfecit, & malè periit. Spicæ enim filium significabant. Verùm immersio spicarum in naturam ipsius, coitum. At verò interitum ipsius, significabant semina ex corpore ipsius enata propterea quòd è terra, & non è viuentium corporibus enascantur. 64.

Visus est sibi quis, in tunica propria cimices valde multos ac magnos reperire, ac abominari, & ipsos abiicere velle, sed non posse. Postridie didicit vxorem suam stupri consuetudinem cum quibusdam habere, & ex eo quidem tristatus est, sed ab ipsa non discessit, impedimento quodam prohibitus. Significabant enim tunicæ, vxorem ipsi circumplicatam, cimices verò turpitudinem: quoniam autem non poterat ipsos pro voluntate sua auferre ac reiicere, neque ab vxore iuxta propositum suum discedere potuit. 65.

Ἔδοξέ τις οὐρανόθεν πεσὸν ἀκόντιον, αὐτὸν τρῶσαι εἰς τὸν ἕτερον πόδα αὐτοῦ, ὁ δὲ ὑπὸ ὄφεως δηχθεὶς τοῦ λεγομένου Ἀκοντίου, εἰς τὸν πόδα ἐκεῖνον σφακελίσας, ἀπέθανεν. ξʹ.

Ἔδοξέ τις ὑπὸ ζυγὸν ἀχθεὶς ἐζεῦχθαι ἅμα τῷ ἀδελφῷ, ὃς πάλαι ἐτεθνήκει, καὶ ζευχθεὶς ὑπὸ τῆς μητρὸς, ὥσπερ τι ὑποζύγιον ἐλαύνεσθαι, τῆς μητρὸς ἡνιοχούσης. ἦλθε παρὰ τὴν μητέρα κάμνων καὶ ἀπέθανε, καὶ ἐτάφη ἅμα τῷ ἀδελφῷ, καὶ ταύτην τὴν ξυνωρίδα, ἔζευξεν ἄθλιος ἡ μήτηρ. ξαʹ.

Ἔδοξέ τις ὑπὸ Ἀσκληπιοῦ ξίφει πληγεὶς εἰς τὴν γαστέρα ἀποθανεῖν. τούτῳ ἀπόστημα ἐγένετο κατὰ τῆς γαστρός· καὶ ἰάσατο αὐτὸν ὁ Ἀσκληπιὸς, τομῇ χρησάμενος ἐπ᾽ αὐτοῦ. ξβʹ.

Ἔδοξέ τις, τὸ ἑαυτοῦ αἰδοῖον ἄρτῳ καὶ τυρῷ ψωμίζειν ὥσπερ τι ζῶον, κακῶς ἀπέθανε. δέον γὰρ προσφέρειν τῷ στόματι τὰς τροφὰς, τῷ αἰδοίῳ προσέφερεν. ὥσπερ αἰνιττόμενος, ὡς οὐκ ἔχειν πρόσωπον οὐδὲ στόμα. ξγʹ.

Ἔδοξέ τις γυνὴ ἐκ τοῦ στήθους αὐτῆς ἐκπεφυκέναι πυρῶν στάχυας καὶ εἰς τὴν φύσιν αὐτῆς ἐπικλωσθέντας πάλιν καταδύεσθαι. αὐτὴ κατὰ περίστασιν ἀγνοοῦσα, τῷ ἑαυτῆς παιδὶ ἐμίγη, εἶτα ἑαυτὴν τε διεχρήσατο καὶ πονηρῶς ἀπέθανεν. οἱ μὲν γὰρ στάχυες, τὸν παῖδα ἐσήμαινον. ἡ δὲ εἰς τὴν φύσιν αὐτῆς κατάδυσις, τὴν μῖξιν. τὸν δὲ ἐπ᾽ αὐτῇ μόρον, ἐσήμαινεν ἐμπεφυκότα τὰ σπέρματα, ἀπὸ τοῦ σώματος αὐτῆς, διὰ τὸ γῆθεν καὶ μὴ ἀπὸ τῶν ζώντων ἐκφύεσθαι. ξδʹ.

Ἔδοξέ τις ἐν τῷ χιτῶνι τῷ ἰδίῳ, κόρεις πάνυ πολλοὺς καὶ μεγάλους εὑρὼν, μυσάττεσθαι, καὶ βουλόμενος ἀποβάλλειν αὐτοὺς, μὴ δύνασθαι. τῇ ὑστεραίᾳ μαθὼν ὅτι ἡ γυνὴ αὐτοῦ μοιχεύεται, ἠνιάθη μὲν, οὐκ ἀπηλλάγη δὲ αὐτῆς, διὰ τὸ γινόμενον ἐμπόδιον. ἐσήμαινον γὰρ αὐτῷ οἱ χιτῶνες, τὴν περιπλεκομένην αὐτῷ γυναῖκα, καὶ οἱ κόρεις, τὴν αἰσχύνην. ἐπεὶ δὲ οὐχ οἷός τε ἦν βουλόμενος ἀφελεῖν αὐτοὺς οὐδὲ τῆς γυναικὸς βουλόμενος ἀπαλλαγῆναι ἠδυνήθη. ξεʹ.

Ἔδοξέ τις τὸ αἰδοῖον αὐτοῦ ἄχρις ἄκρας τῆς κορώνης τετριχῶσθαι, καὶ λάσιον εἶναι πυκνῶν πάνυ τριχῶν, αἰφνίδιον φυεισῶν· ἀποπεφασμένος κίναιδος ἐγένετο, πάσῃ μὲν ἀκολάστῳ χρησάμενος ἡδονῇ, θηλυδρίας ὢν καὶ ἀνδρόγυνος, μόνῳ δὲ τῷ αἰδοίῳ κατὰ νόμον ἀνδρῶν μὴ χρώμενος. τοιγαροῦν οὕτως ἤδη ἀργὸν ἦν αὐτῷ τὸ μέρος ἐκεῖνο, ὡς διὰ τὸ μὴ τρίβεσθαι πρὸς ἕτερον σῶμα καὶ τρίχας ἐκφῦσαι. ξϛ'.

Ἔδοξέ τις λέγειν αὐτῷ τινά, θῦσον τῷ Ἀσκληπιῷ. τῇ ὑστεραίᾳ, μεγάλῃ συμφορᾷ ἐχρήσατο· κατηνέχθη γὰρ ἀπὸ ὀχήματος περιστραφέντος, καὶ συνετρίβη τὴν χεῖρα τὴν δεξιάν, καὶ τοῦτο ἦν ἄρα ὅπερ ἐσήμαινε, δεῖν φυλάττεσθαι καὶ θύειν ἀποτρόπαια τῷ θεῷ. ξζ'.

Ἔδοξέ τις κάτοπτρον ἔχειν κουρέως, ἑστὼς ἐν τῇ πλατείᾳ πλησίον ἀγορᾶς. καὶ περὶ πολλοῦ ποιεῖσθαι τὸ κατοπτρίζεσθαι. ἐπὶ δὲ τούτοις συγχωρηθὲν αὐτῷ κατωπτρίσατο· καὶ εἶδε τὴν εἰκόνα αὐτοῦ πᾶσαν μεστὴν σπίλων. ἦν ἔρως ἑτέρας αὐτῷ, οὐδενὸς συγχωροῦντος αὐτῷ λαβεῖν. βίᾳ ἔλαβε. καὶ παῖς ἐγένετο αὐτοῖς ἐπίμωμος, οὐ διὰ τὸ γινόμενον. ἀλλ' ὅτι καὶ διάστροφος ἦν τοὺς ὀφθαλμούς. τὸ δὲ κάτοπτρον τοῦ κουρέως, κοινὴν ἐσήμαινε τὴν γυναῖκα καὶ πάντῃ προσκειμένην. ἥτις οὐκ εὐμέτρως ἐχρήσατο τῷ μοιχῷ. ἐκώλυε γὰρ αὐτὴν ἀγαγέσθαι τὸν ἄνθρωπον. ἐπεὶ δὲ εἶδε τὴν ἑαυτοῦ εἰκόνα, ἐγένετο αὐτῷ παῖς, τὰ ἄλλα ὅμοιος, οὐκ ἄμωμος δέ. ὅτι καὶ σπίλους ἔσχεν. ξη'.

Ἔδοξέ τις ἐν τῷ πρωκτῷ στόμα ἔχειν, καὶ ὀδόντας μεγάλους καὶ καλούς, καὶ φωνὴν ῥήσσειν δι' αὐτοῦ καὶ ἐσθίειν. καὶ ὅσα τῷ στόματι πράσσεται, πάντα ὅμοια ἔχειν. ὑπὸ παρρησίας λόγων, ἔφυγε τὴν ἑαυτοῦ πατρίδα. ἀπηλάθη. ἐῶ λέγειν τὰς αἰτίας. εἰκότα γὰρ καὶ εὔλογα ἦν τὰ συμβάντα. ξθ'.

Ἔδοξέ τις ἐν Ῥώμῃ διάγων, περὶ τὴν πόλιν ἵπτασθαι πλησίον τῶν κεράμων, καὶ ἀγάλλεσθαι μὲν ἐπὶ τὴν εὐπτησίαν· θαυμάζεσθαι δὲ πρὸς πάντων τῶν θεωμένων. ὑπὸ δὲ πόνου τινὸς καὶ ὀδαξισμοῦ τῆς καρδίας, παύσασθαι

Visus est sibi quis, pudendum suum vsque ad extremum circulum pilosum factum esse, & hirsutum ac valde densis pilis obsitum esse, de repente enatis: manifestarius palàm cinædus factus est, omni corporis voluptate intemperanter vsus, effœminatus existens & androgynus, verùm solo pudendo iuxta ritum virilem non est vsus. Proinde adeò ociosam hanc partem habebat, vt propterea quod ad aliud corpus non affricaretur, etiam pilos produceret. 66.

Visus est sibi quis, aliquem ipsi dicere, sacrifica Æsculapio. Postridie in magnā calamitatem incidit. delapsus enim à vehiculo subuerso, dextram manum attriuit. atque hoc erat quod ille significabat, cauere videlicet oportere, & Deo malorum depulsori, ac diras amolienti sacrificare. 67.

Visus est sibi quis, speculum habere tonsoris, & stare in platea prope forum, & magni facere speculo vti posse. postea concesso sibi speculo, se cōtemplatus est, vidítque imaginem suam totam maculis refertam. Amore tenebatur hic amicæ, & nullo permittente ipsi eam ducere, vi duxit, & natus est ipsi filius vituperabilis, non solùm ob factum, sed quòd etiam distortos oculos haberet. Verùm speculum tonsoris, communem vxorem significabat, & quæ omnibus exposita esset, & quæ non facili adultero vteretur. Prohibebatur enim ipsam ducere in vxorem. Quoniam verò vidit imaginem suam, natus est ipsi filius, in reliquis similis, non autem irreprehensibilis, propterea quòd maculas haberet. 68.

Visus est sibi quis, in podice os habere, & dentes magnos ac pulchros, & vocem per ipsum edere, ac cibum capere, & quæcunque per os fieri solent, omnia similiter habere. ob petulantiam linguæ patriam suam reliquit, & in exilium expulsus est, prætermitto dicere causas, verisimiles enim & rationabiles erant euentus. 69.

Visus est sibi quis Romæ degens, circum vrbem volare prope tegulas, & exultare ob volandi successum, & admirationi esse omnibus spectantibus. Verùm à dolore quodam & cordis morsu cessare à volan-

volando, & præ pudore occultari. Hic admirandus vir & excellens ac nobilis vates erat, & in vrbe degens multas opes acquisiuit, vnáque in magna omnium admiratione fuit, nullam tamen vtilitatem, neque ex vaticinatione, neque ex diuitiis percepit. Verùm vxor ipsum prodens auertit, vt præ pudore aliò cõmigraret. 70.

Visus est sibi quis, ad volandum se accingens, ab amico quodam prohibitus esse, ex dextro pede detentus. Nomen autem amici Iulius erat. Hic à Roma transmigraturus erat, & sanè ea quę ad profectionem requiruntur, præparauerat. Iam verò instante Iulio mense, ob incommoditatem quandam prohibitus est, & remoratus. Non tamen ea mora ad finem durabat, quia amicus erat à quo detinebatur. 71.

Visus est sibi quis ægrotans, in templũ Iouis profectus esse, & interrogare Deũ his verbis, Meliúsne habebo & victurus sum? Et Iupiter quidem respondit ipsi nihil, annuit autem prono capite. Postridie is mortuus est, & valde meritò, in terram enim prospiciebat deorsum pronuẽs Deus. Quod verò non præter rationem hoc euenerit, ex alio somnio cognouimus. 72.

Mulier quædam ægrotans, visa est sibi Venerem interrogare per somnium an victura esset, & dea abnuit sursum moto capite, & nihilominus vixit mulier. Contraria enim priori figura, in cœlum videlicet respicientis, salutaris erat. 73.

Visa est sibi mulier quædam quæ filios sibi gigni optabat, sellas videre obstetricarias, quibus mulieres in puerperio vtũtur, mari innatantes. Prægnantem quidem ipsam esse contigit, mater autem nõ est facta, verùm septem quos peperit filios, mori vidit ante tempus, fasciis adhuc inuolutos. 74.

Visus est sibi quis, transformatus arbor magna factus & bifida, & alteram quidem partem esse populum albam, alteram verò pinũ. Deinde populum quidem aues omnis generis insidere, pinui verò laros & mergos, & quæcunque aliæ sunt marinæ aues. Nati sunt ipsi filij duo, quorum alter athleticam & laboriosam vitam duxit, propter populum albam, & multam terram peragrãs, omnis generis

ἱπτάμενος, καὶ ὑπ' αἰδοῦς ἀποκρύπτεσθαι. θαυμάσιος ἀνὴρ, καὶ διαφέρων μάντις ἦν καὶ ἐπίσημος. ἐν τῇ πόλει διατρίψας, ἐπορίσατο πολλὰ, σὺν τῷ καὶ θαυμάζεσθαι. οὐ μὴν ἀπώνατό γε τῆς μαντικῆς οὐδὲ τοῦ πορισμοῦ. ἡ δὲ γυνὴ αὐτὸν καταπροδοῦσα, ἀπέστρεψεν. ὥστε ὑπ' αἰδοῦς, μεταναστῆναι. ό.

Ἔδοξέ τις ἵπτασθαι μέλλων, ὑπό τινος τῶν φίλων κεκωλῦσθαι. τοῦ ποδὸς τοῦ δεξιοῦ κατασχεθείς. ὄνομα δὲ τῷ φίλῳ, Ἰούλιος. ἔμελλε τῆς Ῥώμης ἀπανίστασθαι, καὶ δὴ παρεσκευάσατο μὲν τὰ πρὸς τὴν ἀποδημίαν. ἄρτι δὲ τοῦ Ἰουλίου μηνὸς ἐνστάντος, ὑπὸ περιστάσεως ἐκωλύθη, καὶ κατέμεινεν. οὐ μὴν ἡ καταμονὴ εἰς τέλος ἐγένετο, ὅτι φίλος ἦν ὁ κατασχών. οα΄.

Ἔδοξέ τις ἀνὴρ νοσῶν, εἰς Διὸς ἐλθὼν ἱερὸν, πυνθάνεσθαι τοῦ θεοῦ, φωνῇ χρησάμενον ταύτῃ. ῥᾴων ἔσομαι καὶ ζήσω; καὶ ὁ Ζεὺς εἶπε μὲν πρὸς αὐτὸν οὐδέν. ἐπένευσε δὲ τὴν κεφαλὴν, εἰς τὴν ὑστεραίαν ἀπέθανε, καὶ μάλα εἰκότως· εἰς γῆν γὰρ ἔβλεπε νεύων κάτω ὁ θεός. ὅτι δὲ μὴ ἀλόγως ἀπέβη, ἐπιστεύσαμεν ἀπὸ ἑτέρου. οβ΄.

Νοσοῦσα γυνὴ, ἔδοξεν ἐρέσθαι τὴν Ἀφροδίτην κατ' ὄναρ, εἰ ζήσεται, καὶ ἡ θεὸς ἀνένευσε, καὶ οὐδὲν ἧττον ἔζησεν ἡ γυνή. τὸ γὰρ ἐναντίον σχῆμα τῷ πρὶν, εἰς οὐρανὸν βλεπούσης, σωτήριον ἦν. ογ΄.

Ἔδοξέ τις γυνὴ περὶ τέκνων εὐχομένη, δίφρους ὁρᾶν λοχειαίους, οἷς πρὸς τὸ ἀποτεκεῖν χρῶνται αἱ γυναῖκες, ἐπὶ θαλάσσῃ ἐπιπλέοντας. κύειν μὲν αὐτῇ συνέβη· μήτηρ δὲ οὐκ ἐγένετο. ἀλλὰ ἑπτὰ οὓς ἔτεκε παῖδας, ἀποθανεῖν πρὸ ὥρας ἐν σπαργάνοις ὄντας. οδ΄.

Ἔδοξέ τις μεταμορφωθεὶς δένδρον γενέσθαι παμμέγεθες, δίχρουν, καὶ τὸ μὲν ἕτερον μέρος, εἶναι λεύκην. τὸ δὲ ἕτερον, πίτυν, ἔπειτα τῇ μὲν λεύκῃ, παντοδαποὺς ὄρνιθας ἐφιζάνειν, τῇ δὲ πίτυϊ, λάρους καὶ αἰθυίας, καὶ ὅσα ἄλλα θαλάσσια ὄρνεα. ἐγένοντο αὐτῷ παῖδες δύο. ὧν ὁ μὲν ἕτερος ἤθλησε διὰ τὴν λεύκην, καὶ περινοστῶν, παντοδαπῶν

ἀνθρώπων καὶ οὐχ ὁμοφύλων ἠνείχετο. ὁ δὲ ἕτερος καίπερ ὢν γεωργοῦ παῖς, ναύκληρος ἐγένετο, καὶ τῶν οὐκ ἀσήμως πλευσάντων. αὐτὸς δὲ ὁ ἰδὼν τὸν ὄνειρον, μακρογήρως καὶ λιπαρῶς κατεβίωσεν. οε'.

Ἔδοξέ τις παῖδα παγκρατιαστὴν εἰς ὀλύμπια ἀναγαγὼν καταδεδικάσθαι τε ἐπὶ θανάτῳ τὸν παῖδα σφαγησόμενον δῆθεν ἐπὶ τοῦ βωμοῦ τοῦ διός. αὐτὸς δὲ καταλοφυρόμενος, καὶ πολλὰ ἱκετεύσας, παρῃτήσατο μὴ ἀποθανεῖν τὸν παῖδα. ἐκεῖθεν ὁ παῖς καὶ ἠγωνίσατο, καὶ ἐν ἐλπίδι μεγάλῃ τοῦ νικᾶν γενόμενος, ἡττήθη. εἰκότως, οὐδὲ γὰρ ἐν τελευτῇ ἐγένετο, τουτέστιν ἐν συμπεράσματι τοῦ νικᾶν, οὔτε μὴν δημοσίᾳ ἔτυχε τιμῆς· ὡς γὰρ εἰκὸς οἱ προθυμούμενοι, δημοσίᾳ μεγάλων τιμῶν ἀξιοῦνται. κατὰ ταῦτα δὲ καὶ οἱ Ὀλυμπιονῖκαι. ος'.

Ἔδοξέ τις εἰς ὀλύμπια ἀναγαγὼν παῖδα παλαιστὴν πρὸς τῶν ἑλλανοδικῶν ἀποσφαγέντα τὸν παῖδα τῷ σταδίῳ ἐντεθάφθαι. ἐγένετο ὁ παῖς Ὀλυμπιονίκης. καὶ γὰρ ἐπιγραφῆς ἀκόλουθόν ἐστι τὸν ἀποθανόντα τυχεῖν, ὡς τὸν Ὀλυμπιονίκην καὶ μακάριον λέγεσθαι. οζ'.

Ἔδοξέ τις λέγειν τινὰ αὐτῷ, ἀποθανεῖν μὲν μὴ φοβοῦ, ζῆν δὲ οὐ δύνασαι. τυφλὸς ἐγένετο, ὀρθῶς καὶ κατὰ λόγον ἀποβάντος αὐτῷ τοῦ τοιούτου. οὐκ ἐτεθνήκει μὲν γὰρ παρόσον ἔζη, οὐκ ἔζη δὲ, παρ' ὅσον τὸ φῶς οὐκ ἔβλεπε. οη'.

Δρομεὺς μέλλων ἱερὸν ἀγῶνα ἀγωνίζεσθαι, ἔδοξε κεράμιον ἔχων, ἐπὶ κρήνην ἀφῖχθαι, ἀρυσόμενος ὕδωρ, καὶ ἕως ἀφικνεῖτο ἐπὶ τὴν κρήνην, ἔρρεε τὸ ὕδωρ· ἔτι δὲ προσιόντος αὐτοῦ, καὶ βουλομένου λαβεῖν, ἐπαύσατο τὸ ὕδωρ. ἐπεὶ δὲ διαλεῖπον πάλιν κατῄει, ὅμως ῥέον, ἄρτι προσιόντος, ἐπαύσατο, καὶ τρίτον ὁμοίως. τέλος δὲ καὶ παντελῶς ἀπέλιπεν. ὥστε ὀργισθέντα, ῥῆξαί τε καὶ κατεάξαι τὸ κεράμιον, ὃ ἔφερε. δρόμου γενομένου, ἐγένετο ἐξίσης ἄλλου, καίπερ οὔσης ῥοπῆς κατ' αὐτὸν πλείονος νίκης,

homines & minimè cognatos pertulit. Alter tametsi agricolę filius esset, nauclerus factus est, & non ignobilis nauta. Ipse verò qui somnium vidit, ad longam senectam peruenit, & feliciter vitam finiuit. 75.

Visus est sibi quis qui filium pancratiastem ad olympia perduxerat, filium ipsum morti adiudicatum esse, & mactandum à longè ad aram Iouis. Ipse autem multum lamentans, & plurimis precibus fusis, impetrasse sibi amplius videbatur, vt filius morti non traderetur. Huius filius selectus est ad certamen, ac decertauit, & quum in magna spe victoriæ assequendæ esset, inferior factus ac superatus est. Meritò, neque enim in fine, hoc est complemento victoriæ erat, neque sanè publicum adeptus est honorē. Quemadmodum enim verisimile est, vt qui magno animo ac studio ad aliquod perficiēdum incumbnt, etiam publicè magnis honoribus digni censeantur. Eodem modo & Olympionicæ. 76.

Visus est sibi quis qui filium ad olympia luctatorem perduxerat, filium à Gręcis iudicibus mactatum in stadio sepultum esse. Huius filius Olympionices, hoc est victor in Olympico certamine euasit. Nam consequens est, vt mortuo sepulcralis inscriptio & epitaphium statuatur, quemadmodum Olympionicæ vt beatus dicatur. 77.

Visus est sibi quis, dicere ipsi aliquem, Mortem quidem ne timeas, viuere autem non potes. Cæcus factus est, rectè & iuxta rationem hoc ipso eueniente, non moriebatur enim inquantum & quatenus viuebat. Non viuebat autem quatenus lucem non videbat. 78.

Cursor sacrum certamen decertaturus, visus est sibi amphoram habens ad fontem peruenisse, hausturus aquam: & donec peruenerat ad fontem, aqua fluebat, adhuc autem adeunte ipso, & volente capere, cessauit aqua. Postquam verò interiecto tempore rursus adiret, similitérque flueret, iam ipso adeunte rursus cessauit, & tertio eodem modo, ad finem verò etiam in totum defecit, adeò vt is iratus proiiceret ac confringeret amphoram, quam ferebat. Hic in certamine cursus ex æquo alteri ferebatur, & quamuis victoriæ lanx ad ipsum magis inclinaret,

tamē rursum currere cogebatur, & quum secundo ad metam simul cum aduersario peruenisset, tertio cucurrit, & quum non parum multa lancis inclinatio secundum ipsum esset, corona priuatus est. Promouebat enim aduersarium is qui certamen celebrabat. In somnio itaque assimulari poterat, fons certamini. Canalis autem certaminis præfecto. Aqua coronæ, amphora exercitio. Priuatio aquæ, canali ipsam per tempus exhibente, priuationi coronæ, propter præfectum aduersario fauentem. Exercitium frustra factum, amphoræ quam postremum indignatus confregit. 79.

Cursor sacrum certamen decertaturus, visus est sibi canalem aquæ cœno ac stercore refertum scopis expurgare, ac multa aqua eluere, quo amplum ac probè perfluum & purum redderet. Postridie admoto clysteri, & eductis ex ventre induratis stercoribus, quamuis propinquum esset certamen, tamen leuipes ac promptus ad cursum factus, coronatus est. 80.

Visa est sibi mulier quædam, amatorem ipsius porcinum caput ipsi donasse. Odio habuit amatorem, ipsúmque reliquit. Veneri enim ingratus est porcus. 81.

Visus est sibi quidam circularis tibicen, plantas pedum suorum in tibias excauatas esse. Desiuit tibia canere, & à certando quieuit ac cessauit, atque sic tibiis vsus est pedibus, velut in tibias excauatis, non amplius videlicet progrediens ad scenarum opera. 82.

Visus est sibi quis, conuictores & suæ tribus phratoras ipsi instantes derepente dicere, suscipe nos & cœnam para. Ipse verò dicere sibi videbatur, ego certè æs non habeo, neque vnde vos conuiuio excipere possim, atque his verbis illos à se amouisse. Postridie in naufragium collapsus, & ad extremum periculum deuolutus, vix seruatus est. Meritò & pro somnij ratione ipsi hoc eueniente. Mos enim conuictoribus, etiam in defunctorum ædes ingredi ac cœnare. Epulum autem à defuncto exhibitum esse dicitur, pro honore quem conuictores defuncto habēt. Verùm ille qui ipsos non excepit, meritò periculum significabat. quia verò ipse non promisit epulum, meritò seruatus est. Nam instantes, & expectantes sui ad cœnam exceptionem, à se repellebat. At

πάλιν ἠναγκάσθη δραμεῖν, καὶ τὸ δεύτερον συνεξελθὼν τῷ ἀνταγωνιστῇ, τὰ τέρματα. τὸ τρίτον ἔδραμε καὶ οὐκ ὀλίγον. πολλῆς τῆς κατ' αὐτὸν γινομένης ῥοπῆς, ἀφῃρέθη τοῦ στεφάνου. ἔτυχε γὰρ σπεύδων τὸν ἀνταγωνιστὴν, ὁ τὸν ἀγῶνα ἐπιτελῶν. παρῆν δὲ εἰκάζειν τὴν μὲν, κρήνην τῷ ἀγῶνι. τὸν δὲ ὀχετὸν, ἀγωνοθέτῃ. τὸ δὲ ὕδωρ, τῷ στεφάνῳ. τὸ δὲ κεράμιον, τῇ ἀσκήσει, καὶ τὴν ἀποτυχίαν τοῦ ὕδατος διὰ χρόνου παρέχοντος, τὸν ὀχετὸν, τῇ ἀποτυχίᾳ τοῦ στεφάνου διὰ τὸν κατασπεύδοντα ἀγωνοθέτην. τὴν δὲ ματαίαν ἄσκησιν, τῇ τοῦ κεραμίου τάξει. οη.

Δρομεὺς μέλλων ἀγωνίζεσθαι ἱερὸν ἀγῶνα, ἔδοξεν ὀχετὸν ὕδατος ἔμπλεων κόπρου καὶ βορβόρου. λαβὼν κόρηθρον, ἐκκαθαίρειν καὶ καταπλυνεῖν ὕδατι πολλῷ, ὅπως εὔρουν* τε καὶ καθαρὸν ἀποδείξῃ. τῇ ὑστεραίᾳ κλυστῆρα προσθέμενος, καὶ ὑπεξαγαγὼν τῆς ἑαυτοῦ γαστρὸς σκύβαλα, καίπερ ἐγγὺς ὢν τοῦ ἀγῶνος, εὔπους τε καὶ κοῦφος γινόμενος ἐστεφανώθη. π'.

Ἔδοξέ τις γυνὴ τὸν ἑαυτῆς ἐραστὴν, χοιρείαν αὐτῇ κεφαλὴν δωρεῖσθαι. ἐμίσησε τὸν ἐραστὴν καὶ κατέλιπεν αὐτόν. ἀναφρόδιτος γὰρ ὁ χοῖρος. πα.

Ἔδοξέ τις κύκλιος αὐλητὴς τὰ πέλματα τῶν ποδῶν αὐτοῦ κυλοκοπῆσθαι. κατέλυσε καὶ ἐπαύσατο αὐλῶν τε καὶ ἀγωνιζόμενος, καὶ οὕτως αὐλοῖς ἐχρήσατο τοῖς ποσὶν, ὥσπερ κυλοκοπημένοις, οὐκέτι βαίνων ἐν τῷ κατὰ σκηνὴν ἔργῳ. πβ'.

Ἔδοξέ τις τοὺς συμβιώτας καὶ φράτορας αὐτοῦ ἐπιστάντας αἰφνίδιον λέγειν αὐτῷ· ὑποδέξαι ἡμᾶς καὶ δείπνισον. αὐτὸς δὲ λέγει, ὡς τὸν χαλκὸν οὐκ ἔχω. οὐδ' ὅθεν ὑμᾶς ὑποδέξομαι. ἐπὶ τούτοις ἀπελήλακεν αὐτούς, τῇ ὑστεραίᾳ περιπεσὼν ναυαγίῳ, καὶ ἐπὶ ἔσχατον ἐλθὼν κίνδυνον, μόλις ἐσώθη. εἰκότως ἀποβαίνοντος αὐτῷ καὶ κατὰ λόγον τοῦ ὀνείρου. ἔθος μὲν γὰρ τοῖς συμβιώταις, καὶ εἰς τὰ τῶν ἀποθανόντων εἰσιέναι καὶ δειπνεῖν. ἡ δὲ ὑποδοχὴ λέγεται γίνεσθαι ὑπὸ τοῦ ἀποθανόντος. κατὰ τιμὴν τὴν ἐκ τῶν συμβιωτῶν, εἰς τὸν ἀποθανόντα. ὁ δὲ, οὐχ ὑποδεξάμενος αὐτοὺς, εἰκότως τὸν κίνδυνον ἐσήμαινεν. εἰ δὲ αὐτὸς οὐχ ὑπέστη τὴν διαδοχὴν, εἰκότως ἐσώθη. οἱ μὲν γὰρ ἐπιστάντες καὶ μένοντες αὐτῶν τὴν ὑποδοχὴν, ὠθεῖτο.* τὸ

δὲ ναυάγιον, ὅτι κατ' ἀπορίαν χρημάτων αὐτοὺς ἀπήλασεν. πγ'.

Ἔδοξέ τις ἄρτον ἀποβάπτων εἰς μέλι ἐσθίειν· ἐπὶ λόγοις φιλοσοφικοῖς ὁρμήσας, καὶ τὴν ἐν αὐτοῖς σοφίαν ἐποιήσατο, καὶ περιεβάλετο χρήματα πολλά. ἐσήμαινε γὰρ τὸ μέλι, τὴν εὐέπειαν τῆς σοφίας ὡς εἰκός, τὸν πορισμὸν δὲ ὁ ἄρτος. πδ'.

Ἔδοξέ τις ἐκ τοῦ στήθους αὐτοῦ πεφυκέναι στάχυας πυρῶν, ἔπειτα προσελθόντα τινὰ ἀποσπάσαι τοὺς στάχυας, ὡς οὐ πρέποντας αὐτῷ. ἔτυχον αὐτῷ παῖδες ὄντες δύο, καὶ ἀπέθανον συμφορᾷ χρησάμενοι πονηρᾷ. λῃστεία γὰρ ἐπελθοῦσα οἰκοῦσιν αὐτοῖς τὸν ἀγρόν, διέφθειρεν αὐτούς. ἐσήμαινον γὰρ οἱ μὲν στάχυες, τοὺς παῖδας· ἦν γὰρ ἄρρεν σπέρμα. ἡ δὲ ἀφαίρεσις, τὴν ἀναίρεσιν τῶν παίδων. πε'.

Ἔδοξέ τις δοῦλος παρὰ τῆς δεσποίνης ᾠὸν λαβεῖν ἑφθὸν, καὶ τὸ μὲν λέκυθον ἀπορρῖψαι, τῷ δὲ ᾠῷ καταχρήσασθαι. τούτου ἡ δέσποινα ἐτύγχανεν ἔγκυος οὖσα· ἔπειτα ἐγέννησε παιδάριον, καὶ αὐτὴ μὲν ἀπέθανε. τὸ δὲ βρέφος λαβὼν ὁ ἰδὼν τὸν ὄνειρον, ἀνεθρέψατο κελευσθεὶς πρὸς τοῦ ἀνδρὸς τῆς δεσποίνης. οὕτως μὲν τὸ περιέχον ἀπορρίψιμον, καὶ οὐδενὸς ἄξιον ἦν. τὸ δὲ περιεχόμενον, ἀφορμὰς τροφῆς τῷ ἰδόντι παρέσχεν.

πς'. Ἔδοξέ τις γυνὴ τὸ τοῦ ἀνδρὸς αἰδοῖον ἀφῃρημένον τοῦ λοιποῦ σώματος, ἔχειν ἐν ταῖς χερσὶ καὶ ἐπιμελεῖσθαι αὐτοῦ, καὶ πολλὴν ἔχειν πρόνοιαν ὅπως σώζοιτο. ἐγένετο αὐτῇ υἱὸς ἐκ τοῦ ἀνδρὸς, ὃν ἀνεθρέψατο. τὸ γὰρ τοῦ ἀνδρὸς αἰδοῖον, τοῦ παιδὸς ἦν σημεῖον. ἐξ αὐτοῦ γὰρ ὁ παῖς ἐγεγόνει. ἐπειδὴ δὲ ἀφῃρέθη αὐτὸ τοῦ λοιποῦ σώματος, ἀναθρεψαμένη τὸν παῖδα, τοῦ ἀνδρὸς ἀπηλλάγη.

πζ'. Ἔδοξέ τις ὑπὸ τοῦ Ἄρεως τοῦ θεοῦ περαίνεσθαι, διάθεσις αὐτῷ ἐγένετο περὶ τὴν ἕδραν καὶ τὸν πόρον, καὶ ὡς οὐκ ἐδύνατο ἄλλῳ τινὶ τρόπῳ θεραπευθῆναι, τομῇ χρησάμενος, ἐθεραπεύθη. ἐσήμαινε γὰρ τὸν σίδηρον, ὡς καὶ ἐν τῇ συνηθείᾳ καλοῦμεν μετωνυμικῶς. ἡ δὲ ἐπὶ τῇ συνουσίᾳ ἡδονὴ, τὸ μὴ ἐπ' ὀλέθρῳ τὴν τομὴν γενέσθαι ἐδήλου. πη'.

Ἔδοξέ τις ἀργύριον οὐκ ἔχειν, καὶ ἐπὶ τούτῳ λυπεῖσθαι αὐτόν. συνέβη ἀποπληξίᾳ περιπεσόντα, ἀποθανεῖν. εἰκότως, οὐ γὰρ ἦσαν

verò naufragium significabat, quod ob penutiam pecuniæ ipsos repulit. 83.

Visus est sibi quis, panem in melle tinctum edere. ad sermones ac disciplinas philosophiæ animum adiecit, & sapientiam ipsorum sibi comparauit, multásque opes acquisiuit. Significabat enim mel sapientiæ suauiloquentiam vt verisimile est, panis verò opulentiam. 84.

Visus est sibi quis, ex pectore ipsius tritici spicas enatas esse, deinde accessisse aliquem ac spicas euulsisse, tanquam sibi indecoras. Habebat filios duos, & mortui sunt ambo in calamitatem malam delapsi. Latronibus enim irrumpẽtibus in ædes ipsorum, quas in agris habebant, perierunt. Significabant enim spicæ filios, erat enim masculum semen. Ablatio verò spicarum, puerorum occisionem & sublationem. 85.

Visus est sibi seruus quidam, ouum ab hera accipere coctum, & putamen quidẽ abiicere, ouo verò vti. Huius hera prægnans erat, & postea filiolum genuit, atq; ipsa quidem mortua est. Qui verò somnium vidit infantem accepit & educauit, à viro heræ id facere iussus, atque hoc modo circumambiens & complectens reiectile, & nullius pretij erat, contentum verò, alimenti occasionẽ somniãti dedit.

86. Visa est sibi mulier quædã pudẽdum mariti à reliquo corpore resectũ, in manibus habere, eiúsque curam agere, ac multam prouidentiam adhibere, vt scrutaretur, Natus est ipsi filius ex marito, quem educauit. Nam viri pudendum, filij signum erat, ex ipso enim filius natus fuerat. Quandoquidem verò ipsum à reliquo corpore ademptũ erat, filium educauit, viro autem per mortẽ spoliata est.

87. Visus est sibi quis, à Marte iniri, affectio ipsi facta est circa sedem & meatum, & quum non posset alio aliquo modo curari, sectione vsus curatus est. Significabat enim Mars ferrum, quemadmodũ etiam consuetudine transnominatiuè per Metonymiam appellamus. Verùm voluptas in coitu, non lethalem fore sectionem indicabat. 88.

Visus est sibi quis, argentum non habere, atque ideo tristis esse. Contigit vt in stuporem attonitum collaberetur, & moreretur. Meritò, non enim sumptus vitæ

ipsi suppetebant, neque vnde vitæ sustentandæ necessaria accipere, habebat. 89.

Visus est sibi quis stomachum ægrotans, & ab Æsculapio auxiliarem compositionem medicamenti precatus, per somnium in templum Dei ingredi, & Deum extentis dextræ manus suæ digitis exhibere ipsi ad edēdum palmulas quinque. Has itaque comedit ac curatus est. Nā palmæ glandes bonæ & gratiosiores, digiti Gręcis, hoc est dactyli vocātur. 90.

Visus est sibi quis, aurum multum ac splendidum supra humeros ferre. Cæcus factus est ob splendorem auri. Nam vt verisimile est, visum ipsius obscurabat. 91.

Visus est sibi quis, tria pudenda habere, seruus erat, & manumissus est, & tria nomina pro vno acquisiuit, duobus ex manumittente assumptis. 92.

Quidam ægrotans precatus est Serapin, vt si conualiturus esset, dextram manum ipsi in somniis concuteret, sin minus, sinistram. & sanè visus est sibi, in tēplum Serapidis ingredi, & Cerberum abrepta manu eius dextera ipsum concutere. Sequenti die mortuus est. Meritò, ablata enim dextera, expeditior erat Cerberus ad ipsum suscipiendum, qui alias mors esse putatur. 93.

Visus est sibi quis, à Serapide in calathum, quem in capite situm habebat, cōiectus esse, Mortuus est. Pluto enim Deus ille esse creditur. 94.

Quidam sectionem circa scrotum admissurus, precatus est Serapim, vt somnium ipsi immitteret de sectionis successu, & visus est sibi, Deum ipsi dicere, Confidens sectionem admitte, sectus curaberis. Mortuus est. Erat enim velut sanatus, citra dolorem futurus. Verisimile autem erat, hoc sic ipsi euenturum esse, quoniam non Olympius neque Ætherius est Deus, sed subterraneus. 95.

Visus est sibi quidam Athleta, resectis pudendis, & simul vincto capite coronatus esse, factus est sacrorum certaminum victor, & nō ignobilis. & quousq; sanè incorruptus erat splēdidè & insigniter athleticam exercebat. postquam autem reb⁹ venereis vsus esset, inglorius artē desiuit.

Finis oneirocriticon Artemidori.

αὐτῷ ἀφορμαὶ βιωτικαὶ, καὶ οὐδὲ πόθεν αὖ ἀμείβηται τὰ πρὸς τὸ ζῆν. πθʹ.

Ἔδοξέ τις νοσῶν τὸν στόμαχον, καὶ συντάγης δεόμενος, παρὰ τοῦ Ἀσκληπιοῦ, ὄναρ εἰς τὸ ἱερὸν τοῦ θεοῦ εἰσιέναι, καὶ τὸν θεὸν ἐκτείναντα τῆς δεξιᾶς αὐτοῦ χειρὸς τοὺς δακτύλους, παρέχειν αὐτῷ ἐσθίειν φοίνικας πέντε· ἐσθίων ἐθεραπεύθη. καὶ γὰρ αἱ τοῦ φοίνικος βάλανοι αἱ σπουδαῖαι, δάκτυλοι καλοῦνται. ϟʹ.

Ἔδοξέ τις χρυσίον πολύ τε καὶ λαμπρὸν κατὰ τῶν ὤμων φέρειν. τυφλὸς ἐγένετο διὰ τὴν λαμπηδόνα τὴν τοῦ χρυσίου. ὡς γὰρ εἰκὸς, ἠμαύρου τὴν ὄψιν τοῦ φοροῦντος. ϟαʹ.

Ἔδοξέ τις τρία αἰδοῖα ἔχειν· ἔτυχε δοῦλος ὢν καὶ ἠλευθερώθη, καὶ τρία ἀντὶ ἑνὸς ὀνόματα ἐκτήσατο, τὰ δύο ἐκ τοῦ ἐλευθερώσαντος προσλαβών. ϟβʹ.

Νοσῶν τις εὔξατο τῷ Σαράπιδι εἰ μέλλει σωθήσεσθαι, τὴν δεξιὰν αὐτῷ χεῖρα ὄναρ ἐπισείεσθαι. εἰ δὲ μὴ, τὴν ἀριστεράν. καὶ δὴ ἔδοξεν εἰσιόντι αὐτῷ τὸ ἱερὸν τοῦ Σαράπιδος, τὸν κέρβερον τὴν χεῖρα ἀφελόντα τὴν δεξιὰν ἐπισείειν αὐτῷ. τῇ ἐπιούσῃ ἀπέθανεν. εἰκότως, ἀρθείσης γὰρ τῆς δεξιᾶς, ἕτοιμος ἦν παραδέξασθαι αὐτὸν ὁ κέρβερος, ὅσπερ ὄλεθρος εἶναι νενόμισται. ϟγʹ.

Ἔδοξέ τις ὑπὸ τοῦ Σαράπιδος εἰς τὸν κάλαθον τὸν ἐπὶ τὴν κεφαλὴν κείμενον βεβλῆσθαι, ἀπέθανεν. πλούτων γὰρ ὁ θεὸς εἶναι νενόμισται. ϟδʹ.

Περὶ ὀσχέον μέλλων τι τέμνεσθαι, ηὔξατο τῷ Σαράπιδι περὶ τῆς τομῆς καὶ ἔδοξε λέγειν αὐτῷ τὸν θεόν. θαῤῥῶν τέμνου, θεραπευθήσει τεμνόμενος. ἀπέθανεν. ἔμελλε γὰρ ὥσπερ θεραπευθεὶς ἄπονος ἔσεσθαι. εἰκὸς δὲ ἦν αὐτῷ χωρῆσαι τοῦτο, ἐπειδὴ μὴ ὀλύμπιος ἢ ἐλευθέριος ὁ θεὸς, ἀλλὰ χθόνιος. ϟεʹ.

Ἔδοξέ τις ἀθλητὴς τὰ αἰδοῖα ἀποτεμὼν, καὶ ἅμα τὴν κεφαλὴν δήσας, ἐστεφανῶσθαι. ἐγένετο ἱερονίκης, καὶ οὐκ ἄδοξος· καὶ μέχρι ἄφθορος ἦν, λαμπρῶς καὶ ἐπιφανῶς τῇ ἀθλήσει ἐχρήσατο. χρησάμενος δὲ ἀφροδισίοις, ἀδόξως κατέλυσε.

Ἀρτεμιδώρου Ὀνειροκριτικῶν Τέλος.



INDEX IN ARTEMIDORI LIBROS QVINQVE DE SOMNIORVM INTERPRETATIONE.

Prior numerus librum, posterior capita libri, designat.

A.

B.

C.

G.

H.

L.

M.

FINIS.

ΑΣΤΡΑΜΨΥΧΟΥ

καὶ

ΝΙΚΗΦΟΡΟΥ

ΟΝΕΙΡΟΚΡΙΤΙΚΑ.

ASTRAMPSYCHI

&

NICEPHORI

ONEIROCRITICA.

Ἐκ τοῦ Σουΐδα.

Ἀστράμψυχος, ὃς βιβλίον ἰατρικὸν εἰς ὄνων θεραπείαν πεποίηκε, καὶ Ὀνειροκριτικόν.

Non admodum vetus est auctor, vt ex charactere scribendi: item ex neglectu moduli syllabarum apparet. Erasmus ex hoc Onirocritico tres versus adduxit tanquam prouerbiales, vt multa alia, quæ ne prouerbium quidem sapiunt. Sunt autem hi,

Νεκροὺς ὁρῶν, νέκρωσιν ἕξεις πραγμάτων.
Λέοντας εἰδὼν, δεσμωτῶν δηλοῖ μάχην.
Θανὼν καθ' ὕπνους φροντίδων ἔσῃ δίχα.

Caueant igitur studiosi ab eiuscemodi, vt & ab illo versiculo, quem prouerbium esse putauit doctiss. Adrianus Iunius:

Κερδοῖ σιωπῶν τὴν κερδοσιωπὴν προσδόκα.



ἈΣΤΡΑΜΨΥΧΟΥ ὈΝΕΙΡΟΚΡΙΤΙΚΌΝ.

ASTRAMPSYCHI SOMNIORVM INTERPRETATIO.

Per prunas incidere, dānū ab inimicis significat.

Apim habens aliquis, frustratur spe sua.

Segniter moueri, calamitosa efficit itinera.

Elatus animo statue peregrinā terrā tibi incolendā esse.

Astrorum conspectus, optimus hominibus est.

Incedens per testas, inimicorum damnum feras.

Boues in somnis videre, significat malum.

Vuas comedere, imbris significat inundationem.

Tonitrua in somnis sunt angelorum sermones.

Esus ficuum significat futiles sermones.

Ἄνθραξι βαίνειν, ἐχθρικὴν δηλοῖ βλάβην.

Ἄπιν κρατῶν τις, ἀστοχεῖ τῶν ἐλπίδων.

Ἀργῶς κινεῖσθαι, δυστυχεῖς ποιεῖ τρίβους.

Ἀρθεὶς νόον γίνωσκε γῆν ναίειν ξένην.

Ἄστρα βλέπειν, κάλλιστον ἀνθρώποις πέλει.

Βαίνων δὲ κεράμοις δυσμενῶν βλάβην φύγοις.

Βόας θεωρεῖν, εἰς κακὴν πρᾶξιν φέρει.

Βότρυς κατέσθειν, ὀμβρικὴν δηλοῖ κλύσιν.

Βρονταὶ καθ' ὕπνους ἀγγέλων εἰσὶ λόγοι.

Βρῶσις σύκων δείκνυσι φλυάρους λόγους.

Γάλα γαληνῶν παρέξενον πέλει τρόπων.	*Lac tranquillorum index est morum.*
Γάλα σκεδάζει δυσμενῶν συμβουλίας.	*Lac dißipat inimicorum consilia.*
Γελῶν καθ' ὕπνους, δυσφόρους ἕξεις τρόπους.	*Ridens in somnis, difficiles habebis mores.*
Γέροντα σαυτὸν εἰ βλέπεις, ἕξεις γέρας.	*Senem te esse si vides, habebis honorem.*
Γυμνὸς καθεσθεὶς, σῶν ὑπεκστῇ πραγμάτων.	*Nudus sedens tuis cedes bonis.*
Δυσωδίαν νόμιζε τὴν ἀηδίαν.	*Graueolentiam existimato molestiam.*
Εἰ θυμιᾷ σέ τις, πικρὸν τὄναρ τόδε.	*Si quis fumum tibi facit, acerbum id somnium est.*
Ἔκδηλός ἐστι βόρβορος ψυχῆς ῥύπος.	*Lutū manifestas animi sordes notat.*
Ἐχθροῖς συνέσθειν, εἰς καταλλαγὰς φέρει.	*Cum inimicis edere, ad reconciliationem confert.*
Εὔχρηστον ἀνδρὶ συμπλακῆναι φιλτάτῳ.	*Perutile est virum complecti carißimum.*
Ἐκκλησίαις ἑστῶσιν ἔγκλησιν φέρει.	*In cōcione stare, crimē affert.*
Ζώνη κοπεῖσα τὴν ὁδὸν λύει ταχύ.	*Cingulum dissectum, iter cito dissoluit.*
Ἥλους κρατῶν, τὰ κέντρα τῶν ἐχθρῶν βλέπεις.	*Clauos tenens, stimulos inimicorum caue.*
Θάλατταν εἰδεῖν μειδιῶσαν, εὔθετον.	*Mare videre placidum, opportunum est.*
Θανὼν καθ' ὕπνους, δυσφόρους ἕξεις τρόπους.	*Mortuus in somnis, curarum eris expers.*
Θρίδακας ἔσθειν, σωμάτων δηλοῖ νόσον.	*Lactucis vesci, corporis denotat morbum.*

Si in limo nauigaueris, mentis coniice noxam.

Equas nigras videre, omnino non est bonum.

Equorũ vero alborum visio, angelorum apparitio est.

Bonum est volare, actionis probæ hoc signum est.

Cum lucro versans, expecta emolumentum.

Accipitres si cepisti, omnino quod voles, consequeris.

Plorans in somnis, lætißimus omnino eris.

Fracta virga non fert bonum exitum.

At claues tenere, mores compositos declarat.

Palmitem si tenueris, criminationes expecta.

In fimo si sederis, noxios habebis mores.

Præcipitio lapsum esse, calamitosam sortem significat.

Canum latratus hostile designat damnum.

Lacui immittere sese, non bonum hoc.

In somnis loqui, verum somnium hoc est.

Ἰλὺν πεπλευκὼς, τοῦ νοὸς νόει βλάβην.

Ἵππους μελαίνας, οὐ καλὸν πάντως βλέπειν.

Ἵππων δὲ λευκῶν ὄψις, ἀγγέλων φράσις.

Καλὸν πέτεσθαι, πράξεως καλῆς τόδε.

Κέρδει συνὼν τὴν κερδοσύνην προσδόκα.

Κίρκους κατασχὼν, οὗ θέλεις πάντως τύχοις.

Κλαίων καθ' ὕπνους, παγχαρὴς πάντως ἔσῃ.

Κλασθεῖσα ῥάβδος οὐ καλὸν φέρει πέρας.

Κλεῖδας κρατεῖν δὲ, σύνθεσιν δηλοῖ τρόπων.

Κλῆμα κρατήσας, ἐγκαλεῖσθαι προσδόκα.

Κόπρῳ καθεσθεὶς, ζημίας ἕξεις τρόπους.

Κρημνοῦ πεσόντα, δυστυχῆ δηλοῖ τύχην.

Κυνῶν ὑλαγμὸς ἐχθρικὴν δηλοῖ βλάβην.

Λάκκῳ καθεῖναι σαυτὸν, οὐ καλὸν τόδε.

Λαλεῖν καθ' ὕπνους, νηρεκὲς τοὔναρ τόδε.

Λέοντας εἰδεῖν, δυσμενῶν δηλοῖ μάχην.	*Leones videre, hostium indicat pugnas.*
Λευκὰς ὁρᾶν τὰς σάρκας, εὔθετον λίαν.	*Albas videre carnes, valde commodum est.*
Λευκὴν στολὴν κάλλιστον εἶν' ὕπνῳ φορεῖν.	*Vestem albam in somnis ferre, optimum est.*
Λύκος κεχηνὼς φλυνάφους δηλοῖ λόγους.	*Lupus hians ineptos significat sermones.*
Μάχην μάχαιρα ζωγραφεῖ κρατουμένη.	*Pugnam gladius depingit arreptus.*
Μητρὶ πλακῆναι, καλὸν εἰς ὄναρ τόδε.	*Matrem amplecti, bonum est somnium.*
Μῦς δ' αὖ φανεὶς ἔνδηλος ἐν τρόποις πέλει.	*Mus vero conspectus benignos mores arguit.*
Νεκροὶ βόες δηλοῦσι τοὺς λιμοῦ χρόνους.	*Mortui boues significant famis tempora.*
Νεκροὺς ὁρῶν, νέκρωσιν ἕξεις πραγμάτων.	*Mortuos videns exitium rerum habebis.*
Νενησμένα κρατῶν δὲ, προσδόκα λύπας.	*Fila tenens, expecta molesta.*
Νῆξις θαλάσσης, ἀγρίας δηλοῖ λύπας.	*Natatio marina sæuos indicat dolores.*
Νῆξις θαλάσσης, ἡμέρας ὄναρ καλόν.	*Natatio marina interdiu bonum est somnium.*
Ξηρῶν φανέντων δενδρέων, κενοὶ κόποι.	*Cum aridæ apparuerint arbores, inanes labores erũt.*
Οἱ μάργαροι δηλοῦσι δακρύων ῥόον.	*Margaritæ significant lacrymarum flumen.*
Οἶνος κενωθεὶς ἀγγέων, παύει λύπας.	*Vinum effusum è vasis, sedat molestias.*

Vinum mucidum declarat multas molestias.

Vinum si hauseris, expecta graues pugnas.

Truncũ corporis purgare, solutionẽ curarum significat.

Ad montẽ arrepere, negotiorum significat difficultatẽ.

Videns oleum omnem effugies noxam.

Serpentes calcare, aculeos inimicorum soluit.

Omnes congressus longos labores conciliant.

Pedicas tenens, periculum venturum expecta.

Columbas videre, denuntiat detrimentum.

Saxo insidens, spem bonam concipe,

Fons limpidus animi pellit molestias.

Pedes purgare, curarum solutionis signum est.

Pedes latos habere, notat molestias.

Pedibus amputatis in somnis, nullo modo iter suscipe.

Vrens corpus, admodum infamis eris.

Οἶνος ῥυπώδης ἐκβαίνοι πολλὰς λύπας.

Οἶνον μεταλαβὼν, προσδόκα δεινὰς μάχας.

Ὅλμον καθαίρειν, φροντίδων δηλοῖ λύσιν.

Ὄρει προσέρπειν, πραγμάτων δηλοῖ βίαν.

Ὁρῶν ἔλαιον ἐκφύγῃς πᾶσαν βλάβην.

Ὄφεις πατεῖν, τὰ κέντρα τῶν ἐχθρῶν λύει.

Πᾶσαι δὲ μίξεις προξένοι μακρῶν πόνων.

Πέδας κρατῶν, κίνδυνον ἐλθεῖν προσδόκα.

Περιστερὰς βλέπειν δὲ, προξενεῖ βλάβας.

Πέτρᾳ καθεσθεὶς, ἐλπίδας χρηστὰς ἔχε.

Πηγὴ διαυγὴς τὰς νοὸς λύει λύπας.

Πόδας καθαίρειν, φροντίδων δηλοῖ λύσιν.


Πόδας πλατεῖς ἔχοντα, σημαίνει λύπας.

Ποδῶν κοπέντων μηδ' ὅλως ἄρχου τρίβου.

Πρήθων τὸ σῶμα, δυσκλεὴς ἔσῃ λίαν.

Πῶλον βλέπειν τρέχοντα, μυστικὸν τόδε.	Pullum equinum currētē videre, arcanū quiddam est.
Σάρκας μελαίνειν, οὐ καλὸν παισὶν τόδε.	Carnes nigrescere, non bonum hoc est pueris.
Στολὴν φορεῖν μέλαιναν, οὐ καλὴ θέα.	Vestem ferre nigram, non pulchrū est spectaculum.
Στολὴ δ' ἁλουργὸν, εἰς μακρὰν νόσον φέρει.	At vestem purpuream, in lōgum morbum coniicit.
Στολὴ δ' ἐρυθρὰν, εἰς καλὴν πρᾶξιν φέρει.	Vestem rubram, honestæ actioni confert.
Στολὴν φορεῖν ἄνακτος, ἐλπίδων λύσις.	Vestem ferre regis, spei solutio est.
Στρουθὸν κρατῶν φεύγοντα, προσδόκα βλάβην.	Passerem tenens fugientem, expecta noxam.
Στῦλον κρατῶν, ἔλπιζε τὴν θείαν χάριν.	Columnam tenens, spera diuinam gratiam.
Σπαθλᾶν μάχαιραν, δυσμενῶν δηλοῖ θλάσιν.	Gladium confringere, inimicorum significat cōtritionē.
Σφῆκες φανέντες δυσμενῶν εἰσὶ βλάβαι.	Crabrones visi inimicorum sunt nocumenta.
Τείχει καθεσθεὶς, εὐτυχὴς πέλειν δόκει.	Mœnibus insidens, fortunatum te fore putato.
Τρέχειν καθ' ὕπνους, εὐσθενεῖς ποιεῖ τύχας.	Currere in somnis, firmas facit fortunas.
Τρίχας καρῆναι, πραγμάτων δηλοῖ βλάβην.	Capillos resecari, negotiorum notat damnum.
Τρίχας πεσεῖν δὲ, κίνδυνον φέρει μέγαν.	At capillos defluere, periculum affert magnum.
Τρώγων γλυκεῖα, πικρίας ἕξεις τρόπους.	Edens dulcia, acerbis praditus eris moribus.

Cæcum videri, omnium optimum est.	Τυφλὸν φανέσθαι, πάγκαλον λίαν ἔφυ.
Aqua scaturiens inferne, inimicos indicat.	Ὕδωρ βλύον κάτωθεν, ἐχθροὺς μηνύει.
Aquam limpidam ebibere, vtile hoc est.	Ὕδωρ διαυγὲς, μηνύει χρηστὸν τόδε.
Aquam bibens lutosam, corporis prædicit morbum.	Ὕδωρ πίνων πηλῶδες, ἐν λύπαις ἔσῃ.
Conspectus lepus infelix facit iter.	Φανεὶς λαγωὸς δυστυχεῖς ποιεῖ τρίβους.
Osculari vel amare, excitat hostium diuturnas pugnas.	Φιλεῖν, ἐγείρει δυσμενῶν μακρὰς μάχας.
Sonitus maris; negotiorum significat concussionem.	Φλοῖσβος θαλάσσης, πραγμάτων δηλοῖ κλόνον.
Luminaria videre, rerum significat lucem.	Φωστῆρας εἰδεῖν, πραγμάτων δηλοῖ φάος.
Manus lauare, curarum solutionem denotat.	Χεῖρας καθαίρειν, φροντίδων δηλοῖ λύσιν.
Manu elapsus accipiter, imperantibus noxa est.	Χειρὸς πετασθεὶς κίρκος, ἄρχουσι βλάβην.
Tunica disrupta, rumpit curarum onus.	Χιτὼν ῥαγεὶς ἔρρηξε φροντίδων βάρος.
Nix in somnis visa, hostium inimicitias affert.	Χιὼν φανεῖσα δυσμενῶν ἔχθρας φέρει.
Aurum si tenueris, infecta erunt quæ vis.	Χρυσὸν κρατῶν ἄπρακτος ὧν θέλεις ἔσῃ.
Effusio fluuij inimicorum soluit gaudium.	Χύσις * ποταμία δυσμενῶν λύει χαράν.
Oua tenere & edere, denotat molestias.	Ὠὰ κρατεῖν ἐσθίειν τε, σημαίνει λύπας.



ΝΙΚΗΦΟΡΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Κωνσταντίνου πόλεως Ὀνειροκριτικὸν κατ' ἀλφάβητον διὰ στίχων ἰάμβων.

NICEPHORI PATRIARCHÆ CONSTANTINOPOLITANI INTERPRETAMENTA

ſomniorum ſecundum ordinem alphabeti verſib. Iambic.

Ἄρχε πρὸ πάντων καὶ παθῶν καὶ κοιλίας,
Καὶ δάκρυα* στέναξον ἐκ τῶν ὀμμάτων,
Εὐχὰς προσπέμπων ἐξ ὅλης τῆς καρδίας,
Καὶ χεῖρας αἴρων πρὸς θεὸν* καὶ δεσπότην
Ὅτε πρὸς ὕπνον ὡς βροτὸς νεῦσαι θέλης.
Οὕτω γὰρ ὄψῃ καὶ σαφῶς καὶ συντόμως.
*Αἱ τῶν ὀνείρων τὰς σκιώδεις ἐμφάσεις.
Ψευδεῖς ὀνείρους κοιλίας δηλοῖ γόμος.
Πολλὴ πόσις τε καὶ κέρωσις ἀκράτου,

Impera inprimis & affectibus & ventri.
Et lacrimas exprime ex oculis
Preces fundens ex toto corde tuo,
Manúſque tollens ad Deum Dominum
Quãdo te quieti ſecundũ humanitatis leges tradere voles.
Sic enim videbis dilucidè & expedite
Inſomniorum vmbroſas imagines.
Falſa inſomnia ventris parit ſaburra.
Et helucus ex nimio meri potu.

Et curarum caligo & mentium nebulæ.

Aquilam videns, nuntium Dei videre puta.

Verum est somnium galli gallinacei.

Panes feruentes edere, significat morbum.

Apin tenens quis, excidit spe sua.

Lente moueri, improsperas facit vias.

Cum rege colloquens, ociosus manet.

Viro applicitus amanti, opportunitatem puta.

Carbones videre hostile significat damnum.

Mente eleuatus scito, significari terram extraneam.

Librum tenens, existima te honore affici.

Tonitrua insomnis audita nuntiorum sunt sermones.

Incedere te somnians, inimicorũ declinationes esse puta.

Racemos edere, imbrium arguit fluxum.

Καὶ φροντίδων ζόφωσις καὶ φρενῶν * γνόφος.

Ἀετὸν ἰδὼν * ἄγγελον θεοῦ νόει.

ἀληθές ἐστ' ὄναρ τὸ ἀλεκτρυόνος.

ἄρτους ζέοντας ἐσθίειν δηλοῖ νόσον,

* ἄπιν κρατῶν τις ἀποχεῖ τῶν ἐλπίδων.

ἀργῶς κινεῖσθαι δυστυχεῖς ποιεῖ τρίβους.

ἄνακτι προσλαλῶν τις ἄπρακτος * μένει.

* ἀνδρὶ πλακεὶς φιλοῦντι εὔθετον νόει.

ἄνθρακας * βλέπειν ἐχθρικὴν δηλοῖ βλάβην.

ἀρθεὶς νόον, γίγνωσκε * τὴν γαῖαν ξένην.

Βίβλον κρατῶν, * νόμιζε τιμὴν λαμβάνειν.

βρονταὶ * καθ' ὕπνον ἀγγέλων εἰσὶ λόγοι.

βαίνων καθ' ὕπνους δυσμενῶν κλίσεις νόει.

Ἐάν τις ἴδῃ ὅτι θηλάζει ἄρσεν, ἢ αὐτὸς δέσμιος εἰς φυλακὴν γενήσεται.

Γνωστέον δὲ ὅτι αἱ καθ' ὕπνους τῶν γυναικῶν θεωρίαι πασῶν, μικρῶν τε καὶ μεγάλων, εἰς χαρὰν διακρίνονται, ἀνάλογον τοῦ κάλλους.

Καὶ ἐὰν ἴδῃ παιδίον ὅτι ἀπέθανεν ἡ μήτηρ τοῦ παιδός, εὑρήσει μὲν ἐξουσίαν, ἀπολέσει δὲ τὴν πίστιν αὐτῆς.

Καὶ ἐὰν ἴδῃ παιδίον ὅτι ἔφαγε κρέας ἡ μήτηρ αὐτοῦ ἀνθρώπου ὀπτόν, καταπλακήσει ἡ μήτηρ αὐτοῦ εἰς πορνείαν· καὶ πολυλογία γενήσεται ἐν αὐτῇ διὰ τὸ ὀπτόν.

Καὶ ἐπεὶ ἔφαγεν, εἰς ἀλήθειαν ἔσται τὸ πρᾶγμα.

Ἐὰν ἴδῃ ὅτι ἔφαγε κρέας ὠμὸν ἡ μήτηρ αὐτοῦ, εἰς φανερὰν πορνείαν ἥξει, ἀναμφιβόλως.

Si quis in congressu cum muliere, visus sibi fuerit eam reperire viro similem, in secretis naturæ partibus: illum annum sibi prosperum ac lætum experietur, & marem procreabit, qui familiam suam vniuersam magis etiam nobilitabit.

Si quis visus sibi fuerit in coitu cum vxore sua, vel concubina, vestem gestare sordidam: ad conditionem deturbabitur humilem, & ab hostibus suis in seruitutem redigetur.

Si quis videre visus fuerit vxorem suã, quæ prægnas esset, parientem masculum: femillam edet, & is, qui somnium hoc habuit, adfligetur.

Si grauida non erat, & marem peperisse visa fuit: mœrorem & ærumnam magnam inueniet.

Si prægnas, edere femillam visa est: marem pariet, ac lætabitur.

Si non prægnas, femillam visa est parere: thesaurum, & opes, & gaudium inueniet.

Si quis videre visus fuerit, vel vxorem suam vel se ipsum grauidum factum: nouas diuitias inueniet, ac lætabitur.

Si quis emisse visus sibi fuerit paruum mancipium masculum, sollicitudinem & adflictionem reperiet.

Sin mancipium feminei sexus emit, lætitia potietur.

Si quis visus sibi fuerit masculi mamillas sugére, vinctus in custodiam coniicietur.

Sciendum est autem, adspectiones mulierum, quæ per quietem offeruntur, tam exiguarum, quam magnarum: gaudij significationem habere, maioris aut exigui, pro venustatis earum modo.

Si puero in somnis oblatum fuerit, matrem suam esse mortuam: potestatem ille quidem adipiscetur, at fidem illius amittet.

Si puer videre visus fuerit matrem suam assata carne humana vescentem: amplexibus illa se meretricis oblectabit, eáque de re hominum sermo frequens ad ipsam erit, propter assaturam.

Erit etiam res tota vera, quoniam ipsa reapse vesci visa fuit.

Si videre visus fuerit matrem suam carne cruda vescentem, dubio procul apertam illa scortationem exercebit.

De mulieribus, ex Persarum & Aegyptiorum disciplina.

C A P. 127.

SI quis visus sibi fuerit habuisse rem cũ sanu, à principe quodam sene potestatem consequetur.

Si visus sibi fuerit eam rogasse, vel indicasse tantùm, non etiam explesse desiderium suum: laborabit in re, quæ fieri non poterit, nec ab ipso perficietur.

Si quis visus sibi fuerit coiuisse cum eunucho noto, vel iuuene: secretum suum eis credet.

Si visus sibi fuerit cum personis indicatis compræhensus, secretum ipsius publicabitur.

Si quis cum muliere formosa cubuisse visus sibi fuerit, si fundum aliquem habet, multipliciter in eo semet oblectabit: si nullum habet, pulchræ pariter & amplæ terræ dominium adquiret.

Si quis visus sibi fuerit coiuisse cum virgine, si rex est, voluptati votóque suo primo satisfaciet.

Si plebeius, à magistratu diuitias cum formidine coniunctas consequetur.

Si quis videre sibi visus fuerit mulierem benè vestitam & formosam in domo sua, suam vel alienam, colludentem secum, & in lucta quasi congredientem: si rex est, aut vir amplissimus, annum pro desiderio suo ad omnia respondentem experietur.

Si visus sibi fuerit eius præhendisse mammillam, & lac expressisse: magnam illo anno lætitiam consequetur.

Itidem mulier ipsa maximè regij gaudij particeps erit.

Sin visum illud plebeio fuerit oblatum, annuas quisque diuitias in professione sua reperiet.

Si seruo, non multo post manumittitur.

Si pauperi, ditescet.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ γυναικῶν. ρκζ.

ἘΆΝ τις ἴδῃ ὅτι συνουσίασε χαλ, εὑρήσει ἐξουσίαν ἀπὸ ἀρχαίας ἐξουσίας.

Εἰ δὲ ἴδῃ ὅτι παρεκάλει αὐτὴν ἢ ἐδήλου μόνον, οὐκ ἐπλήρωσε τὴν ἐπιθυμίαν αὐτοῦ, κοπωθήσεται ἐπὶ εἰς πρᾶγμα ἀδύνατον, ὃ οὐ μὴ ἀποτελήσει.

Ἐὰν τις ἴδῃ ὅτι συνουσίασεν εὐνούχῳ ἢ νεανίᾳ γνωρίμῳ· τὸ μυστήριον αὐτοῦ ἀναθήσει αὐτοῖς.

Ἐὰν τις ἴδῃ ὅτι * ἐπιάσθη μετὰ τῶν εἰρημένων προσώπων, τὸ μυστήριον αὐτοῦ διαπεριαθήσεται.

Ἐὰν τις ἴδῃ ὅτι ἐκοιμήθη μετὰ γυναικὸς εὐειδοῦς, εἰ μὲν ἔχει χωράφια, χαρήσεται ἐν αὐτοῖς πολλαπλασίως· εἰ δὲ οὐκ ἔχει, γῆς καλῆς καὶ πλείστης δεσπόσει.

Ἐὰν τις ἴδῃ ὅτι συνουσίασε παρθένον, εἰ μὲν ἐστὶ βασιλεὺς, εὑρήσει χαρᾶς καὶ ἐπιθυμίας τῆς πρώτης αὐτοῦ τὸ πλήρωμα.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει πλοῦτον ἔμφοβον ἀπὸ ἐξουσίας.

Ἐὰν ἴδῃ τις γυναῖκα εὔστολον, εὐειδῆ, ἐν τῷ οἴκῳ αὐτοῦ, ἰδίαν ἢ ἀλλοτρίαν, ὅτι συμπαίζει αὐτῷ καὶ συναποδέχεται αὐτῷ· εἰ μὲν ἐστὶ βασιλεὺς, ἢ μέγιστος, εὑρήσει ἐνιαυτὸν κατὰ τῆς ἐπιθυμίας αὐτοῦ εἰς πάντα συνερχόμενον.

Εἰ δὲ ἴδῃ ὅτι ἐκράτει τὸν μαζὸν αὐτῆς καὶ ἐξέμαξε γάλα· χαρὰν μεγάλην κοσμήσεται ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ.

Ἀλλὰ καὶ ἡ γυνὴ ἐκείνη μεγάλως συγχαρήσεται αὐτῷ.

Εἰ δὲ τοῦτο τοῦ κοινοῦ λαοῦ ἴδῃ, εὑρήσει πλοῦτον ἐνιαύσιον, ἕκαστος ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

Εἰ δὲ δοῦλος ἴδῃ τοῦτο, ἐλευθεροῦται ταχέως.

Εἰ δὲ πτωχὸς πλουτήσει.

Ἐὰν ἴδῃ τις ὅτι συνουσίασεν πόρνῃ γνωρίμῳ, εἰ μὲν ἐστὶ βασιλεὺς, εὑρήσει χαρὰν καὶ κρύψει αὐτήν.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, καὶ αὐτὸς πλειόνως χαρήσεται καὶ πλουτήσει.

Ἐὰν ἴδῃ βασιλεὺς ἢ μεγιστάνος ὅτι συνουσίασεν ὑπάνδρῳ· τὴν γενεὰν αὐτῆς ὑψώσει, καὶ πλουτήσει καὶ τὴν ἀξίαν τοῦ ἀνδρὸς ὑψώσει, καθ' ὅσον ἐξέχει τε καὶ ἐπλατύνθη ἡ φήμη τῆς κερατώσεως.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ὁμοίως χαρήσεται ἡ γενεὰ αὐτῆς παρὰ τοῦ συνουσιάζοντος.

Πτωχὸς ἐὰν ἴδῃ τοῦτο, μᾶλλον πλουτήσει ἐξ αὐτῆς.

Ἐὰν ἴδῃ τις ὅτι ἐγκυμονήσασα ἡ γυνὴ αὐτοῦ ὠγκώθη· εἰ μὲν ἐστὶ βασιλεὺς, τοὺς θησαυροὺς τοῦ χρυσίου αὐτοῦ πληρώσει μετὰ μερίμνης.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει ἕκαστος διαφορὰν ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἔτεκεν ἄρσεν Αὐγούστα, μανδάτον ἐναντίον δέχεται ἐξ ἐναντίων.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, μέριμναν, καὶ θλῖψιν, καὶ νόσον εὑρήσει.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἔτεκε θῆλυ ἡ Αὐγούστα, ἀλλοτρίων βασιλέων θησαυροὺς εὑρήσει καὶ πατάξει ἐχθρὸν αὐτοῦ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐκεῖνος αὐτὸς ἔγκυος ἐγένετο, ὁ στρατὸς αὐτοῦ αὐξήσει καὶ ἄλλων ἀρχῶν κατακυριεύσει.

Ἐὰν δὲ ἴδῃ ὅτι ἔτεκεν ὡς γυνὴ, κἂν τε ἄρσεν κἂν τε θῆλυ, ἀπολέσει μὲν μίαν τῶν πολιτειῶν αὐτοῦ καὶ στρατὸν πλεῖστον παρ' ἐχθρῶν, καὶ εἰς θλῖψιν καὶ μέριμναν ἥξει.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ τοῦτο ἴδῃ, καὶ ὅτι θηλάζει αὐτόν· τιμωρηθήσεται καὶ ζημιωθήσεται παρὰ τοῦ ἐξουσιάζοντος.

Ἐὰν τις ἴδῃ ὅτι ἐκτήσατο νεωστὶ πλεῖστα κοράσια ἐν τῷ οἴκῳ αὐτοῦ, εἰ μὲν ἐστὶ βασιλεὺς ἢ μεγιστάνος, εὑρήσει ἀλλότριον πλοῦτον καὶ χαρὰν ἐν χρόνοις ἰσαρίθμοις τῶν κορασίων.

Si quis cũ meretrice nota rem habuisse visus sibi fuerit, si rex est, lætitiam inueniet, & occultabit eam.

Si plebeius, & ipse multiplici gaudio potietur, ac locuples fiet.

Si rex, aut optimatum quispiam, cum maritata muliere rem habuisse visus sibi fuerit: familiam ipsius extollet ac ditabit, & viri eius dignitatem euehet, prout diffusa latè, diditáque fama commistionis fuerit.

Si plebeius, similiter familia mulieris gaudium ex eo capiet qui cum illa rem habuit.

Si pauper hoc somnium habuerit, potius opera mulieris ditescet.

Si quis videre visus fuerit, mulierem suam, prægnatem factam, intumuisse: si rex est, auri sui thesauros cum sollicitudine implebit.

Si plebeius, in professione sua quisque mutationem experietur.

Si videre visus fuerit imperator, Augustam suam peperisse subolem masculam: hostile mandatum ab inimicis accipiet.

Si plebeius, sollicitudinem, & adflictionem, & morbum inueniet.

Si videre visus fuerit imperator, Augustam suam peperisse femillam: peregrinorum regum thesauros consequetur, & hostem suum prostrabit.

Si visus sibi fuerit ipsemet imperator prægnas factus, incrementum sumet exercitus eius, & aliis principatibus ac imperiis potietur.

Si visus sibi fuerit instar mulieris peperisse, vel marem, vel femillam: vnam ex rebus publicis suis amittet, maximúsque delebitur ab hostibus exercitus, & ipse in adflictionem ac sollicitudinem veniet.

Si plebeius quispiam somnium hoc habuerit, ac præterea, quod infantem lactet: ab eo qui rerum potitur, punietur & detrimentum accipiet.

Si quis visus sibi fuerit plurimas in domo sua puellas recens consequutus, si rex est, aut optimatum quispiam, opibus alienis atque lætitia totidem annis potietur, quot puellæ numero fuerint.

Si magna earum multitudo fuerit, menses intelligentur.

Si visum hoc plebeio fuerit oblatum, & quidem præter morem: diuitias & sollicitudinem inueniet.

Quæcunque per quietem impuberi fuerint oblata puero, visa masculi de persona matris intelliguntur: femillæ, de patris persona.

Si quis videre visus fuerit vxorem suam in scortatione depræhensam, morbis vxor vexabitur, & in odio apud maritum erit.

Si visus fuerit notus esse, qui cum ea scortationem commisit: obsecrabit hominem, & exaudietur.

Sin ignotus, hostis est, à quo in seruitutem redigetur.

Si videre quis visus fuerit filiam suam, surreptã à noto quodam adulterio, fraudulentè raptor è raptæ paternis opibus interuertet.

Sin adulter ignotus est, consimiliter hostis eius de ipsius substantia surripiet.

Si quis visus sibi fuerit coiuisse cũ matre, vel sorore: beneficiis indignum adficiet, eáque de caussa vituperabitur, ac ipsummet facti pœnitebit.

Si quis visus sibi fuerit emisse puellam, eámque ad consortem vitæ suæ comparasse: si placuit, & ab eo diligi visa est, alteram ille potestatem adquiret ad eam, quàm prius habuit.

Si quis visus sibi fuerit ornare vxorem, vestitu facultates suas excedente: tam dignitatem, quàm professionem suam ornabit sua cum gloria.

Si visus sibi fuerit armillis aureis vxoris brachia circumdedisse, aerem in vxore morbum & angustiam experietur.

Si quis visus sibi fuerit, caput mulieris aurea duntaxat corona cinxisse, maritus eius in adflictionem & mœrorem incidet. Etenim mulieris caput, maritus est.

Sin corona cum auro gemmas & vniones quoque continet, morbus modicus erit, ac deinceps gaudio fruetur, propter gemmas & vniones.

Εἰ δὲ πλῆθος εἰσὶ πολὺ, εἰς μῆνας διακρίνεται.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ ἴδῃ τοῦτο, παρὰ συνήθειαν εὑρήσει πλοῦτον καὶ πημονείαν.

Ὅσα ἴδῃ παιδίων ἀφηλίκων τοῦ μὲν ἄρρενος, εἰς πρόσωπον τῆς μητρὸς διακρίνεται· τοῦ δὲ θήλεος εἰς πρόσωπον τοῦ πατρός.

Ἐὰν ἴδῃ τις ὅτι ἡ γυνὴ αὐτοῦ εἰς πορνείαν ἐφωράθη, νοσήσει αὐτὴ καὶ μισηθήσεται παρὰ τοῦ ἀνδρός.

Ἐὰν ἴδῃ ὅτι γνώριμος ἦν ὁ πορνεύσας αὐτὴν· δεηθήσεται αὐτοῦ καὶ εἰσακουσθήσεται.

Εἰ δ' ἀγνώριστος, ἐχθρός ἐστι, καὶ καταδουλωθήσεται αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἡ θυγάτηρ αὐτοῦ ἐκλάπη ἀπὸ μοιχοῦ γνωρίμου, ὑφελεῖ δολίως ὁ κλέψας ἐκ τοῦ πλούτου τοῦ πατρὸς τῆς ἁρπαγείσης.

Εἰ δ' ἀγνώριστος, ἐχθρὸς αὐτοῦ ὑφελεῖ ὁμοίως ἐκ τῆς ὑπάρξεως αὐτοῦ.

Ἐὰν τις ἴδῃ ὅτι συνουσίασε μητρὶ ἢ ἀδελφῇ· ἀνάξιον ἀγαθοποιήσει ψεγόμενος καὶ μεταγνώσκων.

Ἐὰν τις ἴδῃ ὅτι ἠγόρασε κόρην, καὶ * συνέλεγξεν αὐτὴν τῇ συμβίῳ αὐτοῦ, ἀρεσθεὶς καὶ ἀγαπήσας αὐτὴν, εὑρήσει ἐξουσίαν μεθ' ἑτέρας ἐξουσίας ἧς πρότερον ἐκέκτητο.

Ἐὰν ἴδῃ τις ὅτι στολίζει τὴν γυναῖκα αὐτοῦ στολὴν ὑπὲρ τὴν δύναμιν τοῦ πλούτου αὐτοῦ· κοσμήσει τὸ ἀξίωμα αὐτοῦ καὶ τὸ ἐπιτήδευμα πρὸς δόξαν αὐτοῦ.

Ἐὰν ἴδῃ ὅτι βραχιόνια * ἔλαβε χρυσᾶ ἐν τοῖς βραχίοσιν αὐτῆς, εὑρήσει ὀξὺ νόσημα εἰς τὴν γυναῖκα αὐτοῦ καὶ στενοχωρίαν.

Ἐὰν ἴδῃ τις ὅτι ἐστεφάνωσε τὴν κεφαλὴν τῆς γυναικὸς αὐτοῦ στεφάνῳ χρυσῷ μόνῳ, εἰς νόσον τε λύπην ἥξει ὁ ἀνὴρ αὐτῆς. * κεφαλὴ γὰρ τῆς γυναικὸς ὁ ἀνήρ.

Εἰ δὲ ἔχει ὁ στέφανος μαργαρίτας καὶ λίθους σὺν τῷ χρυσῷ, εἰς νόσον μετρίαν ἥξει καὶ χαρήσεται ὕστερον διὰ τοὺς λίθους καὶ τοὺς μαργαρίτας.

Ἐὰν δὲ ἴδῃ ὅτι δακτυλίοις περιέβαλεν αὐτὴν, ἐπιθυμία ἣν ἐπιθυμοῦσιν ἀμφότεροι, τελειοῦται.

Ἐὰν ἴδῃ γυνὴ ὅτι ἀπώλεσεν ἢ ἔκλασεν τὸν στέφανον αὐτῆς, χηρεύσει ταχέως.

Εἰ δὲ ἴδῃ ὅτι ἔβαλεν, ἑτέρῳ συζυγηθήσεται.

Ἐὰν ἴδῃ ὅτι ἀπώλεσε τοὺς δακτυλίους αὐτῆς, ἀπολέσει ἐκ τοῦ πλούτου αὐτῆς καὶ ἐν πτωχείᾳ τελευτήσει.

Ἐὰν ἴδῃ τις ὅτι ἀπώλεσε τὰ βραχιόνια αὐτῆς, ἀπὸ στενοχωρίας εἰς χαρὰν ἥξει.

Ἐὰν ἴδῃ τις ὅτι ἱματίοις ἐρυθροῖς ἐνέδυσε τὴν γυναῖκα αὐτοῦ, χαρὰν εὑρήσουσι, καὶ τέξονται ἄρσεν.

Ἐὰν ἴδῃ γυνὴ ὅτι τὴν ἀνδρικὴν στολὴν ἐφόρησε, δίχα τῶν ὑποδημάτων· εἰ μὲν ἐστιν ἔγκυος, τέξει ἄρσεν. εἰ δὲ ἔχει ἄνδρα, μαγγεύσεται τῷ ἀνδρὶ, δι' αἰτίαν δούλου αὐτῆς.

Εἰ δὲ μὴ, λήψεται ἄνδρα. τὰ γὰρ ὑποδήματα εἰς θλῖψιν καὶ στενοχωρίαν ἐν πᾶσι τοῖς ἔργοις αὐτῆς εἰσι.

Ἐὰν δὲ ἴδῃ ὅτι νεωστὶ ἐνώτια δέδωκεν αὐτῇ ὁ ἀνὴρ αὐτῆς. εἰ μὲν ἐστιν ἔγκυος, τέξει θῆλυ.

Εἰ δὲ μὴ, συλλήψεται, καὶ τέξει θῆλυ.

Εἰ δὲ ἄνδρα οὐκ ἔχει, δούλην κτήσεται εἰς χαρὰν ἑαυτῆς.

Ἐὰν δὲ ἴδῃ ὅτι ἐκλάσθη τὸ ἐνώτιον αὐτῆς, νοσήσει ἡ θυγάτηρ, ἢ ἡ δούλη αὐτῆς ἡ πιστή.

Εἰ δὲ ἐθλίβησαν * ἢ ἐκλάπησαν, θλιβήσεται ἐπὶ τῇ θυγατρὶ, ἢ ἐπὶ τῇ δούλῃ.

Ἐκ τῶν Ἰνδῶν, περὶ γάμου. ρκή.

ἘΑΝ ἴδῃ τις ὅτι ἄριστον ἡτοίμασε, λόγῳ γάμου, * θηλείαις βοηθοῖς χρήσεται ἐν μυστηρίοις πᾶσι τῆς ἐξουσίας αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι οἰνοχοεῖ αὐτοῖς, ζημίαν ὑποστήσεται ἐν αὐτοῖς.

Si visus fuerit anulis eam ornasse, desiderium amborum ex voto succedet.

Si mulier visa sibi fuerit amisisse vel fregisse coronam suam, breui vidua fiet.

Si visa sibi sit abiecisse, alteri iungetur matrimonio.

Si visa sibi fuerit anulos suos perdidisse, diuitias suas amittet, ac in paupertate morietur.

Si visa sibi fuerit perdidisse suas armillas, ex angustia perueniet ad lętitiam.

Si quis visus sibi fuerit vxorem suam vestibus rubris induisse, gaudium inuenient, ac marem procreabunt.

Si mulier visa sibi fuerit gestasse stolam virilem, absque calceis tamen: si prægnas est, marem pariet. si maritum habet, serui caussa præstigiis eum circumueniet.

Sin secus, viro nubet. Calcei enim afflictiones & angustiæ sunt in omnibus eius operibus.

Si mulier videre visa fuerit inaures sibi recens à marito suo donatas, si prægnas est, femellam edet.

Sin secus, concipiet & pariet femellam.

Si marito caret, ancillam ad oblectationem suam cõsequetur.

Si videre visa fuerit inaurem suam fractam, vel filia, vel ancilla fidelis, morbo laborabit.

Si fissę ruptęque fuerint inaures, in adflictionem filię vel ancillę caussa incidet.

De nuptiis, ex Indorum monumentis. CAP. 128.

SI quis visus sibi fuerit adparasse prandium, caussa nuptiarum: in arcanis potestatis suæ quibusdam adiutoribus vtetur.

Si quis eorum pocillator esse visus sibi fuerit, damno ab eis adficietur.

Si cymbala, citharas, & ludiones adhibuit: in adflictionem & lamentationem incidet.

Si cereos accensos in cena protulit, potestatem inueniet, eámque cum aliis communicabit.

Si cum cereis iucundas quoque cantilenas adhibuisse visus sibi fuerit, longæuus erit, & ex potestate sua lætitiam & oblectationem capiet, pro suauitate vocis in cantilenis adhibitæ.

De nuptiis, Persarum & Aegyptiorum interpretationes.

CAP. 129.

SI quis visus sibi fuerit multos ad nuptias suas inuitasse, illum hominem multi sequentur & comitabuntur, pro modo conspectæ per quietem multitudinis, & ab eo beneficiis adficientur.

Si visus fuerit ludicra ibidem & citharas habere, percipiet mandata, de quibus adflictionem sentiet.

Si visus sibi fuerit diuersis eos vnguentis perfundere, pro modo ipsius fragrantiæ præclaram ad populum famam habebit.

Si visus sibi fuerit per suffitus optimis amicos odoribus implesse, terribilia quędam edicta faciet, quæ pro ratione fragrantiæ vim obtinebunt.

Si visus sibi fuerit vina dulcia fragrantiáque magna copia miscuisse, de potestate sua largietur eis, & locupletes faciet.

Si visus sibi fuerit coiuisse cum muliere, cuius caussa nuptiarum instituta sollennitas: omne desiderium votúmque suum perficiet.

Sin cum ea cubuit ille quidem, at non coiuit: impedimenta quædam & moras in negotiis suis experietur.

De mortuis, & morte, & sepultura, ex Indorum disciplina.

CAP. 130.

Εἰ δὲ κύμβαλα καὶ κιθάρας καὶ παίζοντας ἤνεγκεν· εἰς θλίψιν καὶ κλαυθμὸν ἥξει.

Ἐὰν ἴδῃ τις ὅτι κηροὺς ἐδίδου ἐξημμένους* εἰς τὸ δεῖπνον, εὑρήσει ἐξουσίαν, καὶ ἐκ ταύτης δώσει ἑτέροις.

Ἐὰν ἴδῃ ὅτι τὰ ᾄσματα ἡδέα ἐποίει σὺν τοῖς κηροῖς, πολύζωος ἔσται καὶ ἐπευφρανθήσεται τῇ ἐξουσίᾳ αὐτοῦ κατὰ τὴν ἡδύτητα τῆς φωνῆς τῶν ᾀσμάτων.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ γάμου. ρκθ'.

ἘΑΝ τις ἴδῃ ὅτι συνεκάλεσε πολλοὺς ἐν τῷ γάμῳ αὐτοῦ, ἀκολουθήσουσιν αὐτῷ ἀναλόγως τοῦ πλήθους πολλοὶ, καὶ ἀγαθοποιηθήσονται παρ' αὐτοῦ.

Εἰ δὲ ἴδῃ τις ὅτι παίγνια καὶ κιθάρας ἔσχεν, ἐκεῖ μανδάτα ἀκούσει εἰς θλίψιν αὐτοῦ.

Ἐὰν ἴδῃ ὅτι ἤλειψεν αὐτοὺς διαφόροις μύροις, φήμην καλὴν κατὰ τὴν εὐωδίαν ἕξει ἐν τῷ λαῷ.

Ἐὰν ἴδῃ ὅτι εὐώδιασε θυμιάμασι τοὺς φίλους, διαταγὰς ἐμφόβους ποιήσει, καὶ ἀρξήσει κατὰ τὴν εὐωδίαν.

Εἰ δὲ ἴδῃ ὅτι γλυκεῖς οἴνους καὶ εὐοσμίας ἐκέρασεν ἱκανοὺς, χαρίσει* αὐτοῖς ἀπὸ τῆς ἐξουσίας αὐτοῦ, καὶ πλουτήσει αὐτούς.

Εἰ δὲ ἴδῃ ὅτι συνουσίασε τῇ γυναικὶ δι' ἣν ὁ γάμος· πᾶσαν ἐπιθυμίαν αὐτοῦ τελειώσει.

Εἰ δὲ συνεκλείσθη μὲν, οὐ συνουσίασε δὲ· κώλυμά τι καὶ ἀργίας ἕξει ἐν ταῖς ἐργασίαις αὐτοῦ.

Ἐκ τῶν Ἰνδῶν, περὶ νεκρῶν, καὶ θανάτου, καὶ ταφῆς. ρλ'.

ἘΑΝ ἴδῃ τις κατ' ὄναρ ὅτι ἀπέθανεν, ὁ θάνατος εἰς ζημίαν τῆς πίστεως κρίνεται. ἀλλὰ καὶ εἰς μακροζωΐαν.

Ἐὰν ἴδῃ ὅτι ἐτάφη, ὁ τάφος εἰς τελείαν πληροφορίαν κρίνεται τῆς ἀπωλείας αὐτοῦ καὶ ἀμετανοησίας.

Ἐὰν ἴδῃ ὅτι ἐλλείπετο ἡ στέρησις τῶν ἐνταφίων καὶ τῶν ἄλλων ἐπικηδείων ἀσμάτων· ἡ στέρησις εἰς ἐλπίδα σωτηρίας κρίνεται.

Ἐὰν ἴδῃ τις ὅτι ὁ πάλαι νεκρὸς ἀνέζησε, καὶ λέγει ὅτι οὐκ ἀπέθανον, ἀλλὰ ζῶ, καὶ θαυμάζει, ὁ ἰδὼν, τοῦτο εἰς σῶμα νεκροῦ κρινέτω ὁμολογούμενον πληροφορούμενος ἐκ τῆς θείας γραφῆς λεγούσης· ὅτι ὁ θεὸς οὐκ ἔστι νεκρῶν ἀλλὰ ζώντων. νεκρὸς οὖν βλεπόμενος ὅτι ζῇ, σέσωσται. ζῶν δὲ θεωρούμενος ὅτι ἀπέθανεν, ἀπωλείᾳ καταδεδίκασται.

Ἐὰν ἴδῃ τις ὅτι ὁ ζῶν ἀπέθανε καὶ προσεκομίζετο ἐπὶ κλίνης ἀγόμενος· ἔστι τὴν μὲν πίστιν αὐτοῦ ἐλαττώσει, ἐν ἐξουσίᾳ δὲ ἀρθήσεται λαὸν ἄγων καὶ ὑποτάσσων, ἀναλόγως τῷ πλήθει τῆς προσκομίσεως. ἐλπὶς δὲ ἐστι μετανοίας, διότι οὐ τέθαπται.

Ἐὰν ἴδῃ τις ὅτι τὸν ἴδιον τάφον ἑτοιμάζει κτίζων· ἔσται εἰς μετάνοιαν ἥξει, καὶ τὰς ἐκεῖθεν κτίζει ἑαυτοῦ μονάς.

Ἐὰν ἴδῃ τις ὅτι οὐκ ἀπέθανε μὲν, θάπτεται δέ· ἔσται εἰς δεσμὰ καὶ φυλακὴν καὶ στενοχωρίαν κρίνεται ἐλευσόμενος.

Ἐὰν ἴδῃ τις ὅτι ἐφυλακίσθη ἔνθα οὐ γινώσκει· ἔσται κρίνεται ὅτι ταχὺ ἀποθανεῖται. ἀγνοεῖται γὰρ πᾶσι ὁ τοῦ θανάτου τάφος.

Εἰ δὲ ἐφυλακίσθη ἔνθα γινώσκει· ἔσται κρίνεται, ὅτι εὑρήσει θλίψεις καὶ στενοχωρίας τοῦ ἐνθάδε κόσμου.

Ἐὰν ἴδῃ τις ὅτι ἔλαβε παρὰ νεκροῦ τι κοσμικὸν πρᾶγμα· ἔσται κρίνεται ὅτι εὑρήσει κοσμικὰ ἀγαθὰ καὶ προσθήκην πλούτου.

SI quis in somnis visus sibi fuerit mortuus, ea mors de fidei damno intelligitur. præterea longum vitæ spatium denotat.

Si visus sibi fuerit sepultus, sepulchrum ipsum ad plenam certitudinem interitus eius nequaquam resipiscentis, spectat.

Si videre visus fuerit defectum aliquem rerum ad sepulturam pertinentium, & carminum funebrium: is defectus ad spem refertur.

Si quis olim mortuum videre visus fuerit, quasi qui reuixerit, séque minimè mortuum, sed viuere dicat, cum eius admiratione, cui somnium offertur: eam confessionem fieri de corpore mortui iudicet, confirmatus ex sacris litteris, quæ deum non esse deum mortuorum, sed viuentium tradunt. Itaque mortuus ille, qui per quietem viuere cernitur, salutem adeptus est: at qui viuus adhuc, per quietem mortuus adspicitur, ad interitum condemnatus est.

Si quis videre visus fuerit eum, qui adhuc viuit, mortuum efferri, & in lectica deportari: sciat illum fidem suam deserturum, & in ea potestatis excelsitate futurum, vt populum ducat, & sibi subiiciat, pro modo multitudinis, quæ funeri efferendo interfuit. Spes tamen erit resipiscentiæ, propterea quod necdum sepultus fuit.

Si quis visus sibi fuerit sepulchrum struere, resipiscet: & alterius vitæ mansiones sibi parabit.

Si quis sibi minimè visus fuerit mortuus, & sepeliri tamen: ea res hunc hominem in vincula, custodiam, & angustias coniectum iri portendit.

Si quis in custodia detineri visus sibi fuerit eo loco quem non nouit: *is breui morietur. Omnibus enim ignotum est mortis sepulcrum.*

Si vero in custodia detinetur eo loco quem nouit: is adflictiones & angustias vitæ sequuturæ indicatur experturus.

Si quis visus sibi fuerit à mortuo rem aliquam mundanam accipere, bona mũdana & accessionem diuitiarum consequuturus indicatur.

Si quis videre visus fuerit mortuum secum colloquutum, déque fide præcepta tradentem: talis est interpretatio. Qui somnium habuit, in fide sua gaudium inueniet: quoniam qui mortuus est, illum alterum mundum respicit.

Si quis visus sibi fuerit mortuo dedisse cibum, aut potum: portenditur eum valetudine debili futurum, qui dedit, & aurum suum amissurum.

Si mortuo vestimenta noua dedit, quæ nullus gestauit: acri morbo laborabit, & opes suas deminuet.

Si mortuum iis induit, quæ ipse gestabat: * quicunq; sibi visus est vestes exuisse, citò morietur.

Sin voluit id quidem facere, sed non fecit: moritur, non citò tamen.

Si quis sibi visus est mortuum sustulisse non in loco exodij, potentem sequetur eique seruiet, & gratiam inueniet ex ipso.

Si vero sibi videatur mortuum complecti, aut alloqui, aut osculari, aut eum attingere, viuax quidem erit, non tamen sine morbo.

Si visus sibi fuerit attolli à mortuo qui post abierit in locum. & ipse breui pertransibit.

Si vero quis videre visus fuerit mortuum secum sustulisse, & abiisse in locum ignotum, nec reuersum esse; cito morietur.

Si reuersus est, grauiter ægrotabit; non autem morietur.

Si vero existimauerit in somnis se vocari à mortuo in suburbium aut in locum ipsius mortui; morietur quidem, non tamen tam cito.

Si visus sibi fuerit in ecclesia, vel alibi, à mortuo trahi: etiam ipse tardè moritur.

Si mortuum visus sibi fuerit arcessiuisse, qui & sequutus sit eum, & rursus discesserit: periculum homini à magistratu imminet, ac rursus liberatur.

Si quis visus sibi fuerit insistens mortui vestigiis obambulare, omni modo mortui vestigia sequens, breui vitam finiet.

Ἐὰν ἴδῃ τις ὅτι νεκρὸς ὡμίλησεν, ἢ ἐνυθέτησεν αὐτὸν περὶ πίστεως· * οὕτως κρίνεται, ὁ ἰδὼν εὑρήσει χαρὰν εἰς τὴν πίστιν αὐτοῦ· διότι ὁ νεκρὸς πρὸς τὸν ἐκεῖθεν κόσμον βλέπει.

Ἐὰν ἴδῃ τις ὅτι ἔδωκε νεκρῷ βρῶσιν ἢ πόσιν· κρίνεται ὅτι ὁ δοὺς ἀῤῥωστήσει καὶ ἠλαττώσει τὸν χρυσὸν αὐτοῦ.

Εἰ δὲ ἔδωκε ἱμάτια καινὰ ἃ οὐδεὶς ἄλλος ἐφόρεσεν· ἐστὶν ὀξέως νοσήσει καὶ στενώσει τὸν πλοῦτον αὐτοῦ.

Εἰ δὲ ἐνέδυσεν αὐτὸν ἐξ ὧν ἐφόρει, ὁ ἰδὼν ἱματίων ἐκδυσάμενος * ἢ ἐβουλεύθη, καὶ μόνον τοῦτο κρίνεται ὅτι καὶ ἐστὶν ἐκδύσας ταχὺ ἀποθανεῖται.

Ὁ δὲ βουληθεὶς μόνον, ἀποθανεῖται μὲν, οὐ ταχέως δέ.

Ἐάν τις ἴδῃ ὅτι νεκρὸν ἦρεν οὐκ ἐν * τόπῳ ἐξοδίου, ἀκολουθήσει ἐξουσιάζοντι μεγίστῳ καὶ δουλεύσει καὶ εὑρήσει χάριν ἐξ αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι περιέλαβε νεκρὸν ἢ ὡμίλησεν ἢ ἐφίλησεν ἢ ἥψατο αὐτοῦ, μακρόβιος μὲν ἔσται, οὐκ ἄνοσος δέ.

Εἰ δὲ ἴδῃ ὅτι ὁ νεκρὸς συνεπῆρεν αὐτόν. καὶ ἀπελήλυθεν ἐν τόπῳ, καὶ ἐστὶν ταχέως παρελεύσεται.

Εἰ δὲ ἴδῃ τις ὅτι τὸν νεκρὸν συνεπῆρε καὶ συνῆλθον ἔνθα οὐκ ἐγίνωσκον καὶ οὐκ ἐστράφη, ταχὺ ἀποθανεῖται.

Εἰ γὰρ ἐστράφη, νοσήσει ὀξέως, καὶ οὐκ ἀποθανεῖται.

Εἰ δὲ ἴδῃ ὅτι ἐφώνησεν αὐτὸν ὁ νεκρὸς συναπελθεῖν εἰς προάστειον ἢ * τόπον αὐτοῦ, ἀποθανεῖται μὲν, οὐ ταχέως δέ.

Εἰ δὲ ἴδῃ ὅτι βίᾳ εἷλκεν αὐτὸν νεκρὸς ἐν * ἐξουσίᾳ ἢ ἀλλαχοῦ· καὶ ἐστὶν βραδέως ἀποθανεῖται.

Εἰ δὲ ἴδῃ ὅτι νεκρὸν προσεκαλεῖτο, καὶ ἠκολούθη αὐτὸν ὁ νεκρὸς, καὶ πάλιν ἐχωρίσθη· εὑρήσει ἀνάγκην ὁ ἰδὼν ἀπὸ ἐξουσίας, καὶ πάλιν λυτρωθήσεται.

Ἐὰν δὲ ἴδῃ τις ὅτι νεκροῦ ἴχνεσι ἀκολουθῶν περιπατεῖ, ἐστὶν κατὰ πάντα τρόπον ἰχνηλατῶν τὸν νεκρὸν, ὀλιγοζωίᾳ τελευτήσει.

Εἰ δὲ ἴδῃ τις ὅτι συνουσίασε νεκρῷ γνωρίμῳ, ἀγαθοποιήσει τοὺς κληρονόμους αὐτοῦ.

Εἰ δὲ ἀγνωείστῳ, καταπατήσει ἐχθρὸν ἐξουσιάζοντα μέγιστον.

Εἰ δέ τις ἴδῃ ὅτι νεκρὸς συνουσίασε τῇ γυναικὶ ἢ τῇ θυγατρὶ αὐτοῦ, ἐκ τῶν κληρονόμων τοῦ νεκροῦ χάριν καὶ κέρδος λήψεται ὁ ἰδών.

Ἐὰν ἴδῃ τις νεκρὸν* ἀναζήσας ὑπνοῖ, ὁ ὕπνος εἰς αἰωνίαν ἀνάπαυσιν καὶ σωτηρίαν κρίνεται.

Εἰ δὲ ἴδῃ νεκρὸν δυσειδῆ, ἢ ῥυπῶντα, ἢ διερρίμμενον, ταῦτα εἰς* ἐτασμὸν καὶ κόλασιν καὶ θλίψιν τῶν νεκροῦ πράξεων καὶ πρὸ τοῦ κριτοῦ διακρίνονται.

Ἐὰν ἴδῃ τις νεκρὸν ἀσθενοῦντα τοῦτο νοείτω ὅτι λογοθετεῖται παρὰ θεοῦ ὑπὲρ ὧν ἔπραξε.

Καὶ ἐὰν ἴδῃ ὅτι ὁ νεκρὸς λέγῃ σφοδρῶς τὴν κεφαλὴν, * ἔστω ὅτι τὸ λογοθέσιον ὑπὲρ τῆς κεφαλῆς τοῦ νεκροῦ ἐστὶν ἢ τοῦ πατρὸς, ἢ τῆς μητρὸς, ἢ ἐξουσιάζοντος καὶ ὑπὲρ αὐτῶν τιμωρεῖται πιστευσάντων αὐτῷ, καὶ τούτου ἀθετήσαντος.

Εἰ δὲ τὸν τράχηλον ἀλγεῖ, ὑπὲρ τῆς ἰδίας ψυχῆς καὶ χρέους ἐξετάζεται.

Εἰ δὲ τοὺς βραχίονας, ὑπὲρ τῶν ἀδελφῶν.

Εἰ δὲ τὰς χεῖρας, ὑπὲρ τῶν δούλων πιστῶν.

Εἰ δὲ τοὺς ὤμους καὶ πλευρὰς, ὑπὲρ γυναικῶν.

Εἰ δὲ τὴν κοιλίαν, ὑπὲρ τέκνων καὶ κακοδιοικήσεως τῆς φαμιλίας αὐτοῦ.

Εἰ δὲ τοὺς μηροὺς, ὑπὲρ τῶν συγγενῶν.

Τὰ σκέλη καὶ τοὺς πόδας, ὑπὲρ δούλων πιστῶν καὶ τοῦ χρυσίου αὐτοῦ.

Ταῦτα ἐν τύποις ἀπαραλλάκτως διακρίνονται.

Si quis cum mortuo sibi noto rem habere visus fuerit, hæredibus eius benefaciet.

Sin cum ignoto, potentem & amplissimum quendam hostem obteret.

Si quis videre visus fuerit mortuum coëuntem cum vxore, vel filia sua: qui somnium hoc habuit, ab hæredibus defuncti gratiam & lucrum impetrabit.

Si quis videre visus fuerit mortuum, qui reuixerit, dormientem: hic somnus ad æternam requietem atque salutem refertur.

Sin mortuum quendam deformem, aut squalentem, aut disiectum, aut obsitum puluere, videre visus fuerit: ea verò ad torturam & adflictionem mortui, etiam ante iudicis aduentum, spectant.

Si quis mortuum ægritudine laborantem videre visus fuerit, cogitet illum deo facinorum suorum rationem reddere.

Si mortuus dicere visus fuerit, caput sibi vehementer dolere: sciat rationum discussionem ad caput mortui spectare, ad patrem putà, vel matrem, vel principem, quorum nomine torqueatur: quum illi nimirum crediderint, ipse cuncta flocci fecerit.

Si ceruix ei dolet, suæ ipsius animæ debitíque caussa punitur.

Si brachia, fratrum caussa torquetur:

Si manus, seruorum fidelium caussa:

Si humeri & costæ, vxorum caussa:

Si venter, liberorum caussa, & malè administratæ familiæ:

Si femora, cognatorum caussa:

Si crura & pedes, propter fideles seruos, & aurum suum.

Et hæc quidem horum est perpetua & certa interpretatio.

De mortuis, & morte, & sepulchris, ex Persarum & Aegyptiorum disciplina.

CAP. 131.

SI quis se mortuum videre visus fuerit, magno principi seruiet: ac ditescet quidem, sed non absque inuidis oculis.

Si visus sibi fuerit sepultus, tantas opes consequetur, quantum sibi visus fuerit adgesta terra coopertus.

Si videre visus fuerit omnes in morbo de vita ipsius desperantes, diuitias inueniet, sed minores.

Si quis visus fuerit vel ipse sibi reuixisse, vel quòd alius iam mortuus reuixerit: opes quidem adsequetur, sed potestatem amittet.

Si regi visum hoc oblatum fuerit, ex addictionibus, & difficultatibus, & bellis eripitur, ac victoriis potitur.

Si plebeius, è seruitute principis extricabitur, atque ditescet.

Si rex visus sibi fuerit mortuus, aut ab aliis de morte sua nuntium accipere, gaudium cum vita diuturna consequetur, sed equi deminuentur.

Si quis videre visus fuerit lectica se mortuum efferri, lecticæ interpretatio maximam ad personam pertinet,

Si humeris gestatus fuit, in altum euehetur, & prætereà longæuus erit.

Si pauper hoc somnium habuerit, vitam beatam & opes speret.

Si quis parare sibi visus fuerit sepulchrum suum, etiam ipse quæstum faciet ac ditescet in iis, quæ in vita consequi summa contentione nititur.

Si visus sibi fuerit adhuc viuus sepeliri, quisque in professione studióque suo maximam & diuturnam quidem in ærumnam incidet.

Si quis visus sibi fuerit in custodiam datus, si peregrinationem aut profectionem habet, iter facere desinet: sin autem, in omnibus quæ perquirit, impedietur.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ νεκροῦ καὶ θανάτου καὶ τάφων. ρλα.

ΕΑ'Ν ἴδῃ τις ἑαυτὸν ἀποθανόντα, δουλεύσει ἐξουσίαν μεγάλην· καὶ πλουτήσει μὲν, ὀφθαλμιάσει δέ.

Ἐὰν ἴδῃ ὅτι ἐτάφη, τοσοῦτον πλουτήσει, ὅσον τῷ χώματι περιεκαλύφθη.

Ἐὰν δὲ ἴδῃ ὅτι νοσήσας ἀπηγορεύθη παρὰ πάντων, εὑρήσει μὲν πλοῦτον· ἐλάττονα δέ.

Ἐὰν ἴδῃ τις ἑαυτὸν, ἢ νεκρὸν ἕτερον ζήσαντα, πλουτήσει μὲν, τὴν δ' ἐξουσίαν ἀποβαλεῖ.

Βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, θλίψεων καὶ ἀναγκῶν καὶ πολέμων ἐκλυτροῦται, καὶ νίκας αἴρει.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἀπολυθήσεται ἀπὸ δουλείας τοῦ ἐξουσιάζοντος, καὶ πλουτήσει.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἀπέθανεν, ἢ παρ' ἄλλου ἀγγελίαν δέξεται ὅτι ἀποθνήσκει· εὑρήσει χαρὰν καὶ μακροζωίαν, τοὺς δὲ ἵππους αὐτοῦ ἐλαττώσει.

Ἐὰν δὲ ἴδῃ τις ὅτι ἀποθανὼν ἐπὶ κλίνης περιεκομίζεται, ἡ κλίνη κρίνεται εἰς πρόσωπον μέγιστον.

Καὶ ὅτι ἐβαστάχθη, ὑψωθήσεται, ἀλλὰ καὶ μακρόβιος ἔσται.

Πτωχὸς ἐὰν ἴδῃ τοῦτο, εὐζωίας ἐλπιζέτω καὶ πλοῦτον.

Ἐὰν ἴδῃ τις ὅτι ἑτοιμάζει τὸν ἴδιον τάφον, καὶ αὐτὸς ἐν οἷς ἀγωνίζεται κατὰ τὸν βίον κερδήσει καὶ πλουτήσει.

Ἐὰν δὲ ἴδῃ ὅτι ἐτάφη ἔτι ζῶν, εἰς θλίψιν μεγάλην χρονίως ἥξει, ἕκαστος ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

Ἐὰν τις ἴδῃ ὅτι ἐφυλακίσθη, εἰ μὲν ἔχει ἀποδημίαν, παυθήσεται· εἰ δὲ μὴ, πᾶν ὃ [illegible], ἐμποδισθήσεται.

Ἐὰν ἴδῃ τις ὅτι ἔλαβεν ἀπὸ νεκροῦ τι, ἀπὸ ἐξουσιάζοντος ὠφεληθήσεται, ἀλλὰ καὶ νοσήσει.

Ἐὰν ἴδῃ τις ὅτι νεκρὸς δέδωκεν αὐτῷ λόγους χαρίεντας, εὑρήσει χάριν διὰ λόγου ἀπὸ ἐξουσιάζοντος.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐκ τῶν προθανόντων βασιλέων ὡμίλησεν ἢ ἠκολούθησεν τινί· θλίψιν πολέμου δέξεται ἀπὸ ἐχθρῶν μωρῶν, ἀγνωρίστων· καὶ τὰ τέλη αὐτοῦ εἰς νίκας ἀποβήσεται.

Ἐὰν ἴδῃ τις ὅτι ἐπάλαισε νεκρῷ γνωρίμῳ, ἢ ἐμαχήσατο· τιμωρηθήσεται ἀπὸ ἐξουσιάζοντος καὶ νικήσει· εἰ δὲ ἐνικήθη, ἀπὸ φόβου ἐξουσίας αὐτοῦ λυθήσεται, καὶ * ῥωθήσεται.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐτόξευσεν νεκρὸν, καὶ ἐπέτυχε· πρὸς ἐχθρὸν μωρὸν ἀγνώριμον ἀποστελεῖ καὶ ἀνελεῖ αὐτόν. εἰ δὲ μὴ, τοὐναντίον.

Ἐὰν ἴδῃ τις ἐκ νεκροῦ τι ὅτι ἦρεν· εὑρήσει ἀναλόγως οὗ * ἦρε. κέρδος ἀπὸ ἐξουσιάζοντος.

Ἐὰν ἴδῃ τις ὅτι ἔδωκε νεκρῷ ἱμάτιον ἑαυτοῦ ἢ ὑποδήματα· ὁ νεκρὸς * ἀπωλέσει ὁ δοὺς * τὸν ἐλάσσονα δοῦλον αὐτοῦ θανάτῳ.

Εἰ δὲ ἴδῃ ὅτι ἔδωκεν αὐτῷ ἔνδυμα ἢ ὑποκάμισον· ἀποθανεῖται ἡ θυγάτηρ αὐτοῦ.

Εἰ δὲ ἔδωκεν αὐτῷ χιτῶνα ἤτοι διπλοΐδα· τὴν γυναῖκα αὐτοῦ ἢ ἰδίαν * θάψει.

Εἰ δὲ ἔδωκεν αὐτῷ καβάδιν ἤτοι σκαραμάγκιν, ταχὺ ἀποθανεῖται ἡ γυνὴ αὐτοῦ.

Εἰ δὲ φακιώλιον ἢ * καλυμαύκιον, ἐκεῖνος αὐτὸς ἀποθανεῖται.

Εἰ δὲ περὶ τὰ κρυπτὰ περισκελίσματα, τὰ τέκνα αὐτοῦ ἀποθανεῖται.

Εἰ δὲ οὐκ ἔχει, οἱ ἔγγιστα τοῦ γένους. αὕτη ἡ λύσις καθόλου ἐπὶ πάντων καὶ βασιλέων.

Ἐὰν ἴδῃ τις ὅτι ἐβάστασε νεκρὸν, χάριν κηδείας· εἰ μὲν ἐστὶ βασιλεὺς καταδουλωθήσεται * ἐχθρῶν, καὶ ἀνάξιον ὑψοῖ ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ὑψηλοῖς δουλεύσει καὶ ἀκολουθήσει αὐτοῖς.

Si quis à mortuo quid accepisse visus sibi fuerit, emolumentum à principe capiet, sed interim cum aduersa quoque valetudine conflictabitur.

Si quis mortuum periucundè secum colloquutum vidisse visus fuerit, gratiosum ab eo responsum feret, qui rerum potitur.

Si rex visus sibi fuerit cum aliquo regum iam olim mortuorum colloquutus, aut cum comitatus: bello vexabitur ab hostibus stultis, ignotis: & exitum victoriosum inueniet.

Si quis sibi visus fuerit cum mortuo quodam noto colluctatus, vel præliatus: si mortuus vicit, à principe multabitur: sin qui mortuus est, ab altero victus fuit, à metu principis ille liberatur, & corroborabitur.

Si rex visus sibi fuerit in mortuum direxisse telum, & feliciter iaculatus esse: suos aduersus hostem stultum, ignotum ablegabit, eúmque de medio tollet. sin aberrauerit, contrarium accidet.

Si quis à mortuis aliquid visus sibi fuerit sustulisse, pro modo inuentæ rei lucrum à principe consequetur.

Si quis visus sibi fuerit mortuo dedisse pallium suum, vel calceos: qui dedit, morte minorem seruum suum amittet.

Sin ei vestem dedit interiorem vel subuculam: filia ipsius morietur.

Si tunicam siue diploidem dedit, vxorem suam, vel propinquam sepeliet.

Si cabadium, siue scaramangium dedit, breui morietur ipsius vxor.

Si faceolium vel camylauchium, ipsemet morietur.

Si tegentia partes secretas tibialia, liberi eius morientur: aut si liberos nullos habet, adgnati proximi.

Hæc interpretatio ad omnes vniuersè, reges quoque, pertinet.

Si quis visus sibi fuerit humeris portasse mortuum funeris ergo: si rex est, ab hostibus suis in seruitutem redigitur, & in regno suo indignum extollet.

Si plebeius, excelsis seruiet, eósque comitabitur.

Si quis visus sibi fuerit ex hominis mortui sepulcro carnem, vel os aliquod sustulisse: per cædem à principe fortunas alicuius impetrabit.

Si quis visus sibi fuerit viuus sepulcro mortuorum inclusus, pro quantitate fœtoris à principe suppliciis adficietur.

Si quis sibi visus fuerit mortuus, ibidē mutabit fidem suam: & euehetur cum iis, qui eum punient.

Si quis reuixisse visus sibi fuerit, quum esset mortuus: magna formidine liberatur, & in humili conditione ac loco versabitur.

Si quis visus sibi fuerit cū mortua muliere vestita rem habere, in amplissimæ mulieris amplexus veniet.

Si quis hæreditate mortui domum ad se deuolutam videre visus fuerit, à principe lætitiam & potestatem consequetur.

Si quis mortui pilos sustulisse visus sibi fuerit, si pauper est, opulentus fiet: si plebeius, & ipse ditescet: si rex est, exercitum & potentatum aliorum principum per vim adquiret, pro multitudine pilorum.

Si rex visus sibi fuerit portasse mortuum in regiam suam, virum quendam amplissimum captiuum tenebit.

Si rex videre visus fuerit quosdam adferentes sibi mortuum, hostilium nationum capita bello in potestatem rediget.

Si plebeio somnium fuerit oblatum, quasi abscissum mortui caput sustulerit: à principe cum metu collocupletabitur.

Si mulier ad sepulchra venisse visa sibi fuerit, vel cum mortuo colloquuta: ista de dolis, quibus erga maritum vtitur, accipiuntur. Si viro caret, per luxum & lasciuiam æuum exiget.

Ἐὰν ἴδῃ τις ὅτι ἦρεν ἐκ τάφου νεκροῦ κρέας ἢ ὀστοῦν, εὑρήσει ἐν φόνῳ πορισμὸν ἀπὸ ἐξουσιάζοντος.

Ἐὰν ἴδῃ τις ὅτι ζῶν συνεκλείσθη τάφῳ νεκρῶν, ἀναλόγως τῆς δυσωδίας τιμωρηθήσεται ἀπὸ ἐξουσιάζοντος.

Ἐὰν ἴδῃ τις ὅτι ἀπέθανεν ἐκεῖσε, τὴν πίστιν αὐτοῦ ἀλλάξει καὶ ὑψωθήσεται μετὰ τῶν τιμωρούντων αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι νεκρὸς ὢν ἀνέζησεν, ἀπὸ φόβου μεγάλου λυτρωθήσεται, καὶ ἐν ταπεινώσει ἔσται.

Ἐὰν ἴδῃ τις ὅτι νεκρᾷ γυναικὶ ἐστολισμένῃ συνουσίασεν, μεγίστῃ γυναικὶ συνουσιάσει.

Ἐὰν ἴδῃ τις ὅτι νεκροῦ οἶκον ἐκληρονόμησεν, ἀπὸ ἐξουσιάζοντος χαρὰν καὶ ἐξουσίαν λήψεται.

Ἐὰν ἴδῃ ὅτι τρίχας νεκροῦ ἦρεν, εἰ μὲν ἐστὶ πτωχός, πλουτήσει· εἰ δὲ τοῦ κοινοῦ λαοῦ, καὶ αὐτὸς πλουτήσει· εἰ δὲ ἐστὶ βασιλεὺς στρατὸν καὶ δυναστείαν ἑτέρων ἀρχῶν προσλαμβάνει ἐν δυνάμει κατὰ τὸ πλῆθος τῶν τριχῶν.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι νεκρὸν ἤνεγκεν εἰς τὰ βασίλεια αὐτοῦ, δέσμιον μέγιστον συνέξει.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι νεκρῶν κεφαλὰς ἤνεγκαν αὐτῷ ἀπὸ πολέμου, κεφαλὰς ἐθνῶν ἐναντίων κατακυριεύσει.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ ἴδῃ ὅτι κεφαλὴν νεκροῦ κόψας ἦρε· πλουτήσει ἐν φόβῳ ἀπὸ ἐξουσιάζοντος.

Ἐὰν ἴδῃ γυνὴ ὅτι εἰς τάφους ἀπῆλθεν, ἢ ὡμίλησε νεκρῷ· ταῦτα εἰς δόλον τοῦ ἀνδρὸς αὐτῆς κρίνονται. εἰ δὲ οὐκ ἔχει ἄνδρα, καὶ θορυβοῦσα διαβιώσεται.

Ἐκ τῶν Ἰνδῶν, περὶ κτηνοβασίας. ρλβ'.

ΕΆΝ τις ἴδῃ ἑαυτὸν κατ' ὄναρ κτηνοβατοῦντα ἀνάξιον τινὰ ἄνθρωπον εὐεργετήσει· ἐν ᾧ οὐκ ἔστιν εὐχαριστία. οὐκ ἔπαινος, οὐ μισθὸς ἐκ Θεοῦ.

Εἰ* δ' ἀγνοεῖ τοῦτο, καταπατήσει ἐχθρὸν δυνάστην, καὶ μετὰ ταῦτα εὐεργετήσει αὐτόν· καὶ οὐ μὴν* εὐχαριστήσει αὐτόν.

Ἐὰν δὲ ἴδῃ ὅτι συνουσίασε θηρίῳ τινὶ,* ἐχθρὸν καταδουλώσει ἑαυτοῦ μέγιστον· ἀναλόγως τῆς θηρίου δυνάμεως καὶ τοῦ μεγέθους.

Ὁμοίως καὶ δίχα τῶν θηρίων ἐὰν ἴδῃ ὅτι συνουσίασέ* τινι· ὁ ἰδὼν ἀγαθοποιήσει τὸν συνουσιάσαντα.

Περσῶν καὶ Αἰγυπτίων περὶ κτηνοβασίας. ρλγ'.

ΕΆΝ τις ἴδῃ ὅτι συνεγένετο κτήνει ἀλόγῳ* καὶ ἀνόμῳ καὶ ἀλλοεθνεῖ ἀνθρώπῳ· ἐπαναστήσεται καὶ ταπεινώσει αὐτόν.

Ὁμοίως καὶ* ὀρνέῳ τινὶ ἐὰν συνουσιάσῃ· εἰ μὲν ἐστι ὄρνεον ἐκ τῶν ἐσθιομένων, εὑρήσει χαρὰν παρά τινος σὺν φήμῃ κακῇ.

Εἰ δὲ ἐκ τῶν ἀβρώτων καὶ ἀγκυλοχείλων, ἀπό τε ἀετοῦ καὶ τῶν λοιπῶν, ἀναλόγως τοῦ ὀρνέου· ἀνδρὶ μεγιστᾶνι συμφιλιάσει καὶ ὠφεληθήσεται ἐκ τοῦ πλούτου αὐτοῦ.

Ex Indorum disciplina, de coitu cum brutis.

CAP. 132.

SI quis in somnis putauerit se ipsum rem habere cum bruto animali, indignum aliquem adficiet beneficio. vnde nulla gratitudo, nulla laus, nulla merces à Deo.

** Si cum ignoto, conteret inimicum dynastam, posteáque beneficus erga ipsum erit; nullum tamen ab eo grati animi officium recipiet.*

Si quis visus sibi fuerit coire cum fera, in seruitutem rediget hostem maximum, pro modo roboris & magnitudinis ipsius feræ.

Similiter & sine feris, si visus sibi fuerit coire cum aliquo: qui id somnij vidit, in coeuntem beneficus erit.

Ex Persarum & Aegyptiorum disciplina, De coitu cum brutis.

CAP. 133.

SI quis in somnis existimauerit coire se cum animali irrationabili, & illegitimo, aut extraneo homine, insurget in ipsum & deprimet.

Similiter si cum aue coire sibi videatur: Si quidem auis sit ex iis quæ comeduntur, lætitiam ab aliquo inueniet cum infamia.

Si vero sit ex iis quæ non comeduntur, aut ex iis quæ curuum habent rostrum, puta aquila, aut eiusmodi alia; pro modo auis, cum homine præpotente amicitiam contrahet, & ex ipsius opibus iuuabitur.

De osculis, ex Indorum disciplina. CAP. 134.

SI quis visus sibi fuerit aliquem osculatus amoris & adfectionis ergo, beneficiis alterum, quem osculatus est ex amore, adficiet. sin coitus caussa, vice versa qui osculum dedit, alterius beneficentiam experietur.

Si quis visus sibi fuerit alterius collo fixisse osculum, qui osculatus est ei benefaciet, qui osculum tulit.

Si vero humerum osculatus est, uxores beneficio afficiet.

Si brachio fixit osculum, in fratrem vel seruum fidelem beneficus erit.

Eadem in cæteris quoque membris est interpretatio, sicuti iam antè declaratum est.

Similiter si quis visus sibi fuerit mortuum quendam notum hominem osculatus: vel in animam defuncti, vel hæredes eius beneficus erit.

Sin ignotum, principi cuidam gratificabitur, & eidem seruiet qui osculum dedit.

Ex Persarum & Aegyptiorum disciplina consimiles interpretationes.

CAP. 135.

SI quis visus sibi fuerit hostem notum reconciliationis caussa deosculatus, inimicitias cum eo maiores exercebit.

Si hostis ille non erat, arcanum suum cum eo communicabit.

Si quis visus sibi fuerit osculatus mortuum, quicunque tandem sit, inde vsque à rege ad alios inferiores; tantam inueniet ægritudinem, quantum in osculando mortuum desiderij sensit.

Si quis visus sibi fuerit iumentum osculatus, in vita sua lucris & bono potitur.

Ἐκ τῶν Ἰνδῶν, περὶ φιλήματος. ρλδʹ.

ΕΑ'Ν ἴδῃ τις ὅτι ἐφίλησέ τινα, χάριν ἀγάπης καὶ συνέσεως, εὐεργετήσει αὐτὸς τὸν φιλήσαντα, πόθου χάριν. εἰ δὲ ἕνεκεν συνουσιασμοῦ, ὁ φιλήσας εὐεργετηθήσεται παρ' ἐκείνου.

Ἐὰν τις ἴδῃ ὅτι ἐφίλησέ τινι ἐν τῷ τραχήλῳ αὐτοῦ, ἐκεῖνος τὸν φιληθέντα εὐεργετήσει ὁ φιλήσας.

Εἰ δὲ ἐν τῷ ὤμῳ, εὐεργετήσει τὰς γυναῖκας αὐτοῦ.

Εἰ δὲ ἐν βραχίονι, ἀδελφὸν ἢ δοῦλον πιστόν.

Ὁμοίως δὲ ἐπὶ τῶν λοιπῶν μελῶν καθὼς ἤδη προκέκριται.

Ἐὰν τις ἴδῃ ὅτι ὁμοίως ὅτι νεκρὸν ἐφίλησε γνωρίμων· εὐεργετήσει ἢ τὴν ψυχὴν τοῦ νεκροῦ, ἢ τοὺς κληρονόμους αὐτοῦ.

Εἰ δὲ ἀγνωρίστου, χάριν ποιήσει ἐξουσιαστῇ τινι, ἀλλὰ καὶ δουλεύσει αὐτῷ ὁ φιλήσας.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ φιλήματος. ρλέ.

ΕΑ'Ν τις ἴδῃ ὅτι ἐφίλησε γνώριμον ἐχθρὸν πρὸς τὸ διαλλαγῆναι, πλέον αὐτοῦ ἐχθρανεῖ.

Εἰ δὲ οὐκ ἦν ἐχθρός, κοινωνήσει αὐτῷ ἐν μυστηρίῳ αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἐφίλησεν, *ὅστις ἂν ᾖ ἀπὸ βασιλέων καὶ τῶν ἄλλων* νεκρὸν· εὑρήσει νόσον τοσαύτην ὅσον πόθον εἶχε φιλῶν τὸν νεκρόν.

Ἐὰν ἴδῃ τις ὅτι ἐφίλησε κτῆνος, εὑρήσει κέρδος καὶ ἀγαθὸν ἐν τῇ ζωῇ αὐτοῦ.

Εἰ δὲ ἐφίλησε πίθηκον ἤτοι μιμὼ, ἐχθρὸν πολύτροπον ἀδύνατον γνωρίσει* δόλον φιλοῦντα αὐτόν.

Εἰ δὲ ἐφίλησέ τινα τῶν συγγενῶν, ἀγαθοποιήσει αὐτὸν ἀναλόγως τοῦ πόθου καὶ τοῦ φιλήματος.

Ἐκ τῶν Ἰνδῶν περὶ ἐμετῶν. ρλϛʹ.

ἘΆΝ τις ἴδῃ ὅτι ἐμεῖ ἑκουσίως, ἀκόπως, εἰ μὲν ἐστὶ βασιλεὺς, ἀνατρέψει τὰ ἴδια κρίσιμα καὶ τοὺς λόγους οὓς συνέδησε μετ' ἐθνῶν.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἕκαστος ἐναντία εὑρήσει τὰ αὐτοῦ ἐπιτηδεύματα.

Ἐὰν τις ἐμεῖ ἑκουσίως καὶ πικρῶς· εἰ μὲν ἐστὶ τῶν εὐλαβῶν καὶ ἡσυχαστῶν, μεταστραφήσεται τῆς πρὸς τὸν θεὸν εὐσεβείας ὁδοῦ.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἀπαιτηθήσεται κακῶς, ἅπερ κακῶς ἐθησαύρισεν.

Ἐὰν τις ἴδῃ ὅτι ἐμεῖ τὰ βρώματα μόνα ἅπερ ἔφαγε, ἀπὸ κακίας καὶ θλίψεως πικρᾶς ζημίᾳ μεταβαπτίσεται.

Εἰ δὲ βουληθεὶς ἐμεῖν τις βίᾳ μετὰ πόθου, καὶ οὐ δύναται· εὑρήσει τιμωρίαν ἀπὸ ἐξουσιάζοντος πρὸς ἀπαίτησιν χρημάτων ἢ λόγων, καὶ οὐ ζημιωθήσεται αὐτά· οὐδὲ ἀποδώσει· ἀλλὰ μᾶλλον θεῖον μισθὸν λήψεται.

Περσῶν καὶ Αἰγυπτίων, περὶ ἐμετῶν. ρλζʹ.

ἘΆΝ τις ἴδῃ ὅτι ἐμεῖ ἀρωματικά· μάχη ἔσται ἐν τῷ οἴκῳ αὐτοῦ διὰ πλοῦτον.

Ὅσα γὰρ κατακλείει κοιλία, πλοῦτός εἰσι τοῦ οἴκου.

Ἐὰν τις ἴδῃ ὅτι ἐμεῖ αἷμα, χρυσίον ζημιωθήσεται ἀκουσίως, ἀναλόγως τοῦ πλήθους τοῦ αἵματος.

Si visus est osculari simiam, depræhendet hostem versutum, non magnas habentem vires, fraudulentè quendam amorem erga se simulantem.

Si cognatum aliquem osculatus est, beneficus in illum erit, pro modo declarati per quietem amoris, & osculi.

De vomitibus, ex Indorum disciplina. CAP. 136.

SI quis inuitè, sed citra molestiam tamen, vomere visus sibi fuerit: si rex est, rescindet ab se decreta, pactáque cum gentibus inita.

Si plebeius, quisque professioni suæ aduersa experietur.

Si quis sponte sua per quietem, & amarè vomit: si quidem persona religiosa est, & quieti solitudinariæ dedita, de recta ad Deum via deflectet.

Si plebeius, exigentur ab eo malè, quæ malè congessit.

Si quis visus sibi fuerit cibos duntaxat vomere, quos edit: ex malo & adflictione acerba non sine sumptu & impensa euadet.

Si quis potu per quietem vomitum ciere velle visus sibi fuerit, nec tamen quidquam efficit: à principe suppliciis adficietur, in exactione pecuniarum vel rationum: nec tamen illas perdet, aut tradet: sed diuinam potius mercedem accipiet.

De vomitibus, Persarum & Aegyptiorum traditiones.

CAP. 137.

SI quis aroma quoddam vomere visus sibi fuerit, in eius domo rixa propter opes excitabitur.

Nam quæcunque venter intra se claudit, diuitiæ domus sunt.

Si quis sanguinem vomere visus sibi fuerit, pro modo reiecti sanguinis auro spoliabitur.

Si duntaxat aquam vomit, etiam hoc ipsum ad detrimentum auri refertur.

Si bilem vomit, morbo liberatur, cum impensa tamen.

Si succos vnà cum cibis, hoc itidem veteres de auri iactura interpretati sunt.

De muliere sacerdotis munere fungente. CAP. 138.

QVædam aliquando muliercula Sereimum interpretem somniorum conueniens: Quid hoc quæso rei est? inquit. Visa sum hac nocte mihi per quietem sacerdotis instar preces pro populo concipere. Cui Sereimus: Quânam, ait, hora visum hoc oblatum tibi fuit? Nona, inquit. Tum ille tres menses abituros respondit, ac deinde futurum, vt à coniuge suo separata concipiat ex scortatione, ac pariat. quod quidem ita euenit.

De purgante medicamento, ex Indorum disciplina.

CAP. 139.

SI quis visus sibi fuerit propter morbum, quo laborabat, medicamentum sumpsisse: fidem suam corriget.

Sin absque morbo sumpsit, ad valetudinis hoc conseruationem refertur, & exornationẽ patrimonij: pro ipsius medicamenti efficacitate.

Si quis visus sibi fuerit sumpsisse medicamentum purgans, magnámque sordium copiam per annum egessisse: pro excrementorum quantitate suarum rerum ac rationum iacturam faciet.

Si nullum habuisse medicamentum hoc efficacitatem visum fuerit, in malum coactionis incidet, nec quidquam efficiet.

Si medicamentum purgans euomuisse visus sibi fuerit, à supplicio principis liberatur.

Ἐὰν δὲ ἐμεῖ ὕδωρ μόνον, καὶ τοῦτο εἰς χρυσοῦ ζημίαν διακρίνεται.

Εἰ δὲ ἐμεῖ χολήν, λυθήσεται νόσου, μετὰ ἐξόδου δέ.

Ἐὰν δὲ χυμοὺς μετὰ βρωμάτων, καὶ τοῦτο εἰς χρυσοῦ ζημίαν ὀνείδη.

Περὶ ἱερέως, ἤτοι, * προσεύχεται γυνή. ρλή.

ΓΥναιόν ποτε πρὸς τὸν ὀνειροκρίτην Σειρὴμ ἦλθεν, εἰπόν· τί μοί ἐστιν ὅτι εἶδον κατ' ὄναρ ταύτῃ τῇ νυκτὶ ἐμαυτὴν ὡς ἱερέα ἤτοι προσευχήτην προσευχομένου τοῦ λαοῦ. ὁ δὲ εἶπεν· ἐν ποίᾳ ὥρᾳ τοῦτο ἐθεάσω, ἡ δὲ ἔφη, ἐννάτη, καὶ ἀπεκρίθη, ὅτι τρεῖς μῆνες ἔσονται, καὶ χωρισθήσῃ τοῦ συζύγου σοῦ, καὶ ἐκ πορνείας συλλήψῃς καὶ τέξεις. καὶ οὕτως ἐγένετο.

Ἐκ τῶν Ἰνδῶν περὶ καθαρτηρίου. ρλθ'.

ἘΑΝ τις ἴδῃ ὅτι διὰ νόσον ἣν εἶχε, βοήθημα ἔλαβεν, εὑρήσει θεραπείαν εἰς τὴν πίστιν αὐτοῦ.

Εἰ δ' ἄτερ νόσου τοῦτο ἔλαβε, πρὸς φυλακὴν ὑγιείας, τοῦτο κρίνεται, καὶ εἰς καλλωπισμὸν τῆς ὑπάρξεως αὐτοῦ πρὸς τὴν ἐνέργειαν τοῦ βοηθήματος.

Ἐὰν τις ἴδῃ ὅτι ἔλαβε καθαρτήριον, καὶ ἐξέκενε πλῆθος διὰ γαστρὸς, κατὰ τὸ πλῆθος τῆς ἐκκρίσεως, ὑφελεῖ ἐκ τοῦ λογαρίου αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι οὐκ ἐνέργησεν, ἥξει εἰς ζημίαν ἀνάγκης, καὶ οὐ μὴ τελειώσῃ αὐτήν.

Εἰ δὲ ἴδῃ ὅτι ἤμεσε τὸ καθαρτήριον, λυθήσεται τιμωρίας ὑπὸ * ἐξουσιάζοντος.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν καὶ Αἰγυπτίων περὶ καθαρτηρίου. ρμδ.

ΕἘΑΝ ἴδῃ τις ὅτι ἔλαβε καθάρσιον, διὰ φιλονεικίας, ζημιωθήσεται τὰ χρήματα.

Εἰ δ' ἐστὶν ὁ ἰδὼν βασιλεὺς, τοὺς θησαυροὺς αὐτοῦ κενώσει εἰς πλῶσιν ἐχθρῶν.*

Καὶ εἰ ἐξήνεγκε τὰ αἴτια τῆς νόσου, ἐξαλείψει τὸν ἐχθρὸν αὐτοῦ· εἰ δὲ μὴ, κόπρου καὶ παραπικρασμοῦ ἐκ τῶν ἐναντίων πείσεται.

Γυνὴ ἐὰν ἴδῃ ὅτι* καθῆρεν, ἐπιβουλεύσεται τὸ ἔμβρυον ὃ ἔχει, καὶ ἕτερον οὐ μὴ τέξει.

Εἰ δὲ οὐκ ἔστιν ἔγκυος, ζημιωθήσεται εἰς τεχνάσματα κωλυτικὰ τεκνοποιίας, χάριν πορνείας, καὶ ἐνεργήσει.

Ἐὰν τις ἴδῃ ὡς ὅτι καθῆρε καὶ ἐξέκρινε πλῆθος γαστέρων εἰς ἀδυναμίαν πολλὴν πτωχεύσει μετὰ νόσων καὶ θλιβόμενος.

Ἐὰν τις ἴδῃ ὅτι ἔλαβε φάρμακον θανάσιμον, καὶ ἐφανερώθη ἐν τῷ σώματι αὐτοῦ διὰ φλυκτίδων ἢ ἑτέρων· ὅς τις ἂν ᾖ ταπεινωθήσεται ἐξ ἐχθρῶν αὐτοῦ.

Ἐὰν δὲ ἴδῃ ὅτι ἔλαβε* γυνή τὸ φάρμακον, καὶ ἔπεσον αἱ τρίχες αὐτῆς πᾶσαι, ἀναλόγως πτωχεύσει τῆς λείψεως τῶν τριχῶν.

Εἰ δὲ ἐστὶ βασιλεὺς, δόλῳ ἐχθροὺς ἀπολέσει, ἀναλόγως τοῦ πλήθους * τοῦ στρατοῦ αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἔλαβε φάρμακον, καὶ ἐφυσήθη ὡσεὶ ἀσκός· ἀπὸ ἐχθροῦ κτήσεται πλοῦτον μετὰ φόβου ἐξουσιάζοντος ἀναλόγως τῆς οἰδήσεως.

Ἐὰν τις ἴδῃ ὅτι ἔλαβε φάρμακον, καὶ ἔπεσον οἱ ὄνυχες αὐτοῦ, καὶ ἐλεπτύνθη σφόδρα· εὑρήσει νόσον καὶ τιμωρίαν ἀπὸ ἐξουσίας, καὶ ἕκαστος ἐν οἷς ἐνεργεῖ ἀδυνατήσει.

De purgante medicamento, ex Persarum, & Aegyptiorum rationibus.

CAP. 104.

SI quis purgationes sumpsisse visus sibi fuerit, pecuniarum suarum iacturam per contentiones & rixas faciet.

Si rex est, ad prosternẽdos hostes thesauros suos exhauriet.

Quòd si morbi caussas depulit, hostem suum delebit: sin autem, ab hostibus fœdè conspurcabitur, & ex irritationibus acerba quæque patietur.

Si mulier se purgasse per quietem visa sibi fuerit, insidiabitur fœtui, quem vtero gestat, & alium non pariet.

Si non est prægnas, impensas faciet in artificia conceptiones impedientia, scortandi studio: rémque pro voto conficiet.

Si quis purgasse visus sibi fuerit, & magnam è ventre copiam excreuisse, multa cum debilitatione sui: ad egestatem redigetur, & morbis ærumnísque vexabitur.

Si quis visus sibi fuerit sumpsisse pharmacum letiferum, ídque patefactum in corpore suo fuisse per pustulas, & alia signa: quicunque tandem hic fuerit, ab hostibus suis deprimetur.

Si mulier pharmacum sumpsisse visa sibi fuerit, omnésque pilos inde defluxisse: pro modo deficientium pilorum ad egestatem redigetur.

Si regi visum hoc oblatum fuerit, hostem fraude perdet, pro modo pilorum cæsis ipsius copiis.

Si quis visus sibi fuerit sumpsisse pharmacum, quo instar vtris inflatus fuerit: ab hoste diuitias consequetur, cum formidine principis, ídque pro modo tumoris.

Si quis pharmacum sumpsisse visus sibi fuerit, & vngues excidisse, cum ipsius insigni macilentia: morbum & iratum principem experietur, ac quisque debilior in iis fiet, quibus alioqui valebat.

Si quis medicamentum sumpsisse visus sibi fuerit, ad abigẽdum venenum, quod efficacitatem habuerit: per intercessionem ac deprecationem alterius, ex difficultate sua liberatur: si non fuit efficax, diuersus euentus erit.

De possessione terræ ac ædificiorum, ex Indorum disciplina.

CAP. 141.

Si quis in somnis visus sibi fuerit habuisse dominium terræ celebris admodum, & suis inclusæ limitibus: vxorem sibi formosam inueniet, prout ipsa terra visa fuit esse bella.

Si videre visus fuerit, terram illam minimè certis inclusam finibus, sed amplã, & iccirco permeatu difficilem: pro ipsius amplitudine diuitias & oblectationem inueniet.

Quòd si etiam in terra certis inclusa finibus prata campósque virides conspexerit, hoc ipsum ad maius ornamentum & fidem mulieris spectat.

Si eadem in terra prædium consitum hordeo viderit albo, & maturo: id de opibus & recta valetudine interpretaberis.

Si frumento duntaxat consitum, interpretationem pecuniarum habet, cum sollicitudine ac desiderio, idque propterea, quòd frumentum per molam, & ignem, & alia tandem eò peruenire necesse sit, vt panis inde conficiatur.

Si consitum leguminibus, de afflictione ac pœna intelligitur.

Si sesamo & milio, somnium hoc ineffabiles opes, cum summa facilitate comparandi, summòque gaudio, portendit.

Si struxit in prædio domos, hoc de incremento diuitiarum, & bona administratione domestica intelligitur.

Si is, qui somnium hoc habuit, ex eorũ est numero, qui possessionibus carent, ac in solitudines secedunt: de opibus animi accipitur.

Si quis visus sibi fuerit ingressus terram ignotam, planam, amplam, & magnam: peregrè proficiscetur, & sine difficultate reuertetur, propter ipsam terræ planiciem.

Ἐὰν ἴδῃ τις ὅτι ἔλαβε βοήθημα πρὸς τὸ ἀποδιῶξαι φάρμακον, καὶ ἐνέργησε, μεσιτείᾳ ἑτέρου καὶ πρεσβείᾳ λυθήσεται τῆς ἀνάγκης αὐτοῦ· εἰ δὲ μή, τοὐναντίον.

Ἐκ τῶν Ἰνδῶν, περὶ δεσποτείας γῆς καὶ οἰκείων. ρμα΄.

ἘΑΝ τις ἴδῃ κατ᾽ ὄναρ ὅτι ἐδέσποσε γῆς ἰδιοπεριγνωρίμου καὶ ἰδιοπεριορίστου, εὑρήσει ἑαυτῷ γυναῖκα εὐειδῆ ἀναλόγως τῆς εὐκοσμίας τῆς γῆς.

Εἰ δὲ ἴδῃ ὅτι οὐκ ἦν ἡ γῆ ἰδιοπεριόριστος, ἀλλὰ μακρὰν καὶ ἀδιεξίτητον· εὑρήσει πλοῦτον ἀνάλογον καὶ χαράν.

Ἀλλὰ καὶ ἐν τῇ ἰδιοπεριορίστῳ γῇ ἐὰν ἴδῃ πεδία χλοάζοντα, εἰς πλείονα κόσμον καὶ πίστιν τῆς γυναικὸς διακρίνονται.

Ἐὰν δὲ ἴδῃ χώραν ἐν τῇ αὐτῇ γῇ κριθῆς λευκῆς καὶ πεπείρου· εἰς πλοῦτον καὶ ὑγίειαν τοῦτο διακρίνεται.

Εἰ δὲ σίτου ἐσπαρμένην καὶ μόνου, εἰς χρήματα ἰδίᾳ κρίσις μετὰ μερίμνης καὶ πόνου, διὰ τὴν ἐν * μύλωνι καὶ πυρὶ καὶ τοῖς ἄλλοις τοῦ σίτου διάβασιν πρὸς ἀρτοποιΐαν.

Ἐὰν ἐσπαρμένην ὀσπρίων, εἰς θλῖψιν καὶ κόλασιν διακρίνεται.

Εἰ δὲ σησάμου καὶ κέγχρων, ταῦτα εἰς εἰς ἀμύθητον πλοῦτον διακρίνεται μετ᾽ εὐκολίας πλείστης.

Εἰ δὲ ἔκτισεν ἐν αὐτῇ οἰκίας, εἰς προσθήκην πλούτου καὶ καλὴν οἰκονομίαν ἐστὶν ἡ κρίσις αὕτη.

Εἰ δὲ ὁ ταῦτα ἰδὼν ἐστὶ τῶν * ἀκτημόνων καὶ ἀναχωρητῶν· εἰς ψυχικὴν εὐπορίαν ταῦτα διακρίνεται.

Ἐὰν ἴδῃ τις ὅτι εἰσῆλθεν εἰς γῆν ἀγνώριστον καὶ ὁμαλήν, εὐρύχωρον καὶ μεγάλην· εἰς ἀποδημίαν ἀπελεύσεται καὶ ἐπανελεύσεται μετ᾽ εὐκολίας διὰ τὸ ὁμαλὸν τῆς γῆς.

Εἰ δὲ ἴδῃ ὅτι ὀρύσσει τινὰ τοιαύτην γῆν καὶ ἐσθίει ἐκ τοῦ χοός· τοσοῦτον ἀποκερδήσει χρημάτων ἐκ τῆς ἀποδημίας, ὅσον ἔφαγεν ἐκ τοῦ χοός.

Εἰ δὲ ἴδῃ ὅτι ἐν τῇ αὐτῇ γῇ βόθρος ἦν, καὶ ἐνέπεσεν εἰς αὐτὸν, καὶ ἀπεσκοτίσθη ἐκεῖσε, λῃστευθήσεται καὶ ἀποθανεῖται.

Εἰ δὲ ἴδῃ ὅτι ὁ βόθρος οὐκ ἦν εἰς παντελῆ σκοτίαν, ἀλλὰ περὶ ἦν φῶς, * ἐξελθήσεται καὶ οὐκ ἀποθανεῖται· ἀλλὰ ἐπανήξει.

Ὁμοίως καὶ ἐπὶ βόθρου ἁπλῶς μὴ ὄντος ἐν εὐρυχώρῳ, αἱ πτώσεις εἰς κλεπτῶν ἐφόδια διακείνονται, καὶ θλίψιν ἀνάλογον τοῦ βόθρου.

Εἰ δὲ ἴδῃ τις ὅτι ὤρυξε χάριν φρέατος ἐν τῇ ἰδίᾳ γῇ, εἰ μὲν οὐχ εὗρεν ὕδωρ, δήλοις ὁ ἰδὼν δολιεύσεται, αὐτὸς καὶ θλιβήσεται.

Εἰ δὲ εὗρεν ὕδωρ ἱκανὸν, εἰ μὲν ἐστὶ βασιλεὺς, εὑρήσει θησαυρὸν χρυσίου ἀνάλογον τοῦ ὕδατος· ἀλλὰ καὶ τέκνον κληρονόμον αὐτοῦ.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ τοῦτο ἴδῃ, εἰς εὐζωίαν καὶ χαρὰν ἥξει πρὸς τὸ τοῦ ὕδατος διειδές.

Εἰ δὲ ἴδῃ ὅτι φρέαρ μόνον ἑαυτῷ συναπέκλεισεν, μόνος ὠφεληθήσεται.

Εἰ δὲ καὶ ἄλλοις εἰς χρείαν παρεχώρησεν, ἔσται καὶ τοῖς ἰδίοις αὐτοῦ ἡ ὠφέλεια.

Ὁμοίως καὶ τὰ νέα τῶν κτισμάτων, εἰς αὔξησιν πλούτου ἔρχεται.

Καὶ εἰ μὲν μόνῳ ἑαυτῷ* τις κτίσεις, αὐξήσει ἑαυτῷ τὸν ἴδιον πλοῦτον.

Εἰ δὲ καὶ ἄλλοις εἰς χρείαν, καὶ ἄλλοις πολλοῖς ὠφελήσει ὁ πλοῦτος αὐτοῦ.

Ἐάν τις ἴδῃ ὅτι ὁ οἶκος αὐτοῦ ἐγένετο μείζων καὶ εὐρυχωρότερος καὶ φωτεινότερος, εἰς χαρὰν καὶ πλοῦτον τοῦ κόσμου ἡ κρίσις.

Εἰ δὲ ὁ τοῦτο ἰδὼν ἐστὶ τῶν ἀναχωρητῶν, εἰς ψυχικὴν εὐπορίαν ἡ κρίσις ἔσται.

Ὁμοίως καὶ τὰ ἐναντία τοῦ οἴκου εἰς ἐναντίωσιν ἑκατέρως ἀποβήσεται.

Ἐὰν ἴδῃ τις ὅτι νεωστὶ θύρες ἀνεῴχθησαν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ πυλῶνες, εἰς χωρισμὸν τοῦ κόσμου καὶ ἔξοδον τῆς ψυχῆς αὐτοῦ, εἴ τε

Sin eam se terram fodere visus sibi fuerit, déque humo egesta comedere: tantum ex peregrinatione quæstus faciet, quantum edisse visus fuit.

Si videre visus fuerit in ea terra foueam, in quam ipse ceciderit mox tenebris obrutus: in latrones incidet, ac morietur.

Si videre visus fuerit foueam non omnino tenebrosam, reuertetur, & non morietur.

Similiter & de fouea statuendum, quę simpliciter non est in ampla spatiosáque regione. nam hîc ruina furum ac prædonum incursus, & adflictiones, pro modo & quantitate foueæ, portendit.

Si quis inueniendi putei caussa fodere visus sibi fuerit in terra sua, si quidē nullam reperit aquam, aliis dolos struet, & interim ipsemet adfligetur.

Sin aquæ satis inuenit, si rex est, auri thesaurum inueniet, pro modo ipsius aquæ: atque etiam hæres ei nascetur.

Si plebeius aliquis huiusmodi somniū habuit, beata vita gaudióque potietur, prout aqua pellucida fuerit.

Si visus sibi fuerit soli puteum occlusisse, solus emolumentum percipiet.

Sin vsum eius & aliis concessit, ad ipsius quoque propinquos emolumentum perueniet.

Consimiliter ædificia noua spectant ad incrementa diuitiarum.

Si quis soli sibi visus fuerit ædificare, sibimetipsi suas opes amplificat.

Sin & aliorum in vsum, aliis quoque diuitiæ ipsius proderunt.

Si quis domum suam videre visus fuerit ampliorem factam & maiorem, opes & gaudium mundanum ei portenduntur.

Sin is, qui somnium hoc habuit, solitudinarius est: de diuitiis animi accipitur.

Similiter & ab his diuersa in ædificiis, in vtrisque personis diuersos quoque sortientur euentus.

Si quis videre visus fuerit ianuas & limina domus suæ recens aperta, hoc ipsum de diuortio cum mundo, & exitu a-

nimæ siue naturali, siue præter naturam, accipitur.

Ac si quidem apertio ianuarum & portarum ad partes domus interiores tēdit, interitus genesis ipsius portenditur.

Sin ad exteriora, spectat interpretatio somnij, tum ad ipsius, tum ad domesticorum nullo sanguinis vinculo coniunctorum interitum.

Si quis videre visus fuerit terram secum colloquutam, quantum sanè prodigium & miraculum est, terram loqui: tantum admirationis apud omnes excitabitur ob ea bona & opes, quibus ille potietur.

Si regi visum hoc oblatum fuerit, longæuus erit, & absque bello cum admiratione cæsis hostibus suis, eorum regionem adquiret.

Si quis excitatus recordetur, ea verba, quæ terra protulit, de rebus esse mundanis: quod iis significatum est gaudium, eueniet.

Sin terræ verbis peccata coarguebātur, ad ea dubio procul interpretatio referenda erit. Deum quidem ille metuat, & à sceleratis suis factis sese conuertat.

Si verborum non meminit, indicatum animi corporísque gaudium minus erit.

Si quis visus sibi fuerit possedisse terram planam & latam, in cuius medio collis excelsus situs esset: eius interpretatio collis ad virum eminentem spectat, pro ipsius collis excelsitate.

Quæ circum hunc collem sunt, de copia prouentuum intelliguntur.

Qui somnium habuit, aut hominem illum excelsum, cum facultatibus eius, in potestatem rediget: aut eminētem virum comitabitur, & cum eo viuet, & beneficentiam ipsius experietur, tantum eius præsidio munitus, & in omnibus ei parens, quāto colli visus esse fuerit propior.

Si visus sibi fuerit ad latus collis habitasse, cùm quidem is in ipsius esset dominio: adiunget illi se viro eminenti, & ab eo protegetur, tantum eius præsidio munitus, quanto propiùs à colle abfuit.

φυσικῶς εἴτε παρὰ φύσιν κρίνεται.

Καὶ εἰ μὲν ἐστὶν ἡ ἄνοιξις τῶν θυρῶν καὶ τῶν πυλῶν ἐπὶ τὰ ἔνδον τοῦ οἴκου, εἰς ἀπώλειαν τῆς γενέσεως αὐτοῦ διακρίνεται.

Εἰ δὲ ἐπὶ τῶν ἐκτὸς, εἰς ἀπώλειαν αὐτοῦ καὶ τῶν ἔξω τοῦ γένους αὐτοῦ οἰκείων ἡ διάκρισις τοῦ ὀνείρατος.

Ἐάν τις ἴδῃ ὅτι ἡ γῆ ἐλάλησε καὶ συνωμίλησεν αὐτῷ, ὅσον τὸ θαῦμα τοῦ λαλεῖν τὴν γῆν, τοσοῦτον θαυμάσονται πάντες ἐπὶ τοῖς ἀγαθοῖς τοῖς ἐρχομένοις ἐπ' αὐτῷ καὶ τῷ πλούτῳ.

Βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, μακρόβιος ἔσται καὶ μετὰ θαυμάτων ἄνευ πολέμου πατάξει τοὺς ἐχθροὺς αὐτοῦ, κληρονομήσει τὴν γῆν αὐτῶν.

Ἐὰν μνημονεύσῃ τις ὅτι ἡ λαλιὰ τῆς γῆς διὰ κοσμικὰ πράγματα ἦν· αὕτη ἡ χαρὰ ἡ εἰρημένη ἀποβήσεται αὐτῷ.

Εἰ δὲ περὶ ἐλέγχου ἁμαρτημάτων, ἐν τοῖς αὐτοῖς ἡ κρίσις ἀπαραλλάκτως· φοβηθήτω δὴ τὸν Θεὸν, καὶ ἀποστραφήτω τῶν πράξεων αὐτοῦ τῶν πονηρῶν.

Εἰ δὲ οὐ μνημονεύει τῆς λαλιᾶς, ἡ εἰρημένη χαρὰ καὶ δόξα τῆς ψυχῆς καὶ τοῦ σώματος ἐλάττων ἔσται.

Ἐὰν ἴδῃ ὅτι ἐδέσποσε γῆς ὁμαλῆς καὶ πλατείας, ἐν ᾗ μέσον βουνὸς ὑψηλὸς ἀνέτελλε· ὁ βουνὸς εἰς ἄνδρα ὑψηλὸν διακρίνεται.

Ὅσον τοῦ βουνοῦ τὸ ὕψος καὶ τὰ * κύκλῳ εἰσὶ τοῦ βουνοῦ τοῦ ὑψηλοῦ αἱ εὐπορίαι.*

Ἢ ὁ ἰδὼν ἢ κυριεύσει τοῦ ὑψηλοῦ καὶ τῶν αὐτοῦ πράξεων, ἢ ἀκολουθήσει ὑψηλῷ ἀνδρὶ καὶ συζήσει, ἀγαθοποιηθήσεται παρ' αὐτοῦ τοσοῦτον σκεπόμενος καὶ ὑπακούων αὐτοῦ ἐν πᾶσι.*

Ἐὰν ἴδῃ ὅτι κατῴκησε πλαγιόθεν τοῦ βουνοῦ δεσπόζων αὐτοῦ· προσκολληθήσεται τῷ εἰρημένῳ ὑψηλῷ, καὶ σκεπασθήσεται παρ' αὐτοῦ, τοσοῦτον σκεπόμενος, ὅσον ἐπλησίασε τῷ βουνῷ.

Ἐὰν ἴδῃ ὅτι ἡ γῆ αὐτοῦ ἐξ ἡμισείας ἐμειώθη, εἰ μὲν ἐστὶ βασιλεὺς, τὸ ἥμισυ τῆς ἐπικρατείας αὐτοῦ ἐξ ἐχθρῶν αὐτοῦ παραληφθήσεται καὶ αὐτὸς ταχέως ἰδιοθανατήσει.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, πτωχεύσει, καὶ ταχέως ἀποθανεῖται.

Ἐὰν δὲ ἴδῃ ὅτι μέρος τῆς γῆς ἐμειώθη, εἰς στενοχωρίαν καὶ θλίψιν καὶ κακοζωΐαν ἥξει ὅστις ἂν ᾖ.

Καὶ εἰ ἴδῃ τοῦτό τις ἐν ἄλλου δεσπότου γνωρίμου γῇ, τὸ πάθος εἰς τὸν δεσπότην διακρινέτω.

Εἰ δ' ἀγνωρίστου, εἰς ἑαυτὸν τοῦτο νοείτω.

Εἰ δὲ ἴδῃ τις ὅτι ἡ γῆ αὐτοῦ σχισθεῖσα ἐπλατύνθη, εἰ μὲν ἐστὶ βασιλεὺς, μακρόβιος ἔσται καὶ κληρονομήσει γῆν τῶν ἐχθρῶν αὐτοῦ.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ὁ πλοῦτος αὐτοῦ καὶ τὸ ἔργον αὐτοῦ διπλασιασθήσεται.

Εἰ δὲ τὸ μέρος τῆς γῆς ἐδιπλασιάσθη, ἀναλόγως ἔσται τὸ ἀγαθόν.

Si videre visus fuerit terram suam dimidia parte deminutam, si rex est, dimidia pars imperij eius ab hostibus occupabitur, & ipse citò morietur.

Si plebeius, ad inopiam redigetur, & citò vitam finiet.

Si terram parte quadam deminutam videre visus fuerit, quicunque tandem fuerit, in angustiam, & adflictionem, & vitam miseram incidet.

Si quis autem hoc videre visus fuerit in alterius sibi noti domini terra, calamitas ad eius dominum spectat.

Sin ignoti, de seipso somniũ intelligat.

Si quis terram suam scissam videre visus fuerit latiorem factam, si quidem rex est, longæuus erit, & hostium suorum terra potietur.

Sin plebeius, & opes ipsius, & negotiatio duplicabitur.

Si pars terræ duplicata fuit, eadem erit & prosperitatis ipsius ratio.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων ὁμοίως. ρμβ'.

Ἐάν τις ἴδῃ κατ' ὄναρ ὅτι ἐδέσποσε γῆς νεωστὶ συνηρεφοῦς καὶ κατάλσου καὶ κατασκίου καὶ ὑπόποτι· εἰ μὲν ἐστὶ βασιλεὺς ἐξουσιάσει χωρῶν καὶ ἀνδρῶν διὰ τὰ δένδρα φαμιλίας τε καὶ τοῦ πλούτου αὐτοῦ· ἀνδρῶν, διὰ τὰ δένδρα· φαμιλιῶν, διὰ τὸ συνηρεφὲς, τοῦ πλούτου διὰ τὸ ὕδωρ.

Εἰ δὲ ἐστὶ τοῦ κοινοῦ λαοῦ, ἢ πτωχὸς· πλουτήσει ἀπὸ ἐξουσιάζοντος.

Ἐὰν ἴδῃ τις ὅτι ηὐπόρησε γῆς μαδαρᾶς, ὁμαλῆς καὶ πλούτου· εἰ μὲν ἐστὶ βασιλεὺς, τὰς ἐρημίας πολίσει.

Εἰ δὲ ἴδῃ ὅτι κυνηγεῖ ἐν αὐτῇ καὶ θηρεύει, ἐκ τῶν οἰκισθέντων παρ' αὐτοῦ χρήσεται ἀναλόγως τῆς ἐπιτυχίας τῆς θήρας.

Εἰ δὲ ἐστὶ τοῦ κοινοῦ λαοῦ, ἕκαστος προκόψει ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

Ex Persarum & Aegyptiorum disciplina rationes consimiles.

CAP. 142.

SI quis in somnis visus sibi fuerit recẽs dominio terræ nemoralis, saltuosæ, opacæ, & irriguæ potitus: si rex est, regiones, & homines, & familias, & opes eorũ in potestatem rediget. ac regionibus quidem, hominibúsque potietur, propter arbores: familiis, propter nemorum densitatem: opibus, propter aquam.

Sin plebeius est, vel pauper: opes à principe consequetur.

Si visus sibi fuerit abundasse terra glabra, plana, opulenta: si rex est, solitudines oppidis exornabit & excolet.

Si visus sibi fuerit in ea venari, voluptatem ex deductis ab se coloniis percipiet, prout ipsa venatio successerit.

Si plebeius est, in professione sua quisque sumet incrementum.

Si quis visus sibi fuerit terram suam frumento conseuisse, monstratámque fuisse pulchram segetem; opum in expectatione positarum sollicitudine se macerabit.

Si hordeum fuerit, in promptu diuitias inueniet. Nam hordeum pastus est brutorum animalium.

Si legumina, ex diuitiarum expectatione adflictiones inueniet.

Si videre visus fuerit, ex omnibus hisce sementem parum prosperè successisse: propter ipsam frustrationem adflictione sua liberatur.

Si terram suam fodere visus sibi fuerit, déque humo egesta comedere: diuitias otiosas & inutiles adquirit, ídque propterea, quod humus egesta comedi nequeat.

Si visus sibi fuerit possidere terram voraginosam, accliuem, decliuem: si rex est, inconstantis & duplicis animi nationem, à suis longè remotam, in potestatem rediget.

Si cum accipitre visus sibi fuerit in eiusmodi terra fecisse aucupium, si quidē res prosperè cessit: missis copiis cōfestim eos in potestatem rediget, ac prosternet, propter accipitris pernicitatem.

Sin voto suo frustratus est, vanum laborem impendet.

Si cui plebeio visum hoc oblatum fuerit, in professione quisque sua difficultatem experietur, nec opes ex ea consequetur.

Si quis in terra puteum fodisse visus sibi fuerit, & aquam bellam inuenisse: peruenustam vxorem inueniet, è qua liberos elegantes suscipiet, propter aquæ puritatem: itémque diuitias, pro ipsius aquę copia.

Si visus sibi fuerit ædificia struxisse in terra sua, si rex est, breui regionem illorum hominum inhabitabit, de quibus voluptatem capiet, pro ædificiorum pulchritudine.

Si plebeius, tam genus, quam opes ipsius incrementum sument.

Si quis visus sibi fuerit ædificium opere lateritio sumptuoso struxisse, consimilem habebit euentum: nisi quod interueniat vis & coactio, propter materiam igne coctam.

Ἐάν τις ἴδῃ ὅτι ἔσπειρε τὴν γῆν τὴν ἰδίαν σίτου καὶ ἐδείχθη φυτὸν καλόν· εὑρήσει μέριμναν προσδοκουμένου πλούτου.

Εἰ δὲ κριθῆς, εὑρήσει πλοῦτον ἐξ ἑτοίμου. τὸ γὰρ φυτὸν τῆς κριθῆς, τροφή ἐστι τοῖς ἀλόγοις.

Εἰ δὲ ὀσπρίων, προσδοκία πλούτου, εὑρήσει δὲ θλίψεις.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐκ πάντων τούτων ἡ σπορὰ οὐκ ἐπέτυχε, τὴν θλῖψιν αὐτοῦ ἀποβάλλει διὰ τὴν ἀποτυχίαν ἐκείνων.

Ἐὰν δὲ ἴδῃ ὅτι ὀρύσσει τὴν γῆν αὐτοῦ καὶ τρώγει ἐκ τοῦ χοός· πλοῦτον κτᾶται ἀργὸν καὶ ἀνωφελῆ διὰ τὸ ἄβρωτον τοῦ χοός.

Εἰ δὲ ἴδῃ ὅτι ηὐπόρησε γῆς φαραγγώδους, ἀνάντους καὶ καταντοῦς· εἰ μὲν ἐστὶ βασιλεύς, κυριεύσει ἔθνους διγνώμου μακρὰν ἀποκειμένου.

Εἰ δὲ ἴδῃ ὅτι μετὰ ἱέρακος ἐκυνήγει ἐν τῇ τοιαύτῃ γῇ, εἰ μὲν ἐπέτυχε· κυριεύσει καὶ καταβάλλει αὐτοὺς ὀξέως δι᾽ ἀποστόλου αὐτοῦ, διὰ τὸ τοῦ ἱέρακος ὀξύ.

Εἰ δὲ οὐκ ἐπέτυχε τῆς θήρας, εἰς κενὸν ἔσται αὐτῷ.

Εἰ δὲ τοῦ κοινοῦ ἴδῃ τοῦτο, δυσκόλως ἕκαστος ἕξει ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ, μὴ πλουτῶν ἐξ αὐτοῦ.

Εἰ δὲ ἴδῃ τις ὅτι ὤρυξε φρέαρ ἐν γῇ καὶ εὕρησεν ὕδωρ καλόν, εὑρήσει γυναῖκα περικαλῆ ἐξ ἧς τεκνώσει περικαλῆ τέκνα, διὰ τὸ τοῦ ὕδατος καθαρόν· ἀλλὰ καὶ πλοῦτον ἀνάλογον τοῦ πλήθους τοῦ ὕδατος.

Ἐὰν ἴδῃ τις ὅτι ἔκτισεν οἰκίας ἐν τῇ ἰδίᾳ γῇ, εἰ μὲν ἐστὶ βασιλεύς, ἐνοικήσει τὴν γῆν * ἀνδρῶν νεωστί, ἐν οἷς ἐπιχαρήσεται κατὰ τὸ κάλλος τῶν οἰκείων.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, περισσωθήσεται ἐν τῷ γένει καὶ τῷ πλούτῳ αὐτοῦ.

Εἰ δὲ ἴδῃ τις ὅτι ἔκτισεν ἐν * χωρήγῳ κτίσει, ὁμοίως ἀποβήσεται αὐτῷ· ἀλλὰ μετὰ βίας καὶ ἀνάγκης, διὰ τὴν ἐκ τοῦ πυρὸς τῶν * ὑλῶν ὄπτησιν.

Εἰ δὲ τὸ κτίσμα ἐστὶν ἐκ πλήθους καὶ ξύλου, ἔσται ὁ πλοῦτος χαριέστερος καὶ οἱ ἄνδρες χαριέστεροι, [διὰ τὰ ξύλα.]

Εἰ δὲ ἴδῃ ὅτι ὡμίλησεν αὐτῷ ἡ γῆ, εἰ μὲν ἐστὶ βασιλεὺς, μήνυμά τι μέγα χαροποιὸν δέξεται ἀπροσδοκήτως, ἀναλόγως τῆς ὁμιλίας τῆς γῆς.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἕκαστος προκόψει ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι διετάξατο ἐν τῇ γῇ αὐτοῦ νεωστὶ βουνοὺς ἤτοι τύμβους, ἀναλόγως τοῦ μεγέθους καὶ τοῦ πλήθους ἀποστελεῖ ἐκ νέου μεγιστᾶνας κυριεῦσαι * τῆς γῆς. τοῦτο δὲ μόνον βασιλεῖ καὶ μεγιστᾶνι ἀνδρὶ θεωρεῖται, ἐν ἑτέρῳ δὲ οὐκ ἐνδέχεται.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐν τοῖς ὄρεσιν αὐτοῦ εἰσελθόντες τινες τέμνουσι ξύλα, εἰ μὲν ἐν βουλῇ αὐτοῦ, θελήματι ἕνα τῶν ἰδίων ἀνδρῶν αὐτοῦ ἀπολέσει· εἰ δὲ μή, ἐπ' ἐχθρῶν αὐτοῦ ἀπολοῦνται.

Ἐὰν ἴδῃ ὅτι τὰ ὄρη αὐτοῦ πυρικαίονται ἀσβέστῳ, μετ' ἀνέμου σφοδροῦ· ὑπὸ πολεμίου ἐχθροῦ ἐκθερίζεται ὁ λαὸς αὐτοῦ.

Εἰ δ' ἄνευ ἀνέμου ἡ πτῶσις αὐτοῦ ἐλάττων ἔσται. καὶ τοῦτο δὲ βασιλεῖ μόνῳ ἢ μεγίστῳ θεωρεῖται. εἰ γὰρ καὶ συμβῇ τοῦτο ἰδεῖν, εἰς πρόσωπον τοῦ βασιλέως ἢ τοῦ μεγιστᾶνου κρίνεται.

Καὶ εἰ ἔπαθεν ἐκ τοῦ καπνοῦ ἢ ἐκ τοῦ πυρός· τοῦτο εἰς ἐναντίον αὐτοῦ ἀποβήσεται.

Ἐὰν ἴδῃ ὅτι ἡ γῆ αὐτοῦ ὠλιγώθη, ἡ ἐξουσία αὐτοῦ ἐλαττοῦται, καὶ ἕκαστος ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ ἐλαττωθήσεται.

Εἰ δὲ ἴδῃ ὅτι ἡ γῆ αὐτοῦ, ἢ ὁ οἶκος ἐπλατύνθη καὶ ἐμεγεθύνθη· τοσοῦτον αὐξήσει καὶ ἡ ἐξουσία, καὶ ὁ πλοῦτος αὐτοῦ.

Περὶ ὁράματος. ρμγ'.

Sin ædificium latericij partim operis est, partim lignei: tam opes ipsæ, quam viri, iucundiores erunt, ídque ratione lignorum.

Si videre visus fuerit terram secum loquutam, si rex est nuntium lætitiæ plenum præter expectationem accipiet, pro modo colloquij, quod terra cum eo habuit.

Si plebeius est, in professione quisque sua profectum sentiet.

Si rex visus sibi fuerit in terra sua recens cõlles siue tumbas ordine collocasse, pro modo magnitudinis & multitudinis earum, denuò mittit optimates, qui terram in potestatem redigant. atque hoc somnium regi duntaxat, & magnati offertur, nec in aliam personam cadit.

Si rex videre visus fuerit quosdam ingressos montes suos ligna cædere, si quidem hoc bona cum ipsius pace fit, vnum ex suis volens amittet: sin autem, per ipsius hostes interibunt.

Si videre visus fuerit inextincto montes suos igne combustos, cum vento vehemente: hostili bello populus ipsius segetis instar excinditur.

Sin absque vento, cædes minor erit. atque hoc ipsum quoque regi, vel alicui procerum duntaxat offertur. Nam si maximè vsuueniat, vt alius quispiam huiusmodi somnium habeat: tamen ad personam regis, vel optimatis alicuius interpretatio pertinet.

Quòd si passus est aliquid vel à fumo, vel ab igne: casus hoc aduersi significationem habet.

Si terram suam deminutam videre visus fuerit, potestas eius deminuitur, & in professione quisque sua detrimentum capiet.

Sin videre visus fuerit terram suam, vel domum dilatatam, maiorémque factam: tantundem & potestas, & opes ipsius augescent.

De viso cuiusdam nocturno.

CAP. 143.

QVidam ex Mammunæ proceribus per quietem huiusmodi somnium habuit. Visus sum, inquit, stare in campo spatioso & plano, qui quidem ab initio gramine denso abundabat: sed postea nudus & glaber factus est. Ad ista somniorum interpres respondens: Hoc, ait, diffidentiam & inconstantiam animi significat in eo, cui somnium oblatum fuit. Huic iudicio in ista persona res ipsa respondit.

Ἐθεάσατό τις κατ' ὄναρ ἐκ τῶν μεγιστάνων τοῦ προσδοκωμένου Μαμοῦν ὄναρ τοιόνδε. εἶδον κατ' ὄναρ ὅτι πεδίον εὐρύχωρον καὶ ὁμαλὸν περιεῖχέ με ἑστῶτα· ὅπερ τὰ πρῶτα μὲν ἦν δασὺ καὶ πολύχορτον. μετὰ δὲ ταῦτα ἐγένετο ψιλὸν καὶ μαδαρόν· καὶ ἀποκριθεὶς ὀνειροκρίτης εἶπε, τοῦτο ἀπιστίαν καὶ δυσγνωμίαν τοῦ ἰδόντος σημαίνει, καὶ καθὼς εἶπεν, οὕτως ἀπεξέβη ἐν τῷ ἰδόντι.

De terræ motu, ex Indorum, Persarum, & Aegyptiorum disciplina.

CAP. 144.

Ἐκ τῶν Περσῶν, Ἰνδῶν, καὶ Αἰγυπτίων, περὶ σεισμοῦ. ρμδ΄.

SI quis in somnis videre visus fuerit terræ motum, qui quodam in loco acciderit: edictum regis nouum portenditur, quod terrore sit impleturum & quassaturum animos incolarum.

Quòd si terræ motus vbique est, generale regis edictum erit: sin particularis, edictum quoque particulare promulgabitur.

Si videre visus fuerit domum suam tantummodo motam, à rege, vel eo qui rerum potitur, edictum in domo sua recipiet.

Si videre visus fuerit post terræ motum sequutam ruinā ianuæ, vel tignum fuisse ruptum, vel concidisse parietem, quo domus clauditur: edicto regis iracundia declaratur.

Ac ianuæ quidem ruina portendit ruinam eorum, qui propius à natura patremfamilias adtingunt.

Ruptura tignorum, ruinam hominum in domo præcipuorum.

Parietis ruina, casum ipsius patrisfamilias denotat.

Si quis videre visus fuerit solum palatium motu terræ quassatum, eius terræ motus interpretatio regis mortem spectat, vel filij regis, vel filiæ, vel coniungis, vel cognati: vel propinquis regiis acutas ægritudines portendit.

ἘΑΝ τις ἴδῃ κατ' ὄναρ ὅτι ἐν τόπῳ τινὶ ἐγεγόνει σεισμός· τοῦτο νέον διάταγμα παρὰ τοῦ βασιλέως σημαίνει, θροοῦν καὶ σείων τοὺς κατοικοῦντας.

Καὶ ἐὰν ᾖ ὁ σεισμὸς πανταχοῦ, καθολικὸν ἔσται τὸ διάταγμα· εἰ δὲ μερικὸς ὁ σεισμός, μερικὸν καὶ τὸ διάταγμα.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐσείσθη ὁ οἶκος αὐτοῦ καὶ μόνος, ἀπὸ βασιλεύοντος ἢ κυριεύοντος, διάταξις ἐν τῷ οἴκῳ αὐτοῦ ἔσται.

Ἐὰν ἴδῃ ὅτι μετὰ τὸν σεισμὸν ἐγένετο πτῶσις θύρας ἢ κλάσις ξύλου, ἢ τοίχου σύμπτωσις τοῦ κατακλείοντος τὸν οἶκον· ἡ διάταξις τοῦ βασιλέως θυμὸν σημαίνει.

Καὶ ἡ μὲν τῆς θύρας πτῶσις, τῶν γνησιωτέρων τοῦ οἴκου δεσπότου πτῶσιν ἐμφαίνει.

Ἡ δὲ τῶν ξύλων κλάσις, τοὺς κυρίους τοῦ οἴκου ἄνδρας.

Ἡ δὲ τοῦ τοίχου, τὸν τοῦ οἴκου δεσπότην σημαίνει.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐσείσθη τὸ παλάτιον καὶ μόνον, ὁ σεισμὸς εἰς πρόσωπον βασιλέως θανάτου κρίνεται, ἢ υἱοῦ, ἢ θυγατρὸς ἢ γυναικός, ἢ συγγενοῦς· ἢ ὀξεῖα νοσήματα θανάτου ἐν τοῖς πλησίον.

Αὐτὸς δὲ ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι ἐσείσθη ἡ πόλις αὐτοῦ ἢ ἡ γῆ αὐτοῦ ἢ τὸ παλάτιον αὐτοῦ· τοῦτο οὐκ εἰς θάνατον τῶν εἰρημένων κρίνεται· ἀλλὰ πόλεμον ἐθνῶν καὶ φόβον ἢ ἐπιβουλὴν κατ᾽ αὐτοῦ καὶ φανέρωσιν ἐχθρῶν αὐτοῦ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐν σεισμῷ ἐπτώθη τὸ παλάτιον ἢ ὁ θρόνος αὐτοῦ, ταχέως ἀποθνήσκει.

Εἰ δὲ οὐκ ἐγένετο πτῶσις ὡς εἴρηται· φήμη φόβου ἐχθροῦ ἔσται.

Εἰ δ᾽ ἐγένετο πτῶσις μερικὴ εἰς ἓν τῶν ἀποκρύφων τοῦ παλατίου οἰκημάτων, οὐχὶ δὲ ἔνθα ὁ θρόνος αὐτοῦ καὶ τὰ βασίλεια· ἡ πτῶσις εἰς ἄνθρωπον οἰκεῖον αὐτοῦ ἥξει ἀπὸ φόβου ἐχθροῦ.

Εἰ δὲ ἴδῃ τις ὅτι ἀπὸ σεισμοῦ κατεποντίσθη τις τόπος, καὶ ἔστιν ὁ τόπος ὁμαλὸς πολὺ ἢ ὄρος· εἰς ἀγαθοὺς ἀνθρώπους κίνδυνος ἔσται παρὰ τοῦ βασιλέως. τὸ γὰρ ὁμαλὸν οὕτως κρίνεται. τὸ δὲ ὄρος ἐφ᾽ ὑψηλὸν ἄνδρα πλούσιον ἀναλόγως τοῦ ὄρους.

Ἐὰν ἴδῃ τις ὅτι ἀπὸ σεισμοῦ κατεποντίσθη πόλις· εἰ μὲν ἔσται γνώριμος, ἔσται τὸ πάθος καὶ ἡ ἀπώλεια αὐτῆς διὰ λιμοῦ, ἢ διὰ βουβῶνος, ἢ δι᾽ ὀργῆς βασιλέως.

Εἰ δὲ ἐστὶν ἀγνώριστος, εἰς ἔθνος ἐχθρῶν τοῦ βασιλέως ἡ ἀπώλεια.

Si rex ipse videre visus fuerit quassatam terræ motu ipsius vrbem, aut regionem, aut palatium : hoc non ad eorum, quos diximus, obitum refertur : sed ad bellum à nationibus imminens, & formidinem ipsius, vel ad insidias ei structas, & inimicorum eius detectionem.

Si regi per quietem oblatum fuerit, quasi terræ motu corruerit ipsius palatium, vel thronus: breui morietur.

Si ruina, ceu dictum est, nulla in terræ motu acciderit : fama terroris hostilis erit.

Si de palatij secretis ædificiis vnum corruerit, in quo tamen nec thronus, nec ædes regia sit: ad hominem regi familiarem ruina spectabit, ex hostili metu.

Si quis videre visus fuerit locum quendam terrę motu demersum, qui locus aut valde planus sit, aut montuosus: bonis viris à rege periculum impendet. Nam planicies eam significationem habet. Mons autem, virum eminentem ac opulentum denotat, prout ipse mons altus fuerit.

Si cui somnium fuerit oblatum, quasi terræ motu ciuitas demersa sit: si quidem nota est, calamitas ei cum interitu per famem imminet, aut cędem, aut iram regis.

Sin est ignota, peribit infesta regi natio.

Ἐκ τῶν Ἰνδῶν, περὶ κτισμάτων. ρμε΄.

De ædificiis, ex Indorum disciplina. CAP. 145.

ἘΑΝ τις ἴδῃ ὅτι εἰσῆλθεν εἰς οἶκον ἀγνώριστον καὶ τόπον καὶ χοῦν καὶ οἰκήτορας ἀγνωρίστους μὲν ἢ γνωρίμους, προτελευτήσαντας δέ· νοείτω ὅτι ὁ οἶκος ἐκεῖνος, ὁ ἄλλος κόσμος ἐστί, καὶ κρίνεται ὁ ἰδὼν, ταχὺ τελευτᾶν.

Εἰ δὲ ἴδῃ ὅτι αὐθήμερον εἰσῆλθε καὶ ἐξῆλθε καὶ εἶδεν· ὁ ἰδὼν εἰς μετάνοιαν ἥξει καὶ μέριμναν τῶν ἐκεῖθεν μονῶν καὶ σωθήσεται.

SI quis visus sibi fuerit ingressus domum ignotam, ibíque vidisse locum, terram, incolas ignotos : aut notos quidem illos, sed antè defunctos: sciat domũ illam de altero mundo intelligi, atque hominem, cui somnium hoc obuenerit, citò vitam finiturum.

Si visus sibi fuerit eodem die tum ingressus, tum egressus : resipiscet, déque mansionibus alterius vitæ sollicitus erit, & salutem adipiscetur.

Sin & domus, & ædificium, & locus, & humus, nota sunt: gaudium mundanum, & moles opum, pro conditionis ipsorum ædificiorum ratione, portenditur.

Quòd si ædificium factum est ex argilla, materie latericia, & tignis: qui somnium habuit, & opes, & lætitiam absque peccato consequetur.

Sin ex marmore, vel saxis: longa vita fruetur, & erunt ipsius opes inexpugnabiles.

Sin ex latere sumptuoso constat ædificium, etiam hic lætitiam gloriámque reperiet: at cum labore, propter materiam igne coctam.

Interrogatio de somnio.

CAP. 146.

MVlier quædam Sereimum somniorum interpretem hoc modo consuluit. Videre visa sum, inquit, ex postibus valuarum domus meæ illam, quæ superior est, in inferiorem delapsam: ianuarúmque duarum vnam intrò, exteriùs alteram cecidisse. Tum ille vicissim mulierem interrogare, maritúmne ac liberos haberet. Illa se habere fessa, sed adiiciente, maritum abesse peregrè cum filio, filiam secum degere: Sereimus in hâc sententiam respondit, Quoniam exterius vna ianua cecidit, altera intro: maritus tuus tum ea de postibus, quę superior est, cum filio scilicet, ac filij sponsa, breui ad te reuertetur: ídque propterea, quod intro ruina facta sit. Filia verò tua viro copulabitur, & peregrè discedet. Vti Sereimus interpretatus fuerat, ita res euenit.

De migrationibus, Indorum rationes. CAP. 147.

SI quis visus sibi fuerit ex ædibus suis in alteras migrasse, si quidem alteræ pulchriores sunt, maiorem ad gloriam atque lætitiam perueniet.

Εἰ δέ ἐστιν ὁ οἶκος καὶ τὸ κτίσμα καὶ ὁ τόπος καὶ ὁ χοῦς γνώρισμα· κοσμικὴν χαρὰν καὶ πλοῦτον οἴκου σημαίνει, ἀναλόγως τῆς καταστάσεως καὶ τῆς τέχνης τῶν κτισμάτων.

Καὶ εἰ μὲν ἐστὶ τὸ κτίσμα ἀπὸ πηλοῦ, πλίθου καὶ ξύλου· εὑρήσει τὸν πλοῦτον καὶ τὴν χαρὰν ἀναμαρτήτως.

Εἰ δ᾽ ἀπὸ μαρμάρου ἢ λίθου· ὁ ἰδὼν ἔσται πολύζωος καὶ ὁ πλοῦτος αὐτοῦ ἀκαταμάχητος.

Εἰ δὲ τὸ κτίσμα ἀπὸ βησάλου* ἐξχωρήγως, εὑρήσει καὶ οὗτος χαρὰν καὶ δόξαν· ἀλλὰ μετὰ κόπου, διὰ τὴν ἐκ τοῦ πυρὸς τῶν ὑλῶν ὄπτησιν.

Περὶ ὁράματος ἐρώτησις. ρμϛʹ.

ΕΡώτησέ τις γυνὴ τὸν ὀνειροκρίτην Σηρείμ. εἶδον κατ᾽ ὄναρ ὅτι ἡ ἄνω φλιὰ τῆς οἰκίας μου, τῇ κάτω φλιᾷ προσέπεσε· καὶ τῶν δύο θυρῶν ἡ μὲν ἔσω ἡ δὲ ἔξω ἔπεσε. καὶ ἀντηρώτησε τῇ γυναικὶ ὁ Σηρείμ· ἔχεις ἄνδρα καὶ τέκνα, ἡ δὲ ἔφησεν, ἔχω. ἐν τῇ ξένῃ δέ ἐστιν ὁ ἀνήρ μου μετὰ τοῦ υἱοῦ μου, ἡ δὲ θυγάτηρ μου παρ᾽ ἐμοί· καὶ ἀπεκρίθη ὁ Σηρείμ· ταχὺ ἥξει πρὸς σε. διότι πρὸς τὰ ἔξω ἡ μία θύρα ἔπεσε· καὶ ὁ ἀνὴρ μετὰ τὴν ἄνω φλιὰν μετὰ τοῦ υἱοῦ καὶ τῆς νύμφης αὐτοῦ. διὰ τὴν πρὸς τὰ ἔνδον πτῶσιν, ἡ δὲ θυγάτηρ σου ἑτέρῳ προσκολληθήσεται ἀνδρὶ καὶ ἀποδημήσει. καὶ καθὼς ἑρμήνευσεν ὁ Σηρείμ, οὕτως ἀπέβη.

Ἰνδῶν περὶ μετοικισμάτων. ρμζʹ.

ΕΆΝ τις ἴδῃ ὅτι μετῴκει τῶν οἰκημάτων αὐτοῦ εἰς ἕτερον, εἰ μὲν εἰσὶ τὰ ἕτερα καλλίονα εἰς δόξαν καὶ χαρὰν ἥξει μείζονα.

Εἰ δὲ εἶχε θλίψιν καὶ νόσον, εἰς χαρὰν καὶ ὑγείαν.

Εἰ δὲ εἰς χείρονα ἦλθε καὶ στενώτερα, ἀπὸ χαρᾶς εἰς θλίψιν καὶ ἔνδειαν καὶ στένωσιν ἥξει.

Εἰ δὲ ἴδῃ τις ὅτι μετοικεῖ, ἀγνοεῖ δὲ ποῦ ἀπάγει· τοῦτο κρίνεται εἰς θάνατον αὐτοῦ καὶ μετοικεσίαν πρὸς τὸν ἄλλον κόσμον.

Ἐὰν ἴδῃ τις ὅτι τὰ οἰκήματα αὐτοῦ ἐπλατύνθη καὶ ἐμεγαλύνθη καὶ πλέον ἐφωτίσθη· εἰ μὲν ἐστι βασιλεὺς, εὑρήσει χαρὰν καὶ ἐπικράτειαν γῆς πλείονος.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἕκαστος αὐξήσει ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

Ἐὰν ἴδῃ ὅτι συνέπεσε τοῖχος ἐκ τῶν οἰκημάτων ἢ ἡλιακὸς ἢ ἁψὶς ἢ ἐκλάσθη ξύλον ἢ ἐξυλώθη θύρα ἢ ἐκαύθη· ταῦτα πάντα κρίνεται εἰς πτῶσιν τοῦ οἰκοδεσπότου ἢ τῶν συγγενῶν αὐτοῦ.

Καὶ ἡ μὲν πτῶσις τῶν ξύλων, εἰς τοὺς ἄνδρας· ἡ δὲ τῶν θυρῶν καὶ τοίχων, εἰς τὰς γυναῖκας διακρίνεται.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ κτισμάτων. ρμη.

ΕΑΝ τις ἴδῃ ὅτι εἰσῆλθεν εἰς οἶκον ξένον ἀγνώριστον, κτίσμα ἔνδοξον ἔχοντα· εἰ μὲν ἐστι βασιλεὺς χαρὰν εὑρήσει θαυμαζόμενος ὅσον τὸ θαῦμα τῶν κτισμάτων.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἴδῃ ὅτι ἀπεκληρώθη αὐτῷ τὰ κτίσματα, εὑρήσει πλοῦτον καὶ γυναῖκα καλλίστην, ἀναλόγως τοῦ κάλλους τῶν κτισμάτων.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι εἰς νέαν πόλιν ἣν οὐδέποτε εἶδεν εἰσῆλθεν, καὶ εἶδε τὰ κτίσματα αὐτῆς ἔνδοξα, ἐν οἷς καὶ ἠρέσθη καὶ ὅτι ὑπὸ χεῖρα αὐτοῦ ἦν· εὑρήσει χαρὰν μεγάλην ἐν ἑαυτῷ καὶ χρήσεται μετὰ τῆς καλλίστης τῶν γυναικῶν.

Quòd si ærumna quadam & morbo vexabitur, ea cum gaudio bonáque valetudine commutabuntur.

Sin venit in ædes deteriores & arctiores, ex gaudio in adflictionem, & egestatem, & angustiam incidet.

Si migrare visus sibi fuerit, & ignorare tamen, quo sese conferat: hoc ad mortem eius, & migrationem ad alterum mundum refertur.

Si videre quis visus fuerit ædificia sua dilatata maioráque facta, cum luminis ampliore copia: si rex est, lætitiam inueniet & regione largiore potietur.

Si plebeius, quisque profectum in studio professionéque sua experietur.

Si videre visus fuerit collapsum ædificij parietem, vel solarium, vel fornicem, aut tignum fractum, aut clauis nudatam ianuam, aut combustam: hæc omnia de ruina patrisfamilias, aut cognatorum eius accipiuntur.

Itidem ruina tignorum, ad viros: ianuarum & parietum, ad mulieres refertur.

De ædificiis, ex Persarum & Aegyptiorum disciplina.

CAP. 148.

SI quis visus sibi fuerit ingressus domũ peregrinam, ignotam, in qua vir illustris sit: si rex est, gaudium inueniet, ac tantum admirationis merebitur, quantum ipsa merentur ædificia.

Si plebeius quispiam somnium habuerit, quasi ædificia quædam ei sortè obuenerint: & opes, & vxorem formosissimam inueniet, pro ratione pulchritudinis ipsorum ædificiorum.

Si visus sibi fuerit rex ingressus vrbem nouam, quam antea nunquam viderit, & in ea conspexisse magnifica & speciosa ædificia, quæ ipsi perplacuerint, vrbem denique ipsius in potestate fuisse: magnum consequetur gaudium, & cum mulierum venustissima voluptatem capiet.

Sin minimè visa fuerit vrbs ipsius regno & imperio subiecta esse, quadam ex natione gaudium percipiet: sed cum muliere peregrina semet oblectabit, idque propterea, quod vrbs peregrina sit.

Si rex visus sibi fuerit imperasse, noua vti struatur ad habitationem ipsius regia: si quidem ædificium regiæ fuit absolutum, sobolem masculum, quæ ipsi succedet, procreabit.

Si iactura regiæ fundamenta videre visus fuerit, ea res ad Augustæ conceptionem pertinet.

Si videre visus fuerit collapsum palatij parietem, Augustæ moritur.

Si quis visus sibi fuerit reliquisse domum suam, vt alias in ædes migraret: si quidem illę posteriores fuerint pulchriores, votum animi sui perficiet: sin deteriores, contrarium accidet.

Si rex visus sibi fuerit imperasse, vt sacrorum templorum columnæ altius ducerentur, statímque factum, vt altiores essent: regni sui proceres honoribus euehet.

Si pro vetustis nouas substituisse columnas visus sibi fuerit, homines quosdam nouos in loca magnatum veterum extollet.

Si rex visus sibi fuerit imperasse, vt ædes sacra sublimius adtolleretur, & ornaretur: ea res ipsius regno lætitiam sublimem & ornamentum portendit.

Similiter si alij quoque per quietem oblatum fuerit, quasi templum altius adtolleretur, & exornaretur: regis ad personam, ceu dictum est, interpretatio pertinet.

Si quis videre visus fuerit, princeps alicuius loci templum collapsum, vel inflammatum: personæ regis ex morte calamitas imminet.

Si tale quid inferiori templo acciderit, & visum regi fuerit oblatum, aut alij: regis afflictionem portendit.

Nam omnia templa regis ad personã, vel eius, qui rerum in eo loco potitur, interpretando referimus.

Ornatus etiam, ruináque templorum, ad eundem spectat.

Εἰ δὲ ἴδῃ ὅτι ἡ πόλις οὐκ ἦν ὑπὸ τὴν βασιλείαν ἢ τῆς χειρὸς αὐτοῦ εὑρήσει χαρὰν ἀπὸ ἔθνους· ἀλλὰ καὶ μετὰ γυναικὸς ἀλλοτρίας συγχρήσεται, διὰ τὸ ξενίζειν τὴν πόλιν.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι διετάξατο κτισθῆναι νέαν βασίλειαν πρὸς κατοικίαν αὐτοῦ· εἰ μὲν ἐτελειώθησαν, τέκνον ἄρσεν γεννήσει κληρονόμον αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι τεθεμελίωται τὰ βασίλεια, εἰς ἐγκυμόνησιν τῆς Αὐγούστης τοῦτο κρίνεται.

Ἐὰν ἴδῃ ὅτι ἔπεσε τοῖχος παλατίου, ἡ Αὐγοῦστα τελευτᾷ.

Ἐὰν ἴδῃ τις ὅτι ἐπιβάλλετο ἕνα οἶκον αὐτοῦ πρὸς μετοικησίας ἑτέρων οἰκιῶν· εἰ μὲν εἰσὶν αἱ οἰκίαι καλλίους, ἕκαστος ἐν οἷς βούλεται καὶ ὁρμᾷ, καλλίων ἀνύσει· εἰ δὲ χείροις τοὐναντίον.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι διετάξατο τοὺς κίονας τῶν θείων ναῶν ὑψωθῆναι καὶ ὑψώθησαν, τοὺς μεγίστους τῆς βασιλείας αὐτοῦ ἐν τιμῇ ὑψώσει.

Ἐὰν δὲ ἴδῃ ὅτι νέους κίονας ἀντὶ τῶν παλαιῶν, * μεγιστάνων ὑψώσει.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ναὸν ἱερὸν διετάξατο ὑψωθῆναι καὶ κοσμηθῆναι· εἰς τὴν βασιλείαν αὐτοῦ χαρᾶς ὕψος καὶ κόσμον σημαίνει.

Ὁμοίως ἐὰν ἴδῃ ἄλλος ὅτι ναὸς ὑψοῦται καὶ κοσμεῖται, εἰς πρόσωπον τοῦ βασιλέως ὡς εἴρηται ἡ κρίσις.

Ἐὰν ἴδῃ τις ὅτι ὁ πρωτεύων ναὸς τοῦ τόπου ἔπεσεν ἢ ἐνεπρήσθη, ἔσται τὸ πάθος διὰ θανάτου εἰς πρόσωπον τοῦ βασιλέως.

Εἰ δὲ τῶν κατωτέρων ναῶν τοῦτο ἔπαθεν καὶ ἴδῃ τοῦτο ὁ βασιλεὺς ἢ ἕτερός τις, εἰς θλίψιν ἀποβήσεται τοῦ βασιλέως.

Οἱ γὰρ ναοὶ πάντες εἰς πρόσωπον τοῦ βασιλέως, ἢ τοῦ κατὰ τόπον κυριεύοντος κρίνονται.

Καὶ ὁ καλλωπισμὸς καὶ ἡ πτῶσις, εἰς τούτους διακρίνεται.

Περὶ ἱερέων κρίσεως. ρμθ'.

ΕΑΝ τις ἴδῃ κατ' ὄναρ ὅτι εἰσῆλθεν ἱερεὺς ἐστολισμένος ἐν τόπῳ οὗ οὐκ ἦν τύπος εἰσέρχεσθαι αὐτόν· εἰς τοὺς κατοικοῦντας ἐν τῷ τόπῳ, φόβοις καὶ θλίψις ἀπὸ ἐξουσιαστοῦ κρίνεται.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι ἐξουσιαστὴς εἰσῆλθεν ἐν τόπῳ τινὶ παρὰ τύπον· εἰς φόβον καὶ θλίψιν τῶν οἰκητόρων κρίνεται, ἀλλὰ ἐλάττονα.

Ἐὰν ἴδῃ τις ὅτι εἰσῆλθεν ὁ ἱερεὺς καὶ ὕπνωσεν εἰς τὴν στρωμνὴν αὐτοῦ, συμφιλιάσει τῷ ἱερεῖ ἐκείνῳ, καὶ ὁ ἱερεὺς ἀναβήσεται δολευόμενος τῇ γυναικὶ ἐκείνου ἰδόντος. ἀλλὰ καὶ κληρονομήσει αὐτόν.

Ἐὰν ἴδῃ τις ὅτι ἱερεὺς ἀπέθανεν, εἰς ἀπώλειαν τῆς πίστεως τοῦ ἱερέως ἡ κρίσις ἐστίν.

Ἐὰν ἴδῃ τὸν ἱερέα ὅτι νοσεῖ νόσον τῆς πίστεως αὐτοῦ, κρίνεται, καὶ φανέρωσιν καὶ μακροζωΐαν καὶ ὑγίειαν.

Ἐὰν ἴδῃ τις ὅτι ἡ κεφαλὴ τοῦ ἱερέως ἐγένετο μείζων, ἡ ἐξουσία αὐτοῦ μείζων ἔσται, κατὰ τῶν οἰκητόρων.

Εἰ δὲ τὸ πρόσωπον ἐγένετο μεῖζον τοῦ ἱερέως εἰς τοὺς λόγους τοῦ ἱερέως, δύναμιν καὶ φόβον κρινέτω.

Εἰ δὲ ἐν τῷ τραχήλῳ αὐτοῦ πάχος καὶ ἰσχὺν ἴδῃ, ἔσται δυνατὸς εἰς τὰς θυσίας αὐτοῦ.

Εἰ δὲ εἰς τὰς χεῖρας αὐτοῦ, μῆκος καὶ ἰσχύν, εὑρήσει ὁ ἱερεὺς καὶ δούλους δυνατοὺς βοηθούς.

Εἰ δὲ ἴδῃ ὅτι ὁ ἱερεὺς μεγίστην κοιλίαν ἐκτήσατο, εὑρήσει ἐκεῖνος ὁ ἱερεὺς φαμιλίαν καὶ πλοῦτον πολὺν καὶ συνέλευσιν συγγενῶν αὐτοῦ.

Εἰ δὲ οἱ πόδες αὐτοῦ, ἐπαχύνθησαν καὶ ἐστερεώθησαν, καὶ οὕτω εὑρήσει χρυσίον καὶ φίλοις βοηθοῖς καὶ δούλοις.

De visis per quietem sacerdotibus. CAP. 149.

SI quis in somnis videre visus fuerit, sacerdotem ornatum habitu suo quẽdam in locum venisse, quo loco mos nullus erat, sacerdos vt ingrederetur; id somnium de incolarum eius loci metu & adflictione, à principe profecta, intelligitur.

Consimiliter si princeps visus sibi fuerit prętcr morem in locum quendam venisse: hoc ad formidinem & adflictionem incolarum refertur, minorem tamen.

Si quis videre visus fuerit ingressum ad se sacerdotem, qui suo in lectulo cubuerit: is amicitiam cum illo sacerdote contrahet, ac per fraudem sacerdos vxorem eius, qui somnium habuit, inibit. quinetiam hæres ipsius erit.

Si quis videre visus sibi fuerit sacerdotem quẽdam mortuum, hoc ipso portenditur, sacerdotem illum fidem suam amissurum.

Si sacerdotem ægrotantem videre sibi videatur, morbum fidei sacerdotis intelligat, eiúsque patefactionem, & vitam longam, & sanitatem.

Si quis videre visus fuerit caput sacerdotis maius factum, potestas eius in incolas maior euadet.

Sin facies sacerdotis maior fieri visa fuit, in rationibus & fortunis sacerdotis potestas atque terror intelligatur.

Si ceruicem eius crassam robustámque factam videre videatur, in sacrificiis suis potens erit.

Si manus longas & robustas nanctus sit, etiam seruos adiutores, eósque valentes sacerdos consequetur.

Si videre visus fuerit sacerdotem nanctum ventrem amplissimum, is sacerdos familiam & opes magnas inueniet, & cognatorum suorum congregationem.

Si pedes eius crassiores facti fuerint, aut solidiores & firmiores: etiam hoc modo consequetur aurum, & amicos auxiliatores, & seruos.

Sin his contraria videre visus fuerit, similiter in deterius res cessuras intelligat.

[Si quis viderit sacerdotem sacerdotium suum deserentem, sacerdos ille peccabit, & pænitentiam aget.]

Si videre visus fuerit sacerdotem, qui cum plebeis versetur: sacerdos ille coram Deo se quidem humiliabit, sed nihilominus in fide sua firmus erit.

Si quis videre visus fuerit sacerdotem caliginoso quodam in loco ambulātem, sic somnium intelligat, vt illum in obscuris latebris aduersus Deum peccare statuat.

Sin ambulauerit in pleno luminis & virente loco, Deo sacerdos in luce placet, ac rectè se gerit.

Si quis visus sibi fuerit, quum laicus esset, in sacerdotem electus: si regius est, honorem à rege maximum & principem consequetur.

Si plebeius, aut pauper, amplissimum virum comitabitur, & apud eum tum honorem, tum gratiam inueniet.

Si quis visus sibi fuerit, quum laicus esset, electus in diaconum: etiam hic gratiam & honorem inueniet, honore tamen sacerdotis inferiorem.

Si quis visus sibi fuerit electus, sed electionem repudiasse. potestatem & gratiam inueniet, quam citò perdet, ac periclitabitur.

Si sacerdos visus sibi fuerit amisisse stolam sacerdotalem, ab alio per fraudem circumuenietur.

Quòd si visus sibi fuerit eam rursus inuenisse, non sine magna coactione supplicióque corrigetur.

Εἰ δὲ ταῦτα ἴδῃ ἀπεναντίας, ὁμοίως ἐπὶ τὸ χεῖρον νοείτω τὰ πράγματα.

Ἐὰν ἴδῃ τις τὸν ἱερέα λειπούντα τὴν ἱερωσύνην αὐτοῦ· ὁ ἱερεὺς ἁμαρτίαν πράξει, καὶ μετανοήσει ἐπ' αὐτῇ.

Ἐὰν ἴδῃ τις ὅτι ὁ ἱερεὺς μετὰ τοῦ κοινοῦ λαοῦ ἐγένετο, ταπεινώσει ἑαυτὸν ὁ ἱερεὺς πρὸς τὸν θεὸν, εἰς δὲ τὴν πίστιν αὐτοῦ δυνατὸς ἔσται.

Ἐὰν ἴδῃ τις ὅτι περιπατεῖ ὁ ἱερεὺς ἐν τόπῳ σκοτεινῷ, νοείτω ὅτι ἐν σκοτεινοῖς ἁμαρτάνει πρὸς τὸν θεόν.

Εἰ δὲ περιπατεῖ ἐν τόπῳ φωτεινῷ χλοάζοντι, ἐν φωτὶ εὐαρεστεῖ τῷ θεῷ καὶ ἀγαθοεργεῖ.

Ἐὰν ἴδῃ τις ὅτι λαϊκὸς ὢν ἐχειροτονήθη ἱερεύς· εἰ μὲν ἐστὶ βασιλικὸς μεγίστην καὶ πρώτην εὑρήσει παρ' αὐτοῦ βασιλέως τιμήν.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἢ πτωχὸς, μεγίστῳ ἀκολουθήσει καὶ τιμὴν, καὶ χάριν εὑρήσει παρ' αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι λαϊκὸς ὢν ἐχειροτονήθη διάκονος· καὶ οὗτος εὑρήσει χάριν καὶ τιμὴν ἐλάττονα τῆς τοῦ ἱερέως.

Ἐὰν ἴδῃ τις ὅτι χειροτονηθεὶς ἀπέλιπε τὴν χειροτονίαν· ἐξουσίαν καὶ χάριν εὑρήσει, καὶ ταχὺ αὐτὴν ἀπολέσας κινδυνεύσει.

Ἐὰν ἴδῃ ὁ ἱερεὺς ὅτι ἀπώλεσε τὴν ἱερατικὴν στολὴν, ὑπ' ἄλλου δολιευθήσεται.

Καὶ ἐὰν ἴδῃ ὅτι εὗρεν αὐτὴν, διορθωθήσεται μετὰ βίας μεγάλης καὶ κολάσεως.

De sacris imaginibus, ex Indorum disciplina.

CAP. 150.

SI quis in somnis videre visus fuerit cōspectum sibi dominum Deúmque nostrum Iesum Christum; (tale verò visum

Ἐκ τῶν Ἰνδῶν περὶ τῶν ἁγίων εἰκόνων. ρν'.

ἘΑΝ τις ἴδῃ κατ' ὄναρ ὅτι ἐφάνη αὐτῷ ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, τοῦτο

μόνον οἱ καθαροὶ καὶ ἅγιοι ἢ βασιλεῖς πιστότατοι ὁρῶσιν ὡς ἐπὶ τὸ πλεῖστον, ἢ καθ' ὑπερβολὴν ἁμαρτωλὸς πρὸς τὸ ἐπιστρέψαι αὐτόν, καὶ ἐὰν συνωμίλησεν αὐτῷ, ἀπαραλλάκτως κρατείτω τὴν ὁμιλίαν, ὁποία ἂν εἴη.

Εἰ δ' οὐχ ὡμίλησεν αὐτῷ, εἰ μὲν ἐστὶ βασιλεύς, εὑρήσει χαρὰν καὶ νίκας καθολικὰς κατ' ἐχθρῶν.

Εἰ δὲ καθαρός, καὶ ἅγιος, καὶ εὐλαβής· στερέωμα, καὶ δόξα, αὔξησις τῆς κατὰ θεὸν προκοπῆς καὶ χαρᾶς αὐτοῦ ἔσται.

Εἰ δὲ ὁ ἰδὼν καθ' ὑπερβολὴν ἁμαρτωλός· ἐπιστραφήσεται καὶ ἐν μετουσίᾳ ἀποθανεῖται.

Ὁμοίως γὰρ μαρτυρεῖ τῷ λόγῳ καὶ βασιλεύς ἐὰν ἔχῃ ἄνθρωπον ἐν κινδύνῳ καὶ ὀργῇ, καὶ προσκαλέσηται καὶ ἴδῃ αὐτόν· συγχωρεῖ ὅσα ἥμαρτεν αὐτῷ.

Διὰ τοῦτο καὶ ὁ εἰρημένος αὐτὸς ἁμαρτωλὸς τῇ θεωρίᾳ τοῦ κυρίου σωθήσεται.

Ὁμοίως καὶ ἐκ τῶν ἀποστόλων, καὶ προφητῶν, καὶ ἁγίων, ἐὰν ἴδῃ τις τὸν εἰρημένον ὁμιλοῦντα αὐτόν· εἰ μὲν ἐστὶ βασιλεύς, κρατείτω τὴν ὁμιλίαν ἀναμφιβόλως.

Εἰ δὲ οὐχ ἐλάλησεν αὐτόν, μόνον δὲ εἶδεν· εὑρήσει χαρὰν ἐλάττονα τῆς τοῦ κυρίου ὀπτασίας.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει καὶ εἰς τὴν πίστιν αὐτοῦ ἕκαστος καὶ εἰς τὸ ἔργον αὐτοῦ προκοπήν· διὰ τοῦτο καὶ εἰκονίζομεν αὐτούς.

Ἐάν τις ἴδῃ εἰκόνα τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἐσταυρωμένου ὅτι προσεκύνησεν, ἢ ἠσπάσατο, ἢ ἐδεήθη αὐτοῖς· εἰ μὲν ἐστὶ βασιλεύς, καὶ αὐτὸς εὑρήσει νίκας ἐχθρῶν, καὶ χαρὰν ἐν τῇ δόξῃ αὐτοῦ, διότι καὶ ὁ σταυρὸς μετὰ τοῦ σταυρωθέντος ἐν αὐτῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, νίκας μεγίστας σημαίνει καὶ πάσης θλίψεως μεταβολήν.

Καὶ ἐὰν ἴδῃ εἰκόνα μόνην τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἄνευ τοῦ σταυροῦ, ἐστὶν ἡ χαρὰ ἐλαττοτέρα, ὁμοίως καὶ ἡ νίκη.

puris duntaxat hominibus, & sanctis, aut fidelissimis plerumque regibus offertur, aut homini supra modum facinoroso, quo conuertatur) eumque secum colloquutum: indiscriminatim eius colloquij verba teneat, quęcunque tandem fuerint.

Si cum eo nihil est colloquutus, si rex est, & lætitia, & vniuersalibus aduersus hostes victoriis potietur.

Si purus quispiam, & sanctus, & religiosus: stabilitas, & gloria, & incrementum profectus ac lætitiæ diuinis in rebus ei portenditur.

Sin is, qui somnium habuit, supra modum peccatis obnoxius est: conuertetur, & resipiscendo vitam finiet.

Hanc rationem rex quoque testimonio suo comprobat, à cuius ira si homini periculũ immineat, ac visus per quietem rex fuerit illum arcessere, atque intueri: delicta ei, quæcunque commisit, omnia condonat.

Nimirum peccator ille, de quo diximus per aspectum domini salutem consequetur.

Consimiliter si quis ex illis, quos nominauimus, aliquẽ Apostolum, vel Prophetam, vel sanctum videre visus fuerit secum colloquentem: si rex est, citra dubitationem colloquij verba teneat.

Si nihil est proloquutus, sed tantum adspexit: minorem ea lætitiam inueniet, quæ de intuitu domini speratur.

Si plebeius quispiam est, tam in fide sua, quam opere quisque proficiet. quamobrem & imagines eorum exprimimus.

Si quis imaginem Domini nostri Iesu Christi crucifixi visus sibi fuerit adorasse, vel complexus esse, vel obsecrasse: si rex est, & ipse victorias de hostibus reportabit, & in gloria sua lætitiam inueniet & propterea, quod crux, & adfixus ei Dominus noster Iesus Christus, maximas victorias, & omnis ærumnæ mutationem portendat.

Quòd si solam imaginem Domini nostri Iesu Christi, absque cruce, videre visus sibi fuerit: gaudium minus significatur, itidémque minor victoria.

Si quis plebeius huiusmodi somnium habuerit, lætitiam minorem inueniet, quam votis exoptabat.

Si quis imagines Apostolorum, vel Prophetarum, vel sanctorum, videre visus sibi fuerit: si rex est, amplissimę victoriæ nuntium accipiet, quæ tamen victoriæ famæ non respondebit. Non enim ipsos, sed imaginem vidit. propterea minor erit victoria.

Si plebeius est, in operibus suis gratiam & profectum inueniet.

Si quis videre visus fuerit columnas secum colloquutas, & verborum colloquij meminerit: ea quoquo finem & effectum plerumque sortiuntur.

Si regi visum hoc oblatum fuerit, aduersus hostes gaudio victoriáque potietur tanta cum admiratione quãtum prodigij putatur esse, columnam cum aliquo colloqui.

Si plebeio, consimiliter is, qui somnium habuit, cum admiratione ac prodigiosè ditescet.

Quascunque per quietem columnas homo videre visus fuerit, vel inauratas, vel non inauratas: in iis, quæ auro carent, prosperior euentus significatur.

Nam auratæ sæpius afflictionem portendunt, propter aurum.

Si quis imperasse visus sibi fuerit, vt imagines sanctorum conficerentur: si rex est, facinus & modum aliquem adgrediundi hostes instituet: ac si quidem imaginum forma voto responderit accuratè, conatus etiam hominis prosperè cadent: sin autem, pro ratione factæ imaginis euentus quoque similis sequetur.

Itidem quisque plebeius in opere suo talem experietur exitum, qualis in imaginum confectione successus fuerit.

De arboribus & plantis, ex Persarum, Indorum, & Aegyptiorum disciplina.

CAP. 151.

MVltiplex & varia natura est arboreorum fructuum.

Folia quidem arborum ad hominum adfectionem referuntur.

Εἰ δὲ ἴδῃ τις τοῦτο τοῦ κοινοῦ λαοῦ, εὑρήσει χαρὰν ἐλαττοτέραν τῆς δεήσεως αὐτοῦ.

Ἐὰν ἴδῃ τις εἰκόνα ἀποστόλων, ἢ προφητῶν, ἢ ἁγίων· εἰ μὲν ἐστὶ βασιλεύς, μήνυμα νίκης μεγίστης δέξεται· καὶ ἡ νίκη μετεωτέρα ἔσται, οὐ γὰρ εἶδεν ἐκείνους αὐτούς. ἀλλὰ τὴν εἰκόνα, διὰ τοῦτο ἡ νίκη ἐλάττων ἔσται.

Εἰ δὲ ἐστὶ τοῦ κοινοῦ λαοῦ, εὑρήσει χάριν προκοπὴν ἐν τοῖς ἔργοις αὐτοῦ.

Ἐάν τις ἴδῃ ὅτι ὡμίλησαν αὐτῷ εἰκόνες καὶ μνημονεύει τῆς ὁμιλίας, καὶ ταῦτα ὡς ἐπὶ τὸ πλεῖστον εἰς πέρας ἔρχονται.

Εἰ δὲ ἐστὶ βασιλεὺς ὁ τοῦτο ἰδών, ἐλεύσεται αὐτῷ χαρὰ καὶ νίκη κατ' ἐχθρῶν μετὰ θαύματος καθ' ὅσον τὸ θαῦμα τῆς ὁμιλίας τῆς εἰκόνος.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, καὶ οὗτος μετὰ θαύματος πλουτήσει ὁ ἰδών.

Ὅσας οὖν ἐὰν ἴδῃ ἄνθρωπος εἰκόνας κατ' ὄναρ κεχρυσωμένας ἢ ἀχρυσώτους· ἐπὶ τῶν ἀχρυσώτων μᾶλλον χαριεστέρα ἡ ἔκβασις.

Ἐπὶ γὰρ τῶν χρυσείων πολλάκις καὶ θλίψιν ὑποδηλοῦσι διὰ τὸν χρυσόν.

Ἐὰν ἴδῃ τις ὅτι διετάξατο γενέσθαι εἰκόνας ἁγίων· εἰ μὲν ἐστὶ βασιλεὺς ἐπιτήδευμα καὶ τρόπον κατ' ἐχθρῶν ἐργάσεται· καὶ ἐὰν ἐπιτύχῃ ἀκριβῶς ὁ τῶν εἰκόνων τύπος, ἐπιτεύξεται καὶ τὰ ἐπιτηδεύματα αὐτοῦ· εἰ δὲ μή, ἀναλόγως ἀποβήσεται αὐτῷ ὁμοίως.

Καὶ κοινοῦ λαοῦ ἐν ἑκάστῳ ἔργῳ αὐτοῦ ἀποβήσεται κατὰ τὴν ἐπιτυχίαν.

Ἐκ τῶν Περσῶν, Ἰνδῶν, καὶ Αἰγυπτίων, περὶ δένδρων καὶ φυτῶν. ρνα'.

ΠΟλύτροπός ἐστι καὶ πολυειδὴς ἡ τῶν δενδροκάρπων φύσις.

Τὰ γοῦν φύλλα τῶν δένδρων πρὸς τὴν διάθεσιν κρίνονται τῶν ἀνθρώπων.

Τὰ γὰρ εὐθαλῆ καὶ εὐτραφῆ, εὐθύτητα γνώμης διασημαίνουσιν.

Τὰ ἀσθενῆ καὶ δυσώδη, καὶ μεμαρασμένα, γνώμης διακρίνουσιν ἀσθενεῖς τρόπους.

Ὁμοίως οἱ καρποὶ εἰς πίστιν διακρίνονται καὶ πλοῦτον, καὶ πολλὰ τῶν δένδρων εἰς πίστεως καὶ θείας εὐχαριστίας ἀνάγονται κρίσιν.

Ὃν τρόπον τοῖς δένδροις οἱ καρποὶ, τὰ φύλλα, οἱ στέλεχοι, αἱ ῥίζαι τὴν θλίψιν* καὶ τὴν θρέψιν καὶ τὴν αὔξησιν τῆς τοῦ ὕδατος καὶ τῆς πιότητος ἔχουσι τῆς γῆς· οὕτως καὶ πάσης ἀρετῆς τελειότητα ἡ πίστις ἡ πρὸς θεὸν συντηρεῖ.

Καὶ τὸ μὲν στερρεῖν τοῦ κορμοῦ καὶ τῶν ῥιζῶν, εἰς τὴν εὐχὴν κρίνεται.

Τὰ δὲ ἐν τῷ στελέχει φύλλα, εἰς τὰ τέκνα καὶ τὰς προαιρέσεις, τῶν ἀνθρώπων.

Ἐὰν οὖν ἴδῃ τις ὅτι ποτίζει καὶ καλλιεργεῖ δένδρα, μέγιστος ἔσται καὶ τροφεὺς λαοῦ ἔσται.

Ἐὰν ἴδῃ τις δένδρα φυέντα ἐν τῇ θαλάσσῃ καὶ πέτρᾳ, ἢ ἐν ἄλλοις οἷς οὐκ ἐπιδέχεται φύτευσις δένδρων· συνήθης ἄνδρας ἐξελθεῖν πλείστους ἐν τοῖς τόποις ἐκείνοις νοείτω, ἀναλόγως τοῦ πλήθους τῶν δένδρων.

Καὶ τὰ μὲν φυέντα ἐν τῇ θαλάσσῃ ὅστις ἂν ᾖ ὁ ἰδὼν, εἰς πρόσωπον τοῦ βασιλέως κρινέτω· ἀσυνήθεις ξένους παραγινομένους πρὸς τοὺς βασιλεῖς.

Τὰ δὲ ἐν τῇ πέτρᾳ καὶ τοῖς λοιποῖς οἷς οὐκ ἔξεστι φύσις φύεσθαι δένδρα· ἀνὴρ φανεῖται ἐκεῖσε ξένος ἐξουσιάζων καὶ μὴ τελεσφορῶν.

Ἐὰν ἴδῃ τις ὅτι ἐν τῷ οἴκῳ αὐτοῦ οὐκ ἦν δένδρον, ἐφύη δένδρον· ἀνὴρ φανεῖται νεωστὶ ἐκεῖσε. καὶ εἰ μὲν ἐστὶ κάρπιμον ἐκ τῶν συγγενῶν φανεῖται οὐδὲ ἄκαρπον ἐξ ἀλλοτρείων.

Ἐὰν ἴδῃ τις ὅτι ἐφύη ἄμπελος ἐν τῷ οἴκῳ, αὕτη ἤγουν ἀναδένδρας· εἰ μὲν ἐστὶν ἄγαμος γυναῖκα λήψεται καὶ τεκνώσει ἐξ αὐτῆς τοσαῦτα τέκνα, ὅσους ἦγε·* εἶδε βότρυας ἐν τῇ ἀμπέλῳ. εἰ δὲ οὐκ, ἐλπιζέτω καὶ οὕτως.

Nam virentia plenáque folia, rectitudinem animi significant.

Imbecillia, fœtida, & marcida, debiles animi mores portendunt.

Similiter fructus fidem & opes significant, ac pleræque arbores ad fidem & diuinam gratiarum actionem referũtur.

Quemadmodum fructus, folia, stipites, radices arborum, tam nutrimentum, quàm incrementum ex aquæ terræque pinguitudine recipiunt: sic omnis quoque virtutis perfectionem fides in Deum conseruat.

Trunci de radicibus profecta firmitas, ad precationem refertur.

Folia stipitis, ad liberos, & hominum instituta.

Si quis ergo visus sibi fuerit & irrigare arbores, & excolere: vir amplissimus, & populi nutricius erit.

Si quis videre visus fuerit arbores enatas in mari, & saxo, vel aliis locis, in quibus fieri nequit vt arbores nascantur: plurimos homines peregrinos & insolitos prodire de locis illis cogitet, pro ratione multitudinis arborum.

Ac enatæ quidem in mari arbores, cuicumque per quietem oblatæ fuerint, de persona regis accipiantur: hospites nimirum insolitos ad eum venire.

In saxo, & alibi natæ, vbi natura non permittit arbores nasci: portendunt ibi virum quendam peregrinum & ignotum emersurum, qui potestatem vsurpaturus sit, nec tamen animi sui votum perfecturus.

Si quis videre visus fuerit in domo sua, vbi nulla erat arbor, enatam arborem: breui quidã istic emersurus est. ac si quidem arbor est fructifera, de cognatis existet: sin fructus expers, de peregrinis.

Si quis videre visus fuerit enatam in domo sua vitem humilem, vel arbustiuam vitem: si cœlebs est, vxorem ducet, totidémque liberos ex ea suscipiet, quot vuas in vite conspexit: si nullas vidit, tamen ita speret.

Si

Si quis visus sibi fuerit arbores plantasse, sed interim ignorare, num germinauerint: adflictionem & sollicitudinem inueniet, pro ipsarum arborum ratione.

Si rex somnium hoc habuerit, nouos magistratus instituet. ac si quidem arbores germinauerint, oblectationem ex eis capiet: sin autem, contrarium accidet.

Similiter si quis visus sibi fuerit defodisse vel seuisse ossea putamina fructuũ, qui putamina dura ferunt: sollicitudines & curas inueniet.

Si quis videre visus fuerit arborẽ *Palmæ aut cupreßi* in domo sua, (quod quidem somnium nequit in hominẽ conditionis humilis & inopem cadere, sed proceribus amplissimísque viris duntaxat competit) sciat cupressum ad reginæ personam referri, propter eius arboris elegantiam, & fragrantiam, quodque nec marcescat, nec amittat folia.

Similiter & palma de regina intelligitur, propterea quod arbor ea pulchrè floreat, dulcem fructum ferat, acutis prædita sit foliis, & ea non amittat. ideóque regina lætitiam speret, ac personarum, de quibus dictum est, aduentum.

Si regi somnium tale fuerit oblatum, de arboribus hisce per quietem in regia sua conspectis: si Augustam non habet, accipiet: sin habet, voluptatem ex ea percipiet, ac liberos procreabit, pro ratione surculorum cupressi, & proceritatis, quin & vita longa fruetur.

Consimilis respondebit euentus, conspecta per quietem palma. Nam & procreabit liberos. & oblectationem capiet, pro modo palmularum, & ramorum ipsius arboris.

Idem hoc etiam de Augusta, imperatoris matre, licet interpretari, propter ramos: & de imperatoris sorore, si ramis arbor careat.

Si quis visus sibi fuerit habere punicam arborem si fructus arboris dulcis erat, hominem locupletem inueniet, eiusque gaudiorum particeps erit.

Sin acidus, durum in hominem incidet, à quo adfligetur, pro modo & multitudine fructuum.

Ἐὰν ἴδῃ τις ὅτι ἐφύτευσε δένδρα, ἀγνοεῖ δὲ εἰ ἐφυλλώθησαν· εὑρήσει θλίψιν ϗ μερίμνας, ἀναλόγως τῶν δένδρων.

Εἰ δὲ ἴδῃ τοῦτο βασιλεὺς, νέους ἄρχοντας ἀρχὴν στήσει. ϗ εἰ μὲν ἐφύτρωσι τὰ δένδρα ἐπιχαρήσεται αὐτοῖς· εἰ δὲ μὴ, τοὐναντίον.

Ὁμοίως ἐὰν ἴδῃ τις ὅτι συνέχωσεν ἤτοι ἔσπειρεν ἐξ ὀπωρῶν ὀστοφόρων ὀστέα, ὁμοίως μερίμνας ϗ φροντίδας εὑρήσει.

Ἐὰν ἴδῃ τις ὅτι δένδρα, φοίνιξ, ἢ κυπάρισσος, ἀνεφύη ἔνδον τοῦ δώματος αὐτοῦ· ὅπερ ἀνεπίδεκτον ἐστὶ τῶν εὐτελῶν καὶ ἀπόρων ἰδέσθαι τινα ἀλλὰ μόνον τῶν μεγίστων· ἴστω ὅτι ἡ κυπάρισσος εἰς τόπον βασιλέως * κείνεται· διὰ τὸ εὐειδὲς ϗ εὐῶδες, ϗ τὸ ἀμάραντον ϗ ἀφυλλόροον.

Ὁμοίως δὲ ϗ ὁ φοίνιξ, εἰς βασιλίδα κείνεται, διὰ τὸ εὐανθὲς ϗ γλυκὺ ϗ ὀξύφυλλον καὶ ἀφυλλόροον· ϗ χαρὰν ἐλπιζέτω ϗ παρουσίαν τῶν εἰρημένων προσώπων.

Βασιλεὺς ἐὰν ἴδῃ ταῦτα εἰς τὸ βασίλειον αὐτοῦ· εἰ μὲν οὐκ ἔχει αὐγούστας, λήψεται· εἰ δὲ ἔχει, ἐπιχαρήσεται αὐτῇ, ϗ τεκνώσει ἀναλόγως τῶν στελεχῶν τῆς κυπαρίσσου ϗ τῆς ἀνατάσεως αὐτῆς, ϗ μακρόβιος ἔσται.

Ὁμοίως ϗ ἐπὶ τοῦ φοίνικος ἀποβήσεται, ϗ τεκνώσει καὶ χαρήσεται ἀναλόγως τῶν τοῦ φοίνικος βοτρύων ϗ κλάδων.

Κείνεται δὲ τοῦτο ϗ ἐπὶ τῆς αὐγούστης μητρὸς βασιλέως, διὰ τοὺς κλάδους, ϗ ἐπὶ ἀδελφῆς· ἐὰν ἴδῃ τὸ δένδρον μὴ ἔχον κλῶνας.

Ἐὰν ἴδῃ τις ὅτι ἔχει ῥοιᾶν δένδρον· εἰ μὲν ἐστὶν ὁ καρπὸς τοῦ δένδρου γλυκὺς, εὑρήσει ἄνθρωπον πλούσιον καὶ συγχαρήσεται αὐτῷ.

Εἰ δὲ ἐστὶν ὁ καρπὸς ὀξώδης, εὑρήσει ἄνθρωπον σκληρὸν, ἐξ οὗ θλιβήσεται ἀναλόγως τοῦ πλήθους τοῦ καρποῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἔχει δρῦν, καὶ ἐκαθέσθη ὑποκάτω αὐτῆς· εὑρήσει ἄνθρωπον δίγνωμον καὶ δυνατὸν, καὶ συγχρήσεται αὐτῷ μετὰ κόπου διὰ τὸ ἄβρωτον τῆς βαλάνου.

Εἰ δὲ ἴδῃ καρύαν ἐν ᾗ καθήμενος ἐπεσκιάζετο ἄνθρωπος, βρόντα φείδωλον εὑρήσει, διὰ τὸ ὀστῶδες τοῦ καρποῦ, καὶ συνεπιχρήσεται αὐτῷ.

Γυνὴ ἐὰν ἴδῃ ταῦτα πάντα, εἰ μὲν οὐκ ἔχει ἄνδρα· τοιοῦτον λήψεται, εἰ δὲ ἔχει, φιλιάσει τοιοῦτον αἰσχρουργίας χάριν.

Ἐὰν ἴδῃ τις ὅτι ἔχει μηλέαν· εὑρήσει γυναῖκα εὐγενῆ, ἀναλόγως τῆς εὐγενείας τοῦ καρποῦ.

Εἰ δὲ ἐστιν ὀξώδης ὁ καρπὸς, κακοζωήσει μετ' αὐτῆς.

Εἰ δὲ εὐμεγέθης, καὶ γλυκὺς, καὶ εὐώδης· εὐζωήσει μετ' αὐτῆς καὶ τεκνώσει.

Ἐὰν ἴδῃ τις ὅτι εἰσῆλθεν ἐν περιβολαίῳ κήπου, καὶ ἔλαβεν ἐκ τῶν καρπῶν, ἀνδράσι μεγίστοις συναυλισθήσεται, καὶ εὑρήσει χάριν καὶ πλοῦτον ἀνάλογον τῶν ληφθέντων καρπῶν.

Καὶ εἰ μὲν ἐστι ὁ καρπὸς ὀξώδης, συγκολασθήσεται αὐτῷ· εἰ δὲ μὴ, τοὐναντίον·

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι εἰσῆλθεν ἐν κήποις ἔχουσι δένδρα παντοῖα, καὶ φοίνικας, καὶ κίτρα, καὶ κυπαρίσσους, εἰ μὲν ἔλαβεν ἐκ τοῦ καρποῦ τοῦ φοίνικος, εὑρήσει τέκνον ἐξ εὐγενοῦς γυναικός· εἰ δὲ κίτρον ἔλαβεν ἐπιχρήσεται τῷ τέκνῳ αὐτοῦ· εἰ δὲ οὐκ ἔχει, τεκνώσει νομίμως ἄρσεν, καὶ χρήσεται αὐτῷ, ἀναλόγως τῆς εὐωδίας τοῦ κίτρου.

Εἰ δὲ ἔλαβεν ἐκ τῶν ἄλλων καρπῶν τῶν δένδρων εὐκόλως, εἰ μὲν ἐστιν ὁ καρπὸς πέπειρος, προαιρέσει ἀγαθοποιήσει τοὺς μεγιστᾶνοις αὐτοῦ.

Εἰ δὲ ἄωρος, ἀγανακτήσει κατ' αὐτῶν.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι διετάξατο ἐκριζῶσαι δένδρα τῶν περιβόλων αὐτοῦ, ἄνδρας ἐξεώσει ἀπὸ ἑαυτοῦ ἀναλόγως τοῦ πλήθους τῶν δένδρων.

Si quis habere quercum visus sibi fuerit, & sub ea consedisse: animi duplicis & inconstantem in hominem incidet, eumque sanè potentem: cuius gaudiorum particeps erit, cum labore ac molestia tamen propterea quod glandes minimè sint esculentæ.

Sin videre visus fuerit nucem arborem, sub qua homo quispiam considens vmbram captauerit: seruum arcani tenacem consequetur, propter osseam putaminum fructus illius duritiem, déque illo lætitiam percipiet.

Hæc eadem omnia si mulieri per quietem oblata fuerint, si maritum non habet, accipiet: sin habet, amorem illius præ se feret, stupri liberius exercendi caussa.

Si quis visus sibi fuerit habere pomum arborem, vxorem nobilem inueniet, prout ipse pomi fructus nobilis fuerit.

Si fructus acidus est, malè cũ ea viuet.

Sin iustæ magnitudinis, & dulcis, & & fragrans: feliciter ac beatè cum ea viuet, *& liberos suscipiet.*

Si quis intra septũ horti venisse visus sibi fuerit, deq; fructibus arborum sumpsisse, apud amplissimos viros deget, *& inueniet gratiam & diuitias pro modo fructuum.*

Quod si fructus acidus est, vna cũ ipsis adfligetur: sin autem, diuersum eueniet.

Si rex visus sibi fuerit accessisse ad loca omnis generis arboribus consita palmis inquam & citris, & cupressis: si palmæ fructum decerpsit, è nobili muliere subolem suscipiet: si citrium sumpsit, oblectationem ex prole capiet, prout ipsum malum citrium fragrans fuerit.

Sin aliarum arborum fructus nulla cũ difficultate decerpsit, si quidem maturi erant, in proceres suos sponte sua beneficus erit.

Sin immaturi, succensebit eis.

Si rex imperasse visus sibi fuerit, vt arbores septorum suorum radicitus euellerentur: quosdam à se homines expellet, pro ipsarum arborum multitudine.

Si arbores diuturnitate temporis vitiatæ ac putrefactæ corruerunt, naturali morte proceres ipsius morientur.

Si videre visus fuerit virgulta, quæ in arbores excreuerint, hoc ad successionem magnatum ipsius pertinet.

Si arborum folia visus sibi fuerit in regiam collegisse, de magnatibus suis augium inferet, prout ipsa foliorum multitudo fuerit.

Si plebeius quispiam tale somnium habuerit, opes à magnatibus pro foliorum modo consequetur.

Si quis visus sibi fuerit habere myrtum arborem, homini quidem nobili, sed pauperi semet adiunget: propter ipsius arboris fragrantiam: & gaudiorum eius particeps erit.

Si quis nouas adquisiuisse vineas visus sibi fuerit, opes & potestatem inueniet, ratione vini.

Si quis in vineis visus sibi fuerit ex parte vindemiam fecisse, legitimos liberos adipiscetur.

Quòd si maturæ sunt vuæ, commodis paternis liberi seruient: sin autem, contrarium accidet.

Si regi visum hoc oblatum fuerit, in concubinis suis oblectationem inueniet, ac fortasse quandam ex eis Augustam declarabit, ob ipsius vini vim.

Si pauper hoc somnium habuerit, propter vinum & lætitiam & potestatem inuenit.

Omnes arbores fructiferæ pro ratione qualitatéque sui fructus interpretationem habent. Qui fructus acidi sunt, & adstringentes, malum: qui dulces & iucundissimi, bonum portendunt.

De equis, ex Indorum disciplina. CAP. 152.

Equorum interpretatio diuersas ad personas pertinet.

Si quis visus sibi fuerit insidens equæ composite per locum quendam transiisse, ipsamet equa sponte sua obsecundante pro ratione ipsius equi, & obedientiæ modo, dignitatem cum amplissima fama reperiet.

Εἰ δὲ τὰ δένδρα τῷ χρόνῳ σαπέντα ἔπεσον, ἰδιοθανατήσουσιν ἀναλόγως οἱ μεγιστᾶνες αὐτοῦ.

Ἐὰν δὲ ἴδῃ ὅτι τὰ φυτὰ τῶν δένδρων ἐδενδρώθη εἰς διαδοχὴν τῶν μεγιστάνων αὐτοῦ ἑτέρως κρινέται.

Εἰ δὲ ἴδῃ ὅτι τὰ φύλλα τῶν δένδρων συνάξαι εἰς τὰ βασίλεια, χρυσίου κοσμήσει ἐκ τῶν μεγιστάνων αὐτοῦ ἀναλόγως τῷ πλήθους τῶν φύλλων.

Εἰ δὲ ἴδῃ τοῦτο τις τοῦ κοινοῦ λαοῦ, εὑρήσει πλοῦτον ἀνάλογον ἀπὸ τῶν μεγιστάνων.

Ἐὰν ἴδῃ τις ὅτι μυρσίνην δένδρον ἔχει, ἀνδρὶ μὲν ἀνθρώπῳ, πτωχῷ δὲ προσκολληθήσεται διὰ τὸ εὐῶδες τοῦ δένδρου καὶ συγχαρήσεται αὐτῷ.

Ἐάν τις ἴδῃ ὅτι ἀμπελῶνας ἐκτήσατο νέους, εὑρήσει πλοῦτον καὶ ἐξουσίαν διὰ τὸν οἶνον.

Ἐὰν ἴδῃ τις ὅτι ἐτρύγη μερικῶς τοὺς ἀμπελῶνας, εὑρήσει τέκνα γνήσια.

Καὶ εἰ μὲν εἰσὶ βότρυες ὥριμοι, εἰς θεραπείαν αὐτοῦ ἔσονται· εἰ δὲ μή, τοὐναντίον.

Βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, εὑρήσει χαρὰν ἐν παλλακαῖς αὐτοῦ, τάχα δὲ βασιλεύσει μίαν ἐξ αὐτῶν, διὰ τὴν δύναμιν τοῦ οἴνου.

Πτωχὸς ἐὰν ἴδῃ τοῦτο, εὑρήσει χαρὰν καὶ ἐξουσίαν διὰ τὸν οἶνον.

Πάντα γοῦν τὰ δένδρα τὰ καρποφόρα κρίνονται ἀναλόγως τοῦ καρποῦ. καὶ τὰ μὲν ὀξώδη καὶ στύφοντα ἀναλόγως τοῦ καρποῦ· καὶ εἰ* φαῦλον· τὰ δὲ γλυκέα καὶ ἡδέα εἰς ἀγαθὸν καὶ καλόν.

Ἐκ τῶν Ἰνδῶν περὶ ἵππων. ρνβʹ.

ΟἹ ἵπποι εἰς διάφορα πρόσωπα κρίνονται.

Ἐάν τις ἴδῃ* ἐποχούμενος τῆς* φάρας πάξει διήρχετο ὑπείκοντος τοῦ ἵππου, εὑρήσει ἀξίωμα καὶ φήμην μεγίστην ἀναλόγως τοῦ ἵππου καὶ τῆς ὑποταγῆς.

Ἐὰν ἴδῃ τις ὅτι ἐπωχεῖτο τοιούτῳ ἵππῳ, μέγα δασὺ καὶ μακρὸν οὐραῖον* ἔχοντι· εὑρήσει* ἀκολούθως τῆς ἐξουσίας αὐτοῦ ἀναλόγως τοῦ πλήθους καὶ μήκους τοῦ οὐραίου.

Εἰ δὲ εἶχε δύο οὐραίας ἢ πλεῖον, *πλεῖον γενήσεται τῶν ἀκολούθων αὐτοῦ ἡ πληθύς.

Εἰ δὲ ἴδῃ ὅτι καὶ αὐτὸς ἵππος ἦν κολοβόουρος ἢ σπανόουρος, εὑρήσει μέριμναν καὶ ὑστέρημα τῆς ἐξουσίας αὐτοῦ ἀναλόγως τῆς λείψεως τῶν τριχῶν.

Εἰ δὲ ἴδῃ ὅτι ἐποχούμενος τῷ δασυτρίχῳ καὶ μακροούρῳ *συνέβη κοπῆναι τὴν οὐράν· εἰ μὲν ἐστιν ὁ ἰδὼν αὐτεξούσιος καὶ ἄρχων λαοῦ, ταῦτα ἀποβάλει συντόμως.

Ἐὰν τις ἴδῃ ὅτι ἐπωχήσατο τῷ τοιούτῳ μὲν ἵππῳ εὐγενεῖ, χωλαίνοντι δέ· εὑρήσει θλῖψιν καὶ πρόσκομμα ἐν οἷς ἕκαστος ἀγωνίζεται.

Ἐὰν δὲ ἴδῃ ὅτι ὁ τοιοῦτος εὐγενὴς ἵππος ἀνυπότακτος καὶ σκληροχάλινος ἦν· *σκληρᾶς ἁμαρτίας ἐπιβάτης ἔσται ὁ ἰδὼν καὶ πλεῖστα θλιβήσεται, ἀναλόγως τῆς σκληρότητος τοῦ ἵππου.

Ἐὰν δὲ δίχα ἐπιστρωμάτων ἦν ὁ τοιοῦτος ἵππος γυμνός· εἰς πλέον ἡ αὔξησις τῶν εἰρημένων κακῶν.

Εἰ δὲ ἴδῃ ὅτι οὗτος ἵππος ἀλλότριος, γνωρίμου δέ· εὑρήσει δόξαν καὶ χαρὰν ἐλπιζέτω.

Ἐὰν ἴδῃ τις ὅτι ἵππος εὐειδὴς εἰσῆλθεν εἰς οἶκον ἢ ἀγρὸν ἢ ῥεγεῶνα ἀγνώριστος καὶ γυμνὸς καὶ ἀχάλινος, ἐλεύσεται ἐκεῖσε ἐξουσιαστὴς μέγιστος, ἀναλόγως τοῦ ἵππου.

Καὶ εἰ μὲν ἦν ὁ αὐτὸς ἵππος ῥινοφάλιος, τετραπέδιλος, ἔσται ἡ ἐξουσία* τοῦ μεγίστου.

Si quis visus sibi fuerit equo vectus, habente magnam, densam, longamque caudam: potestatis suæ comites & pedisequos inueniet, pro caudæ pilorum & multitudinis & longitudinis ratione.

Si caudas caudarum, vel plures caudas habebat: maior pedisequorum & comitum numerus fiet.

Si videre visus fuerit eundem illum equum vel curta, vel rara cauda præditum: sollicitudinem & potestatis suæ defectum inueniet, prout pili caudæ defecerint.

Si videre visus fuerit equo, cui insidebat, habenti densam longamque caudam, fortè caudam præcisam: si quidem is, qui somnium habuit, & liber est, & populi princeps: breui tam libertatem, quam principatum amittet.

Si quis visus sibi fuerit equo generoso quidem vehi, sed claudicanti: quilibet in iis, quæ enixè molitur, ærumnam & obstaculum inueniet.

Si videre visus fuerit equum generosum, qui & contumax sit, & ob oris duritiem intractabilis: graue peccatum admittet, & plurimum adfligetur, prout equus ipse durus fuerit.

Si nudus & absque stragulis hic equus erat, maior accessio malorum indicatorum portenditur.

Si visus fuerit equus hic alienus esse, noti tamen hominis: & gloriam inueniet, & gaudium speret.

Si quis videre visus fuerit equum perelegantem domum aliquam ingressum, vel prædium, vel regionem, qui equus & ignotus sit, & nudus & infrenis: eo princeps maximus veniet, pro equi ratione ac modo.

Quòd si equus idem albis naribus & fronte conspicuus fuerit, omnes quatuor pedes ferramentis munitos habens: etiam maior potestas magnatis illius erit.

De generosis equis, Persarum & Aegyptiorum rationes.

CAP. 153.

SI quis equo generoso insidere visus sibi fuerit, qui & instratus sit, & frenum acceperit: vxore nobili ac venustissima potietur, modo per quietem visus sit equus peculiariter ipsius esse.

Sin alienus, lætitiam potestatémque mulieris alienæ opera consequetur.

Si vir aliquis amplissimus, aut rex, visus sibi fuerit quosdam ex equis suis instratos ornatosque basilicè cuidam sponte sua donasse: quandam ex mulierculis, quas habet, ei concedet.

Sin eo inuito, vel ignorante, equum illius conscendit alius: is ipse cum muliercularum eius aliqua stupri consuetudinem habebit, & deprehendetur.

Si visus sibi fuerit acriter & directò equum egisse, atque in collem peruenisse, ipsomet equo morigerante: magnam tum lætitiam, tum obedientiam, in populo & potentatu suo reperiet: prout equus & celeriter & directo cucurrit.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ ἵππων. ρνγ'.

ἘΆΝ τις ἴδῃ ὅτι ἐποχήσατο ἵππῳ εὐγενεῖ ἐστρωμμένῳ καὶ χαλινωμένῳ, εὑρήσει γυναῖκα εὐγενῆ καὶ καλλίστην· ἂν ἄρα εἶδεν ὅτι ἰδικός ἐστιν αὐτοῦ ὁ ἵππος.

Εἰ δὲ ἀλλότριος, εὑρήσει ἐξουσίαν καὶ χαρὰν μετὰ γυναικὸς ἀλλοτρίας.

Ἐὰν ἴδῃ μέγιστος ἢ βασιλεὺς, ὅτι ἐκ τῶν ἵππων αὐτοῦ ἠμφιεσμένων βασιλικῶς ἐχαρίσατό τινα ἑκὼν· ἐκ τῶν ὧν ἔχει δώσει αὐτῷ.

Εἰ δὲ ἄκοντος ἢ ἀγνοοῦντος ἐπέβαινεν ἕτερος τῷ ἵππῳ αὐτοῦ· αὐτὸς ὁμιλίᾳ τῶν γυναικῶν αὐτοῦ, μίᾳ πορνεύσει καὶ φωραθήσεται.

Ἐὰν ἰδικὸν ἵππον ἤλαυνεν ἐπ' εὐθείας ὀξέως καὶ ἀνῆλθε πρὸς βουνὸν ὑπείκοντος τοῦ ἵππου· εὑρήσει χαρὰν καὶ ὑποταγὴν ἐν τῷ οἴκῳ καὶ τῇ ἐξουσίᾳ αὐτοῦ πολλὴν, ἀναλόγως τοῦ ἵππου οὗ δρόμος * καὶ εὐθύτης.

De viso quodam nocturno interrogatio.

CAP. 154.

QVidam ex Mammunæ Protosymbuli proceribus Sereimum adiit, & hisce verbis consuluit. Videre per quietẽ visus sum rufi coloris equam, qua vnius ad milliarij spatium ipse vehebar, & illa me vicissim vehebatur. Cui Sereimus: Qua, inquit, hora somnium hoc habuisti? Sub ipsum, respondit alter, precum diluculi tempus, siue sub crespusculum. Tum ille: Quoniam, ait, iter vnius milliarij cum ea confecisti, mensis hic non præteribit, quin tu in prælio, per tumultum militarem excitato, sis periturus. Itaque tumultu ab Arabibus excitato, iugulatus est ante mensis illius exitum is, cui somnium hoc oblatum fuerat.

Περὶ ὁράματος ἐρώτησις. ρνδ'.

ἌΡχων λαοῦ ἐλθὼν τοῦ πρωτοσυμβούλου Μαμουῦ, ἠρώτησε Σηρεὶμ λέγων· εἶδον κατ' ὄναρ φοράδα ξανθὸν ἄχει μιλίου ἐποχούμενον ἐμὲ ἐκεῖνον, κἀκεῖνον ἐμέ. ὁ δὲ ἔφη, ποίᾳ ὥρᾳ ἦν ὅτι εἶδες τοῦτο· καὶ ἀπεκρίθη ὅτι πρὸς τὴν εὐχὴν τῆς αὐγῆς. ἤτοι τὸ περιόρθρον, καὶ εἶπεν· ἐπεὶ ἡ ὁδός σου μετ' αὐτοῦ μίλιον ἦν, οὐ μὴ παρέλθῃ ὁ μεὶς οὗτος καὶ σφαγήσῃ ἐν πολέμῳ * μούλτου· καὶ ἐγένετο μοῦλτοι ἀράβων καὶ ἐσφάγη ὁ ἰδὼν πρὸ τελευτῆς τοῦ μηνός.

Ἐκ τῶν Ἰνδῶν περὶ σφαίρας. ρνέ.

ΕΆΝ τις ἴδῃ ὅτι ἔφιππος ἅμα τῷ βασιλεῖ αὐτοῦ μεγίστῳ, ἠλαύνῃ τὴν σφαῖραν, ἤτοι τζυκανίζῃ· εὑρήσει χαρὰν καὶ δόξαν παρ' αὐτῶν ἀναλόγως τῆς ἐπιτυχίας τῆς σφαίρας καὶ τῆς εὐθύτητος τοῦ ἵππου.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐτζυκάνιζεν, εὑρήσει ὀρθότητα καὶ κατευόδωσιν ἐν τῇ βασιλείᾳ αὐτοῦ ἀναλόγως τῆς ἐπιτυχίας τῆς σφαίρας· εἰ δὲ μή, τοὐναντίον.

Ἐὰν ἴδῃ ἄλλος τὸν βασιλέα παίζοντα, ὁμοίως κἀκεῖνος κοινωνὸς ἔσται τῆς φθορᾶς αὐτοῦ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ὁ ἵππος αὐτοῦ ὠλίσθησεν ἐν τῷ παιγνίῳ τούτῳ, εἰ μὲν ἔπεσεν, ὀξέως νοσήσει, καὶ θλιβήσεται ἐν τῇ βασιλείᾳ αὐτοῦ· εἰ δὲ μή, μετρία καὶ ὡραία ἔσται ἡ θλίψις.

Τὰ σελάρια τῶν βασιλέων, εἰς πρόσωπον τῶν γυναικῶν αὐτοῦ κρίνονται, καὶ εἰς τὴν βασιλείαν αὐτῶν.

Τοῦ δὲ λαοῦ οἱ ἵπποι, στρατιῶται μὲν εἰς τὸ ἅρμα καὶ εἰς τὴν ἐπιτυχίαν αὐτοῦ.

Οἱ δὲ τοῦ κοινοῦ λαοῦ, εἰς τὸ ἐπιτήδευμα αὐτῶν.

Τῆς αὐγούστης, δι' * ὁ οἱ ἵπποι, εἰς τὸ ἀξίωμα αὐτῆς ἀπαραλλάκτως κρίνονται.

Ex Indorum doctrina, de pila.

CAP. 155.

SI quis in equo visus fuerit vnà cum rege, vel amplissimo quodam viro, pilam impellere: & gaudium, & gloriam ab eis impetrabit, prout ipse pilam feliciter impulerit, & equus directo cucurrerit.

Si genus hoc ludi rex visus sibi fuerit exercuisse, rectum prosperúmque regni sui statum inueniet, prout feliciter pilam impulerit: sin autem, contrarium portenditur.

Si alius regem ludentem videre visus fuerit, consimiliter & ipse particeps interitus ipsius erit.

Si rex in hoc ludicro videre visus fuerit equum suum impingentem, si cecidit, acri cum morbo conflictabitur, & affligetur in regno suo: sin autem, minor erit ærumna.

Sellæ regum equestres ad personas vxorum regiarum interpretando referuntur, & ad ipsum regnum.

Plebeiorum equi, si quis miles sit, ad arma & prosperitatem ipsius spectant:

Si paganus ad eius ordinis hominum professionem.

Equi augustæ, ad ipsius dignitatem extra controuersiam referuntur.

Ἐκ τῶν Περσῶν, καὶ Αἰγυπτίων, περὶ ὅπλων καὶ ἁρμάτων. ρνς'.

ΤΑ ἅρματα ἀφοβίαν ἀπὸ ἐχθρῶν σημαίνει, καὶ ἐμπειροπολέμων ἀνδρῶν ἔργον.

Ἐὰν ἴδῃ τις ὅτι ἐνδυσάμενος πανοπλίαν ἐξῆλθεν ἔφιππος, εἰ μὲν ἐστιν ἄρχων λαοῦ, μεγίστως πατάξει τὸν ἐχθρὸν αὐτοῦ καὶ δοξασθήσεται μετὰ φήμης ἐν πολέμῳ.

De armis, Persarum, Indorum, & Aegyptiorum rationes.

CAP. 156.

ARma securitatem ab hostibus, & hominum rei bellicæ peritorum professionem denotant.

Si quis integra munitus armatura visus sibi fuerit in equo exiisse, si populi princeps est hostem suum maxima clade afficiet, famosámque gloriam armis belli reperiet.

Si plebeius, aut pauper est: si quidem arma ferrea sunt, ditescet ac proficiet in professione quisque sua.

Si quis videre visus fuerit populum armatum, sibi cognitum, ad bellum paratum & instructum: eius loci homines & lætitiam maximã, & victorias inuenient.

Si populus incognitus fuerit, si vir amplissimus est, qui somnium habuit, futurum statuat, vt ab hostibus suis adfligatur. Nam ignotæ facies ad hostium personas pertinent.

Si quis in medio populi visus sibi fuerit hasta exerceri, famam atque gloriam inueniet, pro eius in ipso exercitio dexteritate.

Si videre visus fuerit hastam suam fractam, deminuta est ipsius gloria, & morte vel necessarium, vel amicum suum amittet.

Si quis visus sibi fuerit induisse, vel reperisse thoracem, siue loricam: de hostiũ suorum interitu voluptatem percipiet, ac ditescet, prout ipse thorax ponderosus fuerit.

Si quis visus sibi fuerit induisse clibanium simplex, in professione quisque sua reperiet angustiam: sin multiplex & multifidum, pro segmentorum varietate diuitias & securitatem ab hostibus inueniet.

Si quis visus sibi fuerit gestare galeam, robur ac firmitatem in capite, quod ipsi præest, inueniet.

Sin eas, quas manicas vocant, & tibialia: gaudium & stabilitatem in seruis suis consequetur.

Si gladium vel inuenisse, vel tenere visus sibi fuerit: quoddam lætitiæ lumen inueniet, quod gladij splendori respondebit.

Hoc ipsum quoque secundùm Persarum interpretationem de muliere cum prole accipitur.

Si quis gladium fractum videre visus fuerit, mater mortem obibit, & filius superstes erit.

Si mulier visa sibi fuerit sumpsisse gladium, vel cultrum, vel tela: si prægnas est, marem pariet.

Si sumpsit arcum, secundùm interpretationem Ægyptiorum mulier aut filia significatur.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ ἢ πτωχὸς, ἢ οὕτως· εἰ μὲν εἰσὶ τὰ ἅρματα σιδηρᾶ, πλουτήσει καὶ προκόψει ἕκαστος ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

Ἐὰν ἴδῃ τις λαὸν ἔνοπλον γνώριμον πρὸς πόλεμον παρασκευασθέντα, εὑρήσουσιν ἐκεῖνοι χαρὰν μεγίστην καὶ νίκας.

Εἰ δ' ἀγνώριστοί εἰσιν ὁ λαὸς ἐὰν ἐστὶ μέγιστος ὁ ἰδὼν τοῦτο, κρινέτω ὅτι θλιβήσεται παρὰ τῶν ἐχθρῶν αὐτοῦ. εἰς γὰρ πρόσωπον ἐχθρῶν ἐστὶ τὸ ἀγνώριστον.

Ἐὰν ἴδῃ τις ὅτι μετὰ δόρατος ἐν μέσῳ λαοῦ ἐγυμνάζετο, εὑρήσει φήμην καὶ δόξαν ἀνάλογον τῆς εὐθύτητος τοῦ γυμνασίου.

Ἐὰν ἴδῃ ὅτι ἐκλάσθη τὸ δόρυ αὐτοῦ, ἐλάττων ἔσται ἡ δόξα αὐτοῦ, καὶ ἀπολέσει θανάτῳ ἢ ἴδιον, ἢ φίλον αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἐνεδύσατο, ἢ εὗρε θώρακα ἤτοι λωρίκιον· χαρήσεται ἐπὶ ἀπωλείᾳ τῶν ἐχθρῶν αὐτοῦ, καὶ πλουτήσει ἀναλόγως τοῦ βάρους τοῦ θώρακος.

Ἐὰν τις ἴδῃ ὅτι ἐνεδύσατο τὸ λεγόμενον κλιβάνιον μονομερὲς, εὑρήσει στένωσιν ἕκαστος ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ· εἰ δὲ πολυμερὲς καὶ πολύτμητον, εὑρήσει πλοῦτον ἀνάλογον τῶν τμημάτων, καὶ ἀμεριμνίαν ἐχθρῶν.

Εἰ δὲ ἴδῃ ὅτι ἐνεδύσατο περικεφαλαίαν, εὑρήσει δύναμιν καὶ στερέωμα εἰς τὴν ὑπερέχουσαν αὐτῷ κεφαλήν.

Εἰ δὲ τὰ λεγόμενα, μανικέλια καὶ περικνημίδας· εὑρήσει χαρὰν καὶ στερεότητα ἐν τοῖς δούλοις αὐτοῦ.

Ἐὰν ἴδῃ ὅτι εὗρεν ἢ κρατεῖ σπάθην· εὑρήσει χαρᾶς λάμψιν κατὰ τὴν στίλψιν τῆς σπάθης.

Ἀλλὰ καὶ κατ' αὐτὴν Περσῶν κρίσιν, εἰς γυναῖκα μετὰ τέκνου τοῦτο ἐκείθη.

Ἐὰν ἴδῃ τις ὅτι ἐκλάσθη ἡ σπάθη, θνήξεται ἡ μήτηρ καὶ ζήσεται ὁ υἱός.

Γυνὴ ἐὰν ἴδῃ ὅτι ἐκ τῶν ὅπλων ἔλαβέ τι δόρυ, ἢ σπάθην ἢ μάχαιραν ἢ βέλη· ἐὰν ἐγκυμονῇ, τέξει ἄρσεν.

Εἰ δὲ τόξον, κατ' Αἰγυπτίων κρίσιν, γυναῖκα ἢ θυγατέρα σημαίνει.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐφόρει ἅρματα καὶ πᾶς ὁ στρατὸς αὐτοῦ, ἐν ᾧ καὶ ἠρέσκετο, χαρήσεται ἐν αὐτοῖς καὶ πατάξουσιν ἔθνος ἀλλόφυλον.

Εἰ δὲ αὐτὸς μὲν οὐκ ἐφόρει ἅρματα, ἐκεῖνος δὲ ἐθεώρει μετὰ τῶν ἁρμάτων ἀρεσκομένους ἐν αὐτοῖς· δέξεται μήνυμα μαχαίρας ὃ ἐπιθυμεῖ.

Εἰ δ' ἄνευ ἁρμάτων εἶδεν αὐτοὺς, φόβον καὶ τρόμον ἐξ ἐχθρῶν νοείτω ἔχειν αὐτούς.

Si rex arma gestare visus sibi fuerit, vnà cum vniuerso exercitu suo, quæ quidem res ipsi perplacuerit: oblectationem de suis capiet, qui & clade nationem extraneam adficient.

Sin ipse non gestabat arma, suos tamen armatos videre videbatur, quod erat ei volupe: nuntium prælij desideratum accipiet.

Sin eos inermes videre videbatur, ipsi sibi metum & trepidationem ab hostibus imminere cogitet.

Ἐκ τῶν Ἰνδῶν περὶ ἱματίων. ρνζ΄.

ΤΩΝ ἱματίων ἡ κρίσις πολύτροπός ἐστι κατά τε τὴν διαφορὰν καὶ τὰς χρόας.

Ἐὰν ἴδῃ τις ὅτι ἐφόρει κάμβα τὸ λεγόμενον σκαραμάγκιον σηρικόν· εὑρήσει ἐξουσίαν τὸ ἀξίωμα ἀνάλογον τοῦ κάλλους καὶ τῆς τέχνης αὐτοῦ.

Ἐὰν δ' ἴδῃ τις τὸ τοιοῦτον ὅτι χάσδιον ἦν, εὑρήσει πλοῦτον ἐξ ἀνδρῶν πονηρῶν· διὰ τὸ ἐξ ἐρίου κουροποτάμου εἶναι αὐτό.

Εἰ δὲ ἴδῃ ὅτι φορεῖ ἀναβόλιον ἤτοι σαβάνιον, εὑρήσει γυναῖκα κατὰ τὸ κάλλος, καὶ τὴν πῆξιν αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔλαβε διπλὸν νέον, νέαν γυναῖκα εὑρήσει.

Καὶ ἐὰν ἐστὶ ῥούσιον ἡ γυνὴ τῆς χαρᾶς ἔσται.

Εἰ δὲ λευκὸν, ἔσται εὐειδής.

Εἰ δὲ κίτρινον, ἔσται νοσώδης καὶ εἰς πικρίαν τοῦ ἀνδρός.

Εἰ δὲ πράσινον, ἔσται πιστὴ τὰ πρὸς τὸν θεόν.

Εἰ δὲ βένετον πλούσιος ἔσται καὶ δυσώδης.

Εἰ δὲ μέλαν εἰς θλῖψιν ἔσται ἐκ πορνείας.

Ἐὰν ἴδῃ τις ὅτι βίᾳ ἀφείλετό τις ἐκ τούτων ἢ ὅλα ἐκάη, ἀπολέσει τὴν ἑαυτοῦ γυναῖκα.

De vestibus, ex Indorum disciplina. CAP. 158.

INterpretatio vestium multiplex est, pro earum discrimine atque coloribus.

Si quis visus sibi fuerit gestare cambam, quod scaramangium sericum vocant, pro modo pulchritudinis eius, & artis potestatem ac dignitatem inueniet.

Si quis hoc vestis genus laneum videre visus fuerit, ab improbis hominibus opes consequetur, propterea quod huiusmodi vestis per tonsuram ex lana cõstat.

Si visus sibi fuerit sumpsisse peplum siue sabanum, pro ratione pulchritudinis & spissitudinis eius vxorem inueniet.

Si diploidem nouam sumpsisse visus sibi fuerit, nouam vxorem inueniet.

Ac si quidem ea russata fuerit, plena delectationis mulier erit.

Si alba formosa & elegans erit.

Si coloris citrini, & morbis erit obnoxia, & erga maritum acerba.

Si prasini, quod res diuinas attinet, fidelis erit.

Si veneti, diues erit, & halitu graui fœtebit.

Si nigri denique, in ærumnam ex scortatione incidet.

Si quis videre visus fuerit horum aliquid ereptum vi, vel concrematum: vxorem suam amittet.

Sin ablatum furto, vel nusquam adparens: ærumnam in vxore sua duntaxat experietur idque propterea, quod sæpenumero vicissim his modis amissa reperiantur.

Subucula de quouis statu domus accipitur, itidémque tegumentum secretarum hominis partium, siue tibiale, de concubina, vel vxore.

Si quis induisse visus sibi fuerit subuculam solito tenuiorem, deminutionem opum experietur.

Si quis videre visus fuerit tibiale suum factum capacius, in vxore sua voluptatem & lætitiam inueniet.

Si mulier induisse tibiale visa sibi fuerit, aut amictum virilem, absque pallio bifido: hæc omnia, si prægnas est, fœtum masculum portendunt.

Sin pallium bifidum induit, de filia somnium intelligitur.

Si quis habitum apostolicum gestare visus sibi fuerit, hoc de fide ipsius interpretamur.

Ac si quidem habitus albus est, tantundem in ipsius fide puritatis erit.

Sin sordidus, & ipse impurus est.

Consimili ratione, proque colorum, quos diximus, interpretatione, regia quoque chlamys ad maiestatem & coniugem regis refertur.

Si rex videre visus fuerit chlamydem suam vel ruptam, vel sordidatam; adflictionem in regno suo, & in Augusta morbum inueniet.

Sin videre visus fuerit chlamydem suam splendidiorem factam, pro ipsius chlamydis elegantia lætitiam tum in persona propria, tum coniugis inueniet.

Si visus sibi fuerit alteram nanctus chlamydem nouam, si nullam vxorem habet, matrimonium contrahet, ac filium procreabit: sin habet vxorem, masculum ita quoque procreabit, & oblectationem ex eo capiet.

Εἰ δὲ ἐκλάπη ἢ ἠφανίσθη,* εὑρήσει θλῖψιν εἰς γυναῖκα αὐτοῦ· διότι πολλάκις ταῦτα εὑρίσκονται.

Τὸ ὑποκάμισον εἰς πᾶσαν κατάστασιν τοῦ οἴκου κρίνεται,* καὶ τὸ περὶ τὰ κρυπτὰ κάλυμμα ἤτοι περισκέλισμα,* εἰς παλλακὴν, ἢ εἰς γυναῖκα.

Ἐὰν ἴδῃ τις ὅτι ἔλαβεν ὑποκάμισον λεπτότερον παρὰ τὴν συνήθειαν· εὑρήσει ἐλάττωσιν τοῦ πλούτου, ἡ γὰρ πῆξις εἰς αὔξησιν κρίνεται.

Εἰ δὲ ἴδῃ τις ὅτι τὸ περισκέλισμα αὐτοῦ εὐρυχωρότερον ἦν, εὑρήσει χαρὰν ἐν γυναικὶ αὐτοῦ.

Γυνὴ ἐὰν ἴδῃ τοῦτο, ὅτι περιεβάλλετο ἢ ἀνδρείαν στολὴν, ἄνευ διχίστου ἱματίου, ταῦτα πάντα· εἰ μὲν ἐστὶν ἔγκυος, εἰς τόπον ἄρσενος κρίνονται.

Εἰ δὲ δίχιστον χιτῶνα, εἰς θυγατέρα κρίνονται.

Εἰ δὲ ἴδῃ τις ὅτι φορεῖ ἀποστολικὴν, τοῦτο εἰς τὴν πίστιν αὐτοῦ κρίνεται.

Καὶ ἐὰν ἐστὶ λευκὸν, τοσοῦτον ἔσται ἡ πίστις αὐτοῦ καθαρά.

Εἰ δὲ ῥυπαρὸν, ἀκάθαρτος ἐστίν.

Ὁμοίως δὲ καὶ κατὰ τὴν κρίσιν τῶν εἰρημένων χροῶν ἡ * βασίλεια χλαμὺς, εἰς δόξαν καὶ τὴν γυναῖκα τοῦ βασιλέως κρίνεται.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἡ χλαμὺς αὐτοῦ περιεῤῥάγη ἢ ἐῤῥυπώθη· εὑρήσει θλῖψιν εἰς τὴν βασιλείαν αὐτοῦ, καὶ νόσον εἰς τὴν αὐγοῦσταν.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἐνδοξοτέρα ἐγένετο ἡ χλαμὺς, ἀναλόγως εὑρήσει χαρὰν ἐν αὐτῷ καὶ τῇ γυναικὶ αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι καὶ δευτέραν ἔσχε νέαν χλαμύδα, εἰ μὲν ἐστὶν ἄγαμος, εἰς γάμον ἥξει, καὶ τέξει ἄρσεν· εἰ δὲ ἔχει γυναῖκα, τέξει καὶ οὕτως ἄρσεν καὶ ἐπιχαρήσεται ἐν αὐτῷ.

Ὅσα ἱμάτια ἴδῃ τις ὅτι ἐγένοντο λεπτότερα καὶ * στενώτερα, ἡ κρίσις αὐτῶν εἰς ἀδυναμίαν ἐστίν, ἡ γὰρ πῆξις, καὶ τὸ ἄκναφον, καὶ τὸ νέον εἰς κρείττονα κρίσιν εἰσί.

* * * *

* * * *

* * * *

Καὶ ὅσα τῶν ἱματίων τὰ κριθέντα εἰς τὴν πίστιν ἐρρυπώθησαν, εἰς ῥύπον τῆς πίστεώς εἰσι.

Καὶ ὅσα ἐκρίθησαν εἰς κοσμικὰ πράγματα, καὶ ἐρρυπώθησαν· εἰς θλίψιν τοῦ κόσμου εἰσίν, ἀνάλογον τοῦ ῥύπου.

Καὶ πᾶς ῥύπος σαρκὸς καὶ τριχῶν, εἰς θλίψιν ἀνάλογον κρίνονται.

Ὅσα ἴδῃ ἄνθρωπος ὅτι φορεῖ λευκὰ ἱμάτια, εὑρήσει χαρὰν καὶ δόξαν εἰς τὴν πίστιν καὶ ἐν τῷ κόσμῳ, καὶ κόσμιος ἔσται ἐν τῇ θέᾳ αὐτοῦ.

Τὰ ἐρυθρὰ τῶν ἱματίων χαρὰν ὀξυτέραν σημαίνει, ὡς ἐπὶ τὸ πολὺ δὲ ταῖς γυναιξίν.

Ἐὰν ἴδῃ τις ὅτι φορεῖ παρὰ τὸ δέον ἀποστολίκιον ἐρυθρὸν, ἢ περισκέλισμα, ἢ ἔνδυμα στρωμνῆς· εὑρήσει χαρὰν τοῦ κόσμου, ἀλλὰ μετ' αἰσχύνης καὶ μάχης δεινῆς ἐν τοῖς * φίλοις αὐτοῦ κατὰ τὴν ἐρυθρότητα αὐτῶν.

Τὸ χρῶμα τὸ κίτρινον ἐπὶ πάσης ἀμφιάσεως, νόσον σημαίνει, ἀνάλογον τῆς βαφῆς, καθὼς εἴρηται.

Ἕκαστον ἱμάτιον κατ' εἶδος κρίνεται.

Καὶ τὸ πράσινον χρῶμα ἐπὶ παντὸς προσώπου, εἰς πίστιν καλὴν διακρίνεται· καὶ ἐπὶ νεκροῦ ζῶντος, εἰς σῶμα αὐτοῦ διακρίνεται.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ ἱματίων. ρνη.

Τὰ ἱμάτια εἰς τιμὴν καὶ δόξαν κρίνονται, χωρὶς τῶν πολυχρόνων καὶ τῆς βασιλικῆς πορφύρας.

Quæcunque vestimenta quis per quietem facta tenuiora videre visus fuerit, eorum ad infirmitatem & inopiam spectat interpretatio.

Hæc enim disciplina de somniorum interpretatione, quidquid spissum est, ac necdum interpollatum, & recens, potius omnino ducit.

Quæcunque vestes, quarum ad fidem interpretatio pertinet, sordidatæ per quietem visæ fuerint: ad fidei sordes spectant.

Itidem quæcunque mundanas ad res relatæ, sordibus inquinatæ visæ fuerint: adflictionem mundanam significant, pro modo sordium.

Omnis etiam carnis & capillorum immunditíes, ad ærumnam sordibus respondentem spectat.

Quascunque vestes albas gestare visus sibi fuerit homo, tam in fide sua, quàm mundo lætitiam gloriámque reperiet: adeóque toti mundo in oculis erit.

Rubri coloris pallia gaudium vehementius significant, ac plerumque mulierculis.

Si quis præter decorum gestare visus sibi fuerit habitum apostolicum rubri coloris, vel tibiale, vel stragulam vestem: gaudio gloriáque mundana potietur, cum dedecore tamen, & rixa inter amicos graui, pro ipsarum vestium rubedine.

Citrius color in omni veste morbum significat, pro ratione tincturæ, ceu dictum est.

Quodlibet vestimentum pro specie ipsius interpretationem habet.

Prasinus color, in persona qualibet, ad fidem bonam refertur: & in eo, qui per quietem visus fuit esse mortuus, quum viuat: ad corpus spectat.

De vestimentis, Persarum & Aegyptiorum rationes.

CAP. 158.

INterpretatio vestimentorum, ad honorem & gloriam pertinet, exceptis illis, quæ varij coloris sunt, & regia purpura.

Si quis diuersa gestare vestimenta, vel diuersi, vel vnius coloris, visus sibi fuerit: metum & pœnam à rege, vel principe loci domino inueniet.

Consimilis & eadem erit interpretatio, moderatioris tamen mali: si visus sibi fuerit gestare vestem vnam insolitã, quæ plures colores habuerit: adeóque rixam inter amicos experietur.

Omnes vestes densiores, & nouæ, & necdum interpolatæ: meliora quædam plebeiis hominibus portendunt.

Nam quæ subtiles sunt, & tenues, & aëreæ: regi atque magnatibus competunt.

Si rex visus sibi fuerit gestare vestes spissiores & crassiores, quales plebeio conueniunt: adflictionem & sollicitudinem inueniet.

Si rex visus sibi fuerit donasse cuidam ex proceribus suis, vel eundem induisse vestibus propriis: si purpurea vestis erat, maiorem ei gloriam potestatémque tribuet, & arcana sua credet.

Sin alia vestis, pro eius ratione minora dabit.

Similiter si visus sibi rex fuerit vestem simpliciter alicui donasse, non aliquam ex suis, quas ipse gestat: ditabit hominem, & ei coram populo largietur.

Si mulier hoc à rege consequuta fuerit, vel ipsam rex amore complectetur, vel aliquam de cognatis illius.

Similiter si plebeius quispiam visus sibi fuerit vestem à rege consequutus, eadem erit interpretatio.

Si rex imperasse visus sibi fuerit, vt noua tinctura purpuræ fieret: præclarè ratiocinando de statuendis aduersus hostes tropæis dispiciet.

Ac siquidem ei prosperè tinctura cesserit, tropæa felici fine perficiet: sin autem, contrarius euentus erit.

Si rex videre visus fuerit, edicto suo senatum vniuersum rubris secum vestibus amictus: & largus erit, & exhilarabit omnes.

Si rex videre visus fuerit populum suũ gestantem vestimenta citrij vel nigri coloris, ærumnam sibi ex morbo, & exitum vitæ imminere statuat.

Ἐὰν ἴδῃ τις ὅτι ἐφόρει ἱμάτια διάφορα, διαφόροις χροιαῖς ἔχοντα, * μονόχροια, εὑρήσει ἀπὸ βασιλέως ἢ ἀπὸ ἐντοπίου ἐξουσιαστοῦ, φόβον καὶ τιμωρίαν.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι ἐφόρει ἱμάτιον ἓν πολύχροον ἀσυνήθως αὐτῷ· ἡ αὐτὴ κρίσις ἐστὶν, * ἀλλ' ἐλάσσων· καὶ εὑρήσει μάχην ἐν τοῖς φίλοις αὐτοῦ.

Πάντα τὰ πυκνότερα, καὶ νέα καὶ ἄγναφα τῶν ἱματίων, εἰς κρείττονα κρίσιν εἰσὶ πρὸς τὸν κοινὸν λαόν.

Πρὸς γὰρ βασιλέα καὶ μεγιστᾶνους τὰ λεπτὰ καὶ ψιλὰ καὶ ἀερώδη εἰσὶν ἁρμόδια.

Ἐὰν ἴδῃ βασιλεὺς ὅτι ἐνεδύετο ἱμάτια πυκνότερα καὶ παχύτερα, οἷα εἰκὸς τὸ κοινόν· εὑρήσει θλίψιν καὶ μέριμναν.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐχαρίσατο ἑνί τινι τῶν μεγιστάνων αὐτοῦ, ἢ ἐνέδυσεν ἐκ τῶν οἰκείων ἱματίων· εἰ μὲν ἐστὶ τὸ ἱμάτιον ἐκ πορφύρας, μείζονα δόξαν καὶ ἐξουσίαν, καὶ μυστήρια αὐτοῦ δοκιμάσει αὐτῷ.

Εἰ δὲ τῶν ἄλλων ἱματίων, ἐλάττονα, καὶ μετριωτέραν ἀναλόγως.

Ὁμοίως ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐχαρίσατό τινι ἱμάτιον ἁπλῶς, οὐχὶ ἐκ τῶν οἰκείων, ἢ καὶ ὧν ἐφόρει· πλουτήσει καὶ χαριεῖ αὐτοῦ * ἐν μέσῳ λαοῦ.

Γυνὴ ἐὰν ᾖ τοῦτο, λαβοῦσα ἡ αὐτὴ φιλιάσει, ἢ ἐκ τῆς συγγενείας αὐτῆς.

Ὁμοίως καὶ ἐκ τοῦ κοινοῦ ἐὰν ἴδῃ τις ὅτι τοῦτο ἔλαβεν δωρεαστικῶς ἀπὸ τοῦ βασιλέως, ἡ αὐτὴ κρίσις ἔσται αὐτῷ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ὤρισε νέαν βαφὴν γενέσθαι βαφῆς πορφύρας, κατ' ἐχθρῶν τρόπαια σκέψεται διὰ * καλολογίαν.

Καὶ εἰ μὲν ἐπιτύχῃ ἡ βαφὴ, τελειωθήσεται τὰ τρόπαια· εἰ δὲ μὴ, τοὐναντίον.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ὤρισε καὶ περιεβάλλετο ἡ σύγκλητος πᾶσα καὶ αὐτὸς ἐρυθρὰ ἱμάτια· χαριεῖ πάντας καὶ εὐφρανεῖ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐφόρει ὁ λαὸς αὐτοῦ κίτρινα ἢ μαῦρα, θλίψιν διὰ νόσον καὶ θάνατον αὐτῶν κρινέτω.

Εἰ δὲ βένετα, εἰς πλοῦτον μὲν αὐτῶν ἡ κρίσις, ἀλλ' ἐξ ἀδικίας καὶ ἐν ἀγανακτήσει.

Ἐὰν τις ἴδῃ ὅτι ἐρρυπώθη τὰ ἱμάτια αὐτοῦ, ἀπόδημος ἔσται καὶ ταξιδεύων, ἐπὶ τοσοῦτον, ὅσον ἐρρυπώθη.

Καὶ εἰ μὲν ἐστι τὸ ταξείδιον πρὸς μάχας ἐθνῶν, εἰς θλῖψιν ἔσται αὐτῷ.

Ἀλλὰ καὶ εἰς πραγματείαν ὁμοίως ἀποβήσεται αὐτῷ.

Ἐὰν ἴδῃ τις ὅτι ἀπώλεσεν ἐκ τῶν ἱματίων αὐτοῦ, εἰς * κρίσιν τοῦτο κρινέτω, ἀνάλογον τῆς τιμῆς τοῦ ἱματίου.

Ὁμοίως καὶ ἡ σῆψις, καὶ ἡ σχίσις, καὶ ἡ παλαίωσις τῶν ἱματίων, αἰσχύνην καὶ πτωχείαν σημαίνει τῷ ἰδόντι.

Ἐὰν ἴδῃ τις ὅτι ἐφόρει * γοῦναν νέαν, ἐὰν ἐστι χειμών, εὑρήσει πλοῦτον ἀπὸ μεγιστάνων, ἀνάλογον τοῦ πλήθους τῶν ἐρίων.

Εἰ δὲ θέρος ἦν καὶ ὑπερεθερμάνθη καὶ ὠλιγώθη· εὑρήσει καὶ αὐτὸς πλοῦτον μετὰ κόπου, καὶ ἀγανάκτησιν.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐνέδυσε γοῦναν ἐξ ἀλωπέκων, ἢ θηρῶν· ἀπὸ ἐχθρῶν μετὰ τροπαίων πλουτήσει πλέον.

Εἰ δὲ ἐκ προβάτων, αὐξήσει ἡ εἰσκομιδὴ αὐτοῦ, ἀναλόγως τῶν ἐρίων.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἐνέδυσε γοῦναν παλαιὰν ἐσχισμένην, ἔνδειαν καὶ ἔκλειψιν τοῦ χρυσοῦ αὐτοῦ σημαίνει.

Ἐὰν ἴδῃ τις τοῦ κοινοῦ λαοῦ ὅτι ἐνέδυσε γοῦναν ἐξ ἀλωπέκων, μετὰ τρόπου πλουτήσει.

Ἐκ τῶν Ἰνδῶν, περὶ πυρός. κεφ. ρνθ'.

Καὶ τὸ πῦρ εἰς πολλὰ πρόσωπα κρίνεται.

Ἐὰν ἴδῃ τις ὅτι ἐν πυρὶ φλογὸς ἐκάη τόπος, ἢ ἀγρός, ἢ οἶκος εἰς παντελῆ πύρκαιαν ὁ κύριος τοῦ οἴκου, καὶ τῶν τόπων οἱ οἰκήτορες, πολέμῳ, ἢ ὀξεῖ νοσήματι ἀπολοῦνται.

Si veneti coloris, ad ipsius quidem hoc opes refertur, sed iniustè per indignationem adquisitas.

Si quis vestes suas sordibus inquinatas videre visus fuerit, peregrè tanto spatio temporis aberit, & in expeditionibus versabitur quantæ sordes ipsæ fuerint.

Quòd si expeditio suscepta videatur ad conserenda cum gentibus prælia, casus homini aduersus accidet.

Consimilis & in negotiationibus euentus erit.

Si quis vestes quasdam suas amisisse visus sibi fuerit, hoc ad ærumnam referat, prout ipsæ vestes pretiosæ fuerint.

Similiter & putrefactio, & ruptura, & vetustas vestium, dedecus atque paupertatem ei portendit, qui somnium habuit.

Si quis nouum pelliceum gestare visus sibi fuerit, si quidem hyems erat, à magnate quodam opes adipiscetur, pro ratione densitatis pilorum.

Sin æstas erat, & nimium sibi visus fuit incaluisse: diuitias & ipse, cum labore tamen ac indignatione consequetur.

Si rex visus sibi fuerit induisse pelliceũ de vulpibus, aut feris: maiores ab hostibus opes cum tropæis extorquebit.

Sin de ouibus, prouentus ipsius incrementum sumet, pro lanarum copia.

Si rex visus sibi fuerit induisse pelliceũ vetus & ruptum, ea res egestatem ac defectum auri regij portendit.

Si quis plebeius visus sibi fuerit induisse pelliceum vulpinum, per astutias ditescet.

De igne, ex Indorum explicatione. CAP. 159.

Ignis interpretatio multas ad personas refertur.

Si quis videre visus fuerit aliquem locum, vel prędium, vel domum per ignem flammæ conflagrantem penitus: earum ædium dominus, & locorum incolæ, vel bello, vel acuto morbo peribunt.

Quòd si flamma carebat ignis, nec omnia comburebat, sed aliquam partem: minor ex parte calamitas erit.

Si regi visum hoc oblatum fuerit, aut principi populi alicuius: ad rempublicam & populum casus aduersus referatur.

Si quis igne vestes suas exussisse visus sibi fuerit, interitus illis personis imminet, quas suprà indicauimus: referendo vestimentum quodlibet ad eas personas, quas interpretando recensuimus.

Consimiliter si homo videre visus fuerit vstum aliquod membrum suum, calamitas ad personas membris ipsis significatas pertinebit, vt interpretati ea suprà sumus.

Si quis visus sibi fuerit instar cibi carbones ignis, carentes fumo & flamma, decerpere: aurum pupillare lucrabitur, pro ignis deuorati ratione.

Si quis visus sibi fuerit inuenisse, vel habuisse, vel custodiuisse carbones ignis, tam flammæ, quàm fumi expertes: pro modo carbonum, aurum consequetur.

Si quis visus sibi fuerit flamma quidem correptus, sed nõ adustus: pro inflammationis modo à quodam, qui negotium ei facesset, accusabitur.

Sin vstus à flamma fuit, à principe rerum istic potiente multabitur, aut in hostili prælio occumbet, aut in acrem tumescentis inguinis, aliúmve morbum incidet.

Si per ignem flamma carentem adustus fuit, auri exactione multabitur.

Si visus sibi fuerit sustulisse cinerem siue lixiuium, mendax & calumniator erit.

Si à furni flamma correptus fuit, aut læsus à testo ignis: ab aliquo magnate, populi nutricio, multabitur.

Si quis ignem sub olla succẽdere visus sibi fuerit, cum patrefamilias pugnam conseret eius negotij caussa, in quo somnium istud habuit. Nam hoc propterea sic exponitur, quòd in ollam oculi familiæ defixi sint.

Quòd si lignis succendit ignem, verbis cum eo depugnabit.

Καὶ εἰ μὲν ἦν τὸ πῦρ ἄφλογον καὶ οὐ πάντα κατέκαιεν, ἀλλὰ μερικῶς· τὸ πάθος μερικώτερον ἔσται.

Βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, ἢ ἄρχων λαοῦ· τὸ πάθος εἰς τὴν πολιτείαν καὶ τὸν λαὸν κλινέτω.

Ἐὰν τις ἴδῃ ὅτι ἔκαυσε πυρὶ τὰ ἱμάτια αὐτοῦ, ἔστι τὸ πάθος εἰς ἀπώλειαν τῶν προσώπων ὧν προείπομεν· ἕκαστον ἱμάτιον * ἐν οἷς ἑρμηνεύθη προσώποις.

Ὁμοίως ἐὰν ἴδῃ ἄνθρωπος ὅτι ἐκάη τι τῶν μελῶν αὐτοῦ, ἔσται τὸ πάθος εἰς τὰ πρόσωπα τῶν ...σκευθέντων μελῶν.

Ἐὰν ἴδῃ τις ὅτι τρώγει ἄνθρακας πυρὸς, ἄνευ καπνοῦ καὶ φλογὸς· χρυσίον ὀρφανικὸν ἀποκερδήσει, ἀνάλογον τῆς βρώσεως τοῦ πυρός.

Εἰ δὲ ἴδῃ τις ὅτι εὗρεν, ἢ ἔσχεν, ἢ ἐφύλαξεν ἄνθρακας πυρὸς ἀφλόγοις, ἀκάπνους· εὑρήσει χρυσίον ἀνάλογον.

Ἐὰν τις ἴδῃ ὅτι ἐφλογίσθη μὲν, οὐκ ἐκάη δὲ, κατηγορηθήσεται παρά τινος κακοῦντος ἀναλόγως τῆς φλογώσεως.

Εἰ δὲ ἐκάη ἀπὸ φλογὸς, ἀπὸ ἐξουσίας τιμωρηθήσεται ἢ ἐν πολέμῳ ἐχθρῶν τελευτήσει, ἢ εἰς ὀξὺ νόσημα βουβῶνος, ἢ ἑτέρου ἐμπεσεῖται.

Εἰ δὲ δὲ ἐκάη πυρὶ ἀφλόγῳ, τιμωρηθήσεται δι' ἀπαίτησιν χρυσίου.

Εἰ δὲ ἴδῃ ὅτι σποδιὰν ἤτοι στάκτην ἦρε ψευδολόγος καὶ διαβολεὺς ἔσται.

Εἰ δ' ἀπὸ φούρνου ἐφλογίσθη ἢ ἀπὸ κλιβάνου πυρός· ἀπὸ μεγιστάνου τροφέως λαοῦ τιμωρηθήσεται.

Ἐὰν ἴδῃ τις ὅτι ὑποανάπτει * χύτρα συμβαλεῖ μάχην δι' ἔργου μετὰ δεσπότου, ἐν ᾧ εἶδε * τοῦτο γὰρ διὰ τοῦτο ἐκρίθη οὕτως. ὅτι οἱ ὀφθαλμοὶ τῆς φαμιλίας ἐν τῇ χύτρᾳ εἰσί.

Καὶ ἐὰν ξύλοις ἀνάπτει τὸ πῦρ, συμβαλεῖ μάχην διὰ λόγων μετ' αὐτῶν.

Ἐὰν ἴδῃ τις ὅτι τὸν ψωμὸν ἢ τὰ βρώματα θερμαίνει ἐν πυρὶ, πρὸς τὸ φαγεῖν αὐτά· ἐν ἐξουσίᾳ ἑτέρου τὰ ἴδια φάγεται, ἢ μετὰ φόβου καὶ τρόμου ταῦτα ἔδεται.

Ἐὰν ἴδῃ τις ὅτι κρατεῖ λαμπάδα πυρὸς, εὑρήσει ἐξουσίαν ἀνάλογον πυρὸς τῆς λαμπάδος.

Καὶ ἐὰν ἐλάμβανον ἕτεροι τῆς ἀφῆς τῆς λαμπάδος, ἑτέροις ἐξουσίας καὶ αὐτὸς παρέξει. τὸ πῦρ ὅσον ἐστὶν ἄνευ καπνοῦ καὶ φλογὸς, σημεῖον ἐξ ἀδικίας σημαίνει. τὸ δὲ ἔμφλογον καὶ ἔγκαπνον, εἰς ἐξουσίαν, καὶ πόλεμον, καὶ νόσον, ὡς εἴρηται, κρίνεται.

Ἐάν τις ἴδῃ ὅτι ψηλαφῶν ἐν σκοτίᾳ ἀνάπτει λαμπάδα πρὸς τὸ βλέψαι· εἰ μὲν ἀνῆψε καὶ εἶδεν, ἀγωνιεῖται χάριν χαρᾶς καὶ ἐξουσίας καὶ ἐπιτυχίας, * ἀναλόγως τῆς ἀνάψεως τῆς λαμπάδος· εἰ δὲ μὴ, τοὐναντίον.

Βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, ἐρευνήσει πρὸς τὸ δοξασθῆναι πλέον, καὶ ἀναλόγως ἀποβήσεται αὐτῷ ἐν τῇ πίστει αὐτοῦ.

Ὁμοίως ἐὰν φανῇ τις ἑτέρῳ φῶς, * δοξάσει αὐτόν.

Ἐάν τις ἴδῃ ὅτι ἀνάπτει πῦρ πρὸς τὸ θερμαίνεσθαι· εἰ μὲν ἅψας ἐθερμάνθη, δεηθήσεται ἐξουσιαστοῦ, καὶ ἀναλόγως τῆς θέρμης πλουτήσει.

Ἡ γὰρ ψύξις εἰς πτωχείαν καθόλου κρίνεται.

Εἰ δὲ πρὸς τὸ ὀπτῆσαι κρέας, καὶ ὤπτησε· νικήσει πράγματα πρὸς κατηγορίαν καὶ τιμωρίαν ἀνθρώπων, ἀναλόγως τῆς ὀπτήσεως.

Εἰ δὲ ἔφαγε τὸ ὀπτηθὲν κρέας· εὑρήσει ἁμαρτίαν καὶ αἰσχύνην ἐνώπιον ἀνθρώπων, καὶ πλοῦτον ἀνάλογον ὅσον ἔφαγε, καὶ θλιβήσεται.

Καὶ οὐκ ἔστιν εὑρεῖν κρίσιν εἰς ἀγαθὸν τὴν ἐκ πυρὸς καῦσιν, πλὴν ἑνὸς προσώπου τοῦ πραγματευτοῦ.

Ἐὰν γὰρ εἴδε ὅτι ἡ πραγματεία αὐτοῦ ἐνεπρήσθη, ἢ ὁ τόπος ἐν ᾧ ἡ πραγματεία,

Si quis visus sibi fuerit frusta carnis aut cibos ad ignem calfacere, quo iis vescatur: in alterius potestate sua deuorabit, aut eis cũ metu ac trepidatione vescetur.

Si quis lampadem ignis tenere visus sibi fuerit, potestatem inueniet, pro ipsius lampadis modo.

Quòd si de flamma lampadis alij quoque sumpserunt, & ipse potestatem cum aliis communicabit. Nam quicunque fumo & flamma caret ignis, iniuriæ notam habet: quum eius interpretatio, qui flammam emittit, & fumum, ad potentiam, & bellum, & morbum, ceu dictum est, referatur.

Si quis in tenebris palpare visus sibi fuerit, & accedere lampadem, ad cernendum: si quidem accendit, & vidit, impetrandi gaudij potestatísque caussa enixe laborabit, ac voti compos fiet, prout accensa lampas fuerit. sin autem, diuersus euentus erit.

Si regi visum hoc oblatum fuerit, rationes ampliore potiundi gloria perquiret, ac pro ratione somnij, euentus ipsius fidei respondebit.

Similiter si quis visus sibi fuerit factus alteri lumen, gloria cohonestabit eum.

Si quis visus sibi fuerit ignem accendere, quo se calfaciat: si eo succenso incaluit, principi preces offeret, ac pro caloris modo ditescet.

Frigus enim paupertatis interpretationem vniuerse continet.

Sin ignem accendit, vt carnem assaret: si quidem assauit, in accusandis & puniendis hominibus superior euadet, pro assationis modo.

Si carnem assatam comedit: in hominum conspectu & peccatum admittet, & infamiam, & opes inueniet, pro modo do manducationis, & adfligetur.

Reperiri certè nequit significatio boni euentus ex inflammatione per ignem facta, sola persona negotiatoris excepta.

Is enim si videre videatur merces suas accensas, aut eum locum inflammatum,

quo merces continebantur: hoc ipsum ad mutationem aliquam, & calliditatem ipsius in negotiando refertur: sed cum metu tamen.& irrisione.

De igne, ex Persarum & Aegyptiorum disciplinis.

CAP. 160.

IGnis rerum maximarum interpretationes habet. Nam & deorum ad personas refertur.

Si quis videre visus fuerit incensam domum suam, à rege, vel principe punietur.

Si quis in somnis viderit vestimenta sua incendio conflagrata, similiter ex hoc insomnio gloriam dignitatémque suam amittet.

Si quis videre visus fuerit vsta lecti sui stragula, vel vxorem, vel concubinas suas amittet.

Sin aliquod membrum vri viderit, in adflictionem maximam & interitum, pro cuiúsque membri ratione, incidet.

Si carbones nondum exustos comedit, à rege vel magnate collocupletabitur.

Si carbones in vase quodam accendit, pro ignis modo magnis quibusdam seruiet.

Sin eos extinxit aqua, proceribus nocebit.

Si adorauit ignem, magnatibus preces offeret, & exaudietur.

Si cinerem sustulit, à magnatibus modicas & mediocres opes impetrabit.

Si lampadem accendit, eámque gestat: si rex est, hoc ipsum ad gloriam, & victorias, & hostium internecionem refertur.

Si plebeius, dignitatem inueniet, pro modo & quantitate lampadis.

Si rex visus sibi fuerit accensas lampades aliquibus porrigere, siquidem illi noti sunt, dignitates & potentatus eis dabit.

Sin autem, beneficiis hostes suos adficiet.

εἰς διαφορὰν καὶ γοργότητα τῆς πραγματείας αὐτοῦ κρίνεται· ἀλλὰ καὶ τοῦτο μετὰ φόβου καὶ χλεύης.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ πυρός. ρξ'.

ΤΟ πῦρ εἰς μεγίστας κρίνεται κρίσεις. καὶ θεῶν γὰρ προσώπων εἰσὶν ἄγεται.

Ἐὰν ἴδῃ τις ὅτι ἐνεπρήσθη ὁ οἶκος αὐτοῦ, ἀπὸ βασιλέως ἢ ἀπὸ ἐξουσιαστοῦ τιμωρηθήσεται.

Ἐὰν τις ἴδῃ ὅτι ἐπυρπολήθη τὰ ἱμάτια αὐτοῦ, ὁμοίως * ἀπὸ τούτων ἀπολεῖται ἡ δόξα καὶ τὸ ἀξίωμα αὐτοῦ.

Ἐὰν τις ἴδῃ ὅτι ἐκάησαν τὰ στρώματα τῆς κλίνης αὐτοῦ, ἀπολέσει τὴν γυναῖκα ἢ τὰς παλλακὰς αὐτοῦ.

Εἰ δὲ τι τῶν μελῶν ἴδῃ καέν, εἰς θλίψιν μεγίστην καὶ ἀπώλειαν ἀνάλογον τῶν μελῶν ἑκάστου ἥξει.

Εἰ δὲ ἐσθίει ἄνθρακας ἀκαύστους, ἀπὸ βασιλέως ἢ μεγιστᾶνος πλουτήσει.

Εἰ δὲ ἀνάπτῃ ἄνθρακας ἐν σκεύει τινί, ἀναλόγως τοῦ πυρός, δουλεύσει μεγάλοις τισίν.

Εἰ δὲ ὕδατι ἔσβεσεν αὐτούς, τοὺς μεγιστᾶνας κακοποιήσει.

Εἰ δὲ προσεκύνησε τῷ πυρί, μεγιστᾶσι δεηθήσεται καὶ ἀκουσθήσεται.

Εἰ δὲ ἦρε τὴν σποδιάν, ἀπὸ μεγιστάνων πλουτήσει μικρὸν καὶ μέτριον πλοῦτον.

Εἰ δὲ ἀνῆψε λαμπάδα καὶ φέρει αὐτήν· εἰ μὲν ἐστὶ βασιλεὺς ὁ ἰδών, εἰς δόξαν καὶ νίκας καὶ ὄλεθρον ἐχθρῶν κρίνεται.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει ἀξίωμα ἀνάλογον τῆς λαμπάδος.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι λαμπάδας ἐξημμένας ἐδίδου τισίν, εἰ μὲν γνώριμοί εἰσιν, ἀξιώματα καὶ ἐξουσίας δώσει αὐτοῖς.

Εἰ δὲ μή, ἐχθροῖς αὐτοῦ εὐεργετήσει.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι φῶτα πολλὰ καὶ λαμπάδας ἀνῆψεν ἐν τῷ ναῷ ἢ τῷ παλατίῳ αὐτοῦ, ἀνδρῶν μεγίστων συνάξιν * ἐργάσεται κατ' αὐτὸ μέγεθος τῶν φώτων· χαρᾶς εἰς μυστηρίων ἀνάθεσιν, καὶ χαροποιήσει αὐτοὺς ἀναλόγως.

Εἰ δὲ ἴδῃ ὅτι ἐσβέσθη τὰ αὐτοῦ φῶτα ἄκοντος αὐτοῦ· εὑρήσει θλῖψιν ἀπὸ ἐχθρῶν ἀναλόγως τοῦ σκότους.

Ἐὰν ἴδῃ τις ὅτι ὁ λύχνος οἴκου αὐτοῦ ἐσβέσθη· ἀποθανεῖται ὁ οἰκοδεσπότης, εἰς ὃν βλέπουσι πάντες.

Εἰ δὲ ἴδῃ πάλιν ὅτι ἀνῆψεν, ἕτερος δεσπόζει τοῦ οἴκου.

Εἰ δὲ ἴδῃ ὅτι ὠλιγώθη τὸ φῶς τοῦ λύχνου πρὸς τὸ σβεσθῆναι· νοσήσει ὁ οἰκοδεσπότης, καὶ εἰς πτωχείαν ἀναλόγως ἥξει.

Εἰ δὲ ἴδῃ ὅτι καπνοῦ ἐπληρώθη ὁ οἶκος, ἀναλόγως τοῦ πλήθους τῆς δριμύτητος, εὑρήσει τιμωρίαν ἀπὸ ἐξουσίας.

Εἰ δὲ ὁ καπνὸς εὐώδης ἦν, λόγοις γλυκέσι τὴν ἐξουσίαν αὐτοῦ παρέξει ὁ ἕτερος, εὑρήσει καὶ φήμην ἀνάλογον τῆς εὐωδίας τῆς ἡδύτητος.

Ἐὰν τις ἴδῃ ὅτι ἐκράτει λαμπάδα καὶ ἐσβέσθη· εἰ μὲν ἐστι βασιλεύς, εὑρήσει θλῖψιν καὶ ὀλιγόζωος ἔσται.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἕκαστος ἀπολεῖ τὴν ἐξουσίαν αὐτοῦ καὶ τὸ θέλημα αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔφερε πῦρ ἐν τῷ ἱματίῳ ἀκαύστως· οἰκειότητα εὑρήσει, καὶ μυστήρια δέξεται παρὰ τοῦ βασιλέως.

Ἐὰν ἴδῃ τις ὅτι λύχνου ἅπτοντος ξυνανῆψε πᾶν τὸ ἀγγεῖον· εὑρήσει ὕψος καὶ δόξαν ὁ οἰκοδεσπότης, καὶ μετὰ ταῦτα ἀπολεῖται.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι οἱ κίονες τοῦ ναοῦ, ἢ τοῦ παλατίου αὐτοῦ ἐφλογίζοντο· βασιλείαν ἄλλου σημαίνει, καὶ ἀπώλειαν τῶν μεγιστάνων οὓς ἔστησεν ἐκεῖνος.

Εἰ δὲ ἴδῃ ὅτι αὐτὸς ἐκεῖνος ἐφλόγιζεν αὐτοὺς, ἀπολέσει αὐτοὺς ἐκεῖνος τοὺς μεγιστᾶνας αὐτοῦ.

Si rex visus sibi fuerit multa lumina, multásque lampades in templo, vel palatio suo accendisse: pro luminum modo comitia maximorum hominum indicet ad mysterium quoddam lætitiæ, atque eos consimiliter exhilarabit.

Sin extincta lumina sua videre visus fuerit, & se quidem inuito: pro modo caliginis ab hostibus adflictionem experietur.

Si quis videre visus fuerit extinctam domus suæ lucernam: paterfamilias moritur, in quem vniuersi respiciunt.

Sin eam rursus accendisse visus sibi fuerit, alius familiæ pater succedet.

Si videre visus fuerit adtenuatum & deminutum lucernæ lumen, propè vt extingueretur: paterfamilias in morbũ incidet, ac paupertatem, prout ipsum lumen defecerit.

Si domum fumo repletam videre visus fuerit, pro modo acrimoniæ fumi supplicium à magistratu inueniet.

Sin fumus ille boni odoris erat, verbis dulcibus potestatem aliis tribuet, simulque famam inueniet, prout odor ille bonus visus fuit esse iucundus.

Si quis lampadem tenuisse visus sibi fuerit, quæ extincta sit: si rex est, in adflictionem incidet, nec diu superstes erit.

Si plebeius, potestatem quisque suam cum eo, quod desiderat, amittit.

Si citra noxam visus sibi fuerit ignem in veste sua gestare, familiaritatem regis impetrabit, & arcanum ei credetur.

Si quis videre visus fuerit, accensa lucerna, totum vas illius vna inflammatum: paterfamilias excelsitatem & gloriam inueniet, ac postea peribit.

Si rex videre visus fuerit templi, vel palatij sui columnas inflammatas: ea res imperium portendit alterius, & interitum procerum, quos ille prior constituit.

Sin ipsemet illas visus sibi fuerit exurere, magnates suos perdet.

Quòd

Quòd si columnas alias subſtituiſſe viſus ſibi fuerit, magnates alios in illorum loca ſubſtituet.

Si quis ad ignem viſus ſibi fuit incaleſcere, principi cuidam ſemet adiunget, & pro modo caloris diteſcet. Frigus enim paupertatem denotat.

Si quis videre viſus fuerit, capillos ſuos incenſos: opes ſuas, pro modo flammæ, pe**r** magiſtratum amittet.

Si rex eſt, in prælio populi ſui iacturam faciet alius quidam hoſtis eius, pro modo pilorum.

Si rex videre viſus fuerit, clabulam ſiue currum ſuum exuſtum: regnum eius deprimetur.

Sin & ſellam in curru concrematam videre viſus fuerit, ipſemet morietur.

Si thronus & ſolus exuſtus eſt, Auguſta morietur.

Si ſe curru vectum videre viſus fuerit, & rotas inflammatas: ex agitatione morbum inueniet, pro modo inflãmationis.

Quòd ſi expeditionem inſtituit, eam reſcindet.

Quotquot domum colluſtrauerint lumina, quauis in perſona boni, gloriæ, poteſtatis ſignificationem habent.

Similiter & eorundem extinctio, contrarium quiddam portendit.

De volatu, & ſaltu, Perſarum, Indorum, Aegyptiorúmque rationes.

CAP. 161.

SI quis in ſomnis viſus ſibi fuerit in latitudinem volare de loco in locum, expeditionem ſuſcipiet, qua ſublimitatem & opes inueniet, prout in volatu viſus fuerit euehi. Reſpondebit & iter euolationis modo.

Si ſaliiſſe de loco in locum viſus ſibi fuerit, eandem interpretationem putet, at infirmiorem.

Εἰ μὲν ἴδῃ ὅτι ἔστησεν ἑτέροις, ἑτέροις πάλιν στήσει.

Ἐὰν ἴδῃ τις ὅτι ἐν πυρὶ ἐθερμαίνετο, ἐξουσιαστῇ προσκολληθήσεται καὶ ἀναλόγως τῆς θερμάνσεως πλουτήσει. ἡ γὰρ ψύξις πτωχείαν σημαίνει.

Ἐὰν ἴδῃ τις ὅτι ἐφλογιάσθησαν αἱ τρίχες αὐτοῦ· ἀπολέσει τὸν πλοῦτον αὐτοῦ ἀπὸ ἐξουσίας, ἀναλόγως τῆς φλογώσεως.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς τοῦτο, τὸν λαὸν αὐτοῦ ἀπολέσει εἰς πόλεμον ἕτερος ἐχθρὸς ἀναλόγως τῶν τριχῶν.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι τὸ * ὄχημα αὐτοῦ ἤτοι ὁ δίφρος ἐκάη· ταπεινωθήσεται ἡ βασιλεία αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι καὶ ὁ ἐν τῷ δίφρῳ θρόνος ἐκάη, ἀποθανεῖται αὐτός.

Εἰ δὲ ὁ θρόνος καὶ μόνος ἐκάη, ἀποθανεῖται ἡ αὐγοῦστα.

Εἰ δὲ ἴδῃ ὅτι ἤλαυνεν ἐν τῷ δίφρῳ, καὶ οἱ τροχοὶ ἐφλογιάσθησαν ἐκ τῆς ἐλάσεως· εὑρήσει νόσον ἀναλόγως τῆς φλογώσεως.

Καὶ ἐὰν ἔχῃ ταξείδιον, ὑποστρέψει αὐτό.

Ὅσα φῶτα φωταγωγήσωσιν οἶκον, εἰς ἀγαθὸν καὶ δόξαν καὶ ἐξουσίαν διακρίνονται ἐπὶ παντὸς προσώπου.

Ὁμοίως καὶ ἡ σβέσις αὐτῶν εἰς ἐναντίον διακρίνεται.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ πετάσεως καὶ ἅλσεως καὶ ἁλμάτων. ρξα΄.

ἘΆΝ τις ἴδῃ κατ' ὄναρ ἱπτάμενον ἑαυτὸν κατὰ πλάτος ἐκ τόπου εἰς τόπον, εἰς ταξείδιον ἀπελεύσεται, καὶ εὑρήσει ἐξ αὐτοῦ ὕψος καὶ πλοῦτον ἀνάλογον τῆς ὑψώσεως καὶ τῆς πτήσεως. καὶ ἡ ὁδὸς ἀνάλογος ἔσται τῆς ἐκπετάσεως.

Εἰ δὲ ἴδῃ ὅτι ἥλλετο ἐκ τόπου εἰς τόπον, τὴν μὲν αὐτὴν κρίσιν ἐχέτω, ἀσθενεστέραν δέ.

Εἰ δὲ ἴδῃ ὅτι ἡ πτῆσις αὐτοῦ εἰς ὕψος κατ' εὐθεῖαν ἦν, εὑρήσει βλάβην καὶ ταχεῖαν ἀπώλειαν.

Εἰ δὲ ἴδῃ ὅτι ὑψώθη εἰς οὐρανὸν καὶ ἐμόχθη κατ' ἰσχὺν τῆς χειρὸς· ἡ ἀπώλεια αὐτοῦ δριμυτέρα καὶ ταχυτέρα ἔσται.

Εἰ δὲ ἴδῃ ὅτι ἦλθεν ὡς διὰ τοῦ οὐρανοῦ, καὶ οὕτως ταχὺ ἀποθανεῖται, καὶ πρὸ θανάτου τὰς φρένας ἀπολέσει.

Εἰ δὲ ἴδῃ τις ὅτι κάθηται ὡς ἐν τῷ οὐρανῷ ἀγνοῶν πῶς ἀνῆλθεν, εὑρήσει χάριν ἐν τῇ πίστει αὐτοῦ.

Καὶ ἐὰν ᾖ, ἐκ τῶν ἐπιτηδείων βασιλέως, καὶ ὀνομαστὸς ἔσται καὶ μέγας.

Εἰ δὲ ἴδῃ τις ὅτι ἔχει οἰκίας ἐν τῷ ἀέρι καλὰς παρὰ τὴν συνήθειαν· ταχὺ ἀποθανεῖται.

Εἰ δὲ ἡ οἰκία ἔσται κατὰ τὴν συνήθειαν αὐτοῦ τῶν κτισμάτων· ὅστις ἂν ᾖ ὁ ἰδὼν, τὸ πρᾶγμα αὐτοῦ ἐπικρήμνον ἐστὶν ἐγγὺς ἀπωλείας.

Εἰ δὲ ἴδῃ τις ὅτι ἤρθη ἀπὸ τόπου εἰς τόπον μεταστήσεται ταχὺ ἀπὸ τοῦ πράγματος αὐτοῦ εἰς ἕτερον εἴτε χείρονα εἴτε κρείττονα ἀναλόγως τῶν τόπων· ἀντεμποδίστως καὶ τὸ μῆκος τοῦ ἅλματος ταξείδιον σημαίνει.

Ἐὰν ἴδῃ τις ὅτι ἐρειδόμενος ἥλλετο· ἡ ῥάβδος ἐστὶν ἄνθρωπος ἰσχυρὸς εὐγενής, καὶ δι' ἀνθρώπου εὐγενοῦς ταξειδεύσει καὶ εἰς χαρὰν ἥξει.

Ὁμοίως καὶ ἐὰν ἴδῃ ὅτι κρατήσας στῦλον ἥλλετο, εἰς τὸν πλοῦτον ἑαυτοῦ θαρρῶν ταξειδεύσει.

Εἰ δὲ εἰς σιδηρᾶν ῥάβδον ἐρειδόμενος ἥλλετο, εἰς στερρεώτερον πλοῦτον ἥξει ἀναλόγως τοῦ βάρους τοῦ σιδήρου.

Si visus sibi fuerit directò in sublime volasse, damnum cum interitu veloci experietur.

Si visus sibi fuerit euectus in cælum, vtque manibus cælum præhenderet, enixè laborasse: acrior ei & celerior imminet interitus.

Si quasi per cælum venisse visus sibi fuerit, etiam ita breui morietur, & ante obitum mentem amittet.

Si quis in cælo quasi sedere visus sibi fuerit, ignorans interim, quo pacto illuc peruenerit: in fide sua gratiam inueniet.

Quòd si de necessariorum regis numero fuerit, celebris & amplissimus euadet.

Si quis visus sibi fuerit habere pulchras in aëre domos, & inusitatas: breui morietur.

Sin domus ea pro ædificiorum more structa fuerit, quicunque tandem hoc somnium habuerit: res eius in præcipiti sunt, & interitui proximæ.

Si quis de loco in locum visus sibi fuerit sublatus, à negotio suo citò transibit ad aliud, siue peius, siue melius, pro ratione locorum: itémque impedimento, pro saltus ipsius tractu.

Si quis visus sibi fuerit innixus baculo saltasse, baculus iste potentem ac nobilem virum significat. itaque adiumento viri nobilis expeditionem suscipiet, & lętitia potietur.

Similiter si visus sib fuerit tenendo columnam saltasse, sumpta de diuitiis confidentia expeditionem suscipiet.

Si saltabat innixus virgæ ferreæ, solidiores opes adquiret, pro ratione ponderis ferri.

Ἐκ τῶν Περσῶν, Ἰνδῶν, καὶ Αἰγυπτίων ὁμοφρόνων. ρξβ΄.

Indorum, Persarum & Aegyptiorum consentientes interpretationes.

CAP. 162.

SI quis instar auis volasse visus sibi fuerit, absque pennis, in aëre vectus: eminentiam gloriæ dignitatísque reperiet.

Si regi visum hoc oblatum fuerit, omnia sua tam in bello, quam cæteris actionibus desideria perficiet.

Si rex ad cælum quasi volasse visus sibi fuerit, vbi sidera essent: supra reges cæteros & eminentia potietur, & fama.

Consimiliter si verba quædam audierit illic à sideribus prolata, vel in litteris istic perscripta legerit, eorúmque meminerit: quidquid hoc tandem fuerit, auditum, lectum, certo eueniet. Erit etiam pro altitudinis modo longæuus.

Quòd si etiam visus sibi fuerit à terra cum sideribus colloquutus, aut istic aliqua legisse: consimilis erit euentus.

Si rex visus sibi fuerit sursum profectus, in cælo consedisse: regionem ea maiorem, quam possidet, in potestatem rediget.

Si palatium ibidem habuisse visus sibi fuerit, in ditionem rediget ac possidebit ampliorem terram alienam, & domicilium in ea constituet.

Si visus sibi fuerit in adscendendo præcipitasse, ac cecidisse: regnum suum amittet, ac morietur.

Si de loco in locum saltasse visus sibi fuerit, cum experte metus securitate ac lætitia de loco ad locum transibit.

Si cum formidine saltasse visus sibi fuerit, in expeditionem formidolosam & bellum ibit.

Si hæc plebeio, vel pauperi per quietem oblata fuerint: interpretatio & inferior, & infirmior est iis, de quibus dictum.

ἘΑΝ ἴδῃ τις ὅτι δίκην ὀρνέου διεπέτασεν ἄνευ πτερῶν καὶ ἀέριος ἐφέρετο· ὕψος δόξης καὶ ἀξιώματος εὑρήσει.

Εἰ δὲ ἴδῃ τοῦτο ὁ βασιλεὺς, τὰς ἐπιθυμίας αὐτοῦ πάσας ἐν τῷ πολέμῳ καὶ λοιποῖς εὑρήσει.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἀνέπτατο ὡς τὸν οὐρανὸν, ἔνθα οἱ ἀστέρες, εὑρήσει ὕψος καὶ ὄνομα πλέον τῶν ἄλλων βασιλέων.

Ὁμοίως καὶ ἐὰν ἤκουσεν ἐκεῖ λόγους λεγόντων τῶν ἀστέρων, ἢ ἐν γράμμασι ἀνέγνω ἐκεῖσε καὶ μνημονεύει τῶν λόγων, πᾶν ὃ ἐὰν ἤκουσεν ἐκεῖ καὶ ἀνέγνω ἀπαραλλάκτως ἀποβήσεται. ἀλλὰ καὶ μακρόβιος ἔσται ἀναλόγως τοῦ ὕψους.

Ἀλλὰ καὶ ἐὰν ἀπὸ γῆς ὡμίλησεν ἄστροις ἢ ἀνέγνω ἐκεῖσε ὁμοίως ἔσται αὐτῷ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἀνελθὼν ἐκάθισεν ἐν οὐρανῷ· μείζονα χώραν ἧς ἔχει κατακυριεύσει.

Εἰ δὲ ἴδῃ ὅτι παλάτια ἐκεῖσε εἶχε, κατακυριεύσει καὶ κληρονομήσει τὴν μείζονα καὶ ἀλλοτρίαν χώραν καὶ κατοικήσει ἐπ' αὐτήν.

Εἰ δὲ ἴδῃ ὅτι ὡς ἀνήρχετο ἐκρημνίσθη καὶ ἔπεσεν· ἀποβαλεῖ τὴν βασιλείαν αὐτοῦ καὶ τελευτήσει.

Εἰ δὲ ἴδῃ ὅτι ἥλατο ἐκ τόπου εἰς τόπον, μετ' ἀφοβίας καὶ χαρᾶς μεταβήσεται ἐκ τόπου εἰς τόπον ἐν χαρᾷ.

Εἰ δὲ ἴδῃ ὅτι ἥλατο σὺν φόβῳ, εἰς ταξείδιον ἔμφοβον καὶ πόλεμον ἀφίξεται.

Ἐὰν τις ἴδῃ τοῦ κοινοῦ λαοῦ, ἢ πτωχὸς ταῦτα· ἡ κρίσις ἐλάττων καὶ ἀσθενεστέρα τῶν εἰρημένων.

De nubibus, ex Indorum disciplina. CAP. 163.

NVbes sapientiæ significationem continent.

Si quis partem nubis adpræhendisse visus sibi fuerit, pro nubis ipsius quantitate sapiens fiet.

Ἐκ τῶν Ἰνδῶν περὶ νεφελῶν. ρξγ΄.

ΑἹ νεφέλαι εἰς σοφίας ἀνάγονται κρίσιν.

Ἐὰν ἴδῃ τις ὅτι κατεῖχε νεφέλης μέρος, ἀναλόγως τοῦ ποσοῦ τῆς νεφέλης, σοφὸς γενήσεται.

Εἰ δὲ ἴδῃ ὅτι ἦραν αὐτὸν αἱ νεφέλαι καὶ ἀπήγαγον ἔνθα ἤθελεν· εἰ μὲν ἐστὶ τῶν ζητούντων σοφίαν, σοφὸς ἀκρότατος γενήσεται· εἰ δὲ κοσμόφρων, μετὰ φόβου ἐξουσίας ἀπὸ ἐξουσιαστοῦ πλουτήσει.

Si se sublatum à nubibus videre visus fuerit, & quo vellet, abductum: si de illorum est numero, qui sapientiam quærunt, extremum sapientiæ verticem adtinget: sin mundanis rebus oblectatur, cum metu principis à potente quodam diuitias consequetur.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ νεφελῶν. ρξδ΄.

De nubibus, Persarum & Aegyptiorum rationes.

CAP. 194.

ἘΑΝ τις ἴδῃ ὅτι ἀπὸ μερικῆς νεφέλης ἐβρέχη, ἢ εἰσῆλθεν ἐν ὁμίχλῃ· εὑρήσει νόσον ἀνάλογον τῆς βροχῆς καὶ τοῦ γνόφου τῆς ὁμίχλης.

Εἰ δὲ ἴδῃ ὅτι ἐπλήσθη ὁ οἶκος αὐτοῦ νεφέλης, καὶ ὑγράνθη ἐκ ταύτης· εἰ μὲν ἐστὶ βασιλεὺς ὁ οἶκος τοῦ κράτους αὐτοῦ ἐστι· καὶ ἐὰν ἔχῃ λιμὸν ἡ ὑπ' αὐτοῦ χώρα, εὐφορήσει· εἰ δὲ λιμὸν οὐκ ἔχῃ, εὑρήσει πλοῦτον πᾶς ὁ στρατὸς αὐτοῦ καὶ χαράν.*

Τοῦ κοινοῦ ἐάν τις ἴδῃ τοῦτο, εὑρήσει φόβον ἀπὸ ἐξουσιαστοῦ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι κάθηται ἐν νεφέλαις ἀγόμενος ἔνθα θέλει· ἀπὸ ἀλλοφύλων ἐχθρῶν δουλευθήσεται καὶ δεσπόσει αὐτῶν, καὶ εὑρήσει νίκας καὶ χαρὰς ἀπροσδοκήτους.

SI quis visus sibi fuerit, à particulari quadam nube madefactus, vel eius caliginem ingressus: in morbum incidet pro modo madoris, & opacitate caliginis.

Si videre visus fuerit impletam nube domum suam, atque inde madefactam: si rex est, domum imperij eius denotat: ac si quidem ei subiecta regio annonæ penuria premitur, fertilis fiet: si nulla penuria est, omnis eius exercitus opes, lætitiam plebs inueniet.

Si plebeius aliquis tale somnium habuerit, à principe metum inueniet.

Si rex in nubibus consedisse visus sibi fuerit, & vehi quocunque lubeat: barbari hostes ei seruitutem seruient, quibus ipse cum imperio præerit, ac victorias gaudiáque nec opinata consequetur.

Ἐκ τῶν Ἰνδῶν περὶ ἀνέμων. ρξέ.

De ventis, ex Indorum disciplina.

CAP. 195.

ἘΑΝ ἴδῃ τις ὅτι ἄνεμος σφοδρὸς * ὤν, ἦρεν αὐτὸν * φέρων αὐτὸν ἐκ τόπου εἰς τόπον· μακρὸν ταξείδιον ποιήσει, καὶ εὑρήσει ἐξουσίαν, ἀνάλογον τῆς κουφίσεως τοῦ ἀνέμου.

Ἐὰν ἴδῃ ὅτι ἐξ ἀνέμου κονιορτωθεὶς ἠχλυώθη τοῖς ὀφθαλμοῖς, μερίμναν καὶ φόβον ἀπὸ ἐξουσίας λήψεται, καὶ μειώσει τὴν πίστιν αὐτοῦ ἀναλόγως τῆς ἀχλύος.

SI quis per quietem visus sibi fuerit sublatus à vehementi vento, de loco in locum transferri: longam expeditionem instituet, ac prout ipse venti motus leuis expeditúsque fuerit, potestatem apiscetur.

Si puluere vi venti obrutus, caligasse visus sibi fuerit: sollicitudine ac metu à principe percelletur, ac pro modo caligationis oculorum fides eius deminuetur.

Si videre visus fuerit spirantem ventum vniuersalem, aut localem: à rege metus erit.

Si videre visus fuerit arbores à vento fractas, ex indignatione regis peribunt proceres, pro ipsarum arborum numero.

Si domos & ædificia diruta, populi principes interibunt.

Consimiliter omnibus ruinis, per quietem oblatis, ruinæ respondebunt.

Frigus quoque profectum à vento, paupertatem & patrimonij deminutionem portendit: quum frigus ipsum ex paupertate homo patiatur.

Itidem calor nimius de adflictione intelligitur.

Si quis videre visus fuerit, quasi ventus ingens eo tempore flaret, quo flores prodeunt: si fregit arbores, terræ diuitias portendit: quandoquidem ventus aliquid rebus quoque nascentibus fert subsidij.

De ventis, Persarum Aegyptiorúmque rationes consimiles.

CAP. 166.

SI quis visus sibi fuerit adiutus à vento celerius progredi, perpetuum à magistratu subsidium, lætitiam, & opem inueniet.

Sin ab antica parte impedimento ventus ei fuit, euentum contrarium experietur.

Si rex in itinere visus sibi fuerit à vẽtis impediri: nuntium è longe dissito principatu accipiet, quo perturbabitur.

Sin ab eis adiuuatur, res lætæ portenduntur.

Si quis videre visus fuerit flantem ventum contrarium, qui fructus læderet: locus ille, quo ventus flare visus est, morbi contagio inficietur.

Εἰ δὲ ἴδῃ ὅτι ἔπνευσεν ἄνεμος καθολικὸς ἢ τοπικός· ἔσται φόβος παρὰ βασιλέως.

Εἰ δὲ ἴδῃ ὅτι ἔκλασε δένδρα, ἀπὸ θυμοῦ βασιλέως ἀπολοῦνται μεγιστᾶνες ἀναλόγως τῶν δένδρων.

Εἰ δὲ κατέστρεψεν οἴκους, ἄρχοντες λαοῦ ἀπολοῦνται.

Ὁμοίως καὶ εἰς πάντα τὰ πτώματα ἀναλόγως ἔσται ἡ πτῶσις.

Καὶ ἡ ἐξ ἀνέμου ψύξις πτωχείαν καὶ εἰσκόσμησιν ὑπάρξεως σημαίνει· διότι καὶ ἀπὸ πτωχείας ἐστὶν ἡ ψύξις.

Ὁμοίως καὶ ἡ καθ᾽ ὑπερβολὴν θέρμανσις εἰς θλίψιν κρίνεται.

Ἐὰν ἴδῃ τις ὅτι ἔπνευσε μέγας ἄνεμος ἐν καιρῷ ἀνθοφορίας· εἰ μὲν οὐκ ἔκλασε δένδρα· πλοῦτον τῆς γῆς σημαίνει· διότι βοηθός ἐστιν ὁ ἄνεμος τῶν φυομένων.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων ὁμοίως. ρξϛ᾽.

ΕΑΝ ἴδῃ τις ὅτι βοηθούμενος ὑπὸ ἀνέμου ὀξέως βαδίζει, εὑρήσει ἀπὸ ἐξουσίας βοήθειαν καὶ χαρὰν καὶ συνέργειαν ἀεί.

Εἰ δὲ ἐκ τῶν ἔμπροσθεν κωλύσει αὐτόν, ἀπ᾽ ἐναντίας ἔσται αὐτῷ.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι ὑπὸ ἀνέμου κωλύεται ἐν ὁδῷ· ἀπὸ μακρᾶς ἀρχῆς μήνυμα ταράξει αὐτόν.

Εἰ δὲ ἴδῃ ὅτι ὑπὸ ἀνέμου βοηθεῖται, εἰς χαρὰν αὐτῷ ἔσται.

Ἐὰν ἴδῃ τις ὅτι ἔπνευσεν ἄνεμος σφοδρὸς ἐναντίως βλάπτων τοὺς καρπούς· νόσον δέξεται τόπος ἐκεῖνος ἔνθα ἔπνευσεν.

Εἰ δὲ ἴδῃ ὅτι ἔπνευσεν ἄνεμος σφοδρὸς εἰς τόπον ἐκριζῶν δένδρα ἢ καταστρέφων οἰκίας, φόβος ἔσται καὶ ἀπώλεια ἀπὸ βασιλέως ἢ ἐντοπίου ἐξουσιαστοῦ ἀναλόγως τῆς πτώσεως.

Εἰ δὲ ἴδῃ ὅτι ἔπαυσαν πάντες οἱ ἄνεμοι καὶ ὁ λαὸς ὀλιγόθυμος· σεισμὸς γενήσεται ἐν τῷ τόπῳ ἐκείνῳ, ἀλλὰ καὶ εἰς ἀδυναμίαν ἥξει ὁ τοῦ τόπου ἐξουσιαστής.

Εἰ δὲ ἴδῃ ὅτι ἐν χειμῶνι θερμοῖς ἀνέμοις ἔπνευσεν, εἰς καρπὸν καὶ εὐφορίαν τοῦ τόπου τοῦτο κεκρίτω.

Εἰ δὲ ἴδῃ ὅτι ἐν χειμῶνι ψυχρὸς καὶ δριμὺς ἔπνευσεν, εἰς ἐναντίον τοῦτο κελευέτω τοῦ τόπου.

Ὁμοίως καὶ ἐν θέρει ἐὰν πνεύσῃ κατάψυχρος εἰς ὠφέλειαν ἔσται τοῦ τόπου· εἰ δὲ μή, τοὐναντίον.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι ἔπνευσεν ἄνεμος σφοδρὸς ποθὲν, ἐκ τοῦ κατοικοῦντος ἔθνους τὸ μέρος ἀναλόγως τοῦ ἀνέμου κακὸν ἢ ἀγαθὸν ἐλπιζέτω.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ ἡλίου καὶ σελήνης καὶ ἀστέρων. ρξζ΄.

Ὁ ἥλιος ἐν προσώποις βασιλέως κρίνεται ἀπαραλλάκτως, καὶ ἡ σελήνη εἰς πρόσωπον τοῦ ἀπὸ τοῦ βασιλέως δευτέρου ἐξουσιαστοῦ.

Ἡ Ἀφροδίτη, εἰς πρόσωπον τῆς αὐγούστης.

Καὶ οἱ λοιποὶ τῶν μεγίστων ἀστέρων, εἰς τοὺς μεγίστους ἄνδρας τοῦ βασιλέως.

Καὶ οἱ ἄλλοι ἀστέρες, εἰς πάντα τὸν κόσμον.

Ἐὰν ἴδῃ τις ὅτι ἐπλησίασε τῷ ἡλιακῷ δίσκῳ, ἢ ὅτι κατέσχεν αὐτόν· εὑρήσει χαρὰν ἐκ τοῦ βασιλέως, ἀναλόγως τῆς ἐγγύτητος.

Γυνὴ ἐὰν ἴδῃ τοῦτο, αὐγοῦστα γενήσεται.

Si videre visus fuerit flantes aliquo loco ventos vehementes, qui radicitus arbores euellerent, aut palmas subuerterent: pro modo ruinæ, à rege vel loci principe terror & internecio imminebit.

Si omnes venti quieuisse visi fuerint, & populus pusillis esse animis: in eo loco terræ motus accidet, ac præterea loci princeps ad inopiam redigetur.

Si ventus calidus hyberno tempore spirasse visus fuerit, hoc ipsum ad fructus & fertilitatem loci referatur.

Si quis videre visus fuerit flantem hyberno tempore ventum frigidum & acrem, hoc aduersum aliquid illi loco portendere statuat.

Similiter si æstiuo tempore ventus subfrigidus flauerit, ad emolumentum commodúmque loci refertur. Sin alius, diuersum denotatur.

Si rex videre visus fuerit flantem alicunde ventum vehementem, pars incolarum regni eius aut boni quidpiam, aut mali expectet, pro ipsius venti ratione.

De sole, luna, sideribus, ex Indorum, Persarum, Aegyptiorúmque disciplinis.

CAP. 167.

SOl dubio procul ad regis personam interpretando refertur, & ad principis à rege secundi personam luna.

Venus ad personam Augustæ.

Itidem alia maxima sydera, ad viros apud regem amplissimos.

Stellæ reliquæ, ad mũdum vniuersum.

Si quis visus sibi fuerit ad discum solarem propiùs accessisse, vel eum adpræhendisse: à rege lætitiam consequetur, pro ratione propioris accessus.

Si mulieri visum hoc oblatum fuerit, Augusta fiet.

Si rex huiusmodi somnium habuerit, alium sibi regem subiiciet.

Si quis visus sibi fuerit pugnasse, vel bellum aduersus solem radios suos spargentem suscepisse: regem oppugnabit.

Si plebeius, à rege supplicio adficietur.

Si visus sibi fuerit instar solis sparsisse radios, pro lucis modo regnabit.

Si regi visum hoc oblatum fuerit, regnũ eius ampliore gloria cõdecorabitur.

Eadem est in persona mulieris interpretatio.

Si mulier visa sibi fuerit peperisse solem, quæcunque fuerit, regem pariet.

Si quis videre visus fuerit egredientes de se radios, qui populo sint impedimento, quo minus ipsum adspiciat: & ipse regno potietur.

Si quis globum solis tenere visus sibi fuerit, radiis carentem: si debilis est, aut adfligitur, conualescet ac lætitia fruetur.

Sin vir amplissimus est, regem contemnet.

Si rex, alium quendam maximum regem vel principem in vinculis detinebit.

Si cui visum oblatum fuerit, quasi sol radios in eius domum præter morem sparserit: à rege gaudium & opes consequetur, pro lucis ipsius modo.

Si videre visus fuerit solem, siue discum solarem, ingressum ædes suas: si rex est, regem procreabit.

Sin vir aliquis amplissimus, aut plebeius: maiorem ad sublimitatem euehetur, & voluptatem capiet, & regem ipsum excipiet.

Si quis visus sibi fuerit ingressum ad se regem contempsisse, perduellis erit aduersus regem.

Similiter si somnium quis habuerit, quasi flamma solis eum in itinere calfecerit: opes à rege consequetur, pro modo caloris.

Si visus sibi fuerit à sole plurimum adustus, pœnam pro modo vstionis inueniet.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, ἄλλον βασιλέα καθυποτάξει.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐμάχετο ἢ ἐπολέμησε τῷ ἡλίῳ ἀκτινοβολοῦντι, βασιλεῖ πολεμήσει.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἀπὸ βασιλέως τιμωρηθήσεται.

Εἰ δὲ ἴδῃ ὅτι ὡς ἥλιος ἀκτινοβολῶν ἐγένετο, ἀναλόγως τοῦ φωτὸς βασιλεύσει.

Εἰ δὲ ἴδῃ τοῦτο ὁ βασιλεὺς, πλέον ἐνδοξότατος φανεῖται ἡ βασιλεία αὐτοῦ.

Καὶ ἐπὶ γυναικὸς ἡ αὐτὴ κρίσις.

Γυνὴ ἐὰν ἴδῃ ὅτι ἐγέννησεν ἥλιον, βασιλέα τέξει ὅστις αὖ ᾖ.

Ἐὰν ἴδῃ τις ὅτι ἐξέρχονται ἀπ᾽ αὐτοῦ ἀκτῖνες κωλύουσαι τὸν λαὸν τοῦ βλέπειν αὐτὸν, καὶ αὐτὸς βασιλεύσει.

Εἰ δὲ ἴδῃ τις ὅτι τὴν σφαῖραν τοῦ ἡλίου κρατεῖ ἄνευ ἀκτίνων οὖσαν· εἰ μὲν ἀσθενὴς ἢ ἐν θλίψει ὁ ἰδὼν, ὑγιανεῖ καὶ χαρήσεται.

Εἰ δὲ ἐπὶ μέγιστος ὁ ἰδὼν, καταφρονήσει τοῦ βασιλέως.

Εἰ δὲ ἐστὶ βασιλεὺς, ἕτερον μέγιστον βασιλέα ἢ ἐξουσιαστὴν δέσμιον ἕξει.

Εἰ δὲ ἴδῃ τις ὅτι ἀκτῖνας ὁ ἥλιος ἐξέλαμψε ἐν τῷ οἴκῳ αὐτοῦ ἔνδον ἀσυνήθως· χαρὰν καὶ πλοῦτον εὑρήσει παρὰ βασιλέως ἀναλόγως τοῦ φωτός.

Εἰ δὲ ἴδῃ ὅτι ἥλιος ἤτοι ὁ δίσκος εἰσῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ· εἰ μὲν ἐστὶ βασιλεὺς, γεννήσει βασιλέα.

Εἰ δὲ μέγιστός ἐστιν, ἢ τοῦ κοινοῦ, ὑψωθήσεται καὶ χαρήσεται τάχα, καὶ βασιλέα ὑποδέξεται.

Ἐὰν ἴδῃ τις ὅτι εἰσελθόντος τοῦ ἡλίου κατεφρόνησεν αὐτοῦ, ἐπίβουλος βασιλέως γενήσεται.

Ὁμοίως ἐὰν ἴδῃ τις ὅτι ἐν ὁδῷ ἐθέρμαινεν αὐτὸν ἡ τοῦ ἡλίου φλὸξ, εὑρήσει πλοῦτον παρὰ τοῦ βασιλέως ἀνάλογον τῆς θερμάνσεως.

Εἰ δὲ ἴδῃ ὅτι πλεῖστα ἀπέκαυσεν αὐτὸν, εὑρήσει τιμωρείαν ἀνάλογον τῆς καύσεως.

Ἐὰν ἴδῃ τις ὅτι ἥλιον ἐν τῷ οὐρανῷ ἀφώτιστον καὶ ἄνευ ἀκτίνων, τὸ πάθος καὶ ἀδοξία εἰς πρόσωπόν ἐστι τοῦ βασιλέως.

Εἰ δὲ ἔστιν ὁ ἰδὼν ἐκ τῶν μεγιστάνων, καταφρονήσει τοῦ βασιλέως.

Εἰ δὲ ἴδῃ ὅτι ὁ λαὸς ὁμοίως αὐτῷ ἐθεώρει τοῦτο, ὁμοίως καὶ ὁ λαὸς ἐξουθενήσει τὸν βασιλέα.

Ἐὰν ἴδῃ τις ὅτι τοῦ ἡλίου ἐγένετο ἔκλειψις, θλῖψιν καὶ πόλεμον, ἐχθρῶν εὑρήσει ὁ βασιλεύς.

Εἰ δὲ ἴδῃ ὅτι ἀπεκαθαρίσθη, εἰς νίκας ἔσται τοῦ βασιλέως· εἰ δὲ μὴ, τοὐναντίον.

Εἰ δὲ ἴδῃ τις ὅτι νεφέλῃ ἐκαλύφθη, εὑρήσει θλῖψιν ὁ βασιλεὺς καὶ νόσους ἀναλόγως τῆς καλύψεως.

Εἰ δὲ ἴδῃ ὅτι αὐτοῦ* ἀνατείλαντα καθαρῶς ἐν τῇ κλίνῃ αὐτοῦ· εἰ μὲν οὐκ ἔχει γυναῖκα, λαμβάνει πλουσίαν· εἰ δὲ ἔχει, συμφιλιάσει πλουσίαν, καὶ εὑρήσει ἐξ αὐτῆς χάριν εἰς βασιλείαν καὶ ἀξίωμα καὶ ὕψος ἀναλόγως τοῦ φωτός.

Εἰ δὲ ἴδῃ τις ὅτι νεφέλαις λεπταῖς ἐκαλύφθη ὁ ἥλιος, θλῖψιν καὶ νόσημα ἐλάττονα εἰς τὸν βασιλέα οἰέτω.

Εἰ δὲ ἴδῃ ὅτι ἀπεκαθαρίσθη, εἰς ὑγείαν καὶ χαρὰν μεταβάλλεται ὁ βασιλεύς.

Ἐκ παντὸς ὁ ἥλιος εἰς βασιλέα κρίνεται, καὶ εἴ τις ἐξ αὐτοῦ ὠφεληθῇ, ἢ βλαβῇ· ἀναλόγως προσδοκάτω.

Ἐὰν ἴδῃ τις ὅτι ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες πάντες μετὰ τοῦ οἰκείου φωτὸς συνήχθησαν εἰς ἕνα τόπον, καὶ εἶδεν ὅτι ἐξουσίασεν* αὐτῶν· βασιλεύσει, ἢ γενήσεται τοιοῦτος, ὥς τι ὑπ' αὐτοῦ διοικεῖσθαι τὸν βασιλέα καὶ πάντας.

Ἐὰν δὲ ὁ βασιλεὺς τοῦτο ἴδῃ, πάντα τὰ ἐναντία ἔθνη ὑποτάξει.

Γυνὴ ἐὰν ἴδῃ τοῦτο, δέσποινα ἔσται ἐν τοῖς βασιλείοις.

Εἰ δὲ ἴδῃ τις ὅτι ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες συνήχθησαν ἀφώτιστοι* καὶ φωτεινοὶ ἐξουσίασεν αὐτῶν· εἰ μὲν ἔστι τῶν μεγιστάνων, εἰς ἀπώλειαν ἥξει, διὰ τὸ σκότος.

Si quis solem in cælo luce radiisque carentem videre visus fuerit, ad personam regis calamitas spectat.

Sin is, cui tale visum oblatum fuit, è magnatum est numero: regem contẽnet.

Si videre visus fuerit populum eadem secum adspicientem, consimiliter & populus regem nihili faciet.

Si cui sol defecisse per quietem visus fuerit, ea res & adflictionem & bellum regi portendit.

Si vicissim repurgatum à tenebris solem videre visus fuerit, ad regis hoc victorias spectat: sin autem, diuersum significatur.

Si quis videre visus fuerit solem nube tectum, & in adflictionem, & morbos, pro occultationis modo, rex incidet.

Si videre visus fuerit orto iam manifesto sole, fuisse collustratum ab eius lumine lectum suum: si nullam vxorem habet, opulentam ducet: sin habet, in amorem opulentæ perueniet, per quam & regiæ maiestatis gratiam impetrabit, & dignitatem, & eminentiam, pro ipsius lucis modo.

Si quis solem nubibus tectum tenuibus videre visus fuerit, personæ regis adflictionem & morbum portendi, leuiorem tamen cogitet.

Si detersum videre visus fuerit, rex ad valetudinem pristinam lætitiámq; redit.

Omnino de rege sol intelligitur, à quo si quis vel commodum, vel damnum ceperit: cõsimile quiddam à rege expectet.

Si quis videre visus fuerit solem, & lunam, & omnia reliqua sydera suo cum lumine vnum in locum congregata, quibus ipse cum potestate præfuerit: aut regno potietur, aut talis fiet, vt ab eo rex ipse cum omnibus suis gubernetur.

Si regi somnium hoc oblatum fuerit, omnia sibi aduersa subiiciet.

Si mulieri, dominatum in aula obtinebit.

Si quis absque lumine solem, lunam, sidera congregata videre visus fuerit: si de magnatum numero est, propter istas tenebras omnino ruet in interitum.

Si rex est, circundatus ab vniuersis bello petetur, & magnam in afflictionem incidet.

Tenebræ siderum illi, cui per quietem offeruntur, etiam auri & opum dissipationem portendunt.

Si alios adficere consueuit iniuriis, duplicatas ab eo populus iniurias experietur.

Sol magnum aliquem regem denotat. si quidem is, cui visa iam exposita per quietem offeruntur, in ditionibus & prouinciis regis versatur, ad regem ipsum euenta spectant. Sin ad aliud imperium & potentatum pertinet, consimiliter res in ipsius capite ac magistratu exitum sortietur.

Luna, ceu dictum est, ad personam hominis à rege secundi refertur:

Venus, ad personam Augustæ:

Mercurius, ad personam principis inter regios scribas:

Mars, ad personam primi ducis regij, qui bella gerit:

Iupiter, ad personam eius, qui principe loco & opibus, & auro, & administrationi regis præest.

Saturnus ad eum refertur, qui facinorum pœnas exigit, & delinquentes castigat.

Si quis videre visus fuerit exortum in domo sua lunæ splendorem, gaudium atque opem consequetur ab eo qui secundum regem primas tenet.

Si coniuge caret, vxorem cum gaudio ducet, ac ditescet.

Si visus sibi fuerit ipsemet lunæ discum in domum suam deducere, vel eum habuisse in potestate: principis illius viri diuitiis & potestate sic vtetur arbitratu suo vt in eis ipse pro lubitu disponat.

Si luna regi defecisse, vel oscurata esse visa fuerit: is qui principem ab ipso locũ obtinet, perduellionis crimen incurret, & ad populum conatus ipsius emanabit.

Si visum hoc alij cuidam oblatum fuerit, similiter euentus ad personam illam principem spectabit.

Εἰ δὲ ἐστὶ βασιλεὺς, ἀπὸ πάντων κυκλούμενος πολεμηθήσεται, καὶ εἰς θλῖψιν μεγάλην ἥξει.

Καὶ τὸ σκότος τῶν ἀστέρων τῷ ἰδόντι ἀνθρώπῳ, σκορπισμὸν χρυσίου καὶ τοῦ πλούτου αὐτοῦ σημαίνει.

Καὶ ἐὰν ἐστὶν ἀδικητὴς * ἐκδικηθήσεται λαὸς ἐκ αὐτοῦ διπλασίως.

Ὁ ἥλιος εἰς βασιλέα μέγαν κρίνεται. καὶ ἐὰν ἐστὶν ὁ ἰδὼν τὰς εἰρημένας ὄψεις καὶ κρίσεις ἐν τοῖς τόποις ἢ ἐν τοῖς θέμασι τοῦ βασιλέως· ἀποβήσεται ἐν αὐτῷ. εἰ δὲ ἄλλης ἀρχῆς καὶ ἐξουσίας, ὁμοίως ἀποβήσεται εἰς τὴν κεφαλὴν αὐτοῦ.

Καὶ ἡ σελήνη ὡς εἴρηται, εἰς πρόσωπον τοῦ δευτέρου ἀπὸ τοῦ βασιλέως κρίνεται.

Καὶ ἡ Ἀφροδίτη εἰς πρόσωπον τῆς αὐγούσης.

Καὶ ὁ Ἑρμῆς εἰς πρόσωπον τοῦ πρώτου τῶν γραφέων τοῦ βασιλέως κρίνεται.

Εἰ δὲ ὁ Ἄρης, εἰς τὸν πρῶτον πολεμιστὴν τοῦ βασιλέως κρίνεται.

Ὁ δὲ Ζεὺς, εἰς τὸν πρῶτον τοῦ πλούτου καὶ τῆς διοικήσεως τοῦ βασιλέως καὶ τοῦ χρυσοῦ.

Καὶ ὁ Κρόνος, * ποινελάτην καὶ παιδευτὴν διακρίνεται.

Ἐὰν ἴδῃ τις τὴν σελήνην ἐπιλάμψασαν αὐτὴν ἐν τῷ οἴκῳ αὐτοῦ, εὑρήσει χαρὰν καὶ ἀντίληψιν ἐκ τοῦ πρωτεύοντος ἀπὸ τοῦ βασιλέως.

Καὶ ἐὰν ἐστὶν ἄγαμος, λαμβάνει γυναῖκα τῆς χαρᾶς, καὶ πλουτήσει.

Ἐὰν ἴδῃ τις ὅτι αὐτὸς τὸν δίσκον τῆς σελήνης ἦγεν εἰς τὸν οἶκον αὐτοῦ, ἢ ὅτι ἐδέσποσεν αὐτόν· κυριεύσει τοῦ πλούτου καὶ τῆς ἐξουσίας τοῦ πρωτεύοντος διαταττόμενος αὐτοῖς.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς τὴν σελήνην σκοτισθεῖσαν ἢ ἐκλείψασαν· εἰς ἐπιβουλὴν καὶ ἐναντίωσιν αὐτοῦ ἥξει ὁ πρωτεύων ἀπ' αὐτοῦ, καὶ φωραθήσεται ἐν τῷ λαῷ.

Εἰ δὲ ἄλλος τις ἴδῃ τοῦτο, εἰς πρόσωπον ὁμοίως τοῦ πρωτεύοντος ἀποβήσεται.

Εἰ δὲ ἴδῃ ὅτι πάλιν ἐκαθαρίσθη καὶ ἦλθεν εἰς τὰ φῶτα αὐτῆς, πάλιν ἀνακαλεῖται: καὶ εἰς τὴν αὐτοῦ ἐξουσίαν ἐπανελεύσεται.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς τὸν ἀστέρα τῆς Ἀφροδίτης ὀλιγόφωτον ἀνατέλλοντα· μισήσει τὴν αὔγουσαν αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι νεφέλαις ὁ ἀστὴρ ἐκυκλώθη, εὑρήσει εἰς τὴν αὔγουσαν, νόσον καὶ θλίψιν.

Εἰ δὲ πολύφωτος καὶ ἐνδοξότερος ὁ ἀστὴρ· εὑρήσει χαρὰν καὶ ἀγάπην ἐν αὐτῇ, καὶ τέξει ἄρσεν.

Εἰ δὲ ἴδῃ ὅτι ἔπεσεν ὁ ἀστὴρ οὗτος, ἀποθανεῖται ἡ αὔγουσα.

Ἀλλὰ καὶ ἄλλος τις ἐὰν ἴδῃ τοῦτο, εἰς τὴν αὔγουσαν ἀποβήσεται.

Ἐὰν ἴδῃ ὅτι ἐπέλαμψεν αὐτῷ ἢ τῷ οἴκῳ αὐτοῦ, εὑρήσει χαρὰν ἀπ' αὐτῆς.

Καὶ οἱ λοιποὶ μέγιστοι ἀστέρες καθ' ὡς εἴρηται εἰς τὰ εἰρημένα πρόσωπα διακείνονται, καὶ καθ' ὃν τρόπον εἴπομεν· καὶ ταῦτα ὁ βλέπων ἐὰν ἐστὶν μακρά· εἰ μὲν ἐστὶν εἰς τὴν γῆν τοῦ βασιλέως τοῦ μεγίστου, ἀποβήσεται αὐτῷ.

Εἰ δὲ ἐν γῇ ἀλλοτρίᾳ, εἰς τὴν κεφαλὴν τῆς γῆς ἐκείνης ταῦτα κρινέτω. πλὴν ἀνεπίδεκτόν ἐστιν ὡς ἐπὶ τὸ πολὺ ταῦτα ἐν ἀλλοτρίᾳ ἰδεῖν γῇ.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων ὁμοίως. ρξη.

Ἡ σελήνη, εἰς τὸν δεύτερον, ἤτοι τὸν ἥττονα βασιλέα κρίνεται.

Ἐάν τις ἴδῃ αὐτὴν ἐν τῷ οὐρανῷ καθὼς ἐστὶ μετὰ τοῦ φωτὸς αὐτῆς πλήρη· εὑρήσει χαρὰν ἐκ τοῦ βασιλέως καὶ πλοῦτον ἐξ αὐτοῦ.

Si videre visus fuerit lunam à tenebris vicissim repurgatam, amissa luce recuperata: rursus ille reuocabitur, & ad eandem gloriam redibit.

Si rex videre visus fuerit, exigua cum luce Veneris sidus oriri: Augustam suam odio prosequetur,

Si nubibus idem sidus vndique obductum videre visus fuerit, in Augustæ persona morbum & adflictionẽ experietur.

Sin multa luce sidus illud abundauerit, plúsque maiestatis habuerit: & oblectationem ex ea capiet, & amabit eam, marémque procreabit.

Si cecidisse sidus hoc visum fuerit, Augusta morietur.

Sed & si quis alius hoc videre putauerit, somnium ad Augustam similiter referendum erit.

Quòd si etiam alius quispiam videre visus fuerit, quasi sidus hoc splendorem suum in ipsum, vel domum eius emitteret: lætitiam ab ea consequetur.

Reliqua quoque sidera maxima, ceu dictum est, ad personas indicatas referuntur eo modo, quem exposuimus, & qui ea videre visus fuerit, si quidem in regione vel regis, vel amplissimi alicuius viri degit, ad eos interpretatio somnij pertinebit.

Sin aliena in ditione viuit, ad eius terræ caput omnia referantur. Plerumque tamen ita res comparata est, vt hæc in aliena terra nemini per quietem offerantur.

Consimiles rationes ex Persarum & Aegyptiorum obseruationibus.

CAP. 168.

Lunæ interpretatio pertinet ad eum, qui secundus in regno est, solo nimirum rege minor.

Si quis lunam in cælo videre videatur, toto splendentem lumine: gaudium à rege cum diuitiis consequetur.

Si proximo ex interuallo visus sibi fuerit eam videre, vel quod eam sinu manúue teneat: si vir est vxorem elegantem & lepidam accipiet, prout Lunæ discus plenè visus fuerit illuminatus.

Sin mulier est, similiter & ipsa maritum accipiet.

Consimili modo si visa fuerit splendore suo vel ipsum, vel domum eius collustrasse: lætitiam ab eodem rege vel ipsius familia, vel ipse consequetur.

Si visus sibi fuerit videre Lunam caliginosam & illunem, ad execrationem & interitum suum fortè mulierem accipiet, & à rege punietur.

Similiter si visum hoc oblatum homini plebeio fuerit, ipse casus aduersus ad eiusmodi regem referatur.

Cæterorum quoque siderum maximorum multitudo ad nobiles & opulentos, habita proportionis ratione, refertur, & ad eos, qui regi proximi sunt, quoquo tandem loco degant.

Habent autem pleniorem interpretationem sidera, quæ proxima visa fuerint, vt exiliorem, quæ longius remota.

Si quis videre visus fuerit maxima quæque reliquorum siderum, lucisque plena, in vnum collecta locū: hoc ipsum de concilio lætitiáque publica illorum accipiat, de quibus est dictum.

Consimiliter si ea perexiguo prædita lumine, disiecta & sparsa, caliginosáque videre visus fuerit: hoc ad indicatarum personarum calamitatem, & ad regios præsides refertur.

Sin ex parte vel adfecta fuisse visa fuerit, vel lucem præbuisse: hoc ad particularem quoque lætitiam, vel dolorem referat.

Si quis vniuersis sideribus aliis præfuisse cum potestate visus sibi fuerit, omnes populos in ditionem rediget: ac si quidem idoneus est, imperio potietur.

Sin ex parte potestatem in ea visus sibi fuerit habuisse, dominatum vnius populi adsequetur.

Si visus sibi fuerit pascere, bellè disponere, atque in ordinem redigere sidera: principatum populi à rege maximo consequetur, pro ratione temporis, & dispositionis ipsorum siderum.

Εἰ δὲ ἐγγύθεν ἴδῃ αὐτὴν, ἢ ἐν τοῖς κόλποις, ἢ ἐν τῇ χειρὶ κατάσχῃ· εἰ μὲν ἐστιν ἀνὴρ, λήψεται γυναῖκα χαρίεσσαν ἀνάλογον τῆς πληρώσεως τοῦ πεφωτισμένου δίσκου.

Εἰ δὲ γυνὴ ὁμοίως * * * * * * * * * καὶ αὐτὴ ἢ τὸν οἶκον αὐτοῦ· εὑρήσει χάριν παρὰ τοῦ αὐτοῦ βασιλέως ἢ αὐτὸς ἢ τὸ γένος αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ὡράθη αὐτῷ σκοτεινὴ καὶ ἀσέληνος, ἐπὶ κατάρᾳ καὶ ἀπωλείᾳ, γυναῖκα λήψεται τάχα καὶ τιμωρηθήσεται παρὰ τοῦ βασιλέως.

Ὁμοίως ἐὰν ἴδῃ τοῦτο τις τοῦ κοινοῦ λαοῦ, τὸ πάθος, εἰς τὸν τοιοῦτον βασιλέα λογιζέσθω.

Ἀλλὰ καὶ τὸ πλῆθος τῶν ἄλλων ἀστέρων τῶν μεγίστων εἰς τοὺς εὐγενεῖς καὶ πλουσίους διακείνονται, ἀνάλογως καὶ τοὺς ἔγγιστα τοῦ βασιλέως κατοικοῦντας ἐπὶ παντὸς τόπου.

Καὶ πλειονα κρίσιν ἔχουσιν οἱ ἔγγιστα, ἐλάσσονα δὲ οἱ εἰς μακράν.

Ἐὰν ἴδῃ τις τὰ μέγιστα τῶν ἄλλων ἀστέρων πολύφωτα συνηγμένα· συνάξιν καὶ χαρὰν παρὰ τῶν εἰρημένων κοινὴν οἰκιέσθω.

Ὁμοίως ἐὰν ἴδῃ ταῦτα ὀλιγόφωτα καὶ διασκορπισμένα ἢ σκοτεινά· τὸ πάθος εἰς τὸν εἰρημένον λαὸν καὶ τοὺς ἄρχοντας τοῦ βασιλέως κρινέτω.

Εἰ δὲ ἴδῃ ὅτι μερικῶς ἢ ἔπαθον ἢ ἐφωταγώγησαν· κρινέτω καὶ εἰς τὴν χαρὰν καὶ τὴν λύπην μερικῶς.

Ἐὰν ἴδῃ τις ὅτι ἐδέσποσε τῶν ἄλλων ἀστέρων πάντων, δεσπόσει πάντων λαῶν· καὶ ἐὰν ἐστιν ἐπιτήδειος, βασιλεύσει.

Εἰ δὲ ἴδῃ ὅτι ἐδέσποσεν αὐτῶν μερικῶς, δεσπόσει λαοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ποιμαίνῃ καὶ διευθετεῖ, καὶ εἰς κατάστασιν φέρει τὰ ἄστρα, ἐξουσίαν λήψεται λαοῦ παρὰ τοῦ μεγίστου βασιλέως, ἀνάλογον τοῦ καιροῦ καὶ τῆς διευθετήσεως τῶν ἄστρων.

Ἐὰν ἴδῃ τις ὅτι τρώγει ἄστρα, ἀναλώσει τοὺς ἀνθρώπους, ἀναλόγως τῆς βρώσεως.

Εἰ δὲ ἴδῃ ὅτι κατέπιεν αὐτὰ ἀμασήτως, ἀσυνήθεις ἄνδρες εἰσελεύσονται ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ συναναμιγήσονται αὐτῷ φιλικῶς.

Ἐκ τῶν Περσῶν τοῦ αὐτοῦ ὁμοίως. ρξθ'.

ΕἊΝ ἴδῃ τις ὅτι προσκυνεῖ ἄστροις τοῖς θεοποιηθεῖσι, δεηθήσεται τι τοῦ βασιλέως καὶ εὑρήσει χάριν* εἰ ἐπέλαμψεν αὐτὸν τὰ ἄστρα.

Εἰ δὲ ἴδῃ ὅτι κλαίει ἐνώπιον αὐτῶν, εὑρήσει χάριν ἐνώπιον τοῦ βασιλέως, ἀνάλογον τοῦ κλαυθμοῦ.

Εἰ δὲ ἴδῃ ὅτι θυμιᾷ ἐνώπιον τοῦ ναοῦ ὄντος, φήμην καλλίω μετ' ἐξουσίας διὰ τὸ πῦρ εὑρήσει ἐνώπιον τοῦ βασιλέως ἀναλόγως τῆς εὐωδίας.

Εἰ δὲ ἐθυσίαζεν αὐτοῖς· τέλειον πόθον καὶ ἀληθῆ πρὸς τὸν βασιλέα ἀποδείκνυει κἄν τε μικρὸς, κἄν τε μέγας.

Ἐκ τῶν Ἰνδῶν περὶ ἀστέρων. ρο'.

ΕἊΝ ἴδῃ τις ὅτι προσκυνεῖ τοῖς ἄστροις τοῖς θεοποιουμένοις παρὰ πολλῶν, ψευδολόγως, ἀπατηλὸς πρὸς μεγιστᾶνας ἀναλόγως ἀποβήσεται τῶν ἀστέρων.

Διότι ὅσα προσκυνήθησαν ἔξωθεν τοῦ δημιουργοῦ, ψευδῆ καὶ μάταια. τῷ δὲ θεῷ μόνῳ ἡ προσκύνησις ἀξία.

Ἐὰν ἴδῃ τις ὅτι ἀναβλέψας εἶδε τοὺς ἀστέρας ἐν* ἀληθέσι, ἤτοι ἐν τύπῳ γραμμάτων· εἰ μὲν ἐστι βασιλεὺς ἢ μεγιστὰν, ἡ ἐξουσία αὐτοῦ πληθυνθήσεται καὶ πολυζώητος ἔσται ἀναλόγως τῆς θέας καὶ τῆς κατανοήσεως αὐτῶν.

Si quis sidera manducare visus sibi fuerit, pro modo manducationis homines absumet.

Sin ea citra manducationem absorbuisse visus fuerit, inusitati quidam homines in eius domum venient, & amicè cum eo conuersabuntur.

Eiusdem generis, ex Persarum disciplina.

CAP. 169.

SI quis astra deorum in numerum relata visus sibi fuerit adorare, rei cuiusdam caussa regi preces offeret, & gratiam inueniet, si quidem astra visa fuerint eum splendore suo collustrare.

Si coram eis flere visus fuerit, gratiam apud regem inueniet, pro modo ploratus.

Si suffitum eis facere visus sibi fuerit intra templum, propter vim ignis existimationem famamque præclaram cum potestate apud regem inueniet, pro ipsius fragrantiæ modo.

Sin eis immolauit, siue adeò conditionis humilis fuerit, siue magnus: amorem perfectum & verum erga regem declarabit.

De sideribus, ex Indorum traditionibus.

CAP. 170.

SI quis adorare visus sibi fuerit astra, quę pro diis vulgus habet, mentiendo fraudulentè se geret erga magnates, pro ratione siderum.

Nam quæcunque præter opificem rerum adorantur, falsa sunt atque vana. Soli nimirum Deo competit adoratio.

Si quis suspexisse visus sibi fuerit, & vidisse sidera per res veras & existentes, putà in figura litterarum: si rex est, aut magnatum quispiam, potestas eius dilatabitur, & longæuus erit, prout ea visus sibi fuit intueri & adspicere.

Si litteras legisse visus est, significatum efficacius erit, ac quidquid sanè legerit, pro certo teneat.

Si non legerit, beneficio minore potietur.

Si quis à sideribus ductus, iter facere visus sibi fuerit, tam terra, quā mari fortunatus erit, & maximo se, iustóque iudici adiunget, apud quem erit in gratia.

Sin errare visus sibi fuerit in itinere, in iudicem stolidum incidet; à quo adfligetur.

Si quis videre visus fuerit in mare delapsa sidera, hominum à rege profectam internecionem per hoc visum intelligat.

Si rex tale somnium habuerit, cladem populi sui morientis maximam videbit.

Si videre visus fuerit astra coloris ignei mutuò semet inuadentia, diuersos nuntios de populo suo, & eius interitu, accipiet: pro inflammationis eorum modo.

Si rex vel augusta videre visi fuerint, quasi degressum è cælo sidus cum eis sit colloquutum: omnem à Deo lætitiam, & impletionem desideriorum suorum, impetrabunt.

Si plebeius aliquis hoc videre visus fuerit ad hilaritatem & rectam valetudinem cuique cedet, si quidem vel æger est, vel adfligitur. Sin autem, in professione quisque sua voluptatem inueniet.

Εἰ δὲ ἴδῃ ὅτι ἀνεγίνωσκεν αὐτὰ, ἔσται τὸ ὄνομα ἰσχυρότερον, καὶ εἴ τι ἀναγνῶ, κρατείτω ἀπαραβάτως.

Εἰ δὲ οὐκ ἀνέγνω, ἔσται αὐτῷ ἡ χάρις ἐλαττοτέρα.

Ἐὰν τις ἴδῃ ὅτι ὑπὸ ἀστέρων ὁδηγούμενος ἀποδημεῖ διά τε ξηρᾶς ἢ θαλάσσης καὶ κατευοδοῦται, εἰς μέγιστον καὶ δίκαιον κριτὴν κολληθήσεται καὶ εὑρήσει χάριν παρ' αὐτοῦ.

Εἰ δὲ ἡ ὁδὸς αὐτοῦ ἐγένετο κατὰ πλάνην ἀκατευοδωτέρως, εἰς ἄνθρωπον ψευδοκρίτην ἥξει, καὶ θλιβήσεται παρ' αὐτοῦ.

Ἐὰν ἴδῃ τις τοὺς ἀστέρας πίπτοντας ἐν τῇ θαλάσσῃ, ἀπώλειαν ἀνδρῶν παρὰ βασιλέως κρινέτω.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, θάνατον μέγιστον τοῦ λαοῦ αὐτοῦ ὄψεται.

Εἰ δὲ ἴδῃ τοὺς ἀστέρας πυροχρόους ἐπερχομένους ἀλλήλοις, διάφορα μηνύματα δέξεται διὰ τὸν λαὸν αὐτοῦ καὶ εἰς ἀπώλειαν αὐτῶν ἔσται ἀναλόγως τῆς πυρώσεως.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ἢ ἡ αὐγοῦστα ὅτι κατελθὼν ἀστὴρ ὡμίλησεν αὐτοῖς· παρὰ θεοῦ πᾶσαν χαρὰν καὶ πλήρωσιν τῶν ἐπιθυμιῶν αὐτῶν δέξονται.

Εἰ δὲ τῷ κοινῷ λαῷ τοῦτο ἴδῃ, εἰς χαρὰν ἕκαστος καὶ ὑγείαν γενήσεται, ἐὰν ἄρα νοσεῖ ἢ θλίβηνσεται· εἰ δὲ μὴ, ἕκαστος χαιρήσεται ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

De pluuia, ex Indorum disciplina. CAP. 171.

PLuuia de impletione voti ac precationis, déque misericordia intelligitur.

Si quis ergo per quietem videre visus fuerit, irrigatum à pluuia prędium suum: & opes, & lętitiam, & misericordiam impetrabit à Deo.

Si regi visum hoc oblatum fuerit, idque illo tempore, quo magna pluuiæ penuria: quidquid à Deo petiuerit, impetrabit.

Quòd si etiam caritas annonæ regionem ipsius vexat, fertilitas sequetur.

Ἐκ τῶν Ἰνδῶν περὶ βροχῆς. ροα'.

Ἡ βροχὴ εἰς αἰτήσεως ἐκπλήρωσιν καὶ εἰς ἔλεον διακρίνεται.

Ἐὰν οὖν ἴδῃ τις κατ' ὄναρ ὅτι ἐβράχη ἡ χώρα αὐτοῦ· εὑρήσει πλοῦτον καὶ χαρὰν καὶ ἔλεος ἀπὸ θεοῦ.

Ἐὰν δὲ ἴδῃ τοῦτο ὁ βασιλεὺς, ἐν καιρῷ χρείας βροχῆς, εἴ τι ἂν αἰτήσεται τὸν θεὸν, δώσει αὐτὸν ὁ θεός.

Καὶ ἐὰν ἔχῃ λιμὸν ἡ γῆ αὐτοῦ, εὐφορήσει.

Εἰ δ' οὐκ ἐν καιρῷ χρείας βροχῆς, ἡ κρίσις ἐλάσσων καὶ ἀνενεργεστέρα ἐστίν.

Ἐὰν τις ἴδῃ ὅτι πίνει ἐκ τῆς βροχῆς, εἰ μὲν ἐστι καθαρά, μετὰ τὴν εἰρημένην κοινὴν εὐεργεσίαν καὶ αὐτὸς ὁ πίνων μεγάλως εὐεργετηθήσεται.

Εἰ δὲ θολόν, εὑρήσει νόσον καὶ θλίψιν ἀναλόγως τῆς πόσεως τοῦ πλήθους.

Εἰ δὲ ἴδῃ ὅτι μόνος ὁ οἶκος αὐτοῦ βροχῇ ἐβράχη, εὑρήσει ἡ φαμιλία αὐτοῦ νόσον λοιμώδη καὶ νόσους ὀξείας.

Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων διαφόρων οἴκων οὕτως θεωρουμένων κατ' ὄναρ, ἡ αὐτὴ κρίσις ἐστίν.

Ἐὰν ἴδῃ ὅτι συνῆξεν ἐκ τῆς αὐτῆς βροχῆς ἀνάλογον τοῦ πλήθους τῆς συνάξεως, θλίψιν καὶ ἀνάγκην εὑρήσει.

Si non eo tempore, quo pluuia desideratur: minus aliquanto virium habet interpretatio.

Si quis de pluuia bibere visus sibi fuerit, siquidem pura est, post indicatum illud publicum beneficium, & is, qui pluuiam bibit, magna diuinitus beneficia consequetur.

Sin turbida, in adflictionem & morbum incidet, prout multum bibisse visus sibi fuerit.

Si domum duntaxat suam pluuia madefactam videre visus fuerit, in morbum pestilentem & ægritudines acres familia eius incidet.

Similiter & de aliis diuersis ædificiis, quæ hoc modo conspici per quietem visa fuerint, eadem est interpretatio.

Si quis copiam pluuiæ quandam collegisse visus sibi fuerit, pro modo factæ collectionis, adflictionem & aduersitates experietur.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ βροχῆς. ροβ'.

Ἐὰν ἴδῃ τις ὅτι κατὰ τάξιν ἐβράχη ὁ τόπος αὐτοῦ, οἱ κατοικοῦντες ἐκεῖσε ἀγαθοποιηθήσονται παρ' αὐτοῦ βασιλέως.

Εἰ δὲ ἡ βροχὴ πλέον τῆς χρείας ἀτάκτως ἐφέρετο· οἱ κατοικοῦντες ἀγανάκτησιν ἕξονται παρὰ τοῦ βασιλέως καὶ ὕστερον ἐλεηθήσονται.

Εἰ δὲ ἴδῃ ὅτι καθ' ὁδοῦ ἐβράχη· εἰ μὲν ἐστι βασιλεύς, ἐναντίωσιν * θελήματι δέξεται ἀνάλογον τῆς βροχῆς τῶν ἱματίων αὐτοῦ· καὶ ἐὰν ἔχῃ ταξείδιον ἐάσει αὐτό.

Ὁμοίως καὶ ἐπὶ τοῦ κοινοῦ λαοῦ, καὶ ἐπὶ παντὸς προσώπου ἡ αὐτὴ κρίσις ἐστίν.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐβράχη μὲν ὁ τόπος ἔξωθεν τοῦ ἀέρος ἤτοι ἀπὸ βροχῆς δι' ἑτέρου ἤθους ἡ προσδοκία τῶν κατοικούντων ἐκεῖσε οὐ γενήσεται, ἀλλὰ νέον πρᾶγμα ἀπὸ ἐναντίας ἔσται αὐτοῖς, καὶ νόσον παρὰ φύσιν.

Consimiles rationes ex Persarum & Aegyptiorum monumentis. CAP. 172.

SI quis videre visus fuerit locum & regionem suam moderata pluuia rigatam, eius regionis incolæ regis beneficentiam experientur.

Sin vltrà, quàm vsus postulet, ac immoderatè pluat: incolæ regis indignationem experientur, & tandem misericordiam rursus impetrabunt.

Si visus sibi fuerit in itinere à pluuia madefactus, si rex est, aduersum aliquid voluntati suæ experietur, prout ipsius vestimenta maduerint. Quòd si etiam expeditio instituenda erit, omittet eam.

Similiter & de plebeis, déque persona quauis eadem est interpretatio.

Si quis videre visus fuerit locum irrigatum non ab aëre, siue pluuia, sed alio quodam modo: eius loci incolarum spes & expectatio frustra erit, adeóque nouam rem quandam aduersam, & morbos præter naturam experientur.

Vbicunque pluerit, pluuia pura cuiuis personæ bonum portendit: sin turbida fuerit, & impura, diuersum.

De luto, ex Indorum disciplina.

CAP. 173.

SI quis in luto visus sibi fuerit ambulare, sollicitudinem & adflictionem inueniet, pro ipsius luti copia.

Si fœtido in luto ambulat, adflictio grauior eum cum infamia, propter fœtorem, excipiet.

Si quis figulinum opus fecisse visus sibi fuerit de humo pura, experietur in auro suo malam administrationem, cum sollicitudine & adflictione.

Si videre visus fuerit aliquam vestem suam luto conspurcatam, adflictionem experietur, secundum expositam superius interpretationem, in iis personis, quas singulas ad vestes retulimus.

Similiter & in membris eadem est ratio, prout antea de singulis membris diximus.

De terrae faucibus, & alueis aquae pluuiae, ex Indorum, Persarum, Aegyptiorúmque doctrina.

CAP. 174.

SI quis visus sibi fuerit iter facere, vel transire per fauces terræ ab aqua pluuia factas, ei ab hoste forti ac potente vis & adflictio quædam imminet.

Si magna cũ difficultate visus sibi fuerit eas penetrasse, ab hoste liberabitur.

Si videre visus fuerit, ablatam sibi vestem ab eadem aqua torrente: vel opum suarum, vel personarum, ad quas vestimentum quodlibet suprà relatum est, vi potentis alicuius hostis iacturam faciet.

Ὅπου ἂν βρέχῃ ἡ καθαρὰ βροχὴ, εἰς ἀγαθὸν τοῦ παντὸς προσώπου διακείνεται· εἰ δὲ ἔνθολος καὶ μὴ καθαρὸς, εἰς ἐναντίον.

Ἐκ τῶν Ἰνδῶν, περὶ πηλοῦ. ρογ'.

ἘΑ'Ν τις ἴδῃ ὅτι περιπατεῖ ἐν πηλῷ, εὑρήσει μέριμναν καὶ θλῖψιν ἀνάλογον τοῦ πλήθους.

Εἰ δὲ ἴδῃ ὅτι εἰς δυσώδη πηλὸν περιπατεῖ, βαρυτέραν θλῖψιν καὶ φήμην κακὴν λάβῃ, διὰ τὴν δυσωδίαν.

Εἰ δὲ ἴδῃ ὅτι ἐπηλωποίει* χώματι καθαρῷ, εὑρήσει εἰς τὸ χρυσίον αὐτοῦ κακοδιοίκησιν ἐν μερίμνῃ καὶ θλίψει.

Εἰ δὲ ἴδῃ ὅτι ἐνεπηλώθη τι τῶν ἱματίων αὐτοῦ, εὑρήσει θλῖψιν εἰς τὴν ἄνωθεν εἰρημένην κρίσιν ἐν οἷς ἕκαστον ἐκρίθη τῶν ἱματίων προσώποις.

Ὁμοίως καὶ ἐπὶ τῶν μελῶν ἡ αὐτὴ κρίσις ἐν οἷς ἕκαστον μέλος προεκρίθη.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ χαραδρῶν γῆς καὶ ὑετοῦ. ροδ'.

ἘΑ'Ν ἴδῃ τις ὅτι ἦλθεν ἢ ἐπέρασεν χαράδραν γῆς ἐξ ὑετῶν, εὑρήσει ἀνάγκην καὶ θλῖψιν ἐξ ἐχθροῦ ἰσχυροῦ καὶ ἐξουσιαστοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐπέρασεν αὐτὴν μετὰ δυσκολίας πολλῆς, ῥυσθήσεται αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι τὸ αὐτὸ ὕδωρ ἐπῆρε τὸ ἱμάτιον αὐτοῦ καὶ κατήγαγεν ὁ ἰδὼν ἐκ τοῦ πλούτου αὐτοῦ· ἢ ἐκ τῶν προσώπων ἐν οἷς ἕκαστος ἐκρίθη ἱμάτιον, παρ' ἐχθροῦ ἰσχυροῦ ὑφελεῖ.*

Ὅταν ἴδῃ τις ἑαυτὸν ἀποπνιγόμενον ἐν αὐτῇ τῇ χαράδρᾳ, εἰς πόλεμον ἐχθροῦ ἰσχυροῦ ἀποθανεῖται.

Εἰ δὲ ἴδῃ τις ὅτι ἡ αὐτὴ χαράδρα δένδρα ἢ οἰκίας συνέσυρε καὶ κατήγαγεν· εἰ μὲν ἐστὶ βασιλεὺς, ἄνδρας ἀναλόγως τῶν δένδρων καὶ χώρας ἀπολέσει.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εἰς πρόσωπον αὐτοῦ τὰ αὐτὰ κρίνεται ἡ ἀπὸ τοῦ πολέμου * ἀπώλεια.

Ἐκ τῶν Ἰνδῶν περὶ ποταμῶν. ροέ.

ΟἹ ποταμοὶ εἰς πρόσωπον ἀνδρῶν ἀναλόγως τοῦ μεγέθους κρίνονται μικρῶν τε καὶ μεγάλων.

Ἐὰν ἴδῃ τις ὅτι ἦλθε πρὸς τοὺς * μεγίστους ὄνομα ποταμοῦ παρὰ τῇ γραφῇ τοῦ περάσαι ἢ ὑδρεύσεσθαι· εἰ μὲν ἐπέρασεν ἄνευ πλοίου δι' ἑτέρου δεήσεως ἐπιτεύξεται.

Εἰ δὲ ὑδρεύετο, εὑρήσει ἐκ τοῦ πλούτου αὐτοῦ μεγιστάνοις ἀνάλογον τῆς ὑδρεύσεως.

Εἰ δ' ἔπιεν ἐξ αὐτοῦ τοῦ ποταμοῦ καὶ ἦν καθαρὸν καὶ ἡδὺ τὸ πόμα· εὑρήσει χαρὰν καὶ εὐζωΐαν ἐκ μεγιστάνου.

Εἰ δὲ ἔνθολον καὶ ἀηδές· εὑρήσει θλίψιν ἐκ τοῦ τοιούτου ἀνδρὸς, καὶ νοσήσει.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι ἐκ τῶν ἄλλων ποταμῶν ὑδρεύετο· ἀπὸ κοινοῦ ἀνδρὸς εὑρήσει πλοῦτον ἀνάλογον τοῦ ποταμοῦ.

Εἰ δὲ ἴδῃ ὅτι διεκολύμβα ἐν τῷ ποταμῷ χάριν πόρου ἢ λούσεως· μετ' αὐθεντείας ὑπὲρ ὧν ἀγωνίζεται μετ' ἀνδρὸς, ὑπονικήσει, ἐὰν ἄρα ἐπέρασεν· εἰ δὲ μή, τοὐναντίον.

Εἰ δὲ χάριν ἀπολούσεως ῥύπου· ἀποβάλλει τὴν θλίψιν αὐτοῦ δι' ἀνδρὸς μεγίστου ἀναλόγως τοῦ ποταμοῦ.

Quum quis in eodem alueo torrentis visus sibi fuerit suffocatus, in bello aduersus hostem validum occumbet.

Si quis videre visus fuerit eundem torrentem arbores cum ædificiis ablatas anexisse: si rex est, pro arborum modo tam homines, quàm terras amittet.

Si plebeius, ipsummet in prælio periturum portenditur.

De fluminibus, ex Indorum disciplina.

CAP. 175.

FLumina, pro ratione magnitudinis ipsorum, ad personas tam humilium, quàm magnorum hominum referuntur.

Si quis visus sibi fuerit ad maximum in scriptura flumen accessisse, vel transiiciendi, vel aquandi caussa: si absque nauigio transiecit, alterius intercessione, quod cupit, impetrabit.

Sin aquari visus est, de magnatis alicuius opibus sese collocupletabit, pro ipsius aquationis modo.

Si de flumine bibit, ísque potus & limpidus & dulcis erat: à magnate quodam gaudium & dignitatem consequetur.

Sin turbidus erat, & insuauis: ab eiusmodi homine vexabitur, & in morbum incidet.

Similiter si de fluminibus aliis aquari visus sibi fuerit, opes ab homine plebeio consequetur, pro ipsius fluminis modo & quantitate.

Si visus sibi fuerit in fluuio natasse, transiectionis aut lauandi caussa: cum auctoritate superior euadet in iis caussis, de quibus ei cum alio lis est, modò transiecerit. sin autem, contrarium accidet.

Sin abluendarum sordium caussa natare visus sibi fuerit, amplissimi viri ope, pro ratione fluminis, ex ærumnis liberabitur.

Si rex imperasse visus sibi fuerit, vt eiusmodi flumen deriuaretur: idque deriuatum deinde fuit; amplissimum quendam virum, pro modo fluminis, in seruitutem redigent, ac quò volet, transferet.

Si flumen in alueum suum reuerterit, maximus ille vir vicissim regis amorem in se flectet.

Si rex imperasse visus sibi fuerit, vt flumen aliquod ponte sterneretur: virum maximum liberè, non seruilem in modum, pro quantitate fluminis, amore sibi deuinciet.

Si rex visus sibi fuerit aquam fluuialē in lacus siue cisternas immisisse, pro modo & quantitate fluminis opes à maximo quodam viro acceptas in thesauros suos referet.

Si quis visus sibi fuerit confecisse receptaculum quoddam, instar lacus, déque fluminibus aquam eo deriuasse: diuitias ab aliis consequetur, & in thesauros suos congeret.

Aqua paulatim manans in morem fluminis, licet magnas vires habeat, si ab aliquo vel impediatur, vel obstruatur: non tamen ad amplissimum aliquem virum refertur, sed ad vitam hominum.

Quòd si quis aquam huiusmodi collegisse, suæque ditionis fecisse, visus sibi fuerit prout aqua limpida fuerit, & ipse viuendi breue vel longum spatium inueniet.

Quòd si videre sibi videatur alios quoque vicinos ex ea bibere: de suis opibus eis benefaciet, modò limpida & dulcis aqua fuerit.

Sin turbida, & ingrati saporis: tam ipse, quàm alij de ea bibentes, vitam miseram exigent.

Si locum suum rigare visus sibi fuerit, ad potestatem principis euehetur, & res præclaras ac vtiles inter homines geret.

Si quis visus sibi fuerit iter faciens in loco quodam ignoto, vel ex ignoto vase bibisse: si totum vas ebibit, citò morietur: sin aliquid in vase remansit, pro eius, quod superfuit, modo & portione, viuet.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι τοιοῦτον ποταμὸν ἐκέλευσε καὶ μετωχετεύθη· ἄνδρα μέγιστον, ἀνάλογον τοῦ ποταμοῦ καταδουλώσει, καὶ οἴσει ὅπου ἂν θέλει.

Εἰ δὲ πάλιν ἐπιστραφῇ ὁ ποταμὸς εἰς τὸν ἴδιον τόπον, ἀναστρέψει ὁ μέγιστος αὐτοῦ τὴν ἀγάπην τοῦ βασιλέως.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἐκέλευσε γεφυρωθῆναι ποταμόν· ἀγάπην ἀπὸ ἀνδρὸς μεγίστου συνδήσει ἐλευθέρως οὐ δουλικῶς ἀνάλογον τοῦ ποταμοῦ.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ποταμῶν ὕδωρ ἤγαγεν ἐν δεξαμεναῖς, πλοῦτον ἀνάλογον ἀπὸ ἀνδρὸς μεγίστου ἀναλόγως τοῦ ποταμοῦ ἀγάγῃ εἰς τοὺς θησαυροὺς αὐτοῦ.

Εἰ δὲ ἴδῃ τις ὅτι εἰργάσατο δοχεῖον δίκην δεξαμενῆς καὶ συνήγαγεν ὕδωρ ἐκ ποταμῶν· ἐξ ἀνδρῶν πλοῦτον θησαυρίσας συνάξει.

Τὸ δὲ καταρρέον ὕδωρ ὀλίγον ποταμηδὸν, ὅσον ἰσχύει τις εἰς * κωλύειν καὶ διαφράσσειν· τοῦτο οὐκ εἰς μέγιστον, ἀλλὰ εἰς ζωὴν κρίνεται τῶν ἀνθρώπων.

Καὶ ἐὰν ἴδῃ τις ὅτι συνῆξε καὶ ἐδέσποσεν αὐτοῦ, εὑρήσει ζωὴν ἀνάλογον τῆς καθαρότητος τοῦ ὕδατος.

Εἰ δὲ ἴδῃ ὅτι πίνουσιν ἐξ αὐτοῦ καὶ ἕτεροι πλησίον· ἀγαθοποιήσει αὐτοὺς ἐκ τοῦ πλούτου αὐτοῦ.

Ἐὰν ἐστὶ καθαρὸν καὶ ἡδύ· εἰ δὲ θολὸν καὶ ἀηδές, κακοζωήσει καὶ αὐτὸς καὶ οἱ πίνοντες.

Εἰ δὲ ἴδῃ ὅτι ἀρδεύει τόπον αὐτοῦ, ἐξουσιαστὴς γενήσεται, καὶ πράξει καλὰ ἐν ἀνθρώποις.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐν τόπῳ ἀγνώστῳ ἢ ἀγγείῳ ἀγνώστῳ ἔπιεν ὕδωρ καθ' ὁδοῦ· εἰ μὲν ἔπιεν ὅλον τὸ ἄγγος· ταχέως ἀποθανεῖται· εἰ δὲ ἀπέμεινε τῷ ἀγγείῳ, ὅσον ἀπέμεινεν ἀναλόγως, ζήσεται.

Ὅσον ἀπέμεινεν, ἀναλόγως ζήσεται. τὸ γὰρ τρέχον ὕδωρ ὀξέως ἀδυνατώτερον εἰς κρίσιν τοῦ ῥέοντος ἠρέμα.

Καὶ ἐὰν ἴδῃ ὅτι εἰσῆλθεν, ἢ ἐκάθισε παρὰ τοῦ χείλους τοῦ ποταμοῦ, καὶ ἐγγὺς ἦν αὐτοῦ· εἰ μὲν ἐπηλώθη ἢ ἐδειματώθη ἐκ τοῦ ποταμοῦ ἀναλόγως θλιβήσεται παρὰ τοῦ ἀνδρός.

Εἰ δὲ ἀπεβλήθη τοῦ ῥύπου αὐτοῦ ἐν τοῦ ὕδατος, ἡ μέριμνα αὐτοῦ καὶ θλίψις ἀναλόγως παρὰ τοῦ ἀνδρὸς ἀποσκευασθήσεται.

Ὁμοίως ἐὰν εἰσῆλθεν ἕως τραχήλου ἢ ὑπὲρ κεφαλῆς τὸ ὕδωρ τοῦ ποταμοῦ· εὑρήσει θλίψιν καὶ ἀνάγκην ἐξ αὐτοῦ ἀνάλογον.

Εἰ δὲ ἴδῃ ὅτι κολυμβῶν ἦλθεν ἐν τῷ μέσῳ, εὑρήσει δεσμὸν καὶ θλίψιν ἀπὸ ἀνδρός.

Εἰ δὲ ἦλθε πρὸς τὴν γῆν, ὅσον ἀπῆν ἀπὸ τῆς γῆς, ἀναλόγως ἀποκουφισθήσεται.

Εἰ δὲ ἴδῃ ὅτι ἀπεπνίγη ἐν αὐτῷ, ἀποθανεῖται διὰ χειρὸς ἀνδρὸς ἀναλόγως τοῦ ποταμοῦ.

Aqua celeriter fluens interpretationem debiliorem habet ea, quæ tranquillè modicéque manat.

Si quis visus sibi fuerit accessisse, vel consedisse propter amnis alicuius ripam, propè quidem vt abesset à flumine: si luto maculatus fuit, aut territus à flumine, consimiliter ab homine quodam adfligetur.

Sin aqua sordes suas abluit, etiam pari ratione tam sollicitudo, quàm adflictio, ab illo altero illata, summouebitur.

Similiter si ad collum vsque vel supra caput ipsum fluminis aqua peruenit: parem adflictionem atque miseriam experietur.

Si ad medium vsque fluminis natando peruenisse visus sibi fuerit, in alicuius vincula & vexationem incidet.

Si terram adtigit, prout abfuerit ab ea, de miseriis subleuabitur.

Sin visus sibi fuerit in flumine suffocatus, hominis cuiusdam, fluminis magnitudini respondentis, manu conficietur.

Ἐκ τῶν Αἰγυπτίων περὶ ποταμῶν. ρος΄.

Οἱ ἄρδοντες τὴν γῆν ποταμοὶ, εἰς τὴν ζωὴν διακρίνονται τῶν ἀνθρώπων.

Ἐὰν ἴδῃ τις τὸν ἄρδοντα τὴν γῆν συνήθως ποταμὸν ξηρανθέντα· εὑρήσει ὁ τόπος λιμὸν καὶ μέριμναν καὶ θλίψιν.

Εἰ δὲ ἴδῃ ὅτι ἐπλήμμυρεν ὁ ποταμὸς, εὑρήσει ὁ κατοικῶν χαρὰν καὶ εὐφορίαν, καὶ Φαραὼ εὐφρανθήσεται μετὰ τῶν μεγιστάνων αὐτοῦ.

Εἰ δὲ ἴδῃ τις ὅτι ἀρδεύσαντα τοῦ ποταμοῦ τὴν γῆν κατελείφθησαν οἱ ἰχθύες, εὑρήσουσιν οἱ κατοικοῦντες καὶ πλοῦτον καὶ νόσους.

Εἰ δὲ κατελείφθησαν ὄφεις, καὶ βάτραχοι, καὶ ἑρπετά· πόλεμον εὑρήσουσιν ἀπὸ ἐχθρῶν καὶ νικήσουσιν αὐτοὺς· ἐὰν ἄρα καταπνείξωσιν αὐτά· εἰ δὲ μὴ, τοὐναντίον.

De fluminibus; ex Aegyptiorum monumentis.

CAP. 176.

Flumina, quæ terram irrigant, hominum vitam significant.

Si quis videre visus fuerit flumen exiccatum, quod terram irrigare solebat: is locus & annonæ caritate, & sollicitudine, & adflictione grauabitur.

Si flumen exundasse visum fuerit, incolæ gaudium fertilitatémque consequentur, & ipse Pharao cum magnatibus suis lætabitur.

Si videre quis visus fuerit, irrigata per fluuium terra, remansisse pisces: incolæ simul & opes, & morbum inuenient.

Si serpentes remanserint, & ranæ, & bestiæ reptiles: ab hostibus bellum eis inferetur, quos ipsi superabunt, si modò reptilia vicisse visi fuerint. sin minus, contrarium accidet.

Similiter & illa flumina, quæ terram non irrigant, ad hominum personas, proportionis habita ratione, referuntur. Quidquid eis acciderit vel boni, vel mali: hominibus eueniet.

Si quis retia visus sibi fuerit in flumen abiecisse, piscium capiundorum caussa; feliciterque iactum cessisse: si rex est, tam belli curis, quàm reliquis grauatus, exitum felicem experietur. sin autem, diuersum eueniet.

Si cui plebeio visum hoc oblatum fuerit, prout ipse iactus successerit, opes inueniet. Si planè non successerit, contrarius euentus erit.

De somnio cuiusdam.

CAP. 177.

QVidam vsurpata domini sui persona, Sereimum somniorum interpretem tentandi caussa conuenit, cúmque consuluit in hunc modum. Visus sum per quietem totum ebibisse Tigrim fluuium. Cui Sereimus: Hoc somnium minimè tuum est, ait. nam fieri nequit, vt in te cadat. Ille rem sic esse, fassus: Equidem, ait, hoc somnium non habui: sed herus meus. Tum Sereimus: Domum reuersus, inquit, eum mortuum inuenies. Vti dixerat, ita factum est.

De mari, ex Indorum, Persarum, Aegyptiorúmque rationibus. CAP. 178.

MAre, cum profunditate sua, magni regis ad personam refertur: vtque amnes vniuersi in mare semet exonerant, sic ad regem opes vniuersæ confluunt.

Si rex videre visus fuerit, nouos quosdam amnes & inusitatos ad mare peruenisse: à longè dissitis gentibus opes & gaudium consequetur.

Ὁμοίως καὶ οἱ ποταμοὶ οἱ οὐκ ἀρδεύοντες τὴν γῆν εἰς πρόσωπον ἀνθρώπων ἀναλόγως κρίνονται. καὶ εἴ τι δ' ἂν πάθωσι καλὸν ἢ κακὸν, τοῖς ἀνθρώποις ἀποβήσεται.

Ἐὰν ἴδῃ τις ὅτι δίκτυα ἔβαλεν ἐν ποταμῷ, ἀγρεῦσαι ἰχθύας, καὶ ἐπέτυχεν· εἰ μὲν ἐστὶ βασιλεὺς, μέριμναν ἣν ἔχει ἐν τῷ πολέμῳ καὶ λοιπαῖς εἰς ἀγαθὸν ἀποβήσεται· εἰ δὲ μὴ, τοὐναντίον.

Τοῦ κοινοῦ ἐὰν ἴδῃ τοῦτο, εὑρήσει πλοῦτον ἐν ἀλλήλοις· εἰ δὲ οὐκ ἐπέτυχεν, τοὐναντίον.

Περὶ ὀνειράτων ἐρωτήσεως. ροζ.

ΟἸκειοποιησάμενός τις τὸν ἴδιον δεσπότην πειράζων, ἦλθε καὶ ἠρώτησε τὸν ὀνειροκρίτην Σηρεὶμ λέγων. εἶδον κατ' ὄναρ ὅτι ἔπιον πάντα τὸν Τίγριδα ποταμόν· ὁ δὲ ἔφη. τοῦτο σὺ οὐκ εἶδες· ἀδύνατον γὰρ, καὶ ὡμολόγησεν, ὅτι οὕτως ἔχει· ἐγὼ μὲν οὐκ εἶδον ἀλλ' ὁ πέμψας με δεσπότης. καὶ εἶπεν ὁ Σηρεὶμ· ἀπελθὼν, εὑρήσεις αὐτὸν θανόντα. καὶ καθὼς εἶπεν, οὕτως ἐγένετο.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ θαλάσσης. ροη.

Ἡ θάλασσα καὶ ὁ βυθὸς εἰς πρόσωπον τοῦ μεγάλου κρίνονται βασιλέως· καὶ ὥσπερ οἱ ποταμοὶ πάντες, βάλλουσιν ἐν αὐτῇ, οὕτως καὶ πᾶς ὁ πλοῦτος τοῦ κόσμου εἰσρεῖ ἐν αὐτῷ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι νέοι ποταμοὶ προσέβαλον εἰς τὴν θάλασσαν ἀσυνήθεις· πλοῦτον ἐξ ἐθνῶν μακρόθεν καὶ χαρὰν αὐτὸς δέξεται.

Ἐὰν ἴδῃ τις ὅτι ἀπὸ νεκροῦ γνωρίμου ἐν ἀγγείῳ ἔπιεν ὕδωρ· ὅς τις ἂν ᾖ, ἀποθανεῖται ταχέως.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι ἀπὸ χειρῶν αὐτοῦ ἔπιε συγκεκερασμένον μετὰ ὄξους νοσήματος ἀποθανεῖται.

Εἰ δὲ ἴδῃ τις ὅτι πίνει ὀξίνον οἶνον, τοῦτο εἰς πλοῦτον οὐ κρίνεται, οὐδὲ εἰς ἐξουσίαν· ἀλλὰ εἰς πικρίαν, καὶ θλίψιν ἀνάλογον τῆς δριμύτητος.

Εἰ δὲ ἴδῃ ὅτι ἔπιε ποτὸν σκευαστὸν, εὑρήσει πικρίαν ἀνάλογον τῆς ἀηδίας.

Εἰ δὲ ἴδῃ ὅτι ἔπιε τοῦ ἐξ ὀπώρας οἴνου εἰς ψευδῆ ἐξουσίαν μεταμορφώσει αὐτὴν ἀνώνητα.

Περὶ δένδρων φοινίκων καὶ τῶν καρπῶν. ρϟθ´.

Οἱ φοίνικες τὰ δένδρα εἰς τὰς εὐγενεῖς τῶν γυναικῶν καὶ τὰς ἐκ βασιλέως αἵματος διακρίνονται.

Ἐὰν ἴδῃ τις κατ᾽ ὄναρ ἑαυτὸν εἰσιόντα εἰς φοινικῶνα καὶ δρεψάμενον ἐκ τῶν καρπῶν ὡρίμων ὄντων· εὑρήσει χρυσίον καὶ πλοῦτον ἐξ εὐγενίδων γυναικῶν ἀναλόγως ὧν ἐδρέψατο.

Εἰ δ᾽ ὁ καρπὸς ἦν ὄμφαξ· μοχθήσει ὁ ἰδὼν εὐεργετηθῆναι παρὰ τῶν αὐτῶν γυναικῶν, καὶ θλιβήσεται καὶ τιμωρηθήσεται ἀναλόγως οὗ ἦρε καρποῦ διὰ τὸ στύφον.

Εἰ δὲ ἴδῃ ὅτι τῶν φύλλων ἀφείλετο· εὑρήσει ἐξουσίαν μεγίστην διὰ τῶν αὐτῶν γυναικῶν διὰ τὸ ὀξὺ τῶν φύλλων· ἀλλὰ μετὰ πλούτου ὀλίγου καὶ μετρίου.

Εἰ δὲ ἴδῃ ὅτι ἔλαβον ἐκ τῆς θήκης τοῦ σπόρου τῶν φοινίκων· εἰ μὲν ἔστι βασιλεὺς ἢ μέγιστος, εὑρήσει τέκνον ἀπὸ εὐγενῶν γυναικῶν· εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει χαρὰν ἀπὸ τέκνων γυναικὸς εὐγενοῦς μεγίστης, κατ᾽ ἀναλογίαν τοῦ κλάδου τοῦ σπόρου.

Ἐὰν ἴδῃ ὅτι ἐκ τοῦ κορμοῦ αὐτοῦ ἔλαβε τὸν ἐλαιώδη φλοιόν· εὑρήσει πλοῦτον μερικὸν καὶ κοῦφον ἀπὸ γυναικός.

Εἰ δὲ ἴδῃ ὅτι ἀπὸ ξηροῦ φοίνικος κλάσας ἀφείλετο· εὑρήσει πλοῦτον ἀνάλογον ἀπὸ γυναικὸς ἀλλοτρίας χάριν κληρονομίας.

De palmis, & earum fructibus.

CAP. 199.

Palmæ arbores, ad fæminas generosas, & regij sanguinis, interpretando referuntur.

Si quis visus sibi fuerit per quietem palmenum ingressus, ibidem fructus palmarum decerpsisse, qui maturi fuerint: aurum & opes ex nobilibus fęminis consequetur, pro modo fructuum, quos decerpsit.

Sin fructus ipse acerbus erat: qui somnium habuit, magno quidem nisu beneficentiam earundem fæminarum impetrare conabitur, sed adfligetur, & pro modo fructus, quem sumpsit, cruciabitur: propter ipsius fructus acerbitatem.

Sin abstulisse folia visus sibi fuerit, per easdem fæminas amplissimam potestatem consequetur, idque propter acumen ipsorum foliorum: sed exiguis tamen, modicisque cum opibus.

Si visus sibi fuerit, sumpsisse quid è theca sationis palmarum: si rex est, aut magnatum aliquis, ex nobili fæmina sobolem suscipiet: sin plebeius, à filio fæminæ nobilis & amplissimæ gaudio beabitur, pro sati rami modo.

Si de palmæ stipite corticem lanatum sumpsisse visus sibi fuerit: a fæmina diuitias ex parte, leuísque momenti, consequetur.

Si visus sibi fuerit aliquid de palma, quæ exaruerit, fractum abstulisse: pro eius modo, quod abstulit, ex hæreditate mulieris alienæ diuitias inueniet.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν καὶ Αἰγυπτίων, περὶ δένδρων. σ´.

De arboribus, ex Indorum, Persarum, Aegyptiorúmque disciplina.

CAP. 200.

NVX, arbor, tam Indica, quàm vulgaris, ad personam hominis amplissimi, senis, parci, refertur: propterea, quòd ipse fructus & durus, & lapideus sit.

Cupressus autem, ad ipsius regis personam, aut nobilis & formosæ fæminæ.

Punica, ad virum nobilem, durum, auro abundantem: hoc quidem, propter fructum: durities verò, & morositas, propter arboris spinositatem.

Vitis, ad mulierem.

Olea, ad hominem hilarem, mansuetum, diuitem.

Pomus, ad personam mulieris, pro ratione nobilitatis & suauitatis fructus eius.

Arbor, in qua bambax siue gossipium nascitur, ad hominem conditionis humilis, & modicarum opum, refertur.

Arbor mali citrei, ad hominem nobilem & opulentum, propter fragrantiam.

Pirus, ad hominem durum, & exiguas opes possidentem.

Quidquid alicui harum arborum accidere visum per quietem fuerit, tam prosperum, quàm aduersum, ad indicatas personas refertur.

Si quis visus sibi fuerit, arbore nuce quassata, fructum eius abstulisse: diuitias cum labore ab homine parco consequetur, quas alter ille recens adquisiuit.

Si nuces in quodam loco visus sibi fuerit inuenisse, quantum inuenerit, ignorat: aurum thesauri veteris, pro modo somnij, reperiet.

Sin modum cognitum habet, aurum pro portione consequetur, cum tumultu.

Si nucis lignum inuenisse ac sustulisse visus sibi fuerit, rem vtilem inueniet ex hæreditate senis.

Si de punica malum abstulisse visus sibi fuerit, modò dulce sit, opes ab homine diuite impetrabit: sin acidum, pro acerbitatis modo adflictionem atque morbum ab infelici quodam consequetur.

Si vestis eius punicæ spinis implicata fuerit, & rupta: cum opulento quodam rixabitur, ac si quidem post implicationē

ΤΟ δένδρον, ἡ καρύα, ἡ Ἰνδικά, καὶ κοινὴ εἰς πρόσωπον ἀνδρὸς μεγίστου γέροντος φειδωλοῦ, διὰ τὸ σκληρὸν καὶ λιθῶδες τοῦ καρποῦ κρίνεται.

Ἡ δὲ κυπάρισσος εἰς πρόσωπον βασιλίσσης ἢ εὐγενοῦς καὶ εὐειδοῦς γυναικός.

Ἡ ῥοιὰ εἰς εὐγενῆ ἄνδρα * σκληρογνώμονα καὶ πολύχρυσον κρίνεται· ἐκεῖνο διὰ τὸν καρπόν· τὸ σκληρὸν διὰ τὸ ἀκανθῶδες.

Ἡ ἄμπελος εἰς γυναῖκα.

Ἡ ἐλαία εἰς ἄνδρα ἱλαρόν, καὶ πρᾶον καὶ πλούσιον.

Ἡ μηλέα, εἰς πρόσωπον γυναικός, ἀναλόγως τῆς εὐγενείας καὶ γλυκύτητος τοῦ καρποῦ.

Τὸ φυτὸν ἐξ οὗ ἡ βόμβαξ, εἰς ταπεινὸν ἄνδρα καὶ μετριόπλουτον.

Τὸ κίτριον εἰς εὐγενῆ ἄνδρα καὶ πλούσιον, διὰ τὸ εὐῶδες.

Τὸ ἄπιον εἰς σκληρόν, καὶ ὀλιγόπλουτον.

Καὶ πᾶν τοῦτο ὃ ἐὰν πάθῃ, εἰς πρόσωπον τῶν εἰρημένων κρίνεται καλὸν ἢ ἐναντίον.

Ἐὰν ἴδῃ τις ὅτι τινάξας καρύαν ἀφείλετο τοῦ καρποῦ αὐτῆς, εὑρήσει ἀπὸ ἀνδρὸς φειδωλοῦ πλοῦτον μετὰ κόπου ὃν νεωστὶ ἐκεῖνος ἐκτήσατο.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε κάρυα ἐν τόπῳ τινί, εἰ μὲν ἀγνοεῖ τὸ μέτρον, εὑρήσει χρυσίον θησαυροῦ παλαιοῦ ἀναλόγως.

Εἰ δὲ γινώσκει τὸ μέτρον, εὑρήσει χρυσίον ἀνάλογον μετὰ θορύβου.

Εἰ δὲ ἴδῃ ὃ εὗρε καὶ ἦρε καρύας ξύλον, χρήσιμόν τι πρᾶγμα εὑρήσει ἀπὸ κληρονομίας ἀνδρὸς παλαιοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἀπὸ δένδρου ῥοιᾶς ἀφείλετο ῥοιάν· εἰ μὲν ἔστι γλυκύ, εὑρήσει πλοῦτον ἀπὸ πλουσίου ἀνδρός· εἰ δὲ ὀξῶδες, εὑρήσει θλῖψιν καὶ νόσον ἀπὸ ἀνδρὸς κακοπράγμονος ἀνάλογον.

Εἰ δὲ περιεπλάκη τὸ ἱμάτιον αὐτοῦ εἰς τὰς ἀκάνθας τῆς ῥοιᾶς καὶ περιερράγη· μετὰ ἀνδρὸς πλουσίου μαχήσεται, καὶ ἐὰν ἴδῃ ὅτι

μετὰ τὴν περίπλεξιν ἔκλασε τὸν κλάδον, τὴν νίκην ἑαυτοῦ τοῦτο κείνεται.

Εἰ δὲ ἴδῃ ὅτι ἀπαιωρηθεὶς εἰς δένδρον ἐλαίας ἐτρύγη τοῦ καρποῦ· ἀπὸ ἀνδρὸς ἱλαροῦ καὶ πρᾳέου πικρίαν καὶ θλῖψιν δέξεται διὰ τὸ στύφον τοῦ καρποῦ.

Εἰ δὲ καὶ ἔφαγεν ἐκ τῶν ἐλαιῶν ἀναλόγως τοῦ μέτρου ἡμέρας ἀνύσει θλιβερὰς καὶ κακάς.

Εἰ δὲ ἴδῃ ὅτι ἀφείλετο τῶν φύλλων τῆς ἐλαίας, ἀπὸ εὐπραγοῦς καὶ εὐλογημένου ἀνδρὸς εὑρήσει πλοῦτον διὰ χιτώνων.

Εἰ δὲ εἶδεν ὅτι συνῆγεν ἐκ τοῦ φυτοῦ τῶν καρπῶν τοῦ βάμβακος, ἀπὸ ἀνθρώπου ἀδυνάτου εὑρήσει πλοῦτον μέτριον ἀναλόγως τοῦ ἐρίου αὐτῶν.

Εἰ δὲ ἴδῃ ὅτι ἦρε τὸν ὅλον καρπὸν μετὰ τοῦ φυτοῦ καὶ μετεφύτευσεν αὐτόν· εὑρήσει δοῦλον ὑπήκοον καὶ θεραπευτικόν, ἐὰν ἄρα καὶ ἐκράτησε τὸ φυτόν.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε δένδρον κίτρον· εὑρήσει ἄνδρα εὐγενῆ, εὔφημον, πλούσιον διὰ τὴν εὐωδίαν καὶ τὸ εὔκαρπον.

Εἰ δὲ ἴδῃ ὅτι ἔλαβεν ἐκ τῶν φύλλων, εὑρήσει ἀπὸ τοῦ τοιούτου μετὰ φήμης καλῆς πλοῦτον μέτριον.

Εἰ δὲ ἴδῃ ὅτι ἔλαβεν ἐκ τῶν καρπῶν αὐτοῦ, εὑρήσει υἱὸν εἰς εὐγένειαν τοῦ πλούτου καὶ τοῦ γένους αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ὁ καρπὸς διεσάπη· ἔσται τὸ πάθος εἰς τὸν υἱόν.

Εἰ δὲ ἴδῃ ὅτι ἀνῆλθεν εἰς τὸ δένδρον· ὑψωθήσεται ἀπὸ ἀνδρὸς μεγίστου καὶ καλὴν φήμην ἔχοντος.

Εἰ δὲ ἴδῃ ὅτι ἔπεσεν ἐκ τοῦ αὐτοῦ δένδρου, ἢ ἐπλήγη ἐκ τῆς ἀκάνθης αὐτοῦ· ἐκπεσεῖται ἀπὸ τοῦ τοιούτου ἀνδρὸς καὶ θλιβήσεται.

Ἐρώτησις περὶ δένδρου βερικοκκίων. σα.

factam, ramũ fregisse visus sibi fuerit, ad victoriam ipsius hoc spectat.

Si sublatus in oleam, visus sibi fuerit eius fructum decerpere: propter fructus ipsius acerbitatẽ, ab homine cæteroquin hilari & mansueto acerbè vexabitur.

Quòd si etiam de oliuis edit, pro modo manducationis earum dies ærumnosos & tristes exiget.

Si abstulisse visus sibi fuerit oleæ folia, ditabitur à felici & laudato viro, per vestes.

Si gossipium collegisse visus sibi fuerit, opes modicas ab homine non admodum potente consequetur, pro lanæ collectæ modo.

Si fructum vnà cum frutice sustulisse visus sibi fuerit, ac in locum alium transplantasse: seruum obsequiosum & obedientem inueniet, siquidem ipsum fruticem retinuit.

Si punicam inuenisse visus sibi fuerit, in hominem nobilem, existimationis honestæ, diuitem incidet: propter fragrantiam, & fertilitatem eius arboris.

Si de folijs sumpsisse visus sibi fuerit, ab eiusmodi viro cum honesta fama mediocres opes impetrabit.

Si de fructibus eius sumpsisse visus sibi fuerit, filium consequetur, ad nobilitationem opum atque generis sui.

Si videre visus fuerit fructum arboris huius putridum factum, filio calamitas portenditur.

Si visus sibi fuerit arborem conscendisse: ab amplissimo viro quodam euehetur, cuius præclara fama est.

Si de arbore eadem decidisse visus sibi fuerit, aut ab eius aliqua spina vulneratus: excidet hominis eiusmodi gratia, & adfligetur.

Interrogatio de arbore bericocia. CAP. 201.

Quidam

QVidam conuento Sereimo, pluribus præsentibus, eum verbis hisce consuluit. Visus sum in somnis arbore conscensa, quam bericociam vocant, de fructu illius comedisse. Respondit Sereimus, inuenturum à quodam prosperitatem, ac beneficentiam viri boni & opulenti experturum. Pluribus diebus interiectis accessit alius quidam, & iisdem præsentibus Sereimum de eadem re consuluit: quum diceret, se per quietem arbore conscensa, quæ bericocia vocetur, visum fructu illius vesci. Ad illa Sereimus: Afflictionem, ait, & tormenta inuenies. Qui adsidebant, ancipites hęrere, cur eiusdem visi diuersam interpretationem protulisset. Itaque Sereimus: Consuluit me prior, inquit, eo tempore, quo fructus ille maturus in arboribus erat: hic autem, autumni tempore. quam ob caussam interpretatio quoque diuersa facta est. Quum rem in vtroque diligenter explorassent, id accidere depræhenderunt, quod futurum somniator prædixerat.

Ἄνθρωπός τις ἐλθὼν ἐρώτησε τὸν Σηρεὶμ ἐνώπιον πολλῶν, λέγων. εἶδον κατ᾽ ὄναρ ὅτι εἰς δένδρον ὃ λέγεται βερικοκκία ἀναβὰς ἤσθιον ἀπὸ τοῦ καρποῦ αὐτῆς. καὶ ἔφη αὐτῷ ὅτι εὑρήσεις ἀγαθὸν καὶ εὐποιίαν ἀπὸ ἀνδρὸς ἀγαθοῦ καὶ πλουσίου. καὶ μεθ᾽ ἡμέρας ἱκανὰς ἐλθὼν ἕτερος ἄνθρωπος ἐνώπιον τῶν αὐτῶν ἐρώτησε τὸν αὐτὸν λόγον, λέγων· ὅτι εἰς δένδρον ὃ λέγεται βερικοκκία ἀναβὰς ἤσθιον ἐκ τοῦ καρποῦ· καὶ ἔφη αὐτῷ, ὅτι εὑρήσεις θλίψεις καὶ βάσανον· καὶ διηπόρησαν οἱ συγκαθήμενοι πῶς ἴσου ἑνὸς τοῦ ὁράματος, διαφόρως ἡρμήνευσας; καὶ ἀπεκρίθη. ὅτι ὅτε ἐρώτησεν ὁ πρῶτος, καρποφόρος ἦν ὁ καιρός· ὅτε δὲ ὁ δεύτερος, φθινόπωρον ἦν· καὶ διὰ τοῦτο μετηλλάγη ἡ κρίσις. καὶ ἐρευνήσαντες, εὗρον ἐν ἀμφοτέροις καθὼς ὁ ὀνειροκρίτης εἶπεν.

De omnigenis fructibus siue pomis, Persarum duntaxat interpretationes.

CAP. 202.

QVæuis poma, siue fructus arborum, coloris citrei: pro modo coloris imbecillitatem portendunt, excepta citrei mali arbore. Nam illa subolis procreationem & partum, gaudiúmque denotat. Eadem arbor ex colore nihil habet vitij.

Quæcunquæ arborum poma siue fructus acidi sunt, adflictionem & sollicitudinem significant.

Si quis visus sibi fuerit sustulisse poma citrei coloris, in morbum leuem incidet.

Si ea visus sibi fuerit comedisse, morbus acer & grauis significatur, pro modo coloris.

Ἐκ τῶν Περσῶν καὶ μόνων περὶ ὀπώρας παντοίας. σβ΄.

ΟΣΑ τῶν ὀπωρῶν εἰσιν ἀπὸ καρποῦ δένδρων οἱ τὸ χρῶμα κίτρινα, εἰς ἀρρωστίαν κρίνεται ἀναλόγως τοῦ χρώματος, πλὴν τοῦ κίτρου. τέκνου γὰρ τόκον καὶ χαρὰν σημαίνει τὸ κίτρον. καὶ ἐκ τοῦ χρώματος, οὐδὲν λυμαίνεται.

Καὶ ὅσα τῶν τοιούτων δένδρων αἱ ὀπῶραι εἰσὶν ὀξώδη εἰς θλῖψιν καὶ μέριμναν κρίνεται.

Ἐὰν ἴδῃ τις ὅτι ἦρεν ἐκ τῶν κιτρινοχρόων ὀπωρῶν, εὑρήσει νόσον ἐλαφράν.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγεν ἐξ αὐτῶν, εἰς ὀξὺ νόσημα καὶ βαρὺ κρίνεται ἀναλόγως τοῦ χρώματος.

Εἰ δὲ ἴδῃ ὅτι ἑτέρῳ μετέδωκεν· εὑρήσει ὁ λαβὼν παρὰ τοῦ δόντος θλῖψιν καὶ νόσημα.

Καὶ καθ' ὅλου ἐπὶ παντὸς δένδρου ἡ τρύγη εἰς ἀγαθὸν· χωρὶς τοῦ κιτρίνου, καὶ τοῦ ὀξώδους.

Ἐὰν ἴδῃ τις ὅτι ἐν φθινοπώρῳ ἔλαβεν ἐξ αὐτῶν, τοῦτο εἰς θλῖψιν καὶ μέριμναν κρινέτω.

Καὶ τὰ κριθέντα εἰς πλοῦτον δένδρα καρπιμὰ χρονίως σωζομένων τῶν καρπῶν βεβαιότερον καὶ καλλίονα τῶν ἄλλων πλοῦτον σημαίνει.

Ἐναντίως γοῦν τούτων ἡ μέλαινα σταφυλὴ ἐν ἡμέρᾳ τῆς τρύγης· θλίψεις καὶ βασάνους ἀπὸ ἐξουσίας σημαίνει· καὶ ἡ λευκὴ κουφότερον ἔχει τὴν κρίσιν.

Εἰ δὲ οὐκ ἐν καιρῷ τρύγους ἴδῃ τις ταῦτα· πλοῦτον καὶ κέρδος σημαίνει.

Καὶ ἀπὸ λευκῆς σταφυλῆς καὶ μελαίνης σταφυλῆς εἰς πλοῦτον ἐκρίθη.

Ἀλλ' οὖν ἀπὸ λευκῆς εἰς κρείττονα κρίσιν ἐστίν.

Ἐὰν δὲ ἴδῃ τις ὅτι ἔλαβεν ἀπὸ ἀμπέλου βότρυας, εὑρήσει πλοῦτον ἀπὸ γυναικός.

Εἰ δὲ ἴδῃ ὅτι ἀπέθλιψεν αὐτοὺς πρὸς οἰνοποιίαν· εἰς ἐξουσίαν ἐλθεῖν σπουδάσει καὶ οὐκ ἐπιτεύξεται.

Εἰ δὲ ἴδῃ ἄμπελον οἰκείαν ἄκαρπον· εὑρήσει γυναῖκα στεῖραν.

Εἰ δὲ ἴδῃ ὅτι ἐξερίζωσεν αὐτήν, εἰ μὲν ἐστὶν οἰκεία, εἰς θλῖψιν μεγίστην καὶ γυναικὸς χωρισμὸν διὰ θανάτου ἥξει.

Εἰ δ' ἐστὶ ξένη, εἰς πορνείαν ἀλλοτρίας εὑρηθήσεται, καὶ θλιβήσεται.

Ὅσα τῶν φυτῶν εἰσὶ μὴ ἔχοντα μεγάλους κορμούς· εἰς ἄνδρας εὐτελεῖς κρίνονται ἀναλόγως τῶν κορμῶν καὶ τοῦ καρποῦ.

Si alteri dedisse visus sibi fuerit: tum is, qui accepit, ab eo, qui dedit, vexabitur: inque morbum incidet.

Generaliter in omnibus arboribus, boni prosperitatisque significationẽ habet, fructus earum decerpere: duntaxat exceptis citrei coloris fructibus, & acidis.

Si quis visus sibi fuerit in autumno fructus arborum decerpere, hoc ipsum ad ærumnam & sollicitudinem referat.

Ex iis arborum fructibus, qui diuitias portendunt, si qui diu conseruantur, & cæteris durabiliores atque pulchriores sunt: opes quoque potiores denotant.

E diuerso, vua nigra, tempore vindemiæ: vexationes atque torturas, à magistratu profectas, significat: quum alba leuius quiddam portendat.

Si quis has extra vindemiæ tempus videre per quietem visus fuerit, opes & lucra denotantur.

Si quis & albas, & nigras vuas, pariter decerpsisse visus sibi fuerit: hoc ipsum ad opes interpretando relatum est.

Si duntaxat albas, melius quiddam portenditur.

Si quis de vite botros sumpsisse visus sibi fuerit, à muliere diuitias cõsequetur.

Sin eos decerpsisse visus sibi fuerit, ad vini confectionem: ad aliquam peruenire potestatem conabitur, nec voti compos erit.

Si videre visus fuerit vitem propriam infrugiferam, vxorem sterilem inueniet.

Sin vitem radicitus euellisse visus sibi fuerit, siquidem propriam, in ærumnam maximam incidet, & ab vxore mortis interuentu separabitur.

Sin alienam, in scortatione cum aliena vxore depræhendetur, & adfligetur.

Arbores, quæcunque non magnos stipites habent, ad vilis conditionis homines referuntur: prout ipsi stipites fuerint, & fructus.

De cucurbita, pepone, ac similibus, eorundem rationes.

CAP. 203.

SI quis cucurbitæ fruticem inuenisse visus sibi fuerit, hominem breui tempore rerum potientem inueniet.

Quòd si sub eius vmbra, visus sibi fuerit vmbram captare: sub homine, de quo dictum, requietem inueniet.

Si fructum cucurbitæ visus sibi fuerit inuenisse: diuitias vanas, cum ostentatione speciosa, & fama, reperiet.

Si eo vesci visus sibi fuerit, si morbo laborat, conualescet: sin autem, valetudine bona frui perget.

Si crudis vesci cucurbitarum fructibus visus sibi fuerit, mentiendo de suis opibus homines fallet: quippe cucurbita magnam ad fertilitatem non augescit.

Si videre visus fuerit factos aridos, mendacia cum veritate commutabit.

De rosa & ocimo, Persarum & Aegyptiorum interpretationes. CAP. 204.

SI quis visus sibi fuerit, ab alio accepisse ocimum, siue basilicum, sollicitudinem & ærumnam inueniet, pro accepti ocimi copia.

Quòd si notus est is, qui dedit: per ipsummet, aut alium ei similem, adfligetur: sin autem, per inimicum.

Si ocimum seuisse visus sibi fuerit, idque succreuisse: sollicitudinem inueniet, ac torturam, cum miseria.

Si videre visus fuerit, in loco prædióve suo magnam ocimi copiam succreuisse: hoc ad domesticorum ipsius ploratum & adflictionem referatur.

Τοῦ αὐτοῦ περὶ κολοκύνθης, πέπονος καὶ τῶν ὁμοίων. σγʹ.

ἘΆΝ ἴδῃ τις ὅτι εὗρε φυτὸν κολοκύνθης, εὑρήσει ἄνδρα ἐν ὀλίγῳ καιρῷ ἐξουσιάζοντα.

Καὶ ἐὰν ἴδῃ ὅτι ἐσκιάζετο ὑπὸ τὴν σκιὰν αὐτοῦ· ἀπὸ τοῦ εἰρημένου ἀνδρὸς εὑρήσει ἄνεσιν.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε καρπὸν κολοκύνθης· εὑρήσει πλοῦτον, ψευδῆ φαντασίαν τε φήμην.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγεν ἐξ αὐτοῦ, ἐὰν ἔχῃ νόσον, εὑρήσει ὑγείαν· εἰ δὲ μὴ, διαρκεῖ ὑγιής.

Εἰ δὲ ἴδῃ ὅτι ἤσθιεν αὐτὰ ὠμά· ψευδολογῶν περιπλανήσει τοὺς ἀκούοντας περὶ τοῦ πλούτου αὐτοῦ· ἡ γὰρ κολοκύνθη, οὐ προστίθησιν εἰς πολυκαρπίαν.

Εἰ δὲ ἴδῃ ὅτι ἔψυχεν αὐτὰ, μεταστρέψει τὸν λόγον αὐτοῦ εἰς ἀλήθειαν.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ ῥόδων καὶ ὠκίμου. σδʹ.

ἘΆΝ ἴδῃ τις ὅτι ἦρε παρά τινος ὤκιμον, ἤ τι βασιλικόν· εὑρήσει μέριμναν καὶ θλίψιν ἀνάλογον τοῦ πλήθους.

Καὶ εἰ μὲν ἐστὶ γνώριμος ὁ δοὺς· δι᾽ αὐτοῦ, ἢ ὁμοίου αὐτοῦ θλιβήσεται· εἰ δὲ μὴ, ἀπὸ ἐχθροῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔσπειρεν αὐτὰ καὶ ἐφύησαν· εὑρήσει μέριμναν καὶ βάσανον καὶ ἀνάγκην.

Εἰ δὲ ἴδῃ εἰς τὸ παρ᾽ αὐτοῦ ταῦτα ἐφύησαν πλεῖστα· εἰς κλαυθμὸν τε θλίψιν τῶν τοῦ οἴκου αὐτοῦ τοῦτο κρίνεται.

Καὶ ἐὰν ἔλαβε καὶ αὐτὸς ἐξ αὐτῶν, συναλγήσει καὶ αὐτός. εἰ δὲ μὴ, ἐκεῖνοι μόνοι.

Τὸ ῥόδον εἰς πλοῦτον καὶ χαρὰν κεῖνεται.

Ἐὰν ἴδῃ τις ὅτι ἐτρύγη ῥόδα, εὑρήσει χαρὰν ἐκ πονηροῦ ἀνθρώπου διὰ τὰς ἀκάνθας τοῦ ῥόδου.

Εἰ δὲ ἴδῃ ὅτι κατεῤῥάνθη ῥόδοις ὁ οἶκος αὐτοῦ· εἰ μὲν ἐστὶ βασιλεὺς, ὁ ἰδὼν, μήνυμα χαρᾶς δέξεται, διὰ τὴν εὐωδίαν καὶ τὴν ἐρυθρότητα.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει χαρὰν καὶ πλοῦτον.

Ἐὰν ἴδῃ ὅτι ἔλαβεν ὀσφράδιον ἓν, ἢ εἶχεν αὐτό· εὑρήσει τέκνον ποθητὸν ἀναλόγως τῆς τερπνότητος.

Εἰ δὲ δύο, ἢ τρία· τοσαῦτα τεκνώσει. καὶ τοῦτο δὲ εἰς πρόσωπον ἀνδρὸς ἀποκβαίνει.

Τὰ δὲ μυρσίνης φύλλα, καὶ δενδρολίβανον, καὶ δάφνης· ἐὰν ἴδῃ τις ὅτι ἔῤῥανε τὸν οἶκον αὐτοῦ ἀσυνήθως πτωχὸς ὢν εὑρήσει πλοῦτον ἀπὸ ἀνδρῶν ἁγίων.

Εἰ δὲ ἴδῃ τοῦτο μέγιστος συνήθης ὢν, ταῦτα εἰς θλίψιν αὐτοῦ κρινέτω.

Εἰ δὲ ἴδῃ τις ὅτι κλάδον μυρσίνης εἶχεν, εἰ μὲν ἐστὶ βασιλεὺς, μετὰ γυναικὸς ἀξίας συνουσιάσει· εἰ δὲ μὴ, οὐ τεκνώσει.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εἰς γυναῖκα καὶ τέκνον ἀποβήσεται αὐτοῦ.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ οἴδνων. σε.

Τὰ οἴδνα εἰς πρόσωπον γυναικὸς εὐτελοῦς κρίνονται, διότι ταῦτα οὔτε ἄνω φυλλοφοροῦσιν, οὔτε κάτω ῥιζοῦνται.

Ἐὰν ἴδῃ τις ὅτι εὗρεν οἴδνον ἓν, ἢ δύο, ἢ τρία· ἀγενεῖς γυναῖκας εὑρήσει.

Quòd si & ipse sumpsit ab eis ocimum, particeps doloris erit: sin autem, dolor ad ipsos duntaxat pertinebit.

Rosę interpretatio ad opes & lætitiam spectat.

Si rosas decerpsisse visus sibi quispiam fuerit, ab homine quodam improbo gaudium consequetur, propter rosarum spinas.

Si videre visus fuerit, domum suam rosis conspersam: si rex est, qui somnium habuit, lætum nuntium accipiet, propter fragrantiam & rubedinem.

Si plebeius, gaudium & opes inueniet.

Si fasciculum rosarum vnum accepisse, vel habuisse, visus sibi fuerit, olfaciendi caussa: subolem optatam inueniet, pro modo perceptæ delectationis.

Si duos, aut tres: totidem liberos procreabit. atque hoc ipsum in vili persona solet inuenire.

Si quis domum suam præter morem myrti foliis, & thuris arboris, & lauri, conspersisse visus sibi fuerit: si pauper est, à sanctis hominibus opes adsequetur.

Si vir amplissimus huiusmodi somniũ habuerit, quasi de re solita: statuat aliquam sibi calamitatem portendi.

Si quis ramum habere myrti visus sibi fuerit, si rex est, cum indigna muliere rem habebit: sin autem, liberos nullos procreabit.

Sin plebeius est, consimilem res euentum in ipsius vxore ac liberis habebit.

De tuberibus, ex Persarum, & Aegyptiorum monumentis.

CAP. 205.

Tvbera ad ignobilis fæminæ personam referuntur, idque propterea, quòd neque folia superiùs habeant, neque radices inferiùs agant.

Si quis tuber vnum inuenisse visus sibi fuerit, vel duo, vel tria: ignobiles fęminas inueniet.

Si ad decem vſque tubera reperiſſe viſus ſibi fuerit, etiam horum interpretatio refertur ad mulieres ignobiles.

Si plura, vel nullo definita numero, videre viſus fuerit: pro eorum numero, malis à mulieribus aurum conſequetur.

Si quis viſus ſibi fuerit, accepiſſe tuber vnum, cum alio tubere paruo: fæminam cum filia ſimili accipiet.

Si aſſata tubera comedere viſus ſibi fuerit, adflictionem cum diuitiis à muliere habebit: & quidem adflictionem, propter vim ab igne profectam.

Sin cocta comederit, ſimiliter opes nanciſcetur, ſed minores: propter ipſius coctionis aquoſitatem.

Si tubera quodã in loco viſus ſibi fuerit abdere, ſi numerum nouit, turpes fæminas abſcondet.

Sin autem, malis à mulieribus auri theſauros accipiet.

Εἰ δὲ ἴδῃ ἕως τῶν δέκα, καὶ τοῦτο εἰς ἀγενεῖς γυναῖκας κρίνεται.

Εἰ δὲ ἴδῃ πλέον τούτων καὶ ἄμετρα· εὑρήσει χρυσίον ἀνάλογον τοῦ πλήθους ἀπὸ κακῶν γυναικῶν.

Εἰ δὲ ἴδῃ τις ὅτι ἔλαβεν οἴδνον ἓν μετὰ μικροῦ ἑτέρου· λήψεται γυναῖκα μετὰ θυγατέρος ὁμοίας.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγεν οἴδνα ὀπτά, εὑρήσει πλοῦτον ἀπὸ γυναικὸς καὶ θλίψιν, διὰ τὴν ἐκ τοῦ πυρὸς βίαν.

Εἰ δὲ ἑψητὰ ἔφαγεν, ὁμοίως εὑρήσει πλοῦτον ἐλάσσονα, διὰ τὸ τῆς ἑψήσεως ὑδαρές.

Εἰ δὲ ἴδῃ ὅτι ἀποκρύπτει ταῦτα ἐν τόπῳ, εἰ μὲν γινώσκει τὸ μέτρον, αἰσχρὰς γυναῖκας ἀποκρύψει.

Εἰ δὲ τὸ μέτρον οὐκ εἶδε· χρυσίον ἀπὸ γυναικῶν κακῶν θησαυρίσει.

De oleribus & leguminibus, ex Indorum, Perſarum, & Aegyptiorum monumentis.

CAP. 206.

SI quis olera & lactucas edere viſus ſibi fuerit, cum aceto: pro modo manducationis, & acredinis aceti, miſeriam inueniet.

Si hortum eis conſitum habere viſus ſibi fuerit, ſollicitudinem eorum copiæ reſpondentem inueniet.

Si hortum ab eis, radicitus euulſis, viſus ſibi fuerit expurgaſſe: cum difficultate quadam ab ærumna ſua liberabitur.

Si viſus ſibi fuerit allium, vel cepas, vel porrum comediſſe: pro modo manducationis adflictionem cum ploratu, malámque famam inueniet: propter horum fœtorem.

Si non comediſſe, ſed geſtaſſe viſus ſibi fuerit: miſeria minor erit.

Si ea viſus ſibi fuerit, alij noto dediſſe: pro modo datorum, ab eo, qui dedit, dies ærumnoſos is habebit, qui acceperit.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ λαχάνων καὶ ὀσπρίων. σς΄.

ἘΑΝ ἴδῃ τις ὅτι ἤσθιε λάχανα θριδάκας μετ' ὄξους· εὑρήσει θλίψιν ἀνάλογον τῆς βρώσεως, καὶ τῆς δριμύτητος τοῦ ὄξους.

Εἰ δὲ ἴδῃ ὅτι εἶχε κῆπον ἐξ αὐτῶν ἀνάλογον τοῦ πλήθους, μέριμναν εὑρήσει.

Εἰ δὲ ἴδῃ ὅτι ἐξερρίζωσε καὶ ἐκάθηρεν αὐτὸν ἐξ αὐτῶν· ἀποβαλεῖ τὴν θλίψιν αὐτοῦ μετὰ δυσκολίας.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγε σκόροδον, ἢ κρομμύδιον, ἢ πράσον· εὑρήσει θλίψιν μετὰ κλαυθμοῦ ἀνάλογον τῆς βρώσεως, καὶ φήμην κακὴν ἕξει· διὰ τὸ δυσῶδες αὐτῶν.

Εἰ δὲ ἴδῃ ὅτι οὐκ ἤσθιε μὲν, ἐβάσταζε δὲ ἐξ αὐτῶν· ἔσται τὸ πάθος ἔλαττον.

Εἰ δὲ ἴδῃ ὅτι ἑτέρῳ ἔδωκεν ἐξ αὐτῶν γνωρίμῳ· εὑρήσει ὁ λαβὼν ἐκ τοῦ δόντος ἡμέρας κακάς, ἀναλόγως τοῦ μέτρου αὐτῶν.

Εἰ δὲ ἴδῃ τις ὅτι ἤσθιεν ἐξ αὐτῶν μεμαγγανευμένα, εὑρήσει θλῖψιν ἀπὸ ἐξουσίας διὰ τὸ πῦρ ἐλαφρόν.

Εἰ δὲ ἴδῃ ὅτι ἤσθιε σέλινον, εἴτε μακεδονίσιον· εἰ μὲν νοσεῖ, εὑρήσει ὑγείαν· εἰ δὲ μή, εὑρήσει μέτριον ἀγαθόν.

Ἐὰν ἴδῃ τις ὅτι εὗρε κυάμους, ἢ φακόν, ἢ ἐρέβινθον, ἢ τὸ λεγόμενον λουπινάριον, ἢ ἐκ τῶν λοιπῶν· εὑρήσει θλῖψιν καὶ μέριμναν, ἀνάλογον τῆς εὑρέσεως.

Τὸ δὲ λουπινάριον μόνον, δριμυτέραν πάντων ἔχει τὴν κρίσιν, διὰ τὴν πικρίαν.

Εἰ δὲ ἴδῃ τις ταῦτα κεχυμένα, ἐν τῷ οἴκῳ αὐτοῦ, εὑρήσει μάχην καὶ πικρίαν ἐν τῷ οἴκῳ αὐτοῦ, ἀναλόγως τοῦ πλήθους.

Εἰ δὲ ἴδῃ ὅτι μεμαγγανευμένα ἐξ αὐτῶν ἤσθιεν, εἰς θλῖψιν καὶ νόσον ἥξει ἀνάλογον τῆς βρώσεως.

Πίσος δὲ καὶ σήσαμος, εἰς πλοῦτον καὶ χρυσίον κρίνεται. ἐνδοξότερον δὲ ὁ σήσαμος, διὰ τὸ ἐλαιῶδες αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἐξ αὐτῶν ἦρεν, ἢ εὐπόρησεν, ἢ ἀπέθετο ἐν οἴκῳ ἢ ἔφαγεν· εὑρήσει διὰ χαράγματος χρυσίον, καὶ πλοῦτον, καὶ δόξαν ἀνάλογον τοῦ πλήθους, καὶ ἔσονται εἰς αὔξησιν αὐτοῦ.

Si cocta quis edere visus sibi fuerit, à magistratu vexationem experietur, propter ignem illum lenem.

Si visus sibi fuerit apio vesci, aut • siquidem æger est, conualescet: sin autem, mediocrem prosperitatem inueniet.

Si quis fabas, aut lentem, aut cicer, aut lupinum inuenisse visus sibi fuerit, aliúdve tale quidpiam: pro inuentorum modo & mensura, in vexationem & sollicitudinem incidet.

Lupinum solum, acerbiorem habet interpretationem cæteris omnibus, propter amarorem.

Si quis hæc in domo sua videre visus fuerit effusa, pro modo illorum rixam & acerbitatem domi suæ reperiet.

Si coctis vesci visus sibi fuerit, pro modo manducationis in adflictionem & morbum incidet.

Pisum & sesamum, ad opes & aurum interpretando referimus. Sesamum tamē nobilius est, propter oleositatem suam.

Si quis hæc visus sibi fuerit accepisse, vel habuisse copiam horum aliquam, vel in domo sua condidisse, vel edisse: per monetariam auro potietur, & opibus, & gloria, pro copiæ modo: & incrementum ei portendent.

Τοῦ αὐτοῦ περὶ πεπέρεως καὶ σινάπεως. σζ.

ΚΑθ' ὅλου ἐν παντὶ τόπῳ εἰς μάχας, καὶ δίκας, καὶ μαχαίρας, καὶ θλίψεις κρίνεται τὸ πέπερι. τὸ δὲ σίναπι εἰς νόσον, καὶ θλῖψιν, καὶ κλαυθμόν, καθὼς καὶ τὰ κρόμμυα.

Εἰ δὲ ἴδῃ τις ὅτι εὗρε πέπερι, ἢ ηὐπόρησε, δίκας καὶ θλίψεις ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἔξωθεν εὑρήσει.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγε πέπερι, εὑρήσει τιμωρίαν ἀπὸ ἐξουσίας ἀνάλογον τοῦ πλήθους, καὶ τῆς δριμύτητος.

De pipere ac sinapi.

CAP. 207.

GEneraliter in quauis persona piper ad rixas, & lites, & gladios, & adflictiones refertur. Sinapi verò, ad morbum, & ærumnam, & ploratum, sicut & cepæ.

Si quis piper inuenisse visus sibi fuerit, vel eius aliquam habere copiam: lites & adflictiones tam domi suæ, quàm foris inueniet.

Si piper edisse visus sibi fuerit, à magistratu supplicio multabitur, pro manducati piperis modo, & eiusdem acredine.

Si ad libram piper mercari visus sibi fuerit, pro mensura piperis homines ad rixas incitabit.

Si grana sinapi reperisse, vel sustulisse, visus sibi fuerit: pro eorum copia, morbum & adflictionem inueniet.

Si cum cibis ea visus sibi fuerit edisse, morbum & ploratum inueniet, acrimoniæ illorum respondentem.

Si parasse sinapi visus sibi fuerit, ad vescendum: multos accusabit, & detrimento adficiet. ac siquidem & ipse comederit, adflictionis particeps erit.

De medicario, ex Persarum disciplina. CAP. 208.

MEdicarium ad opes & incrementum personæ refertur. Nam vbi semel satum fuerit, ad annos ea cultura septem sufficit.

Si quis medicario visus sibi fuerit agrũ suum conseuisse, de suis laboribus commodam beatámque vitam inueniet.

Si videre visus fuerit, in eodem agro medicarium feliciter prouenisse: diuitias ingentes, & fidem bonam inueniet.

Si visus sibi fuerit in thesauris semen eius occlusisse, minore cum labore nobiliores opes consequetur.

Si triturare medicarium visus sibi fuerit, vt semen eius accipiat: per monetariam & aurum, & opes insignes consequetur, pro seminis collecti copia.

Si satum parum feliciter prouenisse, visum ei per quietem fuerit: spes eum sua frustrabitur, & in paupertate vexabitur.

Si visus sibi fuerit ipsemet vesci medicario, pro modo manducationis ei calamitas hoc viso portenditur.

De raphanis & daucis, ex Indorum rationibus.

CAP. 209.

Εἰ δὲ ἴδῃ ὅτι ἠγόρασε σταθμῷ πέπερι, ἄνδρας ἐγερεῖ εἰς τὰς μάχας ἀναλόγως τοῦ πεπέρεως.

Ἐὰν ἴδῃ ὅτι κόκκους σινάπεως εὗρεν, ἢ ἦρεν· εὑρήσει νόσον, καὶ θλίψιν ἀνάλογον τοῦ πλήθους.

Εἰ δὲ ἴδῃ τις ὅτι ἤσθιεν αὐτὰ μετὰ βρωμάτων, εὑρήσει νόσον καὶ κλαυθμὸν μετὰ δριμύτητος, ἀνάλογον τῆς βρώσεως.

Εἰ δὲ ἴδῃ ὅτι κατεσκεύασε σίναπι πρὸς βρῶσιν· κατηγορήσει πολλοὺς, καὶ βλάψει. καὶ ἐὰν ἤσθιε καὶ αὐτὸς κοινωνὸς ἔσται τῆς θλίψεως.

Ἐκ τῶν Περσῶν περὶ μηδικαείου. σή.

ΤΟ μηδικάειον εἰς πλοῦτον καὶ αὔξησιν τὸ πρόσωπον διακρίνεται. ἅπαξ γὰρ σπαρὲν, ἐφ᾽ ἑπτὰ ἔτεσι γεώργηται.

Ἐὰν ἴδῃ τις ὅτι ἔσπειρεν ἐξ αὐτοῦ τὸν ἀγρὸν αὐτοῦ, εὑρήσει βιζωίαν ἀπὸ κόπων αὐτοῦ.

Εἰ δὲ ἴδῃ τὸ αὐτοῦ ἀγρὸν ἐξ αὐτοῦ ἐπιτυχόντα· εὑρήσει πλοῦτον πολὺ καὶ πίστιν ἀγαθήν.

Εἰ δὲ ἴδῃ ὅτι κατέκλεισε τὸ σπέρμα αὐτοῦ ἐν θησαυροῖς, ἀκοπώτερον καὶ ἐνδοξότερον πλοῦτον πλουτήσει.

Εἰ δὲ ἴδῃ ὅτι ἀλωᾷ αὐτὸν, πρὸς τὸ ἆραι* σπόρον· εὑρήσει χρυσίον διὰ χαράγματα* ὅσον συνῆξεν, καὶ πλοῦτον ἰσχυρόν.

Εἰ δὲ ὅτι ἐσόχησε τὸ σπαρέν· ἀποβαλεῖ τὴν προσδοκίαν αὐτοῦ, καὶ ἐν πτωχείᾳ θλιβήσεται.

Εἰ δὲ ἴδῃ ὅτι αὐτὸς ἐκεῖνος ἤσθιεν ἐκ τοῦ μηδικαείου, εὑρήσει θλίψιν ἀνάλογον τῆς βρώσεως.

Ἐκ τῶν Ἰνδῶν περὶ ῥαφάνου καὶ δαύκων. σθ.

ἘΑΝ ἴδῃ τις ὅτι ἤσθιε ῥαφάνους, εὑρήσει πλοῦτον ἐλάχιστον ἀνωφελῆ, καὶ ψεύστης, καὶ κακόφημός ἐστιν ἀνὰ μέσον λαοῦ, καὶ μισητὸς διὰ τὸ τῆς ἐρυγῆς δυσῶδες.

Ἐὰν δὲ ἴδῃ τις ὅτι ἤγαγον αὐτῷ ῥαφάνους· εἰ μὲν ἐστι βασιλεὺς, μήνυμα δέξεται ταχέως κακὸν ἀνάλογον τοῦ πλήθους.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει μάχην.

Εἰ δὲ ἴδῃ ὅτι ἐν τραπέζῃ ἔθηκαν ῥαφάνους· εἰ μὲν ἐστι βασιλεὺς, χάριν κακοῦ μανδάτου βουληφόρους συνεγείρει.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει κατ' οἶκον μάχας.

Εἰ δὲ ἴδῃ ὅτι σπείρει, ἢ μεταφυτεύει ταύτας· κακοπράγμων ἔσται καὶ διαβολεὺς, καὶ λοίδορος.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγε δαυκίον, εὑρήσει πλοῦτον ὀλίγον μετὰ νόσου· τὸ μὲν διὰ τὸ γλυκῶδες· τὸ δὲ διὰ τὸ χρῶμα κίτρινον.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγεν αὐτὸ μεμαγειρευμένον, εὑρήσει νόσον ὀλιγοχρόνιον διὰ τὸ ταχὺ τῆς πέψεως αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔπινεν οἶνον ἐκ δαυκίων, καὶ ἐμεθύσθη· εὑρήσει ἐξουσίαν μετὰ κόπων, καὶ νόσων ἀνάλογον τῆς μέθης.

Εἰ δὲ ἴδῃ ὅτι οὐκ ἐμεθύσθη, εὑρήσει νόσον καὶ θλίψιν ἀνάλογον.

Τοῦ αὐτοῦ περὶ χωραφίων καὶ σπόρων. σι'.

ΑἹ ἐσπαρμέναι χῶραι εἰς τὰς πράξεις τῶν ἀνθρώπων διακείνονται.

Ἐὰν οὖν ἴδῃ τις κατ' ὄναρ λογιζόμενος ὅτι ἔσπειρε χώραν γνωρίμην, σῖτον, καὶ ὅτι ἐφύτευσε καὶ ἦν καλὴ, καὶ ἦν ὁ καιρὸς φυτεύσεως· εἰ μὲν ἐστιν ὁ ἰδὼν τῶν πιστῶν, καὶ εὐλαβῶν καὶ ἀναχωρητῶν· τοῦτο εἰς τὰς πράξεις αὐτοῦ διακείνεται κατὰ θεόν.

SI quis visus sibi fuerit vesci raphanis, opes minimas & inutiles adipiscetur, & ad populum mendax & infamis erit, odiúmque promerebitur, propter fœtorem ructus.

Si quis adlatos sibi raphanos, videre visus fuerit: si rex est, infaustum breui nuntium accipiet, pro manducati raphani copia.

Si plebeius, rixam & pugnam inueniet.

Si quis aliquos in mensa videre visus fuerit adposuisse raphanos: si rex est, rixam inueniet, ideóque consiliarios suos conuocabit.

Si plebeius, rixam domi suæ reperiet.

Si raphanos serere, vel transplantare visus sibi fuerit: malas res molietur, & calumniator atque maledicus erit.

Si daucum edere visus sibi fuerit, opes exiguas cum ægritudine reperiet: illas quidem, propter dulcedinem: hanc verò, ratione coloris citrei.

Si coctum edere visus sibi fuerit, in morbum minimè diuturnum incidet, propter celeritatem coctionis.

Si vinum è daucis bibere visus sibi fuerit, ita quidem, vt inebriaretur: respondentem ebrietati potentiam cum laboribus & morbis inueniet.

Si minimè visus sibi fuerit ebrius factus, in adflictionem & ægritudinem potui respondentem incidet.

De agris, qui seruntur, & sationibus, eorundem rationes.

CAP. 210.

AGri consiti ad actiones hominum referuntur.

Si quis ergo per quietem visus sibi fuerit notum quoddam prædium frumento conseuisse, quod germinauerit, & bellè quidem, idque tempore germinationi conueniente: siquidem is, cui visum hoc oblatum fuit, è numero fidelium est, ac religiosorum, aut etiam solitudinarius: ad actiones eius in cultu numinis diuini somnium refertur.

Sin

Sin agri cultor ille plebeius est, in professione negotióque suo quisque mutationem experietur.

Si quis videre visus fuerit in loco & regione quadam incognita, maturos ad messem agros: si princeps est, aut rex, euétus somnij spectabit ad collectionem & adparatum populi, belli gerendi caussa próque maturitate messis, mature cædentur.

Sin aliqua tarditas interuenit, pro eius ratione cædes quoque tardiùs eueniet.

Si quis plebeius hoc videre visus sibi fuerit, opes quísque cum labore consequetur.

Si rex in eodem agro vel messe fieri, vel iam factam videre visus fuerit atque secum ipsemet cogitauerit, agrum illum suum esse: breui de clade populi sui cognoscet. Sin alienum, de cædibus extraneorum nuntium accipiet.

Quòd si per quietem oblatum regi visum fuerit, quasi de culmis resectis ei manipulos quidam adtulerint: si quidem ipsius erant, populus eius iugulabitur, & pro manipulorum multitudine vincti peregrè abducentur: sin alieni, captiuos ipse accipiet, pro modo multitudinis manipulorum.

Si quis visus sibi fuerit solum habere tenue, cuius nulli prouentus fuerint: si de numero fidelium est, ac religiosorum, sterilitatem bonarum actionum in seipso denotari sciat.

Si plebeius est, breui spem opum, quam fouebat, perdet.

Si quis visus sibi fuerit agrum hordeo consitum habere, quod triturauerit: & opes, & corporis robur adquiret.

Si frumenti messem fecisse copiosam visus sibi fuerit, opes diuturno labore consequetur, propterea quod laboriosè panis conficiatur.

Si quis habere farinam visus sibi fuerit, diuitias nobiliores & laudabiliores nanciscetur, quam quæ per frumentum, & hordeum, & bolum portenduntur. Nam bolo debilior inest interpretatio, propter ignem.

Εἰ δὲ ἐστὶ τοῦ κοινοῦ λαοῦ ἢ γεωργός, ἕκαστος ὁ τοῦτο ἰδὼν διαφορώτερον τὸ ἐπιτήδευμα καὶ τὴν ἐργασίαν αὐτοῦ ἕξει.

Εἰ δὲ ἴδῃ τις ὅτι εἰς τόπιν χώραν ἀγνώριστον, εἶδε χώρας πρὸς θερισμὸν ἑτοίμους· εἰ μὲν ἐστὶν ἐξουσιαστής, ἢ βασιλεύς, ἀποβήσεται αὐτῷ εἰς σύναξιν καὶ παρασκευὴν λαοῦ ἐν πολέμῳ καὶ πρὸς τὴν ἑτοιμότητα τοῦ θερισμοῦ τῆς χώρας ἑτοίμως σφαγήσονται.

Εἰ δὲ βραδύτης ἦν τοῦ θερισμοῦ, ἀναλόγως βραδύτητα ἕξει καὶ σφαγή.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ ἴδῃ τοῦτο, εὑρήσει ἕκαστος πλοῦτον μετὰ κόπου.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς τὴν αὐτὴν χώραν θεριζομένην ἢ θερισθεῖσαν, καὶ ἐλογίζετο οἰκείαν εἶναι αὐτήν· ἀκούσεται ταχέως σφαγὴν τοῦ λαοῦ αὐτοῦ. εἰ δὲ ξένην καὶ ἀλλοτρίαν, σφαγὰς ἀλλοτρίων ἀκούσει.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐκ καλάμου τμηθέντος ἤνεγκαν αὐτῷ δεσμούς· εἰ μὲν ἐστὶν ἐξ οἰκείων, λαὸς αὐτοῦ σφαγήσεται, καὶ δέσμιοι ἀναλόγως τοῦ πλήθους ἀπελεύσονται ἐν ξένῃ· εἰ δὲ ἐξ ἀλλοτρίων δεσμίους ἀπολήψεται ἀναλόγως τοῦ πλήθους.

Ἐὰν ἴδῃ τις ὅτι χώραν ἔχει ἀραιὰν καὶ ἀστοχήσασαν· εἰ μὲν ἐστὶ τῶν πιστῶν καὶ εὐλαβῶν ἀφορίαν τῶν ἀγαθῶν πράξεων ἐν αὐτῷ κρινέτω.

Εἰ δὲ ἐστὶ τοῦ κοινοῦ λαοῦ προσδοκίαν ἣν ἔχει πλούτου ἀπολέσει ταχύ.

Εἰ δὲ ἴδῃ τις ὅτι ἔχει χώραν κριθῆς καὶ ὅτι ἠλόα αὐτήν· εὑρήσει πλοῦτον καὶ ῥῶσιν σώματος.

Εἰ δὲ ἴδῃ ὅτι σῖτον πολὺν ἐγεώργησεν, εὑρήσει πλοῦτον μετὰ κόπου μακροῦ, διὰ τὸ ἐπίκοπον τῆς ἀρτοποιίας.

Εἰ δὲ ἴδῃ τις ὅτι ἄλευρον ἔχει, εὑρήσει πλοῦτον ἐνδοξότερον τοῦ σίτου καὶ τῆς κριθῆς καὶ τοῦ ψωμοῦ. παρὰ γὰρ ψωμοῦ ἐλαττοῦται ἡ κρίσις διὰ τὸ πῦρ.

Εἰ δὲ ἴδῃ τις ὅτι χώραν σησάμου εἶχεν, ἢ ἅλωνα· εὑρήσει πλούτου αὔξησιν πλέον τῶν εἰρημένων.

Εἰ δὲ ἴδῃ κέγχρου χώραν ἢ γεώργιον, εὑρήσει πλοῦτον καὶ χαρὰν ἀνάλογον τοῦ σησάμου ἐλάττονα.

Εἰ δὲ ἴδῃ ὅτι ὄρυζαν εἶχεν, εὑρήσει πλοῦτον μετὰ κόπου καὶ μετὰ πολλῆς μάχης καὶ δίκης καὶ βασάνου· διὰ τὴν βάσανον τῆς ἐκδύσεως τοῦ ὀρυζίου.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγεν ὄρυζον, ὁ πλοῦτος αὐτοῦ ἐκ μειζόνων κακῶν ἥξει.

Εἰ δὲ ἴδῃ τις ὅτι ἔσπειρεν ἕτερον εἶδος σπόρου, καὶ ἕτερον ἐγεώργησεν εἶδος· εἰ μὲν ἐστι χεῖρον τὸ εἶδος καὶ ἔστιν ὁ ἰδὼν τῶν πιστῶν· εὑρήσει ἐναντίον ἐν τῇ πίστει αὐτοῦ. εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἡ προσδοκία αὐτοῦ ἡ ἐπὶ τοῖς ἑκάστου ἐπιτηδεύμασιν, ἀπεναντίας ἔσται. εἰ δὲ κρεῖττον τὸ εἶδος τὸ γεωργηθὲν, εἰς ἀγαθὸν ἔσται ἡ ἔκβασις.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ χώρας καὶ σπορᾶς. σια΄.

Πᾶσα σπορὰ εἰς προσδοκίαν πλούτου πολλαπλασίονος κρίνεται.

Εἰ ἴδῃ τις ὅτι ἔσπειρέ τι καὶ ἔφυ καλῶς· ὁ πλοῦτος καὶ ἡ προσδοκία αὐτοῦ εἰς καλὸν ἔσται· εἰ δὲ μή, τοὐναντίον.

Ἐὰν ἴδῃ ὅτι ἐκ τῆς ἅλωνος οὐδὲν συνῆξε πλὴν ἀχύρων· εὑρήσει πλοῦτον ἀκόπως. εἰ δὲ πλείονα σῖτον τοῦ ἀχύρου συνῆξεν· ἐνδοξότερον μὲν πλοῦτον πλουτήσει, ἐπικοπώτερον δέ.

Αἰγυπτίων ὁμοίως τοῦ αὐτοῦ. σιβ΄.

Si quis habere visus sibi fuerit agrum sesamo consitum, vel aream sesamo plenam: maiora sibi diuitiarum incrementa portendi sciat, quàm per ea, quæ recensuimus.

Si agrum milio consitum videre visus fuerit, diuitias milij copiæ respondentes, & lætitiam inueniet: sed imparem significationi sesami.

Si visus sibi fuerit oryzam habere, diuitias magna cum rixa, litigatione, tortura consequetur: propter molestiam, quæ in excorticatione oryzæ deuoranda est.

Si oryzam edere visus sibi fuerit, opes eius de maioribus etiam malis prouenient.

Si quis visus sibi fuerit aliam leguminis speciem seuisse, atque alterius deinde speciei messem fecisse: si quidem hęc fuerit deterior, & qui somnium habuit, è numero fidelium est: in fide sua quiddam aduersi experietur. sin plebeius est, spes eius, quam in professione quisque sua fouet, voto non satisfaciet. sin demessa species altera melior fuerit, euentum res ea prosperum sortietur.

De agro, & satione, ex Persarum & Aegyptiorum disciplina.

CAP. 211.

OMnis satio multipliciter ad expectationem opum refertur.

Si quis igitur aliquid seuisse visus sibi fuerit, atque hoc enatum fuisse feliciter: opes & spes ipsius cum minimè fallent. sin autem, diuersum accidet.

Si de area nihil collegisse, præter paleas, visus sibi fuerit: opes absque labore inueniet. sin plus frumenti, quàm palearum, collegit: splendidiores quidem diuitias adquiret, sed maiore cum labore.

Aegyptiorum rationes consimiles. CAP. 212.

SI quis visus sibi fuerit agrum habere lino consitum, si quidem id pulchrum est, & iam adultum: diuitias & gloriam coram hominibus inueniet, propter vestitum qui de lino conficitur.

Si quis præter morem habere visus sibi fuerit arundinetum calamorum dulcium, diuitias optatas & amplissimas adipiscetur, pro arundineti modo & magnitudine.

Sin ex more, diuitias itidem iucundas & maximas inueniet, pro arundineti ratione: sed indicatis modo minores.

Si consitum lupinis agrum habere visus sibi fuerit, sollicitudines & ærumnas habebit.

Si quis ex alia specie, quam de frumento, panem confecisse visus sibi fuerit: fraudulentia diuitias ingentes adquiret.

De gramine, acantha, siue spina, & senticeto: Indorum, Persarum, & Aegyptiorum interpretationes.

CAP. 213.

GRamen siue fœnum, in quauis persona diuitias & aurum denotat: magis tamen siccum, quam viride.

Si quis fœnum sustulisse, vel in aceruum congessisse, visus sibi fuerit: pro eius tum copia, tum pulchritudine, diuitias & aurum consequetur.

Si fœnum suum pluuia madefactum videre visus fuerit, in opibus suis aliquid experietur aduersi, pro ratione madoris.

Si fœnum suum incensum videre visus fuerit, à magistratu diuitiis spoliatur, non sine cruciatu.

Si visus sibi fuerit ab homine noto fœnum accepisse, prosperitatem ab eo diuitiásque consequetur, pro dati fœni modo.

Si fœnum suum vendidisse visus sibi fuerit auro, vel argento: per adflictionem & contentionem diuitias suas amittet.

ἘΆΝ τις ἴδῃ ὅτι ἔχει χώραν ἐσπαρμένην λινάριν, εἰ μὲν ἐστι καλὸν καὶ θαλές· εὑρήσει πλοῦτον καὶ δόξαν ἐνώπιον ἀνθρώπων διὰ τὸν ἐξ αὐτοῦ ἱματισμόν.

Εἰ δὲ ἴδῃ τις ὅτι ἔχει γλυκοκαλαμίδα ἀσυνήθως, εὑρήσει πλοῦτον ἡδὺν καὶ μέγιστον ἀναλόγως τῆς καλαμίδος.

Εἰ δὲ συνήθως, εὑρήσει μὲν καὶ ὧδε πλοῦτον, ἐλάττονα δέ.

Εἰ δὲ ἴδῃ ὅτι ἔχει χώραν ἐκ θερμίων, ἕξει μερίμνας καὶ θλίψεις.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐποίησεν ἄρτον ἐξ ἑτέρου εἴδους, οὐχὶ σίτου· δολιότητι κτήσεται πλοῦτον πολύν.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ χόρτου καὶ ἀκάνθης καὶ ῥαβδούχου. σιγ´.

Ὁ χόρτος καθ᾽ ὅλου ἐπὶ παντὸς προσώπου, εἰς πλοῦτον καὶ χρυσίον διακεῖνται· πλέον δὲ ὁ ξηρὸς τοῦ χλωροῦ.

Ἐὰν ἴδῃ τις ὅτι χόρτον ἦρεν, ἢ εὗρεν, ἢ ἐθημωνίασεν· εὑρήσει πλοῦτον καὶ χρυσίον ἀνάλογον τοῦ πλήθους καὶ τῆς καλλονῆς.

Ἐὰν δὲ ἴδῃ ὅτι ὁ χόρτος αὐτοῦ ἐβράχη, εὑρήσει θλίψιν εἰς τὸν πλοῦτον αὐτοῦ, ἀνάλογον τῆς βροχῆς.

Εἰ δὲ ἴδῃ ὅτι ἐνεπρήσθη ὁ χόρτος αὐτοῦ ἀφαιρεῖται ἀπὸ ἐξουσίας μετὰ τιμωρίας.

Εἰ δὲ ἴδῃ ὅτι ἀπὸ γνωρίμου ἔλαβε χόρτον· εὑρήσει ἐξ αὐτοῦ ἀγαθὸν καὶ πλοῦτον ἀνάλογον τῆς δόσεως.

Εἰ δὲ ἴδῃ ὅτι ἐπώλησε τὸν χόρτον αὐτοῦ χρυσῷ, ἢ ἀργύρῳ· μετὰ θλίψεως καὶ φιλονεικίας ἀποβαλεῖ τὸν πλοῦτον αὐτοῦ.

Ἡ ἄκανθα εἰς ἄνδρα στρεβλὸν καὶ πονηρὸν κρίνεται ἀναλόγως τῆς ἀκάνθης πλὴν τῶν προειρημένων καρπίμων ἀκανθώδων δένδρων. ταῦτα γὰρ εἰς δύναμιν καὶ περιφάνειαν ἐκείθη τῶν ἀνδρῶν. τὰ δὲ μικρὰ εἰς ἀδυνάστον, καὶ πονηρὸν, καὶ πολλάκις θλιπτικὸν κρίνεται, τῶν ἀνθρώπων.

Ἐὰν ἴδῃ τις ὅτι ἀκάνθαις περιεπλάκη, εὑρήσει ἀγανάκτησιν καὶ θλῖψιν ἀναλόγως τῆς περιπλέξεως.

Εἰ δὲ ἴδῃ ὅτι ἄκανθαι ἐκολλήθησαν ἐν τῷ ἱματίῳ αὐτοῦ· εἰς μέριμναν καὶ περισπασμὸν αὐτῷ ἀποβήσεται ἀναλόγως.

Εἰ δὲ ἴδῃ ὅτι γυμνοποδῶν ἠκανθώθη τοὺς πόδας καθ' ὁδὸν· εἰ μὲν ἐστὶ μέγιστος, ἢ ἐκστρατεύων· πληγήσεται ἀναλόγως τῆς ἐκεῖθεν πληγῆς.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει ἕκαστος θλῖψιν καὶ ἐναντίωσιν ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

Ἐκ τῶν Ἰνδῶν τοῦ αὐτοῦ. σιδ΄.

Πολλὰ πολλάκις τῶν ἀκανθῶν εἰς σφάλματα τῆς πίστεως διακρίνονται.

Ἐὰν ἴδῃ τις ὅτι ἀκάνθαις φοινικίναις ἐπλήγη, εὑρήσει ἀπὸ γυναικῶν εὐγενῶν καὶ μεγίστων μάχην καὶ θλῖψιν ἀνάλογον τῆς πλήξεως.

Καθ' ὅλου δὲ πᾶσα ἄκανθα εἰς θλῖψιν κρίνεται ἀναλόγως τῆς πλήξεως.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν καὶ Αἰγυπτίων, περὶ ῥάβδου. σιε΄.

Ἡ ῥάβδος εἰς ἄνδρα εὐγενῆ κρίνεται ἀναλόγως τῆς εὐγενείας καὶ ἰσχύος τοῦ ξύλου.

Spina, virum peruersum & malum denotat, pro spinarum diuersitate: exceptis tamen spinosis arboribus frugiferis, de quibus antea dictum. Nam eæ relatæ sunt ad potentiam & splendorem hominum. Si quæ malæ sunt, impotentem, & improbum, & alios vexantem denotant.

Si quis implicatum se spinis videre visus fuerit, dolorem & adflictionem inueniet, implicationi respondentem.

Si spinas adhæsisse vesti suæ, videre visus fuerit: pro earum, quæ adhæsere, numero: sollicitudinem ac distractionem experietur.

Si visus sibi fuerit à spinis, quum nudus incederet, pedes in itinere læsus: si vir amplissimus est, aut qui versatur in expeditione: pro accepti vulneris modo vulnerabitur.

Si plebeius, in professione quisque sua impedimentum experietur.

Consimiles ex Indis rationes.

CAP. 214.

Pleraque de spinis visa nocturna, de fidei sæpenumero lapsibus intelliguntur.

Si quis à palmarum spinis vulnerari visus sibi fuerit, à mulierculis nobilibus & amplissimis oppugnabitur & adfligetur, pro modo punctionis spinarum.

In vniuersum quæuis spina denotat adflictionem, pro modo punctionis & vulneris.

De virga siue baculo, ex Persarum, Indorum, & Aegyptiorum disciplina.

CAP. 215.

Virga siue baculus, interpretando refertur ad virum nobilem, pro modo nobilitatis & roboris ipsius ligni.

Si quis baculum gestare, vel ei visus fuerit inniti: talem virum sibi conciliabit, ad amicitiam, gloriam, atque robur ipsius.

Si videre visus fuerit baculum suum fractum, vel fissum: si rex est, dilectum sibi validúmque seruum amittet. si plebeius, amittet hominem, cui maximè fidebat.

Si putruisse baculus per quietem visus ei fuerit: si rex est, ad eam personam referenda calamitas, de qua modò dictum: & similis in plebeis interpretatio recipiēda.

Si rex aliquem virga percussisse visus sibi fuerit, per hominem quendam suum benè de illo merebitur qui percussus fuit.

De arborum fructibus, explanationes Persarum.

CAP. 216.

SI quis fructus ex arboribus decerpere visus sibi fuerit, à viro potente diuitias consequetur, & arbori, & collectioni fructuum respondentes.

Si sedere sub arbore visus sibi fuerit, & absque labore fructus colligere: sine vlla sollicitudine ditescet.

Si videre visus fuerit, quasi arbor ipsa inclinata flexâque decerpendi copiam ei faceret: si rex est, aut vir amplissimus, comitabuntur atque satellitio suo stipabūt eum viri, prout arbor ipsa semet inflexerit: si plebeius, gratiam & potestatem populi alicuius impetrabit.

De illorum colloquiis, quæ à natura loqui nequeunt: Indorum, Persarum & Aegyptiorum rationes.

CAP. 217.

Ἐὰν ἴδῃ τις ὅτι ῥάβδον φέρει, ἢ ὅτι ἐρείδεται ἐν αὐτῇ· εὑρήσει τοιοῦτον πρὸς φιλίαν, καὶ δόξαν καὶ ἰσχὺν αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐκλάσθη ἢ ἐχαώθη ἡ ῥάβδος αὐτοῦ· εἰ μὲν ἐστὶ βασιλεὺς, ποθητὸν δοῦλον αὐτοῦ καὶ ἰσχυρὸν ἀπολέσει· εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἄνδρα ᾧ πέποιθεν, ἀποβαλεῖ.

Εἰ δὲ ἴδῃ ὅτι ἐσάπη, ὁμοίως ἐὰν ἐστὶ βασιλεὺς, ἔσται τὸ πάθος εἰς τὸν εἰρημένον ἄνθρωπον αὐτοῦ· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ κοινοῦ λαοῦ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἔτυψέ τινα ῥάβδῳ, διὰ τοῦ ἀνθρώπου αὐτοῦ, τὸν τυφθέντα εὐεργετήσει.

Ἐκ τῶν Περσῶν περὶ καρπῶν τῶν δένδρων. σιϛʹ.

ἘΑΝ ἴδῃ τις ὅτι τρυγῶν ἀπὸ δένδρων καρποὺς, εὑρήσει πλοῦτον ἀπὸ ἀνδρὸς δυνατοῦ, ἀναλόγως τοῦ δένδρου καὶ τῆς τρυγῆς.

Εἰ δὲ ἴδῃ ὅτι καθήμενος ἀπὸ δένδρου συνάγει καρπὸν, ἀκόπως πλουτήσει ἀμερίμνως.

Εἰ δὲ ἴδῃ ὅτι ἐκεῖνο αὐτὸ τὸ δένδρον ἐπικλιθὲν ἐδίδου αὐτῷ τρυγᾶν· εἰ μὲν ἐστὶ βασιλεὺς, ἢ μέγιστος, ἀκολουθήσουσιν αὐτῷ καὶ δορυφορήσουσιν ἄνδρες, ἀναλόγως τῆς ἐπικλίσεως· εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει χάριν καὶ ἐξουσίαν ἀπὸ λαοῦ ἀνδρῶν.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων περὶ συντυχίας τῶν οἷς οὐκ ἔστι φύσις λαλεῖν. σιζʹ.

ἘΑΝ ἴδῃ τις ὅτι συνέτυχεν αὐτῷ ταῦτα, οἷς οὐκ ἔστι φύσις λαλεῖν· εἰ μὲν ἐπὶ βασιλεὺς, ἢ μέγιστος, ἢ πολεμιστής· εὑρήσει χαρὰν, καὶ νίκας ἐχθρῶν· θαυμαζόμενος ἐπὶ τοσοῦτον, ὅσον ἐπὶ τῇ συντυχίᾳ τῶν οἷς ὁμιλεῖ ἀλάλων.

Ἐὰν ἴδῃ τις ὅτι ὡμίλησεν δένδρον ἢ κτήνει· εὑρήσει χρυσίον καὶ πλοῦτον πολὺν, ὅστις ἂν ᾖ ὁ ἰδών.

Εἰ δὲ ἴδῃ ὅτι ὡμίλησε θηρίῳ τινὶ, ἢ ὄφει, ἢ ὁμοίῳ· εἰς νίκας ἐχθρῶν αὐτοῦ τοῦτο κρίνεται.

Τὰ γὰρ θηρία, καὶ οἱ ὄφεις, ἔχθραν ἔχουσι κατὰ τῶν ἀνθρώπων.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι ὡμίλησεν ὀρνέοις τισί· τοῦτο εἰς πλοῦτον ἑαυτοῦ κρινέτω, διὰ τὸ πτερόν.

SI quis videre visus fuerit omnia secum colloquentia, quibus natura loquendi facultatem non dedit: si rex est, aut vir amplissimus, aut dux bello strenuus: gaudio potietur, & hostium victoriis: tantúmque consequetur admirationis, quantum est in rerum mutarum, quibus cum sermones habet, colloquio miraculi.

Si quis cum arbore, vel iumento, colloqui visus sibi fuerit: auri & opum vim magnam inueniet, quicunque tandem hoc somnium habuerit.

Si quis visus sibi fuerit colloquutus cum bellua quadam, vel serpente, vel animali simili: hoc ipsum ad victorias de hostibus suis referat.

Nam belluæ, ac serpentes, inimicitias cum hominibus exercent.

Similiter si cum auibus quibusdam visus sibi fuerit colloquutus: ad opes hoc suas referat, propter pennas.

Ἐκ τῶν Αἰγυπτίων περὶ ἀμφιάσεως. σιη΄.

De vestitu, ex Aegyptiorum disciplina. CAP. 218.

ἘΑΝ ἴδῃ τις ὅτι φορεῖ ἱμάτια μέλανα συνήθη, εὑρήσει χαρὰν ἀνάλογον τῆς ἐνδύσεως.

Εἰ δὲ τοῦτο οὐκ ἦν αὐτῷ ἔθος, εὑρήσει θλίψιν ἀνάλογον τῆς βαθύτητος.

Εἰ δὲ ἴδῃ ὅτι ἐφόρει ὑποκάμισον μέλαν, ἡ θλίψις αὐτῷ σφοδροτέρα ἔσται.

Ὁμοίως καὶ εἰς πάντα τὰ ἱμάτια, ἐν οἷς ἕκαστον αὐτῶν προσεκείθη πρόσωπον· ἐν τούτοις ἀναλόγως ἀποβήσεται τοιαύτη θλίψις.

Ὁμοίως ἐὰν ἴδῃ τις συνήθης ὢν ἐνδύσεως μελαίνης, ὅτι ἐνεδύσατο ἱμάτια λευκά· καὶ ἐλογίζετο αὐτὰ εἰς ὕβριν· μεταγραφήσεται ἕκαστος ἐκ τῆς ἐργασίας αὐτοῦ καὶ τοῦ ἐπιτηδεύματος εἰς χείρονα. τὰ γὰρ λευκὰ εἰς κόσμον κρίνεται· ἀλλ' αὕτη ἡ κρίσις διὰ τὸ συνήθες. τὰ δὲ μέλανα εἰς θλίψεις εἰσίν· ἀλλ' αὕτη ἡ κρίσις διὰ τὸ παρασυνήθες.

SI quis vsitata vestimenta nigra gestare visus sibi fuerit, lætitiam indumento respondentem inueniet.

Sin hoc vestimentum ei non erat vsitatum, in adflictionem incidet laxitati respondentem.

Si subuculam nigram gestare visus sibi fuerit, vehementiùs adfligetur.

Consimiliter in omnibus vestimentis, ad quas personas singula superiùs relata sunt. in eis euentum sortietur & adflictio.

Similiter si quis videre visus fuerit, qui vestes nigras gestare consuesset, amictum albo se pallio: simúlque ad ignominiam hoc suam reputauerit: in professione ac negotio quísque suo, ad deteriora sese conuertet. Nam quæ albi coloris sunt, ad ornatum quidem referuntur: sed hæc interpretatio propter hominis consuetudinem locum habet. Itidem ad ærumnam, quæ nigra sunt, spectant: sed hæc interpretatio propterea traditur, quod præter consuetudinem aliquid fiat.

Si quis diuersas vestes, vno duntaxat colore tinctas, gestare visus sibi fuerit: à rege, vel loci principe vexabitur.

De camylauchio, Indorum, Persarum, & Aegyptiorum explicatus.

CAP. 219.

SI quis visus sibi fuerit gestare camylauchium, iis consimile, quæ ab omnibus vsitato more gestantur: hoc ad caput, quod ipso superius est, interpretando refertur. ac si quidem visum fuerit eius capiti rectè conuenire, similiter & ipsi cũ capite suo rectè conueniet: sin autem, diuersa erit ratio. Significat enim, hunc hominem capiti siue magistratui displicere.

Si quis videre visus fuerit camylauchium suum sordidatum: adflictionem respondentem sordibus, in capite suo videbit.

Si ruptum videre visus fuerit, aut inueteratum: eôdem calamitatem referat.

Si decidisse visum fuerit: à capite suo, cui subiectus est, separatur.

Si direptum ab ignoto quodam superior ille moritur: sin à noto, per illum ipsum aut alium ei similem ab ipso separabitur.

Si visus sibi fuerit gestare camylauchium obductum pelle felis, aut vulpis, aut animalium hisce similium: caput improbum habebit, tam ratione fidei, quam rerum mundanarum respectu: idque propter fraudulentam horum animalium naturam.

Si visus sibi fuerit accepisse camylauchium præter consuetudinem, dignitatis eminentiam consequetur, pro modo pulchritudinis eius.

Si album camylauchium accepisse visus sibi fuerit, coram hominibus decus & lætitiam inueniet.

Si prasinum, sublimitatem & celeberrimum nomen in fide sua reperiet.

Ἐὰν ἴδῃ τις ὅτι φορεῖ ἱμάτια βεβαμμένα διάφορα μονόχροα· εὑρήσει ἀπὸ βασιλέως, ἢ τοῦ ἐξουσιαστοῦ τοῦ τόπου, θλῖψιν καὶ ἀνάγκην.

Ἐκ τῶν Περσῶν, Ἰνδῶν, καὶ Αἰγυπτίων, περὶ καλυμμαυχίου. σιθ΄.

ΕΆΝ ἴδῃ τις ὅτι φορεῖ καλυμαύχιον, ἐκ τῶν συνήθως πᾶσι φορουμένων· τοῦτο εἰς τὴν ὑπεραίρουσαν αὐτὸν κρίνεται κεφαλήν. καὶ ἐὰν ἴδῃ ὅτι εὔθετον ἔστιν εἰς τὴν κεφαλὴν αὐτοῦ, ἔσται ἡ κεφαλὴ αὐτοῦ πρὸς αὐτὸν εὔθετος· εἰ δὲ μὴ, τοὐναντίον· εἰς γὰρ τὸ ἀπαρέσκειν ἔσται τῇ κεφαλῇ αὐτοῦ.

Ἐὰν ἴδῃ ὅτι ἐρρυπωμένον ἦν· θλῖψιν ἀνάλογον τοῦ ῥύπου ἴδῃ εἰς τὴν κεφαλὴν αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι διεῤῥάγη, ἢ ἐπαλαιώθη· ὁμοίως ἐκεῖσε τὸ πάθος κρινέτω.

Εἰ δὲ ἴδῃ ὅτι ἔπεσεν ἐξ αὐτοῦ· χωρίζεται τῆς ὑπερεχούσης αὐτὸν κεφαλῆς.

Εἰ δὲ διηρπάγη παρὰ ἀγνωρίστου, ἀποθανεῖται ὑπερέχων· εἰ δὲ γνωρίμου, δι᾽ αὐτοῦ, ἢ δι᾽ ἑτέρου ὁμοίου χωρισθήσεται αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι φορεῖ καλυμαύχιον ἠμφιεσμένον ἀπὸ δέρματος αἰλούρου, ἢ ἀλώπεκος, ἢ τῶν ὁμοίων· εὑρήσει κεφαλὴν πονηρὰν κατά τε τὴν πίστιν καὶ τὸν κόσμον· διὰ τὸ δόλιον τῶν θηρίων.

Εἰ δὲ ἴδῃ ὅτι ἔλαβε καλυμαύχιον παρὰ συνήθειαν, εὑρήσει ὕψος ἀξιώματος ἀναλόγως τοῦ κάλλους αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔβαλε λευκὸν, εὑρήσει κοσμιότητα ἐνώπιον ἀνθρώπων καὶ χαράν.

Εἰ δὲ πράσινον, εὑρήσει ὕψος καὶ ὄνομα μέγιστον εἰς τὴν πίστιν αὐτοῦ.

Εἰ δ' ἀληθινὸν,* εἰς χαρὰν ἔσαι αὐτῷ.

Καὶ εἰς τὰς λοιπὰς χρόας, καθὼς προεκείθησαν.

Εἰ δέ τις ἴδῃ ἐκ τῆς τοῦ βασιλέως πορφύρας ὅτι ἐφόρησε καλυμαύχιον· εὑρήσει ἀξίαν καὶ τιμὴν παρ' αὐτοῦ βασιλέως.

Εἰ δὲ ἐστι μέγιστον τὸ καλυμαύχιον, πλέον ἔσαι τὸ ἀγαθὸν αὐτῷ.

Τὸ καμυλαύχιον ἐπὶ βασιλέως, εἰς τὴν αὐγοῦσαν καὶ εἰς τέκνον κρίνεται.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι νεωστὶ καλυμαύχιον ἔδεχεν, εἰ μὲν οὐκ ἔχει αὐγοῦσαν, νέαν λήψεται· εἰ δὲ ἔχει, τέξει τέκνον ἄρσεν.

Καὶ ταῦτα εἰ μὲν ἐστι καλυμαύχιον πολύχροον, εἰς ἐναντίον ἔσαι τῶν θελημάτων αὐτοῦ.

Εἰ δὲ σύνηθες, βασίλειον, τοὐναντίον, καὶ διάδοχος ἔσαι αὐτοῦ τὸ τεχθέν.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι σύνηθες ἐφόρει καλυμαύχιον, ἔσαι ἡ χαρὰ αὐτοῦ εἰς τὸ προτεχθὲν, καὶ εἰς τὴν αὐγοῦσαν.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι καλυμαύχιον ἔδεχεν εἰς σκέπην βροχῆς, ἢ ἡλίου, τρόπαια ποιήσει κατ' ἐχθρῶν, καὶ τοσοῦτον ἔσαι ἡ νίκη ὅσον ἡ σκέπη.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς, ὅτι ἀπὸ δερμάτων ἦν, πλοῦτον ἐχθρῶν ἐπικτήσεται. διότι ἡ δορὰ* τῶν θηρῶν, εἰς πλοῦτον ἐχθρῶν κρίνεται.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ ἱματίων λωρωτῶν. σκ'.

Εἰς εὐγενὲς πρόσωπον, ἢ εἰς εὐδοξίαν, ἡ τῶν χιτώνων αὐτῶν ἔσαι τῶν λωρωτῶν κρίσις.

Ἐάν τις ἴδῃ ὅτι ἔβαλεν ἱμάτιον λωρωτὸν ἀσυνήθως· εὑρήσει εὐγένειαν καὶ χαρὰν, καὶ εὐδοξίαν.

Εἰ δὲ ἴδῃ τις ὅτι τὸ λωρωτὸν ἀληθινὸν ἦν· εἰς χαρὰν ἐνδοξοτέραν ἥξει αὐτῷ.

Si rubrum, gaudij significationem habebit.

Itidem de cæteris statuendum coloribus, prout eorum interpretationes supra sunt expositæ.

Si quis de purpura regis camylauchium gestare, visus sibi fuerit: à rege dignitatem & honorem consequetur.

Si maximum fuerit hoc camylauchium, plus ei boni prosperitatísque portenditur.

Camylauchium regis ad Augustam *& eius liberos* refertur.

Si rex visus sibi fuerit recens accepisse camylauchium, si Augusta caret, nouam accipiet: sin habet Augustam, marem procreabit.

Et quidem si camylauchium plures colores habet, aduersum quiddam ipsius desideriis portendit.

Sin autem consuetum regium, ex aduerso, & successor erit eius filius.

Si consuetum camylauchium gestare visus sibi fuerit, gaudium ad subolem iam ante susceptam, & ad ipsam Augustam spectabit.

Si rex camylauchium sumpsisse visus sibi fuerit, vt sese tegat, & muniat à pluuia, vel sole: contra hostes tropæa statuet, & quidem victoria tegumento respondebit.

Si camylauchium regi per quietem visum fuerit esse de pellibus, hostium diuitias adquiret. Quippe ferarum exuuium ad opes hostium refertur.

De vestibus virgatis, Persarum, & Aegyptiorum rationes.

CAP. 220.

Interpretatio virgatarum tunicarum ad personam nobilem, vel ad existimationem honestam referri debet.

Si quis præter morem visus fuerit sibi, sumere vestem virgatam: & nobilitatem, & gaudium illustrius consequetur.

Si coloris veneti fuerit, maiores ad opes perueniet.

Si

Si coloris veneti fuerit, maiores ad opes perueniet.

Si citrei, morbum duplicem denotat.

Si virgata vestis & nigra pariter erat, & alba: dedecus & adflictionem significat, propter interpretationem duplicem.

Virgatæ vestes de metaxa factæ, diuitias aliis solidiores significant: vt cæteræ, tenuiores.

De lanis factæ cuiusvis generis, copiosiores & maiores his omnibus opes portendunt.

Itidem vestes operis Phrygij, quæ vsia vocant, ad opes indicatis abundantiores referuntur.

Si quis igitur vsium gestare visus sibi fuerit aureum, infamiam & adflictionem inueniet, auri copiæ respondentem.

Sin vsium lactei coloris, aut venetum: per signaturam siue incisuram argenti diuitias adquiret, colori respondentes.

Sin vsium de diuersis coloribus, & citreum: neruis cruciabitur, pro colorum multitudine.

Si visus sibi fuerit vsium gestare, diuitias vndecunque collectas à pluribus inueniet, propter ipsius tunicæ opus acu variegatum.

Si vsium rubras quasdam quasi bullas habet, per monetariam siue signaturam diuitias, bullarum numero respondentes, consequetur: modo res inusitata fuerit. sin vsitata, diuitiæ minores erunt.

De verberibus siue flagris, Persarum, & Aegyptiorum rationes.

CAP. 221.

Si quis visus sibi fuerit neruis ab aliquo noto cæsus, pro modo verberum ex auri signatura quæstum faciet.

Si cum potestate is est, qui percussit: hanc ipsam quoque cum eo communicabit.

Εἰ δὲ βένετον, εἰς πλοῦτον πλείονα.

Εἰ δὲ κίτρινον, διπλῆν νόσον νοσήσει.

Εἰ δὲ λωρωτὸν ἦν μέλαν καὶ λευκὸν, δυσφημίαν καὶ θλίψιν σημαίνει, διὰ τὸ διπλοῦν τῆς κρίσεως.

Τὰ ἀπὸ μετάξης λωρωτὰ, εἰς πλοῦτον στερρεώτερον τῶν ἄλλων κρίνεται· τὰ δὲ ἄλλα εἰς ἐλάττονα.

Τὰ δὲ ἀπὸ ἐρίων γαστρὸς ἢ τῶν ἄλλων ἤτοι χασίδια λωρωτὰ, εἰς πλείονα καὶ μείζονα τούτων πάντων πλοῦτον κρίνεται.

Καὶ τὰ λεγόμενα οὐσία, εἰς [illegible]ώτερον πλοῦτον τῶν εἰρημένων πάντων κρίνεται.

Ἐὰν οὖν ἴδῃ τις ὅτι φορεῖ οὐσίον χρυσίον, εὑρήσει θλίψιν καὶ φήμην κακὴν ἀνάλογον τοῦ πλήθους τοῦ χρυσοῦ.

Εἰ δὲ οὐσίον γαλάζιον ἢ βένετον· εὑρήσει πλοῦτον διὰ χαράγματος ἀργύρου ἀνάλογον τοῦ πλήθους.

Εἰ δὲ οὐσίον ἀπὸ διαφόρων χροῶν καὶ κιτρίνου· εὑρήσει τιμωρίαν βουνεύρων, ἀνάλογον τοῦ πλήθους.

Ἐὰν δὲ ἴδῃ ὅτι ἐφόρει οὐσίον, εὑρήσει πλοῦτον πολὺ συλλεκτὸν, διὰ τὸ τοῦ χιτῶνος πολυσυνάκτον ἐκ βελόνης ἔργον.

Εἰ δὲ τὸ οὐσίον ἔχει ὡσεὶ βούλλας ἐρυθρὰς, εὑρήσει πλοῦτον διὰ χαράγματος, ἀνάλογον τοῦ πλήθους· εἰ ἄρα ἐστὶν ἀσυνήθης. εἰ δὲ συνήθης, ἔσται ὁ πλοῦτος ἐλάσσων.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ τύψεως ἤτοι δαρμοῦ. σκα'.

ἘΑΝ ἴδῃ τις ὅτι ἐτύφθη βουνεύροις παρά τινος γνωρίμου ἀναλόγως τοῦ μέτρου, κερδήσει διὰ χαράγματος χρυσίου.

Εἰ δὲ ὁ τύψας ἐστὶν ἐν ἐξουσίᾳ, καὶ ἐκ ταύτης δώσει αὐτῷ.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι ὥρισε τυφθῆναί τινι βουνεύροις· εὑρήσει ὁ τυφθεὶς χαρὰν μεγάλην καὶ πλοῦτον κατὰ τὸν ἀριθμὸν αὐτῶν.

Ὁμοίως ἐὰν αὐτὸς ἐκεῖνος ὁ βασιλεὺς ἔτυψέ τινα μαγκλάβια ἢ χαρζάνια, εὑρήσει ἐξ αὐτοῦ περίφημον καὶ μέγιστον ἀξίωμα ὑπὲρ καύχημα.

Εἰ δ' αὐτόχειρ πάλιν ἔτυψέ τινα ῥάβδῳ· εὑρήσει ὁ τυφθεὶς παρὰ τοῦ δευτερεύοντος* τοῦ βασιλέως, ἐν εἰδήσει καὶ γνώμῃ τοῦ βασιλέως, χαρὰν καὶ ἐξουσίαν.

Εἰ δὲ μετὰ σπάθης ἔδωκέ τινι ὁ βασιλεὺς, ὁ λαβὼν, εἰ μὲν ἐστὶ δοῦλος, ἐλευθεροῦται παρὰ τοῦ βασιλέως· εἰ δὲ πτωχὸς, πλουτήσει· εἰ δὲ πλούσιος, ἢ μέγιστος, αὐξήσει ἐπ' αὐτῷ ἡ τιμὴ τοῦ βασιλέως ἀναλόγως τῆς τομῆς.

Εἰ δ' οὐκ ἐνέργησεν ἡ τομὴ, οὐδ' ἐξέμαξεν· ἔσται ἡ χαρὰ ἐν πᾶσι τοῖς εἰρημένοις ἐλαττοτέρα.

Si rex imperasse visus sibi fuerit, vt neruis quispiam cæderetur: qui cæsus fuerit, ingenti lætitia diuitiisque potietur, pro numero verberum.

Similiter si rex ipse percusserit aliquem super manclauia vel charzania, percussus ille celeberrimam & amplissimam dignitatem ab eo consequetur.

Si virga rursus ipsemet aliquem manu sua, percusserit: is qui percussus est, ab homine secundùm regem primo, rege sciente ac volente, lætitia potestatéque beabitur.

Si gladio rex aliquem percusserit, is qui plagas accepit, si seruus est, à rege emancipatur: si pauper, ditescet: si diues, aut vir amplissimus, magis ac magis eum rex honorare perget: prout scindi ac vulnerari visus sibi fuerit.

Si gladius nullam scindendi vim habuit, nec sanguis emanauit: in omnibus, quæ diximus, lætitia minor erit.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ ἐρίου, μετάξης καὶ βάμβακος. σκβ.

De lana, metaxa, & gossipio, rationes Indorum, Persarum, & Aegyptiorum.

CAP. 222.

ἘΑΝ ἴδῃ τις ὅτι φορεῖ ἱμάτιον ἔχον ἀντὶ βάμβακος μετάξην· πληθυνθήσεται πλούτου ἰσχυροῦ ἀναλόγως τῆς πλήθους.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε μετάξας πλείστας χρωμάτων, ἢ μονόχροος ἄνευ κιτρίνων· εὑρήσει πλοῦτον ἀνάλογον. εἰ δὲ κιτρίνων, σὺν τῷ πλούτῳ καὶ θλίψιν ἕξει, καὶ νόσον.

Εἰ δὲ ἦν ἔριον τὸ ἔνδοθεν τοῦ χιτῶνος· εἰ μὲν ἦν χειμὼν, εὑρήσει χαρὰν ὁ ἰδών· εἰ δὲ ἐν θέρει, εὑρήσει πλοῦτον μετὰ θλίψεως, ἀνάλογον τῆς ὀλιγότητος.*

SI quis vestem gestare visus sibi fuerit, habentem gossipij loco metaxam: solitis diuitiis implebitur, pro metaxæ copia.

Si metaxas plurium colorum, vel coloris vnius, citreis duntaxat exceptis, inuenire visus sibi fuerit: opes his respondentes consequetur. Si tamen citrei coloris fuerint, vnà cum opibus & ærumnam, & morbum habebit.

Si tunicæ pars interior erat lanea, tempore hyberno: qui somnium habuit, gaudio potietur: sin æstate, cum adflictione diuitias inueniet, prout lanæ modica fuerit copia.

Si quis lanam de ouium tonsura videre visus fuerit, à maximis viris fidas & stabiles diuitias accipiet, propter ouis ipsius cornu.

Si visus sibi fuerit inuenisse gossipium, à viris mediocribus opes istis minores consequetur. Nam lana vilius est gossipium.

Lana generaliter interpretationem auri puri habet.

Pili & lanæ caprarum, diuitias cum morbo portendunt, ac quis indutum se his videre visus fuerit, diuitias viliores cum labore consequetur, propter caprarum petulantiam.

Si lanam leporinam videre visus fuerit, pro eius copia diuitias à meretrice consequetur, idque propterea, quod sexu duplici lepores singuli prædìti sint.

Si linum inuenisse visus sibi fuerit, idque pexum erat, pro eius copia vitam laboribus inueniet obnoxiam, propter eas molestias, quæ in conficiundo lino sunt exanclandæ. Sin erat impexum, auro minore cum labore potietur.

Si linum cum suis lignis videre visus fuit cruciatum his respondentem inueniet.

Similiter si videre quis visus fuerit, inuenisse se congestum quiddam ex omnibus hisce speciebus indicatis: qui somnium habuit, opes atque negotiationem inueniet, quæ horum copiæ respondebunt.

Εἰ δὲ ἴδῃ τις ἔριον τὸ ἀπὸ κουρᾶς προβάτων, εὑρήσει πλοῦτον πιστὸν καὶ ἰσχυρὸν ἀπὸ μεγίστων ἀνδρῶν, διὰ τὸ κέρας τοῦ προβάτου.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε βάμβακος, εὑρήσει πλοῦτον ἐλάσσονα ἀπὸ ἀνθρώπων μετρίων. ἐλάττων γὰρ ἡ βάμβαξ τοῦ ἐρίου.

Τὸ ἔριον καθ' ὅλου εἰς χρυσίον καθαρὸν κείνεται.

Αἱ τρίχες τῶν αἰγῶν καὶ τὰ ἔρια, πλοῦτον μετὰ νόσου δηλοῦσι. καὶ ἐὰν ἴδῃ τις ὅτι ἐκ τούτων ἐνδέδυται, εὑρήσει πλοῦτον ἐλάσσονα μετὰ κόπου διὰ τὸ ἄτακτον τῶν αἰγῶν.

Εἰ δὲ ἴδῃ ἔριον ἀπὸ λαγώου, εὑρήσει πλοῦτον ἀπὸ ἑταιρίδος, ἀνάλογον διὰ τὸ τοῦ λαγώου διφυές.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε λινάριον, εἰ μὲν ἦν ἐκτενισμένον, εὑρήσει ἐγκόπως ἀνάλογον πλοῦτον διὰ τὸ ἔγκοπον τῆς καταστάσεως τοῦ λιναρίου. εἰ δὲ ἦν ἀκτένιστον, εὑρήσει χρυσίον μετὰ ἐλάττονος κόπου.

Εἰ δὲ μετὰ ξύλων ἦν τῶν οἰκείων τὸ λινάριον, εὑρήσει τιμωρίαν ἀνάλογον.

Ὁμοίως ἐὰν ἴδῃ τις ὅτι εὗρεν ἐκ πάντων τῶν εἰρημένων εἰδῶν γενησμένων· εὑρήσει ὁ ἰδὼν πλοῦτον, καὶ μέθοδον ἀναλόγως τοῦ πλήθους.

De expansis in domo tapetibus, ex Persarum & Aegyptiorum disciplina.

CAP. 223.

SI quis recens factos tapetes in ampla capacíque domo sternere, visus sibi per quietem fuerit: diuitias gaudiúmque mundanum adipiscetur, pro modo elegantiæ, amplitudinis, & operis tapetum ipsorum. Præterea mutationem dignitatis ad statum ampliorem, cum vita beata portendit.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ ἐξαπλώσεως ταπήτων ἐν οἴκῳ. σκγ΄.

ἘΑΝ ἴδῃ τις κατ' ὄναρ ὅτι κατέστρωσε τάπητας ἐν οἴκῳ εὐρυχώρῳ νεωστί· εὑρήσει πλοῦτον καὶ χαρὰν κοσμικήν, ἀναλόγως τοῦ κάλλους καὶ τοῦ εὔρους, καὶ τοῦ ἔργου τῶν ταπήτων. ἀλλὰ καὶ μετάθεσιν ἀξιώματος πρὸς μεῖζον μετ' εὐζωίας δηλοῖ.

Εἰ δὲ ὑπῆρχον ἀρχαῖοι οἱ τάπητες, ὁμοίως εὑρήσει αὔξησιν τοῦ πλούτου καὶ τῆς χαρᾶς ἀμεταθέτως τοῦ ἀξιώματος.

Οἱ κατεστρωμένοι τῶν ἐντεπειλημμένων ταπήτων, κρείττους εἰς κρίσιν εἰσίν.

Ἐὰν ἴδῃ τις ὅτι τῶν ἐντεπειλημμένων ταπήτων ἦρε, καὶ μετεπέμπησιν εἰς τόπον ἀγνώστον· τοῦτο εἰς θάνατον ἑαυτοῦ τοῦτο κρινέτω ταχινόν.

Εἰ δὲ ἴδῃ ὅτι ἐντεπειλημμένον ἐκεῖνο τοῦτο κρινέτω ὅτι οὔπω ἐλήλυθεν ἡ ὥρα τῆς εὐπραγίας αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι διετρίβαζετο εἰς τὴν καταστρῶσιν αὐτοῦ ἐλπιζέτω ἤδη τὴν χαρὰν καὶ τὸν πλοῦτον τοῦ κόσμου.

Βασιλεὺς, ἢ τῶν μεγιστάνων τις ἐὰν ἴδῃ ὅτι κατέστρωσε τάπητας ἐν τῷ οἴκῳ αὐτοῦ νεωστί· τοῦτο εἰς νέας χαρὰς, καὶ νίκης ἐξάπλωσιν κρινέτω. εἰ δὲ τῶν ἀρχαίων ἦν, τὸ διὰ μελέτης ἀρχαίας αὐτοῦ πρᾶγμα γενήσεται.

Εἰ δὲ ὅτι ἐκέλευσεν ἀρθῆναι αὐτούς· στένωσιν τοῦ πλούτου αὐτοῦ, καὶ τοῦ χρυσίου μετὰ θλίψεως κρινέτω.

Εἰ δὲ ἴδῃ ὅτι ἐσάπησαν, ἢ διεκόπησαν, ἡ ζωὴ αὐτοῦ εἰς τέλος ἥξει, καθάπερ γέροντος παλαιοῦ τὸ τέλος εἰς τέλος δεῖν.

Si tapetes erant veteres, diuitiarum consimiliter incrementum, lætitiæque consequetur, absque mutatione dignitatis.

Strati tapetes iis, qui clauis adfixi sunt, interpretationem prosperiorem habent.

Si quis adfixos clauis tapetes abstulisse visus sibi fuerit, & in locum quendam incognitum trãstulisse: hoc ipsum de morte sua instante interpretator.

Si verò clauis affixum tapetem iacere viderit: hoc ita exponat, quod hora prosperitatis ipsius necdum venerit.

Si moram fecisse visus sibi fuerit, dum eos sterneret: adhuc & gaudium, & opes mundi speret.

Si rex, aut magnatum quispiam, visus sibi fuerit factos recens in ædibus suis tapetes strauisse: hoc ipsum ad nouæ lætitiæ victoriarúmque dilatationẽ referat. Sin ij veteres erant, negotium quoddam ei succedet, de quo dudum ipse secum meditatur.

Sin imperasse visus sibi fuerit, vt auferrẽtur: arctationem diuitiarum suarum, & auri, cum ærumna, interpretator.

Si tolli iusserit, ac tapetes ipsi vel putruerint, vel in frustra cæsi fuerint: imminet ipsi vitæ finis: *vt senis longæui extrema etas.* *

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ προσκεφαλαίων καὶ χειρομάκτρων ἤτοι μανδιλίων. σκδ΄.

De puluinis, & mappis, siue mantilibus, Persarum & Aegyptiorum declarationes.

CAP. 224.

ΤΑ προσκεφάλαια πάντα, καὶ τὰ χειρόμακτρα εἰς δούλους κρίνονται.

Ἐὰν ἴδῃ τις ὅτι τὸ λεγόμενον μαξιλάριον ἐκαλλιώθη πλέον οὗ ἦν· χαρήσεται ἐπὶ τῷ πρωτεύοντι δούλῳ αὐτοῦ. πολλάκις δὲ καὶ ἐπὶ παλλακὰς κρίνεται.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι ἐκλάπη, ἢ ἐσχίσθη· ἔσται τὸ πάθος ἐπὶ τοῖς εἰρημένοις.

OMnes puluini, cum mantilibus, ad seruos referuntur.

Si quis videre visus fuerit maxillarium, quod vocant, elegantiùs factum, quam prius erat: de primæ auctoritatis seruo voluptatem percipiet. Sæpenumero quoque de concubinis hoc accipitur.

Similiter si videre visus fuerit, idem hoc maxillarium furto sibi ablatum, vel laceratum: ad personas indicatas ipse casus pertinebit.

Puluinar etiam de inferiore seruo intelligitur, & quidquid de hoc alicui fuerit oblatum, vel boni, vel mali: suum sortietur euentum.

Mappæ de omnibus seruis accipiuntur, pro cuiúsque discrimine.

Nam si faciei mappa per quietem oblata fuerit, ad seruum domino magis familiarem, quíque subleuare curas heri solet, refertur: ac quidquid hisce mappis acciderit, siue adeò scindantur, siue concrementur, siue inueterascant: ad personas indicatas ipsa calamitas referatur.

Si pulchriores eædem factæ fuerint, ad eosdem prosperitas quoque, mapparum pulchritudini respondens, spectabit.

Si rex nouum habere maxillarium visus sibi fuerit, iuuenem quendam seruum sibi dilectum euehet.

Consimiliter si videre visus fuerit, quasi maxillarium sibi perierit, aut aliquid damni tulerit: ad eiusmodi seruum hoc referatur.

De substraminibus, & instratu, Indorum, Persarum, Aegyptiorúmque rationes.

CAP. 225.

Svbstramen lecti notum, ad propriam cuiúsque mulierem refertur.

Si quis hoc ablatum furto per quietem putauerit, ad interitum coniugis eius spectat.

Si combustum, acri morbo extinguetur.

Si aliud accepisse visus sibi fuerit, pro eius elegantia mulierem inueniet.

Si de loco in locum substramen transtulisse, visus sibi fuerit: etiam vxor illius ab vno negotio se ad aliud conuertet.

Quòd si locus, ad quem transfertur, aut pulchrior, aut deterior fuerit: eidem & ipsius mutatio respondebit.

Ἀλλὰ καὶ τὸ προσκεφάλαιον, εἰς δοῦλον ἐλάσσονα κρίνεται, καὶ πᾶν ὃ ἐὰν ἴδῃ τις καλὸν, ἢ ἐναντίον ἀποβήσεται ἐν αὐτῷ.

Τὰ χειρόμακτρα εἰς πάντας τοὺς δούλους κρίνεται, κατὰ τὸ διάφορον ἑκάστου.

Εἰ γὰρ ἐστὶ τοῦ προσώπου, εἰς οἰκειότερον δοῦλον καὶ παρήγορον τοῦ δεσπότου κρίνεται· καὶ πᾶν ὃ ἐὰν πάθωσι ταῦτα, εἴτε εἰς ἐκκοπὴν, ἢ καυστρίαν, ἢ παλαίωσιν· τὸ πάθος ἔσται ἐν τοῖς εἰρημένοις.

Εἰ δὲ ἐκαλλιώθησαν ταῦτα, ἔσται τὸ καλὸν εἰς αὐτοὺς ἀναλόγως.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι νέον μαξιλάριον ἔχει, νέον δοῦλον ποθούμενον ὑψώσει.

Ὁμοίως καὶ ἐὰν ἴδῃ ὅτι ἠφανίσθη, ἢ ἔπαθέ τι κίνδυνον· εἰς τὸν τοιοῦτον δοῦλον κρινέτω.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ ὑποστρωμάτων καὶ στρωμνῆς. σκέ.

Τὸ ὑπόστρωμα τῆς κλίνης τὸ γνώριμον, εἰς γυναῖκα ἰδίαν κρίνεται.

Ἐὰν ἴδῃ τις αὐτὸ κλαπὲν, εἰς ἀπώλειαν τῆς γυναικὸς αὐτοῦ κρίνεται.

Εἰ δὲ καὲν, ὀξείᾳ νόσῳ ἀποθανεῖται.

Εἰ δὲ ἴδῃ ὅτι ἕτερον ἔχει, εὑρήσει γυναῖκα ἀνάλογον τοῦ κάλλους αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι μετέστησεν αὐτὸ εἰς τόπον· μεταστραφήσεται καὶ ἡ γυνὴ αὐτοῦ ἐκ πράγματος εἰς πρᾶγμα.

Ἐὰν δὲ ἐστὶν ὁ τόπος ἐν ᾧ μετέστη καλλίων, ἢ χείρων· ἀναλόγως ἔσται ἡ μεταστροφὴ αὐτῆς.

Εἰ δὲ ἴδῃ ὅτι ἀφύπνωσιν ἀλλοτρίῳ στρώματι ἐν οἴκῳ ξένῳ· εἰ μὲν γνωρίζει τὸν δεσπότην, μοιχεύσει τὴν γυναῖκα αὐτοῦ· εἰ δὲ μή, εἰς πορνείαν ἥξει.

Εἰ δὲ ἴδῃ ὅτι δήσας τὸ στρῶμα αὐτοῦ μετέθηκεν εἰς τόπον· ξενιτεύσει τῆς ἰδίας γυναικός, καὶ ἐπανελθὼν εὑρήσει αὐτὴν σωφρονοῦσαν.

Εἰ δὲ ἴδῃ ὅτι ἐπαχύνθη καὶ ὠγκώθη τὸ στρῶμα αὐτοῦ ἐπανελθών· ἔγκυον εὑρήσει τὴν γυναῖκα αὐτοῦ ἐξ αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔχει στρῶμα ἀγνώριστον, ἐν ξένοις εὑρήσει γυναῖκα ἀναλόγως τοῦ κάλλους, καὶ τοῦ μεγέθους αὐτοῦ, καὶ τῆς ἔνδοθεν αὐτοῦ ἐπιβλήσεως.

Εἰ δὲ ἴδῃ στρῶμα γνώριμον, ἢ ξένον, κείμενον ἐπὶ κλίνης, καὶ ἑαυτὸν ὑπερκείμενον αὐτοῖς· εὑρήσει ἐξουσίαν μεγάλην καὶ χαρὰν, διὰ τὸ ὑποκεῖσθαι τὴν ἐκ ξύλων κλίνην, οἷς τισι ξύλοις ἡ κρίσις εἰς ἄνδρας μεγίστους.

Καὶ ὅτι διήρκεσεν ἀνακείμενος, τοσοῦτον ἐπάνω αὐτῶν ὑψωθήσεται.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι ἐκάθισεν ἐπὶ θρόνῳ ἀναλόγως τοῦ κάλλους τοῦ θρόνου· εὑρήσει ἐξουσίαν μεγίστην διὰ τὴν ἐκ ξύλων κατασκευὴν τοῦ θρόνου.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι θρόνον ἔσχεν ἢ εἰργάσατο εἰς τέκνον καὶ κληρονόμον τῆς βασιλείας αὐτοῦ κρίνεται.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι συνθρονον ἐν ναῷ τέθηκεν· εἰ μὲν ἔχει υἱὸν, βασιλεύσει αὐτῷ. ὁ γὰρ ναὸς εἰς οἶκον τοῦ βασιλέως ἐκρίθη.

Ἐὰν ἴδῃ τις ὅτι ἐπικοιμᾶται ἐν ἁπαλοῖς ὑποστρώμασιν ἀμεριμνῶς, θλίψει τὴν ἰδίαν γυναῖκα, καὶ οὐ φροντίσει τῆς ἰδίας γυναικός.

Ἐὰν δὲ ἴδῃ ὅτι ἐν χροακοῖς, ἀποβήσεται ἡ κρίσις εἰς τὰ προκείμενα χρώματα.

Si alieno in strato, & domi alienæ, cubasse visus sibi fuerit: si dominum ædium adgnoscit, per adulterij consuetudinem vxorem ipsius stuprabit: sin autem, scortationibus indulgebit.

Si visus fuerit, stratum suum colligatum de loco in locum transtulisse: aberit ab vxore sua peregrè, ac reuersus castam & pudicam inueniet.

Si stratum suum crassius factum, & intumuisse, videre visus fuerit: è peregrinatione reuersus, ex seipso coniugem suam prægnatem inueniet.

Si visus sibi fuerit habere stratũ quoddam incognitum, vxorem apud exteros inueniet, eámque sic comparatam, prout ipsum stratum & elegans fuerit, & amplum: atque ipse in eo cõmodè cubuerit.

Si stratum sibi cognitum, vel alienum, in lecto positum videre visus fuerit, séque in eo iacentem: magnam potestatem atque letitiam consequetur, idque propterea, quod suppositum sit de lignis lectisternium: quæ quidem ligna viros amplissimos denotant.

Prout etiam diu cubuisse visus sibi fuerit, tantundem supra eos euehetur.

Similiter si visus sibi fuerit in throno consedisse, pro ipsius throni pulchritudine potestatem amplissimam inueniet, propterea quod thronus de lignis conficiatur.

Si rex visus sibi fuerit nouum vel habere, vel confecisse thronum: hoc ad filium regni successorem pertinet.

Similiter si visus sibi fuerit, in templo quendam solij cõsortem fecisse: si filium habet, regem illum designabit. quippe templum de domo regia intelligitur.

Si quis incubare mollibus substraminibus, omni solutus cura, visus sibi fuerit, vxorem suam vexabit, nec vllam eius curam habebit.

Si substraminibus coloratis incubare visus sibi fuerit, sequetur euentus secundùm interpretationem colorum, superius expositam.

De faceoliis, ex Persarum & Aegyptiorum monumentis.

CAP. 226.

SI quis gestare faceolium visus sibi fuerit, amplissimam dignitatem prætoriam adipiscetur, pro ambitu faceolij, quem eius proceritas efficit.

Si videre visus fuerit faceolium de pilis confectum, diuitias cumulatiores adquiret.

Si de metaxa, minores eius opes erunt.

Si faceolium à capite suo solutum, videre visus fuerit: in prosperitate sua dolorem ac desertionem experietur.

Sin decidit, dignitatem suam amittet.

Si videre visus fuerit, quasi alius quispiā notus id adstulerit vel vi, vel ex amore: tam dignitatis ille, quam diuitiarum hæres & successor erit. Sin ignotus quispiam, hostis ei succedet.

Si videre quis visus fuerit faceolium suum de gossipio *aut lana*, factum: tam gloria, quam dignitas eius minor erit.

Si citrei coloris, in ægritudinem incidet, ac mortem fortasse, propterea quod in capite sit.

Similiter si aliis præditum coloribus per quietem videre visus fuerit, quodlibet illum habebit exitum, quem in colorum interpretatione supra declarauimus.

Si rex faceolium accepisse visus sibi fuerit, ad concubinam hoc refertur, pro ipsius desiderio, & faceolij colore, atque venustate.

Nam si album est, & ipsa formosa erit.

Si russatum, delectationis plena.

Si purpureum, fortassis eam Augustæ quoque gloria condecorabit.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ φακεωλίων. σκϛʹ.

ΕΑΝ ἴδῃ τις ὅτι ἐφόρεσε φακεώλιον, εὑρήσει ἀξίωμα στρατηγικὸν μέγιστον, ἀναλόγως τῷ τῆς ἐκ μήκους κυκλώσεως τοῦ φακεωλίου.

Εἰ δὲ ἴδῃ ὅτι τὸ φακεώλιον ἀπὸ χασδεξίων, εὑρήσει πλοῦτον πλείονα.

Εἰ δὲ ἴδῃ ὅτι ἀπὸ μετάξης, ἐλάττων ὁ πλοῦτος αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐλύθη ἐκ τῆς κεφαλῆς αὐτοῦ· εὑρήσει εἰς τὴν εὐπραξίαν αὐτοῦ ἀγανάκτησιν καὶ ἐρημίαν.

Εἰ δὲ ἔπεσεν, ἀποβάλει τὴν ἀξίαν αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἦρεν αὐτὸ ἕτερος γνώριμος βίᾳ ἢ πόθῳ· αὐτὸς ἔσται διάδοχος τῆς ἀξίας καὶ τοῦ πλούτου αὐτοῦ. εἰ δ' ἀγνώριστος, ἐχθρὸς ἔσται ὁ διάδοχος.

Ἐὰν τις ἴδῃ ὅτι ἀπὸ βάμβακος ἢ ἐρίου ἦν· ἔσται ἡ δόξα καὶ τὸ ἀξίωμα αὐτοῦ ἐλάττων.

Εἰ δὲ κίτρινον, εὑρήσει νόσον, ἴσως καὶ θάνατον, διὰ τὸ εἶναι αὐτὸν ἐν τῇ κεφαλῇ.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι ἦν διὰ τῶν ἄλλων χρωμάτων· ἕκαστον ἀποβήσεται ἐν οἷς προεκρίθη τὰ χρώματα.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι ἔλαβε φακεώλιον εἰς πρόσωπον τῆς παλλακῆς· τοῦτο κρίνεται κατὰ τὸν πόθον αὐτοῦ, καὶ χρῶμα καὶ τὸ εὐειδές.

Εἰ γὰρ λευκόν, ἔσται εὐειδής.

Εἰ δὲ ῥούσιον, τῆς χαρᾶς ἔσται.

Εἰ δὲ πορφυροῦν, ἴσως καὶ εἰς δόξαν αὐγούστης ἀνάξει αὐτήν.

Ἐκ τῶν Ἰνδῶν περὶ ποδορτίων. ΣΚΖ.

Ἐάν τις ἴδῃ ὅτι περιεβάλετο ποδόρτια νέα, εὐωδίαν ἔχοντα· μισθοποιήσει πτωχοῖς ἐκ τῆς ὑπάρξεως αὐτοῦ. εἰ δὲ δυσωδίαν ἔχοντα, φήμην κακὴν ἀρεῖ, διὰ τὸ δυσῶδες ἐν τῷ ἔργῳ τοῦ μισθοῦ αὐτοῦ. τὸ γὰρ ποδόρτιον, σκέπη ἐστὶ τοῦ ποδός· καὶ ὁ πούς, εἰς δοῦλον καὶ χρῆμα καὶ ζωὴν τοῦ ἀνθρώπου κρίνεται· καὶ ἡ τούτων συντήρησις ἐκ τοῦ εἰς τοὺς πένητας ἐλέου ἐστί. καὶ διὰ τοῦτο εὐωδία καὶ τὸ δυσῶδες μαρτυροῦσι περὶ αὐτῶν.

Ἐὰν ἴδῃ τις ὅτι περιεβάλετο βεβαμμένον τὸ ποδόρτιον· εἰς δόξαν πλείονα τῆς μισθοποιίας αὐτοῦ εἰσιν, ἀναλόγως τῶν προκειμένων βαφῶν ἄνευ κιτρίνου. τοῦτο γὰρ εἰς ἀσθένειαν τῆς μισθοποιίας ἐκβαίνει.

Ἐὰν ἴδῃ τις ὅτι ἐκάησαν τὰ ποδόρτια αὐτοῦ· εὑρήσει θλῖψιν καὶ τιμωρίαν ἀπὸ ἐξουσίας εἰς τοὺς δούλους καὶ εἰς τὸν πλοῦτον αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐκλάπησαν, χλεύῃ τοῦ ἐχθροῦ, εἰς θλῖψιν ἥξει καὶ διὰ τοὺς δούλους αὐτοῦ καὶ τὸν πλοῦτον κρίνεται.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι ποδόρτια ἔβαλε νέα· τοὺς πρώτους καὶ μυστικοὺς αὐτοῦ δούλους πλουτήσει ἀναλόγως τῆς δασύτητος τῶν ποδορτίων.

Ὁμοίως ἐὰν ἴδῃ τι ἐν αὐτοῖς ἐναντίον, εἰς τοὺς δούλους αὐτοῦ τοῦτο κρίνεται.

Εἰ δὲ ἴδῃ ὅτι τὰ ποδόρτια ἐστένωσαν τὰ ὑποδήματα, θλίψει τοὺς δούλους αὐτοῦ ἀναλόγως τῆς στενώσεως.

Καὶ ἐὰν ἴδῃ ὅτι ἐχωλάνθη ὁ πούς αὐτοῦ καὶ περιεποιεῖτο αὐτόν· ἔσται ἡ χώλασις εἰς κίνδυνον· καὶ ἡ περιποίησις, εἰς διόρθωσιν τοῦ δούλου αὐτοῦ, ἀναλόγως τῆς περιποιήσεως αὐτοῦ.

De vestimentis talaribus, Indorum rationes.

CAP. 227.

SI quis vestes nouas talares induisse visus sibi fuerit, easque fragrantia quadam imbutas: pauperibus præmia de facultatibus suis constituet. sin illæ fætuerint, in negotio mercedis suę famam malam adquiret, propter vim fætoris. quippe vestis talaris, tegmen pedis est: & pes ad seruum, & rem, & victum hominis refertur: quarum rerum conseruatio, de cōmiseratione erga pauperes pendet. ideóque de his tum ipsa fragrantia, tum fætor testantur.

Si quis vestem talarem, aliquo colore tinctam, induere visus sibi fuerit: hoc ad maiorem in tribuenda mercede gloriam ipsius pertinet, pro ratione colorū, quorū superiùs traditæ sunt interpretationes; excepto colore citreo. Nam is ad tenuitatem præmij refertur.

Si videre visus fuerit, exustas vestes suas talares: adflictionem & cruciatum à magistratu experietur, ratione diuitiarum & seruorum suorum.

Si furto ablatas, per hostis ludibrium in adflictionem incidet, ac propter opes seruósque suos damnatur.

Si rex visus sibi fuerit nouas sumere vestes talares, auctoritatis primæ seruos, & eosdem arcanorum suorum conscios, pro ipsarum vestium talarium densitate, ditabit.

Similiter si diuersum quiddam oblatum alicui per quietem de vestibus hisce fuerit, hoc ipsum quoque seruos ipsius respicit.

Si somnium habuerit, quasi vestes talares presserint calceos, seruos suos adfliget, pro modo pressuræ.

Quòd si etiam pedem claudum factum videre visus fuerit, ac vicissim restitutum: vt claudicatio periculum, sic restitutio serui eius emendationem portendit: pro factæ restitutionis in integrum modo.

De zupa, ex Persarum & Aegyptiorum interpretationibus.

CAP. 228.

SI quis visus sibi fuerit induisse zupam, si cum potestate est, nomen famámque præclaram inueniet: ídque propterea, quod supra vestes alias semper gestari ea zupa soleat. Ac similiter bonum quoque nomen omnia, quæ homini adsunt, exornat.

Si non est princeps aliquis, sed plebeius: facultatum quísque collectionem, & custodiam, & securitatem in professione sua consequetur.

Si visus sibi fuerit zupam sumpsisse de pilis confectam, opes nomine suo splendidiores inueniet.

Sin erat è lino, & gossipio: in operibus suis à tenuioribus subsidium apiscetur.

Si zupa veneti coloris erat, maiores opes inueniet.

Si russata, per monetariam diuitias cõsequetur, prout ipse color densus & spissus fuerit.

Si citrei coloris, in domo sua vexabitur, & potestas ipsius auertetur.

Si prasini, per mulierem & opes & potestatem inueniet.

Si quis eam discidisse visus sibi fuerit, de suis opibus amittet, adfligetur, potestate excidet.

Si fuerit exusta, per principem cruciabitur.

Si lacerata, vel inueterata: calamitas ad opes & dignitatem ipsius pertinebit.

Si rex arcendæ pluuiæ caussa, vel roris, zupam sumpsisse visus sibi fuerit: subsidium inueniet, ad mitigationem ærumnæ suæ.

Si ea zupa lanea fuerit, gentem improbam atque potentem sibi adiunget, vt aduersus hostes subsidia sumministret.

Si zupam frigoris arcendi caussa sumpsit, thesauros & opes suas recuperabit.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ ζούπας. σκη΄.

ΕΆΝ ἴδῃ τις ὅτι ἐνεδύσατο ζοῦπαν, εἰ μὲν ἐστὶν ἐξουσιάζων, ὄνομα καὶ φήμην καλὴν εὑρήσει· διὰ τὸ ἐπάνω φορεῖσθαι τὴν ζοῦπαν ἀεί. καὶ ὁμοίως τὸ ὄνομα τὸ καλὸν κοσμεῖ πάντα τὰ τοῦ ἀνθρώπου.

Εἰ δὲ ἐξουσιάζων οὐκ ἔνι, ἀλλὰ τοῦ κοινοῦ λαοῦ· εὑρήσει ἕκαστος συναγωγὴν, καὶ φυλακὴν, καὶ ἀσφάλειαν ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔβαλε ζοῦπαν χάσδιον, εὑρήσει πλοῦτον ἐνδοξότερον τοῦ ὀνόματος.

Εἰ δὲ ἦν ζοῦπα ἀπὸ λίνου, καὶ βάμβακος· εὑρήσει ἐν τοῖς ἔργοις αὐτοῦ σκέπην ἀπὸ ἀνδρῶν ἐλαττοτέρων.

Εἰ δὲ ἦν κατὰ τὸ χρῶμα βένετος, εὑρήσει πλοῦτον πλείονα.

Εἰ δὲ ῥούσιος ἦν, εὑρήσει πλοῦτον διὰ χαράγματος κατὰ τὴν δασύτητα καὶ τὴν πῆξιν αὐτῆς.

Εἰ δὲ ἦν κίτρινος, θλιβήσεται ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐξουσία αὐτοῦ ἀποστραφήσεται.

Εἰ δὲ ἦν πράσινος εὑρήσει πλοῦτον καὶ ἐξουσίαν ἀπὸ γυναικός.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐχάλασεν αὐτὴν, ὑφελεῖ τοῦ πλούτου καὶ θλιβήσεται, καὶ τὴν ἐξουσίαν ἀποβαλεῖ.

Εἰ δὲ ἐκάη, διὰ ἐξουσιαστοῦ τιμωρηθήσεται.

Εἰ δὲ διεῤῥάγη, ἢ ἐπαλαιώθη· ἔσται τὸ πάθος εἰς τὸν πλοῦτον καὶ τὸ ἀξίωμα αὐτοῦ.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι ἔβαλε ζοῦπαν διὰ βροχὴν ἢ δροσίαν· εὑρήσει σκέπην εἰς παρηγορίαν θλίψεως.

Ἡ ζοῦπα δὲ εἰ ἐστὶ χάσδιος, ἔθνος πονηρὸν καὶ δυνατὸν ἐνδύσεται εἰς συνήθειαν κατ' ἐχθρῶν.

Εἰ δὲ ἔβαλε ζοῦπαν διὰ ψῦξιν, περιποιήσεται τοὺς θησαυροὺς καὶ τὸν πλοῦτον αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι εὑρέθη τι αἰτία ἐν αὐτῷ· ἔσται ἡ ἔκβασις ἐν τοῖς εἰρημένοις ἔθνεσιν.

Si videre visus fuerit, inuentum aliquod in zupa vitium: in explicatis hactenus euentus respondebit.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ σανδαλίων. σκθ'.

De sandaliis, Indorum, Persarum, Aegyptiorúmque rationes.

CAP. 229.

ΕΑΝ ἴδῃ τις ὅτι βάλλων σανδάλια, ἐβάδιζεν, εὑρήσει ταξείδιον. καὶ ἐὰν ἴδῃ ὅτι ἐκόπη ὁ ἱμὰς αὐτοῦ, ἀποκαθήσεται ἐκ τοῦ ταξειδίου ἑκών. εἰ δὲ ἀπεκόπη τελείως καὶ ἐξέπεσε ὁ σανδάλις, μετὰ θλίψεως ἔρχεται τοῦ ταξειδίου ἑκών.

SI quis sandaliis sumptis incessisse visus sibi fuerit, expeditionem suscipiet. ac si quidem sandalij corrigiam scissam ruptámque videre visus fuerit, sponte sua relicta expeditione domi residebit, sin ea prorsus abscissa calceus exciderit, cum ærũna inuitus ab expeditione reuertetur.

Εἰ δὲ ἴδῃ ὅτι ἔβαλεν τὰ σανδάλια μὴ βαδίζων· λήψεται μὲν γυναῖκα, εἰ οὐκ ἔχει. εἰ δὲ ἔχει, παρακοιμηθήσεται νέᾳ παλλακῇ.

Si noua sumere sandalia, nec incedere tamen, visus sibi fuerit: vxorem accipiet. Si iam habet vxorem, cum noua concubina cubabit.

Καὶ ἐὰν ἴδῃ ὅτι πρῶτος αὐτὸς ταῦτα ἐφόρεσε, καὶ ὅτι κρατεῖ αὐτὰ ἐν χερσὶν ἄθικτα· εὑρήσει κόρην ἢ γυναῖκα παρθένον.

Si visus ea fuerit ipsemet gestare, ac manibus intacta tenere: puellam, mulierémve virginem inueniet.

Εἰ δὲ ἦσαν ἀπὸ χρείας, ἀπὸ χρείας εὑρήσει γυναῖκα.

Sin iam vsus eis fuerat, *vxorem inueniet ad vsum bonam.*

Καὶ εἰ μὲν ἦσαν τὰ σανδάλια μέλανα, ἔχοντα καὶ τρίχας, εὑρήσει γυναῖκα πλουσίαν.

Quòd si nigra fuerint sandalia, et pilosa, opulentam mulierem viduam ducet.

Εἰ δὲ ἦσαν ῥούσια, γυναῖκα τῆς χαρᾶς εὑρήσει.

Si sandalia russata erant, plenam omni delectatione mulierem accipiet.

Εἰ δὲ κίτρινα, νοσώδη καὶ κακογνώμονα.

Si citrei coloris, morbis obnoxiam & contumacem.

Εἰ δὲ λευκά, εὐειδῆ γυναῖκα εὑρήσει.

Si alba, formosam inueniet vxorem.

Εἰ δὲ πολύχροα, εὑρήσει γυναῖκα κακογνώμονα, πολλὰ ἐπιθυμοῦσαν τῶν τοῦ βίου.

Si varij coloris sint, inueniet pernicacem & multorum, quæ in vita, cupidam.

Εἰ δέ εἰσιν ἀπὸ δορᾶς βοίας, εὑρήσει θυγατέρα ἀπὸ εὐγενοῦς Ῥωμαίας μεγιστάνας· διὰ τὸ κέρας τῶν ἐκ βοός.

Si facta sunt de corio bubulo, filiam suscipiet ex nobili fæmina Romana, patricij ordinis: propter cornu bouis.

Εἰ δ' ἀπὸ δορᾶς καμήλου, ἔσται ἡ γυνὴ ἐκ τοῦ γένους τῶν Ἀράβων.

Si de corio cameli, ex Arabum natione mulier erit.

Εἰ δὲ βουβάλου δορᾶς, ἔσται ἡ γυνὴ ἀπὸ δυνατωτέρου γένους καὶ μωροτέρου.

Si de corio bubali, de natione mulier erit potente quidem illa, sed paulò stolidiore.

Εἰ δὲ ἀπὸ δορᾶς ἵππου, ἐξ εὐγενῶν ἀνδρῶν καὶ δυνατῶν ἔσται ἡ γυνή.

Si de corio equino, prognata de nobilibus erit, & magna potentia præditis.

Si sandalia duo sumpsisse visus sibi fuerit, & esse progressus, inde verò ruptum fuisse alterum: in viā se dabit is qui somnium habuit, atque vel fratrem, vel sororem amittet.

Sin alterum furto videre visus fuerit ablatū, vel à muliere vexabitur, vel morbo, vel amissione dignitatis, vel morte.

Similiter si is, cui visum hoc oblatum est, iter aliquod instituit: impedimentum ex eo sentiet.

Itidem alia quadam interpretatione, sandalia perdita vel ad vxoris fraudulentiam, vel filiæ, vel sororis referuntur.

Si quis videre visus fuerit, ea sibi per vim à quodam adempta: hoc de morte coniugis interpretator.

De Persicis manicis subucularum, ex Persarum disciplina.

CAP. 230.

PErsica subuculæ manica refertur ad rationem & constitutionem vitæ.

Si quis hāc solutam decidisse, per quietem videre visus fuerit: hoc ad necessarij victus dissipationem & interitum referat. Nam subucula significationem habet interioris domesticæ vitæ ac domus.

Similiter si cui visum oblatum fuerit, quasi subucula ipsius & firmior, & ornatior esset: hoc de facultatibus suis intelligat.

Si rex tale somnium habuerit, de soluta scilicet manica subuculæ: rem ad exercitum suum interpretando referat, & ad negotia bellica.

Si quod ruptum erat, vicissim restitutum videre visus fuerit: casus aduersus, qui accidit exercitui, corrigetur.

Si salua erat, & integra manica: soliditas eius, & integritas, ad exercitum regium pertinet.

Omnis enim honor, & firmitas, & vita regum, ab exercitibus eorum pendet.

Εἰ δὲ ἴδῃ ὅτι ἐβάσταζε τὰ δύο, καὶ ἐβάδιζε, τὸ δὲ ἐνεχαώθη· εἰς ὁδὸν ἀπελεύσεται ὁ ἰδὼν, καὶ ἀπολέσει ἢ ἀδελφὸν, ἢ ἀδελφήν.

Εἰ ἴδῃ ὅτι ἐκλάπη τὸ ἕν, εὑρήσει θλῖψιν ἀπὸ γυναικὸς διὰ νόσου ἀξίας, ἢ διὰ θανάτου.

Ὁμοίως ἐὰν ἔχῃ ὁδὸν, ὁ ἰδὼν ταῦτα, ἐμποδισθήσεται ἀπ᾽ αὐτοῦ.

Ἔσται δὲ καὶ κατ᾽ ἄλλην κρίσιν ἡ ἀπώλεια τῶν σανδαλίων, εἰς δολιότητα γυναικὸς, ἢ θυγατρὸς, ἢ ἀδελφῆς.

Εἰ δὲ ἴδῃ τις ὅτι βίᾳ ἀφείλετο ταῦτά τις· εἰς θάνατον τῆς γυναικὸς αὐτοῦ κρινέτω.

Ἐκ τῶν Περσῶν περὶ σικίων καὶ μανικίων ὑποκαμίσων. σλ΄.

ΤΟ περσικὸν μανίκιν τοῦ ὑποκαμίσου, εἰς κατάστασιν καὶ σύνταξιν τοῦ βίου κρίνεται.

Ἐὰν ἴδῃ τις τοῦτο παραλυθὲν καὶ πεσὸν εἰς παράλυσιν καὶ ἀπώλειαν τοῦ βίου αὐτοῦ τοῦτο κρινέτω. τὸ γὰρ ὑποκάμισον εἰς τὸν οἰκειακότερον βίον καὶ οἶκον κρίνεται.

Ὁμοίως ἐὰν ἴδῃ τις ὅτι δυνατὸν καὶ κεκοσμημένον ἐστὶ, ταῦτα εἰς τὴν ὕπαρξιν αὐτοῦ κρινέτω.

Βασιλεὺς ἐὰν ἴδῃ τοῦτο ὅτι παρελύθη· εἰς τὸν στρατὸν αὐτοῦ κρινέτω τὸ πάθος, καὶ τὰ πολέμια αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι σχισθὲν διορθώθη· ἔσται τὸ πάθος τοῦ στρατοῦ διόρθωσις.

Εἰ δὲ σῶον, καὶ ἰσχυρὸν ἦν· ἡ στερεότης, καὶ ἡ σωτηρία εἰς τὸν στρατὸν αὐτοῦ.

Ἡ γὰρ πᾶσα τιμὴ, καὶ σύστασις, καὶ ὁ βίος τῶν βασιλέων, τὰ στρατόπεδα αὐτῶν εἰσίν.

Ἐκ τῶν Ἰνδῶν περὶ ἀπονίψεως ῥύπου, καὶ ἐνδύσεως καθαρῶν ἱματίων. σλα΄.

ΕἈΝ ἴδῃ τις ὅτι ἀπονιψάμενος ἐνεδύσατο ἱμάτια καθαρά· ἀποβάλλει πᾶσαν θλίψιν καὶ μέριμναν καὶ νόσον, καὶ χαρήσεται ἀναλόγως τῆς ἀποπλύσεως, καὶ τῆς δόξης τῶν ἱματίων, καὶ τιμηθήσεται ἐνώπιον τοῦ λαοῦ.

Εἰ δὲ ἴδῃ ὅτι περιεβάλλετο ἱμάτια, καινὰ μὲν, διεῤῥωγότα δὲ οἷς οὐκ ἔστι περιποίησις· ὁ τοῦτο ἰδὼν οὐ τεκνώσει ποτέ.

Εἰ δὲ ἔστιν ἐν αὐτοῖς τρόπος περιποιήσεως, περιεργασθήσεται ἀπὸ μαγίας.

Εἰ δὲ ἴδῃ τις ὅτι ὑφάντης ἀνυφαίνει αὐτὰ, ἢ αὐτὸς ἐκεῖνος· εὑρήσει θλίψιν καὶ μάχην μετὰ τῆς γυναικὸς αὐτοῦ, ἀναλόγως τῆς ἀνυφαίσεως.

Εἰ δὲ ῥάπτει αὐτὰ αὐτὸς, εἰς καλὸν αὐτῷ κρινέτω· καὶ τῆς εἰρημένης περιεργασίας κουφισθήσεται.

Εἰ δὲ ἴδῃ ὅτι ῥάπτει τὸ ἱμάτιον τῆς γυναικὸς αὐτοῦ, εἰς αἰσχύνην αὐτοῦ καὶ θλίψιν καὶ μέριμναν τοῦτο κρινέτω.

Εἰ δὲ ἴδῃ ὅτι ἀνυφαίνει αὐτὸ αὐτὸς, ἀπολογίας ποιήσει ψευδεῖς τῇ γυναικὶ αὐτοῦ, καὶ φωραθήσεται ἐπὶ πορνείᾳ.

De ablutione sordium, & amictu mundo, ex Indorum disciplina. CAP. 231.

SI quis ablutis sordibus, vestes mundas induisse visus sibi fuerit: omni afflictione, sollicitudine, morbo liberabitur: próque modo loturæ, & ipsarum vestium splendoris, gaudio potietur, & in conspectu populi honorabitur.

Si visus sibi fuerit induere vestes, nouas quidem illas, sed laceratas, quæ refici nequeant: qui somnium hoc habuit, nullos vnquam liberos procreabit.

Sin aliqua restat ratio refectionis, veneficio fascinabitur.

Ac si quidem videre visus fuerit vel textorem, vel seipsum eas retexentem: inueniet afflictionem & rixam cum coniuge sua, suam ad ignominiam, & ærumnam, & sollicitudinem, pro modo factæ denuò texturæ.

Sin ipsemet eas consuit, boni quiddam sibi portendi statuat: & ea fascinatione, quam diximus, liberabitur.

Si visus sibi fuerit, vxoris suæ vestem consuere, hoc ipsum quoq; suam ad ignominiam atque sollicitudinem referat.

Sin eam ipse retexere visus sibi fuerit, excusationes ad vxorem falsas instituet, & in scortatione depræhendetur.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ ἀποπλύσεως καὶ ἐνδύσεως. σλβ΄.

ΕἈΝ ἴδῃ τις ὅτι ἐξεῤῥυπώθη, φροντίδα ὁδοῦ ἀποβάλλει.

Εἰ δὲ ἴδῃ ὅτι ἔβαλεν ἱμάτια καινὰ ἀσυνήθως· εὑρήσει τιμὴν καὶ δόξαν ἀναμέσον τοῦ λαοῦ, καὶ πλοῦτον ἀνάλογον τῆς στεῤῥότητος καὶ λαμπρότητος τοῦ ἱματίου.

De ablutione & amictu, Persarum, Aegyptiorúmque rationes.

CAP. 232.

SI quis visus sibi fuerit deposuisse sordes, itineris cura liberabitur.

Si præter morem, nouas sumpsisse vestes visus sibi fuerit: apud populum suum honorem atque gloriam inueniet, & opes soliditati splendoríque vestium respondentes.

Si vestem de pilis confectam, induisse visus sibi fuerit: ab hostibus improbis & inualidis opes atque potestatem consequetur: propter earum ferarum, de quarum pilis ea vestis constat, improbitatem ac fraudulentiam.

Si quis de metaxa factam vestem induisse visus sibi fuerit: firmiores ille quidem, sed moderatiores opes cõsequetur.

Si visus sibi fuerit induisse vestes albas & mundas, pro mundiciei, & albedinis modo, ab omni dolore repurgatur.

Si vestem laneam, vel lineam, vel è gossipio factam induerit: eę vestes de diuitiis intelliguntur, non etiam de potestate.

Si laceratæ sunt, & ex indicatis omnibus constant: qui somnium habuit, ex ærumna in ærumnam incidet.

Sin eas consuere visus sibi fuerit, aduersitatibus suis pari ratione medebitur.

Quòd si curtæ sunt, instar earum quæ podicem constringunt: ingens sperabit gaudium, & minus inueniet, pro vestis oblatæ per quietem modo.

Si rex ab iis sordibus, quas habebat in corpore, visus sibi fuerit repurgatus: ea cura, qua conficitur, liberatur.

Si nouam induisse purpuram visus sibi fuerit, res eius & illustriores & splendiores euadent.

Sin vestes vsitatas & veteres induit, ablutionis quidem respectu curis & sollicitudine liberabitur: at propter vestitum veterem, in eodem res statu permanent.

Si laceratas induisse vestes visus sibi fuerit, nouum & inusitatum malum, propter insolentiam eius in rege vestitus, experietur.

Sin easdem exuerit, etiam malo isto liberabitur.

De equis maribus, & fæminis, Indorum, Persarum, & Aegyptiorum interpretationes.

CAP. 233.

Εἰ δὲ ἴδῃ ὅτι ἐνεδύσατο χάσδιον· πλοῦτον εὑρήσει καὶ ἐξουσίαν ἀπὸ ἐχθρῶν πονηρῶν καὶ δυνατῶν· διὰ τὸ κακοῦργον τῶν θηρῶν ἐξ ὧν τὸ χάσδιον.

Ἐὰν ἴδῃ τις ὅτι ἐνεδύσατο ἱμάτιον ἀπὸ μετάξης· δυνατώτερον μὲν, μετριώτερον δὲ πλοῦτον εὑρήσει.

Εἰ δὲ λευκὰ καὶ καθαρὰ, τοσοῦτον ἀποκαθαίρεται πάσης λύπης, ἀναλόγως τῆς καθάρσεως καὶ τῆς λευκότητος.

Εἰ δὲ ἀπὸ ἐρίου, ἢ ἀπὸ λίνου, ἢ βαμβακος· ταῦτα εἰς πλοῦτον κρίνονται· οὐ μέν τοι εἰς ἐξουσίαν.

Εἰ δὲ διερρωγότα εἰσὶν, ἐκ πάντων τῶν εἰρημένων ἱματίων, ἐκ θλίψεως εἰς θλίψιν ἥξει.

Εἰ δὲ ἴδῃ ὅτι ἔρραπτε καὶ συνίστη αὐτὰ, συστήσει αὐτὰ ἀναλόγως.

Εἰ δὲ κοντὰ* καὶ ὑψηλὰ δίκην σφιγκονείων· χαρὰν ἐλπίζει μεγάλην, καὶ ἐλάττονα εὑρήσει ἀναλόγως.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ τοῦτο ὅτι ἀπεβλήθη ῥύπον ὃν εἶχεν, μέριμναν οἵαν εἶχεν ἀποβαλεῖ.

Εἰ δὲ ἴδῃ ὅτι ἐνεδύσατο πορφύραν νέαν, εἰς ἐνδοξότερον καὶ λαμπρότερον ἀποβήσεται αὐτῷ τὰ πράγματα.

Εἰ δὲ ἐνεδύσατο ἀρχαῖα συνήθως, διὰ τὴν ἀπόπλυσιν μὲν εὑρήσει ἀμεριμνίαν· διὰ δὲ τὴν ἀρχαιότητα, ἐν τοῖς αὐτοῖς ἀποβήσεται αὐτῷ τὰ πράγματα.

Εἰ δὲ ἴδῃ ὅτι διερρηγμένα ἐνεδύσατο, νέον κακὸν ἀσυνήθες, διὰ τὸ ἀσυνήθες τῆς ἐνδύσεως δέξεται.

Εἰ δὲ ταῦτα ἀπέβαλλετο, ἀποβαλεῖ καὶ τὸ τοιοῦτον κακόν.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ ἵππων ἀρρένων καὶ θηλέων. σλγ.

Ἵππος τὸ φάρας τὸ εὐγενὲς, εἰς ὕψος καὶ ἀξίωμα κατὰ τὴν τῶν ὀνείρων ἐκείνη κεῖται. ὁμοίως καὶ ἡ ἵππος ἡ φάρας, εἰς εὐγενῆ γυναῖκα· καὶ τὰ κοινὰ τῶν ἵππων εἰς ἐλάττονα εὐγένειαν καὶ δόξαν ἐκρίθη· ὁμοίως καὶ τὰ θήλεα εἰς ἐλάττονας γυναικῶν.

Ἐὰν ἴδῃ τις κατ' ὄναρ ὅτι ἵππῳ εὐθεῖ καὶ κροαίνοντι φάρας ἐποχήσατο· εὑρήσει φήμην μεγίστην καὶ ὕψος, καὶ σχημοσύνην ἐνώπιον λαοῦ.

Καὶ εἰ μὲν ἐστὶν ὁ ἰδὼν βασιλεὺς· εὑρήσει χαρὰν καὶ δόξαν ἐν τῇ αὐγούσῃ, καὶ τῷ βασιλείῳ αὐτοῦ, ἀναλόγως τοῦ ἵππου τῆς εὐπρεπείας.

Εἰ δὲ ἐστὶ τοῦ κοινοῦ λαοῦ ὁ ἰδὼν, ἕκαστος εὑρήσει διαφορὰν ἐν τῷ ἐπιτηδεύματι αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἐποχούμενος τὸν αὐτὸν ἵππον, ἢ ὅμοιον ἤλαυνεν ὀξέως· εὑρήσει εὐγένειαν καὶ ὕψος καὶ πρὸς τὸν δρόμον τοῦ ἵππου εὐθύτητα καὶ κατευόδωσιν.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐπωχεῖτο φάρας μετὰ ἁρμάτων, εὑρήσει ἐξουσίαν καὶ φήμην καλὴν, ἀναλόγως τῶν ἁρμάτων.

Εἰ δὲ ἴδῃ ὅτι ἐποχούμενος, τούτῳ κατεῖχεν ἀσπίδα· εὑρήσει ἀφοβίαν ἐξ ἐχθρῶν, καὶ δύναμιν ἀνάλογον τοῦ ἵππου.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, εὑρήσει ἄνδρα τῶν πολεμίων αὐτοῦ ἄρχοντα γενναῖον κατ' ἐχθρῶν. ἡ γὰρ ἀσπὶς εἰς πρόσωπον ἐκείνη τοῦ πολεμάρχου αὐτοῦ.

Καὶ ἐὰν ἴδῃ ὅτι ἐστὶν ἡ ἀσπὶς μέλαινα, ἢ βένετος· ἔσται ὁ πολέμαρχος αὐτοῦ μακρόθυμος καὶ κυβερνητικὸς, διὰ τὸ μὴ ῥαδίως ἐπιφαίνεσθαι τοῖς χρώμασι τούτοις ῥύπον.

Εἰ δὲ ἦν λευκὴ, δειλὸς ἔσται, καὶ ῥίψασπις· διὰ τὸ ῥᾷον τῆς τοῦ χρώματος ῥυπώσεως.

Εἰ δὲ ἐρυθρὰ, πλεῖστα χρήσεται ὁ βασιλεὺς ἐν τῷ ἀνθρώπῳ αὐτοῦ.

Εἰ δὲ πορφυρᾶ, ταῦτα εἰς υἱὸν ἢ ἀδελφὸν τοῦ βασιλέως κρίνεται.

Equus generosus (qui phares dicitur) in somniorum interpretationibus ad eminentiam & dignitatem refertur. Similiter & equa, (quæ pharas) generosam fæminam portendit: equi denique vulgares, de nobilitate ac gloria quadam inferiore accipiuntur: itidémque vulgares equæ, de conditionis inferioris mulieribus.

Si quis in somnis visus sibi fuerit equo agili, ac lasciuiente vehi: coram populo famam & existimationem amplissimam, & eminentiam, & decus inueniet.

Sin is, qui somnium habuit, ipsemet imperator est: gaudium atque gloriam in Augusta, & aula sua regia, pro ipsius equi venustate ac ornatu, inueniet.

Si plebeius est, in professione quisque sua mutationem experietur.

Si quis equo tali, vel simili vectus, cum visus sibi fuerit egisse celeriter: nobilitatem & eminentiam inueniet, cum prosperitate: prout agiliter equus ipse cucurrerit.

Si quis equo generoso vehi visus sibi fuerit armatus, potestatem cum bona fama reperiet, pro armorum ratione.

Si equo tali visus sibi fuerit insidere, ac tenere clypeum: securitatem ab hostibus, & potentiam equo respondentem inueniet.

Si regi visum hoc oblatum fuerit, consequetur hominem, quem rerum bellicarum summæ præficiet, fortem ac strenuum aduersus hostes. Clypeus enim ad personam Polemarchi regij, siue summi rei bellicæ præfecti, refertur.

Si clypeum nigrum, vel coloris veneti, videre visus fuerit: Polemarchus regius tolerans & gubernationi erit idoneus, idque propterea, quod in hisce coloribus non facilè sordes adpareant.

Si album scutum erat, timidus erit, & eorum è numero, qui abiecto scuto fuga sibi consulunt idque propterea, quod facilè color iste sordibus inquinetur.

Si clypeus rubri coloris erat, maximam rex oblectationem ex isto duce suo capiet.

Si purpureus, ad filium vel fratrem regis refertur.

Si aureus, aut citrei coloris: ad hominē iniurium, & improbi animi, refertur.

Si quis vehi visus sibi fuerit equa generosa instrata, quæ caudam longam habeat: fæminam honoratam inueniet, & per eam suis in rebus prosperitatem consequetur, pro modo caudæ.

Si equa nigra est, opulenta mulier erit.

Si quis sponte sua visus sibi fuerit ex equo generoso descendere, sponte potestatem suam deminui patietur: sin inuitus, ob equi contumaciam scilicet, ex equo decidit: terrorem inueniet, & cruciatum, aut in dignitate sua successorem.

Si carnem equinam edisse visus sibi fuerit, insigne nomen inueniet, cum nobilitate, ac bona principis adfectione.

De coloribus, equorum, & sellariis regum, Persarum & Aegyptiorum rationes.

CAP. 234.

IN regum visis nocturnis, equus candidissimus ad Augustæ personā refertur.

Equus instratus splendente sellario ferreo, si quidem sella regia est: ad mulierem Augusta inferiorem refertur. ac si quidē aliquis hæc tenere visus sibi fuerit, potestas minor portenditur.

Si sellarium regium rosacei coloris fuerit, mulierem delectationis & gaudij plenam denotat.

Equus regius niger ad opulentam mulierem & iniuriam, propter nigredinem, refertur.

Ad summam, vt rem simpliciter explicemus, omnia regia sellaria per quietem oblata, de regijs vxoribus intelliguntur. ac si quidem aliquis horum aliquid à rege visus sibi fuerit accipere: lætitiam, potestatem, & mulierē à rege consequetur.

Εἰ δὲ χρύσεα, ἢ κίτρινος· εἰς θλιβερὸν καὶ κακογνώμονα.

Ἐὰν ἴδῃ τις ὅτι ἐποχεῖτο φάρας ἵππῳ θηλείᾳ ἐστρωμένῃ μακρῷ οὐρῷ· εὑρήσει γυναῖκα τετιμημένην, ἀναλόγως τῆς οὐρᾶς τῆς ἵππου, καὶ προκοπὴν δι᾽ αὐτῆς.

Καὶ εἰ μὲν ἐστι μέλαινα ἡ ἵππος, ἔσται ἡ γυνὴ πλουσία.

Ἐὰν ἴδῃ τις ὅτι ἑκὼν κατῆλθεν ἀπὸ ἵππου φάρας, εὑρήσει ἑκουσίως ἐλάττωσιν τῆς ἐξουσίας· εἰ δ᾽ ἄκων, τῇ σκληρότητι τοῦ ἵππου ἔπεσεν ἐξ αὐτοῦ, εὑρήσει φόβον καὶ τιμωρίαν, ἢ διάδοχον τοῦ ἀξιώματος αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγε κρέας, τοῦ ἵππου εὑρήσει ὄνομα μέγα καὶ εὐγένειαν καὶ πόθον ἀγαθὸν ἀπὸ ἐξουσίας ζῶντος.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ χρωμάτων ἵππων καὶ σελαρίων βασιλικῶν. σλδ΄.

Ὁ λευκότατος ἵππος ἐν θεωρίᾳ βασιλέως εἰς πρόσωπον αὐγούσης κρίνεται.

Ὁ λευκὸς σιδηρεος, εἰ ἐστι σελάριον βασιλέως· εἰς ἐλάττονα τῆς αὐγούσης γυναῖκα κρίνεται· καὶ ἐάν τις ἴδῃ ὅτι κατέχει αὐτοῖς· εἰς ἐλάττονα ἐξουσίαν τοῦτο κρινέτω.

Σελάριον δὲ βασιλικὸν ἐὰν ἐστι ῥοδόχροον, εἰς γυναῖκα τῆς χαρᾶς κρίνεται.

Καὶ ὁ μέλας ἵππος ὁ βασιλικὸς, εἰς γυναῖκα πλουσίαν καὶ θλιβερὰν κρίνεται, διὰ τὸ μέλαν.

Καὶ ἁπλῶς εἰπεῖν ἐν ὀλίγῳ, πάντα τὰ σελάρια τοῦ βασιλέως κατ᾽ ὄναρ θεωρούμενα, εἰς γυναῖκας αὐτοῦ κρίνονται. καὶ ἐὰν ἴδῃ τις ὅτι παρὰ τοῦ βασιλέως ἔλαβεν ἐξ αὐτοῦ εὑρήσει χαρὰν καὶ ἐξουσίαν, καὶ γυναῖκα παρὰ τοῦ βασιλέως.

Εἰ δέ τις ἴδῃ ὅτι ἀγνοίᾳ τοῦ βασιλέως ἐκαβαλλίκευσεν ἐξ αὐτῶν ἀσυνήθως· πορνεύσει λάθρα μετὰ μιᾶς τῶν γυναικῶν αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι μαύρη ἵππος βέλη δεδεμένα ἑκατέρωθεν φέρουσα εἰσῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ· γυναῖκα πλουσίαν εἰσαγάγῃ ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐπὶ τῷ ποδὶ αὐτοῦ ἀποθανοῦνται πολλοὶ τοῦ οἴκου ἀναλόγως τοῦ πλήθους τῶν βελῶν.

Εἰ δὲ ἴδῃ τις ὅτι νέα ἵππος φαρὰς ἀγύμναστος ἐν τῷ οἴκῳ αὐτοῦ εἰσῆλθεν· κόρην παρθένον, εὐγενῆ, νέαν εἰσοικήσει ἐν ἑαυτῷ.

Εἰ δὲ ἵππον κοινόν, τοῦτο εἰς πρόσωπον δούλης κρίνεται.

Αἱ γὰρ κοιναὶ ἵπποι ἐπὶ τῶν ὁρώντων εὐγενῶν εἰς δούλας κρίνονται.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ τοῦτο, εἰς γυναῖκα ἑαυτοῦ τοῦτο κρινέτω.

Καὶ πᾶν ὃ ἐὰν πάθωσι καλὸν, ἢ κακὸν ἐν αὐταῖς τοῦτο κρινέτωσαν.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ ἡμιόνων. σλέ.

ΕΑΝ ἴδῃ τις ὅτι ἐκαβαλλίκευσε βορδῶνα εὖ βαίνοντα· εὑρήσει ἑκουσίως ταξείδιον καὶ ἐξ αὐτοῦ ἀγανάκτησιν καὶ ἀνάγκην.

Αἱ γὰρ ἡμίονοι πᾶσαι ἄρσεν καὶ θῆλυ εἰς ἀναστροφὴν παντὸς πράγματος ἐπὶ προσώπου κρίνονται. διὰ τὸ ἀνέργατον τῆς τεκνοποιίας τῶν δύο.

Ἐὰν ἴδῃ τις ὅτι ἐκαβαλλίκευσεν ἡμίονον καὶ εἰσῆλθεν εἰς οἶκον ἔχοντα χαρτία, καὶ ἦρεν ἐξ αὐτῶν, εὑρήσει ταξείδιον φορολογίας καὶ ζημιωθήσεται μᾶλλον· οὐκ αὐξήσει δὲ διὰ αὐτῆς τῆς ἡμιόνου δυστοκίας.

Εἰ δὲ ἴδῃ ὅτι ἐκαβαλλίκευσεν αὐτὴν μετὰ τὸ σάγμα ἐπὶ παντὸς προσώπου εἰς ἄτιμον γυναῖκα κρίνεται καὶ πένητα.

Si quis ignorante rege visus sibi fuerit his insidere, ac præter morem vehi: cum muliere quadam eius clàm stupri consuetudinem habebit.

Si quis videre visus fuerit equam nigram, quæ vtrinque iacula colligata gestaret, ingressam domum suam: mulierem opulentam in domum suam ducet, & ad pedes ipsius complures ex ea domo morientur, pro telorum numero & copia.

Si quis videre visus fuerit, equam generosam iuuenem, nondum exercitatam, in domum suam ingressam: puellam virginem nobilem in domum suam ducet.

Sin equam vulgarem, hoc ad ancillæ personam refertur.

Nam in visis hominum nobilium, equæ vulgares de ancillis intelliguntur.

Si tale somnium plebeius habuerit, ad vxorem hoc suam referat.

Quidquid his adeò siue boni, siue mali acciderit, ad easdem referatur.

De mulis, ex Persarum & Aegyptiorum disciplina.

CAP. 235.

SI quis visus sibi fuerit inequitasse burdoni, benè incedenti: sponte sua suscipiet expeditionem, de qua dolorem & miseriam percipiet.

Omnes enim muli & mulæ, omnium rerum subuersionem homini portendũt. propterea, quòd steriles sint, & procreare neuter sexus possit.

Si quis inequitasse mulo visus sibi fuerit, & ingressus esse domum, in qua essent chartæ, de quibus aliquas ipse sumpserit: expeditionem tributorum exigendorum caussa suscipiet, in qua damnum potius, quàm lucrum faciet, propter eius animalis sterilitatem.

Si mulæ quis inequitasse visus sibi fuerit, cum sella siue strato: hoc quouis in homine de fæmina infami, & egente accipitur.

Si

Si vir amplissimus hoc somnium habuerit, in hominem incidet infamem, & vexationem inueniet, propter mulam.

Si mulam quis amisisse visus sibi fuerit, ærumnam in ea voluptate, quæ de facultate procreatrice percipitur, experietur.

Si quis mulam vendidisse visus sibi fuerit, commodo suo calamitate liberatur.

Si quis à mula pessum datum se, videre visus fuerit: in ærumnam acrem & vehementem citò incidet.

De asinis, Persarum, Indorum, & Aegyptiorum interpretationes.

CAP. 236.

Diuersa est de asinis interpretatio, ac plerunque hominum ad fortunam refertur.

Si quis insedisse visus sibi fuerit asinæ, per mulierem beabitur. sin asino, ad fortunam ipsius id quoque spectat. itaque felicitatem inueniet, respondentem ei iuri, quod in asinum habet, & pro eiusdem incessu.

Si niger asinus erat, ex auri lucro felicitatem inueniet.

Si albus, felicitatem & eminentiam per vxorem & liberos consequetur.

Si quis asinum emisse visus sibi fuerit, aut ab alio donatum accepisse, quem ipse suam in domum deduxerit, asino se comitante: gratiam apud Deum inueniet, & in domo sua diuitias colliget, prout asinum introduxisse visus sibi fuerit.

Si asinum perditum inuenisse visus sibi fuerit, & abstulisse: gaudium nec opinatum inueniet.

Si lac asininum bibisse visus sibi fuerit, in morbum acrem incidet, nec tamen morietur.

Καὶ μέγιστος ἐὰν ἴδῃ τοῦτο, εἰς ἄτιμον ἐμπεσεῖται, καὶ εὑρήσει θλῖψιν διὰ τὴν ἡμίονον.

Ἐὰν ἴδῃ τις ὅτι ἀπώλεσε τὴν ἡμίονον· εἰς θλῖψιν τεκνοποιΐας χάριν ἥξει.

Ἐὰν ἴδῃ τις ὅτι ἐπώλησεν ἡμίονον, μετὰ συμφέροντος λυθήσεται πάθους.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐλακτίσθη παρὰ ἡμιόνου εὑρήσει θλῖψιν δειμαίαν καὶ ὡραίαν καὶ σύντομον.

Ἐκ τῶν Περσῶν, Ἰνδῶν, καὶ Αἰγυπτίων, περὶ ὄνων. σλς'.

Διάφορός ἐστιν ἡ τῶν ὄνων κρίσις, ὡς ἐπὶ πολὺ δὲ πρὸς τύχην τῶν ἀνθρώπων.

Ἐὰν ἴδῃ τις ὅτι ἐκάθησεν εἰς ὄνον θήλειαν, εὐτυχήσει διὰ γυναικός. εἰ δὲ εἰς ὄνον ἄρρενα, καὶ τοῦτο εἰς τύχην αὐτοῦ κρίνεται. εὑρήσει οὖν καὶ αὐτὸς εὐτυχίαν ἀνάλογον τῆς κυριεύσεως τῆς εἰς τὸν ὄνον καὶ τῆς βαδίσεως αὐτοῦ.

Εἰ δ' ἦν ὁ ὄνος μέλας, εὑρήσει εὐτυχίαν διὰ κέρδος χρυσίου.

Εἰ δὲ λευκὸς ἡ εὐτυχία αὐτοῦ καὶ τὸ ὕψος διὰ γυναικὸς καὶ τέκνων.

Εἰ δὲ ἴδῃ τις ὅτι ὠνήσατο ὄνον, ἢ ἐχαρίσθη παρά τινος, καὶ αὐτὸς ἐκεῖνος εἰσήγαγεν εἰς τὸν οἶκον αὐτοῦ ἀκολουθοῦντος τοῦ ὄνου· εὑρήσει χάριν παρὰ θεοῦ, καὶ πλοῦτον ἐν τῷ οἴκῳ αὐτοῦ συνάξει καθὼς εἰσήγαγε τὸν ὄνον.

Εἰ δὲ ἴδῃ ὅτι εὗρεν ὄνον ἀπολλύμενον, καὶ ἦρεν αὐτόν· εὑρήσει χαρὰν ἀπροσδόκητον.

Εἰ δὲ ἴδῃ ὅτι ἔπιεν ὄνειον γάλα, εὑρήσει ὀξὺ νόσημα καὶ οὐκ ἀποθανεῖται.

Εἰ δὲ ἴδῃ ὅτι μετὰ φόρτου ὄνον εἰσήγαγεν ἐν τῷ οἴκῳ αὐτοῦ· εὑρήσει ἀγαθὸν ἀνάλογον τοῦ γάμου καὶ πλοῦτον καὶ χαράν. εἰ δ' ἄνευ φόρτου, ἀποβάλει θλίψεις καὶ φόβον.

Εἰ δὲ ἴδῃ ὅτι ὄνος αὐτοῦ ἀπέθανε, ἀποθανεῖται ταχέως ὁ ἰδών.

Εἰ δὲ ἴδῃ ὅτι ἔπεσεν ἐξ ὄνου, πτωχεύσει σφόδρα.

Εἰ δὲ πίνῃ γάλα ἐξ ὀνάγρας, εὑρήσει ὕψος μετὰ νόσου.

Εἰ δὲ ἴδῃ ὅτι εὗρεν ὄνον μετὰ σχοίνου, καὶ ὑπακούει αὐτοῦ ὁ ὄνος, ἀναλόγως τῆς ἀκολουθήσεως ἡ τύχη συνέπεται αὐτῷ.

Ἐὰν ἴδῃ τις ὅτι εἶχεν ὄνον καὶ ἀπέθανεν· ἀποθανεῖται ἡ γυνὴ αὐτοῦ καὶ πτωχεύσει.

Εἰ δὲ ἴδῃ ὅτι ἐκλάσθη ὁ ὄνος αὐτοῦ, πτωχεύσει ἀθεραπεύτως, διὰ τὸ ἀθεράπευτον τῆς ὄνου.

Εἰ δὲ εὗρε κρέας ὤνιον, ἢ ἔφαγεν· εὑρήσει κέρδος μετὰ νόσου ἀναλόγως τῆς βρώσεως.

Εἰ δὲ ἴδῃ ὅτι κόπρον ὀνείαν συνῆξεν ἐν τῷ οἴκῳ αὐτοῦ· χρυσίον ἀνάλογον τοῦ πλήθους ἀκόπως εὑρήσει.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε δορὰν ξένου ὄνου, κληρονομήσει αὐτόν.

Εἰ δὲ μὴ ἀπροσδοκήτως πλουτήσει αὐτόν.

Εἰ δὲ ἔφαγεν κρέας ὀνάγρου, εὑρήσει ὄνομα μέγα καὶ πλοῦτον.

Ἐὰν ἴδῃ ὅτι ὁ ὄνος αὐτοῦ οὐροκοπήθη, εἰ μὲν ἐστὶν ὑπὸ ἀξίωμα, στερίσκεται αὐτό· εἰ δὲ πλούσιος, ζημιωθήσεται τοῦ κέρδους αὐτοῦ.

Εἰ δὲ ἴδῃ μετὰ φόρτου τὸν ὄνον αὐτοῦ ὠλίσθησε καὶ ἔπεσε πηλοῖς· εὑρήσει νόσον καὶ θλίψιν ἐν τῷ πλούτῳ αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἠγέρθη ἀπὸ τοῦ πηλοῦ καὶ ἐβάδισεν ἀποβάλει τὴν θλίψιν καὶ τὴν νόσον αὐτοῦ, καὶ χαρήσεται.

Εἰ δὲ ἴδῃ ὅτι εἶχεν ὄνον θήλειαν καὶ ἔτεκεν· ὁ πλοῦτος αὐτοῦ διπλασιάσει καὶ προκόψει· καὶ ἐὰν ἔχῃ γυναῖκα, τέξεται υἱόν.

Si asinum onustum in domum suam introduxisse, visus sibi fuerit: prosperitatem oneri respondentem, cum diuitiis, & lætitia reperiet. sin expertem oneris, afflictiones & metum omnem deponet.

Si videre visus fuerit asinum suum mortuum, citò morietur is, qui somnium habuit.

Si de asino visus sibi fuerit lapsus, ad egestatem extremam redigetur.

Si lac asinæ siluestris biberit, eminentiam cum morbo reperiet.

Si asinum fune visus sibi fuerit trahere, morem ipsi gerente asino: prout asinus hominem sequutus fuit, etiam fortuna ipsum comitabitur.

Si quis asinum habuisse visus sibi fuerit, qui mortuus sit: eius vxor morietur, & in paupertetem incidet.

Si asinum suum ruptum videre visus fuerit, incurabiliter egebit, propterea, quòd nec asinus curari possit.

Si carnem asininam inuenerit, aut comederit: cum morbo lucrum inueniet, pro modo manducationis.

Si asininum sterculinium in domo sua collegisse visus sibi fuerit: pro eius copia, sine labore auro potietur.

Si asini peregrini exuuium reperisse visus sibi fuerit, hæres hominis erit.

Sin minus, ex inopinato quis ditescet ipsum.

Si carnem onagri comederit, eximium nomen & opes inueniet.

Si caudam asino suo præcisam videre visus fuerit, si quidem est sub dignitate, eam amittit: sin opulentus, lucro suo multabitur.

Si asinum suum cum onere labentem, & cadentem in lutum, videre visus fuerit: in morbum incidet, & detrimentum facultatum suarum experietur.

Sin asinum è luto surrexisse, ac perrexisse viderit: ex ærumna sua morbóque liberabitur, & lætitia fruetur.

Si asinam habere visus sibi fuerit, quæ pepererit; opes eius duplicabuntur, & augescunt: & si vxorem habuerit, filium procreabit.

Si rex visus sibi fuerit, pro strenis asinos à quodam accepisse dono: gaudio præter expectationem fruetur, asinorum pulchritudini respondente.

Si onagros adlatos sibi, videre visus fuerit, lætum nuntium & diuitias ab extraneis breui accipiet, propter onagri velocitatem.

Si asinos suos mortuos videre visus fuerit, hoc ipsum in persona quauis ad ærumnam & interitum domesticorum eius pertinet.

Asini fortunam hominum denotant. quidquid ab eis homo consequi visus sibi fuerit, siue bonum, siue malum: prorsus eueniet.

De camelis velocibus, Persarum, & Aegyptiorum rationes.

CAP. 237.

ARabici cameli, fæminei sexus, quæ veloces sunt, miseriam, mortem, & damnationem portendunt.

Si quis harum aliqua vehi visus sibi fuerit, ita quidem, vt ab ea cursu auferretur: eum hominem orcus auferret, idque propterea, quod nullum animal cum camelis hisce fæminis, quod cursum adtinet, in comparationem venire possit.

Si visus sibi fuerit huiusmodi camelum conscendisse, paruóque confecto spatio, rursus ex ea descendisse: duram in ægritudinem incidet, qua vicissim liberabitur.

Si quam talem inuenisse visus sibi fuerit, & suam in potestatem redegisse, ac frænasse: potestatem à rege consequetur, per maximi alicuius Saraceni preces & intercessionem.

Si camelum huiusmodi, membrum aliquod ipsius momordisse, per quietem viderit: à magistratu vexabitur, prout antea de membris singulis certas interpretationes tradidimus.

Si videre visus fuerit, quasi camelus eiusmodi calces ipsimet impegerit: sine detrimento suo terrebitur à principe, propterea quod camelus vngulam equinam non habeat.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὄνους ξένια ἐδέξατο παρά τινος· ἐλεύσεται χαρὰ ἀπροσδόκητος ἀναλόγως τοῦ κάλλους τῶν ὄνων.

Εἰ δὲ ἴδῃ ὅτι ὀνάγρους ἤνεγκαν αὐτῷ, χαρὰν καὶ πλοῦτον ἀπὸ ἀλλοφύλων δέξεται ταχέως, διὰ τὴν ταχύτητα τοῦ ὀνάγρου.

Εἰ δὲ ἴδῃ ὅτι οἱ ὄνοι αὐτοῦ ἀπέθανον, εἰς θλίψιν καὶ ἀπώλειαν τῶν οἰκείων αὐτοῦ, τοῦτο κρινέτω ἐπὶ παντὸς προσώπου.

Οἱ ὄνοι εἰς τύχην τῶν ἀνθρώπων κεῖνται. καὶ πᾶν ὅτι εὕροι ἄνθρωπος ἐξ αὐτῶν καλὸν, ἢ κακὸν, ἀποβήσεται αὐτῷ.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ καμήλων δρομαίων θηλείων. σλζ.

ΟΙ ἀράβιοι κάμηλοι, αἱ ταχεῖς, εἰς ἀνάγκην, καὶ θάνατον, καὶ κρίσιν κεῖνται.

Ἐὰν ἴδῃ τις ὅτι ἐποχήσει εἰς ἐξ αὐτῶν, καὶ συνεπῆραν αὐτὸν εἰς δρόμον, ἀρεῖ αὐτὸν ὁ χάρων· διὰ τὸ μηδὲν τι τῶν ζώων συνεξισοῦσθαι αὐτῷ ἐν δρόμῳ.

Εἰ δὲ ἴδῃ ὅτι τῇ τοιαύτῃ καμήλῳ ἐπιβὰς ὀλίγον ἀπῆλθε, καὶ πάλιν κατῆλθεν ἀπ᾿ αὐτῆς· εὑρήσει νόσον σκληρὸν καὶ ἀποβαλεῖ αὐτήν.

Εἰ δὲ ἴδῃ ὅτι εὑρὼν ἐξ αὐτῶν ἐκυρίευσε, καὶ ἐχαλίνωσεν αὐτήν· εὑρήσει ἐξουσίαν ἀπὸ βασιλέως διὰ δεομένου μεγίστου Σαρακηνοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐδέχθη ἀπὸ τοιαύτης καμήλου ἓν μέλος αὐτοῦ, ἀπὸ ἐξουσίας τοιαύτης ἐν οἷς προεκρίθη ἑκάστων τῶν μελῶν τιμωρηθήσεται.

Εἰ δὲ ἴδῃ ὅτι τοιαύτη μία κάμηλος ἀπ᾿ αὐτῶν ἐλάκτισεν αὐτὸν· φόβον ἐξουσιάζοντος, εὑρήσει ἀβλαβῶς, διὰ τὸ μὴ ἔχειν ὄνυχα τὴν κάμηλον ἱππίαν.

Εἰ δὲ ἴδῃ ὅτι ἐκ τῆς τοιαύτης γενεᾶς ἐκτήσατο θηλείας καμήλους καὶ ἤμελγεν αὐτάς· εὑρήσει ἐξουσίαν καὶ κυρείαν κατὰ τοῦ ἔθνους τῶν Σαρακηνῶν.

Βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, ἀλλότριον ἔθνος ὑποτάξει, ἀναλόγως τῆς ὑποτάξεως καὶ τοῦ πλήθους τῆς ἀμέλξεως.

Εἰ δὲ ἴδῃ τις ὅτι καμήλου κρέας ἐσθίει, εὑρήσει νόσον μακρὰν καὶ ὑγιανεῖ.

Ἐὰν ἴδῃ τις ὅτι περιπατεῖ ὁμοίως καμήλῳ, εὑρήσει ψευδοδοξίαν μεγαλυνῶν ἑαυτὸν καὶ αἰσχυνόμενος.

Ἐὰν ἴδῃ τις ὅτι ὡμίλησε καμήλῳ οἰκείᾳ· εὑρήσει ἐξουσίαν καὶ πλοῦτον ἀνάλογον τοῦ πλήθους.

Εἰ δὲ ἴδῃ ὅτι εἶχε κάμηλον θήλειαν καὶ ἐπώλησεν, ἢ ἐξεποιήσατο αὐτήν, λυτροῦται κακῆς γυναικὸς, θανάτῳ ἢ χωρισμῷ.

Ἐὰν ἴδῃ ὅτι ἡ τοιαύτη κάμηλος ἔτεκεν ἄρσεν· ἀπὸ κακῆς γυναικὸς υἱὸν ἕξει ἐπὶ βλάβῃ. εἰ δὲ θῆλυ, ὁμοίως τῆς μητρὸς καὶ αὐτή.

Ἐὰν ἴδῃ τις ὅτι γάλα καμήλου ἔπιεν· εὑρήσει ἀπὸ ἐξουσιαστοῦ πλοῦτον καὶ φόβον, καὶ νόσον.

Εἰ δὲ ἴδῃ ὅτι ἔσφαξε κάμηλον ἐν οἴκῳ αὐτοῦ, καὶ τὸ κρέας ἔχει· εὑρήσει ἀπὸ ἐξουσιαστοῦ τιμωρίαν, καὶ φόβον, καὶ νόσον, καὶ ἀνάγκην.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι εἰς τὴν ἐπικράτειαν αὐτοῦ, εἰσῆλθον τοιαῦται κάμηλοι· ἐθνῶν ἔφοδον πολεμίων ἐν τῷ τόπῳ ἐκδεχέτω, καὶ καθ' ὅσον ἡ βλάβη τῶν καμήλων, τοσοῦτον καὶ τὴν ἐθνῶν ἔφοδον πολεμίων.

Εἰ δὲ ἴδῃ ὅτι ἐφορτώθησαν αἱ κάμηλοι ἐκ τοῦ τόπου· ἐξ αὐτοῦ ἀρεῖ ὁ ἐχθρὸς πλοῦτον ἀνάλογον τῆς φορτίδος.

Ἐὰν δορὰν καμήλου εὗρεν, ἢ ἦρεν· πλοῦτον ἐξουσιαστοῦ καὶ μεγίστου κερδήσει.

Ὁμοίως καὶ ἐὰν ἴδῃ ὅτι κεφαλὴν καμήλου εὗρεν, ἢ ἦρεν· εἰ μὲν ἐξουσιαστής, ἐχθρῶν ὕπαρξιν εὑρήσει.

Si de camelis huius generis, alias sexus fęminei comparasse visus sibi fuerit, quas mulxerit: potestatem aduersus Saracenorum nationem inueniet.

Si regi visum hoc oblatum fuerit, nationem extraneam in ditionem rediget: prout cameli paruerint, próque lactis expressi mulgendo copia.

Si carne cameli quis vesci visus sibi fuerit, morbo diuturno vexabitur, & conualescet.

Si quis visus sibi fuerit ambulare more cameli, opinionem de se falsam excitabit, magnificè semet extollens: & pudore adficietur.

Si quis sua cum camelo visus sibi fuerit colloquutus, pro modo colloquutionis potestatem & opes consequetur.

Si quis habere camelum fęminam visus sibi fuerit, quam aut vendiderit, aut alienauerit: vel morte, vel diuortio à mala fæmina liberatur.

Si cui visa fuerit huiusmodi camelus fætum masculum edidisse: de mala muliere filium noxium suscipiet. sin fæmineum, erit & illa suboles matri similis.

Si quis lac cameli bibisse visus sibi fuerit, à principe diuitias habebit, cum terrore, ac morbo.

Si camelum domi suæ mactasse visus sibi fuerit, & carnem eius habere: inueniet à principe cruciatum, & terrorem, & morbum, & miseriam.

Si rex videre visus fuerit, in ditionem suam huiusmodi camelos ingressas: impressionem nationum hostilium eo loci expectet, ac quantum à camelis damni ceperit, tantundem ab hostibus detrimenti metuat.

Si camelos ex eo loco discedentes, onustos videre visus fuerit: opes regias hostis auferet, pro ipsius oneris & sarcinarum modo.

Si rex cameli exuuium siue pellem inuenerit, aut sustulerit: opes alicuius principis, vel magnatis lucrabitur.

Similiter si cameli caput inuenisse, vel accepisse, visus sibi fuerit: si cum potestate est, hostium facultates consequetur.

Si plebeius, ab amplissimo quodam viro lucrabitur ad x, vel c, vel cIↄ solidos: tum quia caput summam, siue sortem denotat, tum quod hi numeri perfecti sint.

De bobus, Persarum & Aegyptiorum rationes.

CAP. 238.

MAsculi boues de amplissimis principibus, fœminæ de annis intelliguntur.

Si quis insedisse boui nigro visus sibi fuerit, opulentum hominem, & potestate præditum, sibi subiiciet.

Si boues aratores in domum suam deduxisse visus fuerit, & ligasse: prosperitatem ingentem reperiet, augustámque potestatem, & subiectionem hostium, & ex ærumnis liberationem.

Si plurima iuga boum habere visus sibi fuerit, & morigerorum quidem, quos mittat quocunque locorum velit: magnam potestatem nanciscetur, & maximos sibi subiiciet, aliósque participes potestatis suæ faciet. Nec enim facilè visum hoc offertur alij, quam magnati, vel sublimem ad dignitatem euehendo.

Si auro iuga boum sua distraxisse visus sibi fuerit, *subditus eius prædio dominabitur, &* pro auri copia, quod accepit affligetur.

Si rex donasse boues homini cuidam noto, visus sibi fuerit: exaltabit eum, & principem faciet. sin ignoto, ab hostibus cladem aliquam suorum accipiet.

Si iuga boum agrestium, & indomitorum adlata sibi, rex videre visus fuerit: si quidem erant colligata, principes peregrinos vinctos accipiet, & ingenti gaudio potietur.

Sin gregatim boues adducti fuerint, nationes amplissimas in ditionem rediget.

Si rex imperasse visus sibi fuerit, vt boues aratores mactarentur: principibus eius ab ipsomet rege periculum imminebit.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἀπὸ μεγίστου κερδήσει κέρδος ἕως δέκα ἢ ἑκατὸν, ἢ χιλίων νομισμάτων· διὰ τὸ κεφάλαιον τῆς κεφαλῆς καὶ διὰ τὸ τέλειον τῶν ἀριθμῶν.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων περὶ βοῶν. σλη΄.

ΤΑ ἄρσενα τῶν βοῶν εἰς ἄρχοντας μεγίστους, καὶ τὰ θήλεια εἰς χρόνους διακρίνονται.

Ἐὰν ἴδῃ τις ὅτι ἐπωχεῖτο βοῒ μελαίνῃ, ἀνδρὸς πλουσίου ἐξουσιαστοῦ κυριεύσει.

Εἰ δὲ ἴδῃ ὅτι βόας γεωργικοὺς εἰσήγαγεν εἰς τὸν οἶκον αὐτοῦ καὶ ἔδησεν· εὑρήσει ἀγαθὸν μέγα καὶ κυρείαν καὶ ἐξουσίαν καὶ ὑποταγὴν ἐχθρῶν, καὶ θλίψεων ἀποβολήν.

Εἰ δὲ ἴδῃ ὅτι ἔχει ζεύγη βοῶν ὑπηκόων πλεῖστα, καὶ πέμπει αὐτὰ ἔνθα βούλεται· εὑρήσει ἐξουσίαν μεγάλην καὶ ὑποτάξει μεγίστους, καὶ ἄλλοις δώσει ἀπὸ τῆς ἐξουσίας αὐτοῦ. τοῦτο γὰρ ἰδέσθαι ἑτέρῳ δύσκολόν ἐστι, πλὴν μεγιστᾶνι ἢ μέλλοντι ὑψωθῆναι.

Εἰ δὲ ἴδῃ ὅτι ἐπώλησε χρυσίῳ ζεύγη, αὐτοῦ γεωργικὸν ὑποτεταγμένος ἐξουσιάσει, καὶ θλιβήσεται ἀναλόγως τοῦ πλήθους τοῦ χρυσοῦ, οὗ ἔλαβεν.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι βόας ἐχαρίσατο τινὶ γνωρίμῳ, ὑψώσει αὐτὸν καὶ ἐξουσιαστὴν ποιήσει. εἰ δὲ ἀγνοείστῳ, ἀπὸ ἐχθρῶν θλίψιν δέξεται ἐν τοῖς ἀνθρώποις αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἄγρια, καὶ ἀνυπότακτα ἤνεγκαν αὐτῷ· εἰ μὲν ἦσαν δεδεμένα, δεσμίους ἀλλοφύλους ἄρχοντας, καὶ χαρὰν μεγίστην δέξεται.

Εἰ δ' ἀγεληδὸν καὶ ἄγεται* ὑπὸ λεγων* μεγίστων ἐθνῶν κατακυριεύσει.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἐκέλευσε σφαγῆναι βόας γεωργικούς· κινδυνεύσουσιν οἱ ἄρχοντες αὐτοῦ ἐξ αὐτῶν.

Εἰ δ' ἀνυποτάκτους, ἔσται τὸ πάθος εἰς ἀλλοφύλους.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἀπέστειλεν ἀγέλας βοῶν, μὴ καμνόντων, νομευθῆναι ἐν χώρᾳ οἰκείᾳ, ταύτην οἰκήσει ἀπὸ ἀλλοφύλων.

Ἐὰν ἴδῃ τις ὅτι ἀπὸ βοὸς ἐκερατίσθη, εἰ μὲν ἐστὶν ὑπὸ ἐξουσίαν, ἢ μέγιστος· μεθ' ὁμοίου μαχεσθήσεται, καὶ βλαβήσεται ἐξ αὐτοῦ ἀναλόγως τῆς κερατίσεως· εἰ δὲ τοῦ κοινοῦ λαοῦ, ἀπὸ ἐξουσιαστοῦ βλαβήσεται.

Εἰ δὲ ἴδῃ ὅτι ἐλακτίσθη παρὰ βοός· ἔλαττον εὑρήσει τὸ πάθος.

Εἰ δὲ ἴδῃ ὅτι ἐποχεῖται βοῒ ῥοδόχροϊ· εὑρήσει ἐξουσίαν καὶ νόσον ἐν τέκνοις, ἤτοι γυναικὶ αὐτοῦ.

Εἰ δὲ ἴδῃ τις ὅτι εἰσῆλθε βοῦς ἀγνώριστος ἐν τῷ οἴκῳ αὐτοῦ, ἄνδρες μεγιστᾶνες εἰσελεύσονται ἐν τῷ οἴκῳ αὐτοῦ· καὶ εἰ μὲν ἐκεράτισε, βλάψουσιν αὐτόν· εἰ δὲ μὴ, οὐδαμῶς.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐν ξένῃ βοῦς ἐνέμετο τρικέρατος ἢ τετρακέρατος, ἢ πλέον· ἥξει ἐν αὐτῇ τῇ γῇ ἐξουσιαστὴς καὶ ἐξουσιάσει αὐτῶν χρόνοις ἰσαρίθμοις τῶν κεράτων.

Εἰ δὲ ἴδῃ τις ὅτι ὁ βοῦς αὐτοῦ ἠγριώθη, ἐξουσιαστὴς ἐν τόποις ἀγριωθήσεται κατ' αὐτοῦ· καὶ εἰ μὲν ἐκνεύρισε τὸν βοῦν, ἀποστρέψει αὐτόν· εἰ δὲ ἐκνευρίσει ὁ βοῦς, ὁ ἐξουσιαστὴς κατακνευρίσει.

Ἐκ τῶν Αἰγυπτίων ὁμοίως περὶ βοός. σλθ'.

Τὰ βοίδια τὰ ἄρσενα ὅστις ἂν ἴδῃ, εἰς ἄρχοντας κρινέτω, διὰ τὸ κέρας.

Καὶ τὰ θήλεια εἰς χρόνους· καὶ εἰ μὲν εἰσὶ πίονα, χρόνους εὐφόρους δηλοῦσιν· εἰ δὲ πτωχὰ καὶ λεπτὰ, χρόνους δυσφόρους.

Sin boues immorigeros & indomitos occidi iusserit, ad extraneos & alienigenas ea calamitas spectat.

Si rex misisse visus sibi fuerit boum non laborantium greges, vt in regione sua pascerentur: eam regionem excolet per alienigenas, quasi colonia quadam eo deducta.

Si quis visus sibi fuerit læsus à boue cornu petente, siquidem est sub potestate, aut vir amplissimus, cum pari pugnabit, & ab eo lædetur, prout bos cornu petiisse visus fuerit: sin plebeius, à principe damnum accipiet.

Si à boue impactas sibi calces, videre visus fuerit: minor calamitas erit.

Si visus sibi fuerit insidere boui rosacei coloris, potestatem inueniet, & in liberis vel vxore morbum.

Si quis videre visus fuerit ingressos domum suam boues ignotos, in eius domū proceres venient. ac si quidem illi boues cornu petiuerint, damnum ei dabunt: sin autem, non est, quod ab eis sibi metuat.

Si quis in regione peregrinā pascentem bouem, qui tria vel quatuor habeat, vel plura cornua, videre visus fuerit: in eā regionem princeps quidam veniet, & hominibus illis cum imperio præerit totidem annis, quot cornua fuerint.

Si bouem suum quis efferatum videre visus fuerit, aduersus hunc princeps regionis illius exasperabitur: ac si quidem suam in potestatem bouem redegit, auertet illum: sin bos pręualuit, potiores principis vires erunt.

De boue rationes consimiles, ex Aegyptiorum disciplina.

CAP. 239.

Qvicunque boues masculos videre visus sibi fuerit, de principibus eos intelligat, propter cornu: vaccas, de annis.

Quòd si pingues sunt, annos fertiles portendunt: sin tenues & macræ, steriles annos.

Similiter & boues masculi, si pingues sunt, principes bonos denotant: sin autem, principes improbos & iniustos cum malis annis portendunt.

Boues, qui non sunt aratores, ad amplissimos principes referuntur: aratores, ad viros nobiles, qui aliquando sint imperio potituri.

Si quis buculam pinguem inuenisse visus sibi fuerit, aut plures: inueniet annum, vel annos eximios, & bonos, & fertiles; ac in negotiotione quæstúque suo quilibet incrementum.

Si quis buculam, vel armentum quoddam macrum inuenisse visus sibi fuerit, cuius ipse dominus fuerit: annum, vel annos infelices experietur, pro bucularum numero: itidémque penuriam annonæ, detrimentum, paupertatem, pro tenuitatis & maciei modo.

Si rex buculas pingues adlatas sibi, videre visus fuerit: pro earum numero prosperos & felices ad bellum gerēdum annos inueniet: ac regionis opulentiam fertilitatémque suæ, pro bucularum pinguitudine ac multitudine.

Quippe somnium regis in his, ad omnes ipsius subditos interpretando refertur.

Similiter si rex videre visus fuerit, adlatas sibi buculas tenues & exiles: annos infaustos bellis gerendis, & regioni suæ, pro illarum numero & macie, experietur. Similiter & subditis eius vniuersis eadem portenduntur.

Si quis edere carnem bubulum visus sibi fuerit, ab amplissimo viro diuitias consequetur: itémque subolem masculam procreabit.

Sin butyrum de vaccarum lacte factum comederit, opes iucundas & durabiles inueniet.

Si lac buculum comederit, incrementum rerum, opésque maximas nanciscetur.

Si buculam quis mulgere visus sibi fuerit, déque lacte bibere: si seruus est, emancipatur: ac fortassis hæreditate domini sui domum consequetur, aut hæram suam vxorem accipiet.

Sin plebeius est, lætitiam & exultationem maiorem inueniet.

Ὁμοίως καὶ τὰ ἄρσενα, εἰ μὲν εἰσὶ πίονα, ἄρχοντας ἀγαθούς· εἰ δὲ μὴ, ἄρχοντας πονηροὺς καὶ ἀδίκους, εἰς χρόνους κακοὺς δηλοῦσιν.

Καὶ τὰ βοΐδια τὰ γεωργικὰ, εἰς ἄρχοντας μεγιστᾶνας κρίνονται· τὰ δὲ μὴ γεωργικὰ, εἰς ἄνδρας εὐγενεῖς μέλλοντας ἄρξειν, κρίνονται.

Ἐὰν ἴδῃ τις, ὅτι εὗρε βοῦν λιπαρὰν, ἢ πολλάς· εὑρήσει χρόνον, ἢ χρόνους καλοὺς, καὶ ἀγαθοὺς, καὶ εὐφόρους· καὶ ἕκαστος προκοπὴν τῆς ἐργασίας αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι εὗρε βοῦν, ἀγελαίαν, λεπτὴν, καὶ ἐδέσποσεν αὐτήν· εὑρήσει χρόνον, ἢ χρόνους ἀναλόγως τοῦ μέτρου αὐτῶν κακοὺς καὶ λιμὸν, καὶ ζημίαν καὶ πενίαν ἀναλόγως τῆς λεπτότητος.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἤνεγκαν αὐτῷ βοῦς λιπαράς· εὑρήσει χρόνους ἀγαθοὺς καὶ εὐτυχεῖς ἐν πολέμῳ· καὶ πλοῦτον τῆς γῆς αὐτοῦ, καὶ εὐφορίαν, ἀναλόγως τῆς πιαίσεως καὶ τοῦ πλήθους αὐτοῦ.

Τοῦ γὰρ βασιλέως τὸ ὄναρ ἐν τούτοις, εἰς πάντας τοὺς ὑποχειρίους κρίνεται.

Ὁμοίως ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἤνεγκαν αὐτῷ λεπτὰς βοῦς καὶ πτωχάς· εὑρήσει χρόνους δυστυχεῖς τῶν πολέμων καὶ τῆς γῆς αὐτοῦ, ἀναλόγως τοῦ μέτρου καὶ τῆς λεπτότητος· καὶ ὁμοίως εἰς πάντας τοὺς ὑποχειρίους αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι τρώγει βόειον κρέας, εὑρήσει πλοῦτον ἀπὸ μεγίστου· ἀλλὰ καὶ τέκνον ἄρσεν ἕξει.

Εἰ δὲ βούτυρον βοὸς θηλείας, εὑρήσει πλοῦτον ἡδὺν χρόνιον.

Εἰ δὲ τρώγει γάλα βόειον, εὑρήσει αὔξησιν καὶ πλοῦτον μέγιστον.

Εἰ δὲ ἴδῃ ὅτι ἀμέλγει βοῦν καὶ πίνει τοῦ γάλακτος· εἰ μὲν ἐστὶ δοῦλος, ἐλευθεροῦται· ἴσως καὶ κληρονομήσει τὸν οἶκον τοῦ δεσπότου ἢ τὴν δέσποιναν αὐτοῦ λήψεται.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει χαρὰν καὶ ἀγαλλίασιν μείζονα.

Ἀλλὰ καὶ τοῦ προβάτου καὶ τοῦ βουβάλου τὸ γάλα ἐν τῇ αὐτῇ κρίσει ἐστί.

Καὶ ἐὰν ἴδῃ τις ὅτι συνάγει κόπρον βοΐαν, εὑρήσει πλοῦτον ἀπὸ μεγιστάνων ἀναλόγως τῆς κόπρου.

Εἰ δὲ ἴδῃ τις ὅτι βοὸς δορὰν εὗρεν, ἢ ἦρεν· πλοῦτον ἄρχοντος μεγίστου κληρονομήσει.

Εἰ δὲ ἴδῃ ὅτι κεφαλὴν βοὸς εὗρεν, εὑρήσει πλοῦτον καὶ θησαυρὸν ἄρχοντος, διὰ τὸν μυελὸν τῆς κεφαλῆς.

Εἰ δὲ ἴδῃ ὅτι ἔσφαξε βοῦν ἐν τῷ οἴκῳ αὐτοῦ, ἀναλόγως τοῦ κρέατος εὑρήσει πλοῦτον ἐξουσιαστοῦ, μετὰ φόβου ἐξουσίας.

Εἰ δὲ ἴδῃ ὅτι ἧπαρ τε πνεύμονα βοὸς ἦρεν· εὑρήσει θησαυρὸν χρυσίου καθαροῦ ἐξ ἑτέρου ἄρχοντος.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε κοιλίαν βοΐαν, εὑρήσει ἀγαθὸν ἀπὸ οἴκου μεγιστᾶνος, ἡ γὰρ κοιλία οἶκός ἐστι τοῦ ἄρχοντος.

Εἰ δὲ ἴδῃ ὅτι ἦρεν ἐκ τοῦ αἵματος, τὸ χρυσίον τοῦ μεγιστᾶνος εὑρήσει.

Ouillum quoque, ceruinúmque lac eandem interpretationem habet.

Si quis stercus bubulum colligere visus sibi fuerit, à proceribus opes consequetur, stercoris copiæ respondentes.

Si quis corium bouis inuenisse, vel sustulisse, visus sibi fuerit: hæreditate diuitias amplissimi principis adquiret.

Si bubulum caput inuenisse visus sibi fuerit, opes & thesaurum principis consequetur, propter eam, quæ capite continetur, medullam.

Si bouem in domo sua mactasse, visus sibi fuerit: pro modo & copia carnis, opes alicuius principis consequetur, cum metu magistratus.

Si iecur & pulmonem bouis accepisse visus sibi fuerit, auri puri thesaurum ab alio principe consequetur.

Si ventrem bouis inuenisse visus sibi fuerit, à quodam magnate prosperitatem inueniet.

Si tulerit è sanguine, aurum principis inueniet.

Ἐκ τῶν Περσῶν περὶ ὀχήματος ἤτοι ἅρματος, καὶ περὶ ἁμάξης. σμ.

Τὸ βασιλικὸν ὄχημα, βασιλέως ὕψος δηλοῖ· ἡ δὲ ἅμαξα ἡ κοινὴ, εἰς διάφορα κρίνεται πρόσωπα.

Ἐὰν ἴδῃ τις κατ᾽ ὄναρ ὅτι ἐδιφρηλάτει ὀχήματι βασιλικῷ, εὑρήσει ὕψος δόξης, καὶ ὀνομαστὸς ἔσται· καὶ εἰ ἔστι τῶν ἐπιτηδείων πρὸς βασιλείαν, βασιλεύσει.

Εἰ δὲ ἴδῃ τις ἐπὶ διφρηλατῶν ἤγετο ἵπποις εὐγενέσιν· εὑρήσει ὕψος καὶ χαρὰν, καὶ τῶν ἐλπίδων τέλος, καὶ πλησίον ἔσται τοῦ βασιλέως.

Εἰ δὲ τὸ ὄχημα εἵλκετο βουσίν· ἀνδρῶν μεγίστων κυριεύσει.

Συντόμως ἐξουσιαστὴς μέτριος δεδειγμένος ἠλαττονήθη τῶν βοῶν ἐξ ἀργίας.

De vehiculo, siue curru, & plaustro, rationes Aegyptiorum.

CAP. 240.

VEhiculum regium, eminentiam regis denotat: vulgare plaustrum, diuersas ad personas refertur.

Si quis in somnis vehi visus sibi fuerit curru regio, gloriam sublimem adsequetur, & celebris erit. quòd si etiam de illorum est numero, qui regno idonei sunt: regno potietur.

Si quis insidens currui, generosis ab equis, vehi visus sibi fuerit: & eminentiam inueniet, & gaudium, & exitum spei suæ, & opulentus erit.

Si & ipse rex, & vehiculum regium, à bobus trahebatur: breui viros amplissimos in ditionem rediget.

Si quis princeps mediocris fuerit, minor erit, propter boum segnitiem.

Qui-

Quibuſcunque regium vehiculum per quietem oblatum fuerit, ad propiorem regis aditionem hoc refertur: idque propterea, quod Ioſepho quoque, quum captiuitate liberatus, & Ægypti nanctus eſſet imperium, aliiſque ſimiliter, eminentia regiæ gloriæ, priſcis à regibus conceſſæ, per vehiculum ſignificata fuerit.

Si quis in theatro viſus ſibi fuerit aurigæ in morem regia vehicula gubernare, victoriáque potiori, & coronari: ſi bellator eſt, aut miles, hoſtes ſuperabit: ſin alioquis ex proceribus, princeps inter proceres fiet, propter coronam.

Sin viſus ſibi fuerit victus, ex ærumna liberatur, & minore fruetur gaudio. Nā oblata per quietem adflictio, nihil moleſti portendit.

Si plebeio viſum huiuſmodi fuerit oblatum, quíſque gaudium inueniet, ac negotiationis & quæſtus incrementum.

Si mulieri, quæcunque tandem illa fuerit: cum ampliſſimo viro ſtupri conſuetudinem habebit, & hominibus ſpectaculo erit.

Si rex vehiculo viſus ſibi fuerit vehi, ſublimiore gloria potietur, & hoſtes ſibi ſubiiciet, omniúmque votorum compos fiet, prout egiſſe currum viſus ſibi fuerit.

Si viſus ſibi fuerit in ſella conſidere, ac moderatè ſemſimque trahi ab equis: in vniuerſo populo ſuo gaudium, tranquillitatem, & exultationem inueniet.

Si quis vehiculum ſuum fractum videre viſus fuerit, in ægritudinem incidet, ac dignitatis aliquam iacturam faciet.

Si viſus ſibi fuerit aliquid paſſus in equis, aut bobus, vehiculum trahentibus: pars dignitatis eius humiliabitur.

Sin planè mortui ſunt, aut corruerunt: velut interituri: dignitatem atque gloriam ſuam amittet, ac grauiter adfligetur.

Plauſtra ruſtica, morbum & cruciatum à principe, denotant.

Ὅσοις δὲ τὸ βασιλεῖον ὄχημα θεωρεῖται κατ' ὄναρ, εἰς ἐγγύτητα βασιλέως ἀνεῖται· διότι καὶ τῷ Ἰωσὴφ ὅτε ἠλευθερώθη, καὶ τῆς Αἰγύπτου ἦρξε καὶ τοῖς λοιποῖς ἐκ τοῦ ὀχήματος ἐδηλώθη τὸ τῆς βασιλέως δόξης ὕψος παραδεδομένον ἐκ τῶν ἀρχαίων.

Ἐὰν ἴδῃ τις ὅτι ἑαυτὸν ἡνιοχεύοντα ὀχήματα βασιλικὰ ἐν τῷ θεάτρῳ καὶ νικῶντα, καὶ στεφανούμενον· εἰ μὲν ἐστὶ πολεμιστὴς, στρατιώτας νικήσει τοὺς πολεμίους· εἰ δὲ τῶν μεγιστάνων ἐστὶ, πρῶτος τῶν μεγιστάνων ἔσται, διὰ τὸν στέφανον.

Εἰ δὲ ἴδῃ ὅτι ἐνικήθη, ἀπὸ θλίψεως ἐκλυτροῦται, καὶ χαρὰν ἐλάττονα ἕξει. ἡ γὰρ θλίψις κατ' ὄναρ, ἀλύπως σημαίνει.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ ἴδῃ τις τοῦτο, εὑρήσει χαρὰν ἕκαστος καὶ αὔξησιν τῆς ἐργασίας αὐτοῦ.

Γυνὴ ἐὰν ἴδῃ τοῦτο ἥτις ἂν ἐστὶ, μετὰ μεγιστάνων πορνεύσει, καὶ θεατρισθήσεται.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ἑαυτὸν ἐπ' ὀχήματος ἐλαύνοντα ὑπερτέρως δοξασθήσεται, καὶ τοὺς ἐχθροὺς ὑποτάξει καὶ πάσας τὰς αἰτήσεις αὐτοῦ τελειώσει ἀναλόγως τῆς ἐλάσεως τοῦ ὀχήματος.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἐν δίφρῳ θρονιζόμενος ἵπποις ἕλκεται κατὰ τάξιν ἠρέμα· εὑρήσει χαρὰν καὶ γαλήνην, καὶ ἀγαλλίασιν ἐν παντὶ τῷ λαῷ αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐκλείσθη τὸ ὄχημα αὐτοῦ, νόσον εὑρήσει καὶ θλίψιν ἐν τῷ ἀξιώματι αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐκ τῶν ἑλκόντων ἢ τῶν βοῶν ἔπαθέ τι μέρος τοῦ ἀξιώματος αὐτοῦ, ταπεινωθήσεται.

Εἰ δὲ καθ' ὅλου ἐτελεύτησαν, ἢ ἔπεσον· ἐπ' ὀλέθρῳ ἀποβαλεῖ τὸ ἀξίωμα καὶ τὴν δόξαν, καὶ μεγάλως θλιβήσεται.

Αἱ ἅμαξαι, αἱ γεωργικαὶ, νόσον, καὶ τιμωρίαν ἀπὸ ἐξουσίας, σημαίνει.

Ἐὰν οὖν ἴδῃ τις ὅτι ἐν τῇ αὐτῇ ἁμάξῃ καθήμενος ἕλκεται· ἰσχυρὸν φόβον, καὶ τιμωρίαν ἀπὸ ἐξουσίας ἐλπιζέτω.

Εἰ δὲ ἴδῃ ὅτι κατῆλθεν ἐξ αὐτῆς λυτρωθήσεται ταχέως.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ ζατρικίου. σμά.

ΕΑΝ ἴδῃ τις ὅτι παίζων συζατρικίζει ἑτέρῳ γνωρίμῳ· χάριν κέρδους ἐπαγωνίζουσιν ἀλλήλοις· καὶ ὁ νικήσας, ἀποκερδήσει καὶ ἀνύσει τὸ σπουδαζόμενον. εἰ δ' ἀγνοεῖ τῳ, μετ' ἐχθροῦ ἀναιμάκτως ἐπαγωνίσει, καὶ τῷ νικήσαντι γενήσεται ἡ ἐξάνυσις τῆς σπουδῆς.

Ὁ βασιλεὺς, ἢ μέγιστος, ἢ ἄρχων πολέμου ἐὰν ἴδῃ ὅτι ζατρικίζει τόπον πολέμου μετ' ἐχθρῶν ἐναντίων διαμηχανήσεται. καὶ εἰ μὲν ἐνίκησεν, πᾶσαν ἐπιθυμίαν ἐν τῷ πολέμῳ πληρώσει. εἰ δὲ ἡττήθη παρὰ τοῦ συμπαίζοντος, ἡττηθήσεται παρὰ τῶν ἐχθρῶν αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι παίζων ἔλαβε πλείονας τῶν τοῦ παιγνίου προσώπων· πλείονας δεσμώσει τῶν πολεμίων δεσμίων· εἰ δὲ μὴ, τοὐναντίον. οὐ μέν τοι ἔσται τῷ πολέμῳ καθολικὴ τροπή.

Ὁ βασιλεὺς, ἢ μέγιστος, ἢ ἄρχων πολέμου ἐὰν ἴδῃ ὅτι τὸ ζατρίκιον αὐτοῦ ἀπώλετο, ἢ ἐκλάσθη, ἢ ἐκλάπη· ἀπολέσει τὸν στρατὸν αὐτοῦ καὶ εἰς θλίψιν μεγίστην ἥξει.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ προσώπων παντοίων καὶ ἐλάφων, καὶ τράγων. σμβ'.

Si quis ergo visus sibi fuerit in eiusmodi sedere plaustro, & trahi: grauem terrorem, & cruciatum à magistratu expectet.

Sin ex eo descendisse visus sibi fuerit, citò liberabitur.

De zatricio, ex Persarum & Aegyptiorum disciplina.

CAP. 241.

SI quis zatricium cum alio sibi noto ludere visus fuerit, lucri caussa dimicant inter se: quique vicerit, lucrabitur: & quod habet in votis, perficiet. Sin cum ignoto, cum hostibus absque sanguinis effusione dimicabit, & qui superior euaserit, voti sui compos erit.

Si rex, aut amplissimus vir, aut belli dux, zatricium ludere visus sibi fuerit: de loco prœlij cum hostibus conserendi dispiciet. ac siquidem vicerit, omne animi sui desiderium in bello perficiet: sin à colludente victus fuerit, ab hostibus suis & ipse superabitur.

Si visus sibi fuerit, inter ludendum plures eius ludicri personas cepisse: plures ex hostibus vinciet: sin autem, contrarius euentus erit. non tamen eo prœlio de summa rerum decertabitur.

Si rex, aut vir aliquis amplissimus, aut belli dux, visus sibi fuerit zatricium suum perdidisse, vel fractum esse, vel ablatum furto: exercitus sui iacturam faciet, ac maximam in ærumnam incidet.

De omnigenis ouibus, & ceruis, & hircis: ex Indorum, Persarum, Aegyptiorúmque monumentis.

CAP. 242.

SI quis inuenisse, vel accepisse ab alio visus sibi fuerit arietem, anni potestatem consequetur.

Si plures arietes inuenisse visus sibi fuerit, potestatem consequetur ad annos totidem, quot arietes fuerint: próque modo pinguitudinis eorum, ditescet.

Si princeps visus sibi fuerit arietes inuenisse, potestatis accessionem inueniet, pro ratione numeri reliqui, postquam facta fuerit arietum computatio, & primorum potestatis eius annorum.

Si eos sponte sua vendidit, potestatem suam amittet.

Si ablati fuerint, etiam potestas ei auferetur, & adflictionem inueniet auro respondentem, quod pro eis accepit.

Si argentum accepit, pugnam inueniet.

Si visus sibi fuerit arietem occidisse, principem rerum potientem interficiet.

Si videre visus fuerit, adlata sibi multorum arietum capita: sciẽdum id visum regi duntaxat offerri. Nam hostium capita vincta venient, & ipse magno gaudio adficietur.

Si rex imperasse visus sibi fuerit, vt arietes mactarentur: si quidem de suis hoc iusserit, principes eius pari modo periclitabuntur. sin de alienis, pro arietum numero hostes interficiet.

Si rex, aut belli dux, visus sibi fuerit arietes cepisse viuos, & in stabulo mactasse. principes infestorum sibi populorum vinciet, pro arietum numero.

Si quis arieti visus sibi fuerit inequitasse, virum magna potestate præditum in seruitutem rediget.

Si videre quosdam visus fuerit, adferentes sibi caput hirci cornuti: stolidus quidam bellator ad eum vinctus deducetur.

Si quis in loco quodam arietes videre, visus sibi fuerit: in eum locum principes venient, administrationis & imperij caussa, pro ipsorum arietum numero.

Si videre visus fuerit hircos ibidem pascentes, homines in iis locis iniusti, rapaces, auari imperabunt.

ΕΑ'Ν ἴδῃ τις ὅτι εὗρεν, ἢ ἔλαβεν παρά τινος κριὸν, εὑρήσει ἐξουσίαν ἐν αὐτῷ.

Εἰ δὲ ἴδῃ ὅτι πολλοὺς κριοὺς ἔλαβεν· εὑρήσει ἐξουσίαν ἐπὶ χρόνοις ἰσαρίθμοις τῶν κριῶν, καὶ πλουτήσει ἀναλόγως τῆς παχύτητος αὐτῶν ἐξουσιάζων.

Ἐὰν ἴδῃ ὅτι εὗρε κριοὺς, εὑρήσει ἐξουσίας προσθήκην ἀναλόγως τοῦ ἀριθμοῦ τοῦ ἐπιλοίπου τῶν κριῶν ἀναμετρουμένων, καὶ τὸν πρῶτον ἐνιαυτὸν τῆς ἐξουσίας αὐτοῦ.

Εἰ δ' ἐπώλησεν αὐτοὺς ἑκὼν, ἀποβαλεῖ τὴν ἐξουσίαν αὐτοῦ.

Εἰ δὲ ἀφῃρέθη αὐτοὺς, ἀφαιρεθήσεται τῆς ἐξουσίας αὐτοῦ, καὶ εὑρήσει θλίψιν ἀνάλογον τοῦ χρυσίου, οὗ ἦρεν.

Εἰ δὲ ἀργυρείου, εὑρήσει μάχην.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐφόνευσε κριὸν, φονεύσει ἄρχοντα ἐξουσιαστήν.

Εἰ δὲ ἴδῃ ὅτι ἤνεγκαν αὐτῷ κριῶν πολλῶν κεφαλάς· τοῦτο μὲν βασιλεῖς θεωρεῖται. ἥξουσιν δὲ αὐτῷ ἐχθρῶν κεφαλαὶ, καὶ δέσμιοι, καὶ χαρήσεται πολλά.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἐκέλευσε σφαγιάσαι κριούς· εἰ μὲν οἱ σύνδικοι αὐτοῦ, ἄρχοντες ἀναλόγως κινδυνεύσουσιν. εἰ δὲ ξένοι, ἐχθροὺς ἀποκτενεῖ ἀναλόγως.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς, ἢ ἄρχων πολέμου ὅτι ἐζώγρησε κριοὺς, καὶ ἀπέκλεισεν ἐν μάνδρᾳ· ἄρχοντας λαῶν ἐχθρῶν αὐτοῦ δεσμεύσει ἀναλόγως τῶν κριῶν.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐκαβαλλίκευσε κριὸν καταδουλώσει ἄνδρα ἐξουσιαστήν.

Εἰ δὲ ἴδῃ τις ὅτι τράγου κεφαλὴν κερασφόρον ἤνεγκαν αὐτῷ· μωρὸς μαχητὴς δέσμιος ἥξεται ἐν αὐτῷ.

Ἐὰν ἴδῃ τις ἐν τόπῳ κριούς· ἄρχοντες ἐλεύσονται ἐν τῷ τόπῳ ἐκείνῳ διοικήσεως χάριν, ἀναλόγως τοῦ μέτρου τῶν κριῶν.

Εἰ δὲ ἴδῃ ὅτι τράγοι ἐνέμοντο, ἄδικοι καὶ ἀποστερηταὶ καὶ πλεονέκται ἄρξουσιν ἐκεῖσε.

Εἰ δὲ ἴδῃ ὅτι ἔλαφοι ἢ ἕτερα ζῶα ἄγρια κερασφόρα ἐνέμοντο ἐκεῖσε, ἐχθρὸς ἐξουσιάζων ἐλεύσεται ἐκεῖσε.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἤνεγκαν αὐτῷ ἐλάφους ἐνδοξοτέρους καὶ μείζονας· δέξεται δεσμίους ἐχθρῶν.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι εἰς κυνήγιον ἐξῆλθεν ἐλάφων, ἢ τῶν ἄλλων κερασφόρων· κατ' ἐχθρῶν ἐξουσιαστῶν πόλεμον ἐγερεῖ. καὶ εἰ μὲν ἐπέτυχε τοῦ ζητουμένου ζώου· ἐπιτεύξεται τοῦ ἐχθροῦ, καὶ μεγάλως χαρήσεται. εἰ δὲ μή, τοὐναντίον.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι εἰς κυνήγιον ἐξῆλθε καὶ ἤγρευσε μόσχους ἐλάφων, τέκνα μεγίστων ἀνδρῶν δεσμεύσει.

Εἰ δὲ ἴδῃ ὅτι μόσχον ἐλάφου ἀνατρέφει ἐν τοῖς βασιλείοις, ἄρσεν ἢ θῆλυ· τοῦτο εἰς τέκνον τῆς βασιλείας αὐτοῦ κρινέτω.

Εἰ δὲ ἴδῃ ὅτι κρέας ἐλάφου ἤσθιεν, εὑρήσει χαρὰν καὶ πλοῦτον ἀπὸ μεγίστου.

Εἰ δὲ τραγίου, εὑρήσει νόσον ἀνάλογον τῆς βρώσεως.

Εἰ δὲ ἴδῃ ὅτι δορκάδας ἔσφαξεν, εὑρήσει θλῖψιν καὶ μέριμναν ὠνιαίαν, καὶ ταχὺ λυθήσεται.

Εἰ δέ τις ἴδῃ ὅτι προβάτου πίονος ἐσθίει κρέας· εὑρήσει χαρὰν καὶ πλοῦτον καὶ δόξαν.

Εἰ δὲ τραγίου μετὰ γάλακτος πεπηγότος· εὑρήσει νόσον δριμεῖαν καὶ μακράν.

Εἰ δὲ ἴδῃ τις ὅτι εὗρεν ἀμνάδα, λήψεται γυναῖκα αἱρετὴν αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐξεποιήσατο αὐτήν, χωρίζεται τῆς γυναικὸς αὐτοῦ ἢ θανάτῳ, ἢ προφάσει τινί.

Εἰ δὲ ἐπώλησεν αὐτὴν σταθμῷ χρυσίου· χωρίζεται τῆς γυναικὸς αὐτοῦ ἕνεκα μάχης ἐνδικαστηρείῳ, διὰ τὸν ἐκ ζυγοῦ σταθμόν.

Εἰ δὲ ἴδῃ ὅτι εὗρεν, ἢ ἠμπόρησε πρόβατα πλεῖστα ἀμελγόμενα· εὑρήσει πλοῦτον, καὶ χαράν, καὶ δούλους ἀναλόγως τοῦ πλήθους.

Ἐὰν δὲ βασιλεὺς ὁ τοῦτο ἰδών, ἔθνος καταδουλώσει καὶ ὑποφόρον ποιήσει αὐτό, καὶ χαρήσεται ἀναλόγως τοῦ πλήθους.

Si ceruos, aliásque feras & cornutas bestias ibi pascentes videre visus fuerit: hostis eò potens veniet.

Si rex viderit sibi allatos esse ceruos insigniores & maiores, captiuos quosdam ex hostibus accipiet.

Si rex ad venationem ceruorum visus sibi fuerit egressus, aut aliarum bestiarum, quæ cornua gerunt: aduersus hostes rerum potientes bellum excitabit. ac si quidem animal, quod quærebat, adeptus fuerit: hostem quoque capiet, gaudióque ingenti fruetur. sin autem, contrarium accidet.

Si rex visus sibi fuerit cepisse vitulos ceruinos, amplissimorum virorum liberos vinciet.

Si visus sibi fuerit in regia vitulum ceruinum educare, marem vel fœminam: hoc ad subolem maiestatis suæ referat.

Si carnem ceruinam comedisse visus sibi fuerit, ab amplissimo viro gaudium & opes consequetur.

Sin hircinam, pro modo manducationis morbum inueniet.

Si quis capreas mactasse visus sibi fuerit, adflictionem & sollicitudinem inueniet, & citò liberabitur.

Si quis visus sibi fuerit, carnem ouillam pinguem comedisse: gaudio potietur, & opibus, & gloria.

Sin hircinam, cum lacte concreto: in morbum acrem & diuturnum incidet.

Si agnam inuenisse visus sibi fuerit, vxorem exoptatam accipiet.

Si eandem alienasse visus sibi fuerit, ab vxore sua vel morte, vel occasione quadam separatur.

Si auri pondere vendidit eam, ab vxore sua separatur per litem quandam in iudicio, propter libræ pondus.

Si visus sibi fuerit inuenisse, vel emisse plurimas oues, lac præbentes: inueniet opes, & gaudium, & seruos, pro ipsarum ouium numero.

Si regi visum hoc oblatum fuerit, nationem quandam in seruitutem rediget, & sibi tributariam faciet, eóque facto lætabitur, pro ipsarum ouium multitudine.

Si quis oues pascere visus sibi fuerit, & easdem amisisse: ad inopiam redigetur, extremámque miseriam.

Si videre visus fuerit, oues suas morbo quodam mortuas: si rex est, aut procerum aliquis, in populo suo per alium principem adfligetur.

Si quis lac ouillum bibere visus sibi fuerit, gaudio potietur, & opibus.

Si rex è vase lac bibere visus sibi fuerit, gaudium & exultationem inueniet, & cum muliere consuetudinem habebit, tum vasis pulchritudini, tum lactis suauitati respondente.

Si visus sibi fuerit, inuentum hircorum gregem in domum suam abegisse, non repugnãtibus hircis: stolidi populi principatum cum repræhensione accipiet.

Si videre visus fuerit hircorum gregem illum immorigerum, morbum & adflictionem ex potestate inueniet.

Si carnem ouillam crudam ederit, hominum calumniator & criminator erit. Metuat autem Deum, & à vitio desistat.

Si quis videre visus fuerit aliquid mactatum, cui pellis detracta sit, in domum suam illatum: vel ipse, vel alius è domesticis morietur.

Si fæminei sexus mactatum illud erat, ad vxorem ipsius calamitas pertinet.

Si masculum, de ipso intelligitur, vel quodam ei simili.

Si caput ouis edere visus sibi fuerit, opes inexpectatas, cum vita longæua, inueniet.

Si cui visa per quietem fuerint enata in capite cornua, instar arietis: dignitatem inueniet, & pugnam aduersus hostes, pro cornuum modo.

Si quis huiusmodi cornua fracta videre visus fuerit, adfligetur atque contumeliam feret in officio dignitatéque sua, in oculis totius populi.

Si pedes ouillos edisse visus sibi fuerit, bonam valetudinem cum mediocribus diuitiis inueniet.

Si carnem coctam pinguem edere visus sibi fuerit, & iusculum bibere: inueniet diuitiarum suarum incrementũ, non sine contentione, propter manducationẽ.

Εἰ δὲ ἴδῃ τις ὅτι ποιμαίνει πρόβατα, καὶ ταῦτα ἀπώλεσεν· πτωχεύσει καὶ θλιβήσεται μεγάλως.

Εἰ δὲ ἴδῃ ὅτι νόσῳ ἀπέθανον τὰ πρόβατα αὐτοῦ· εἰ μὲν ἐστὶ βασιλεὺς, ἢ τῶν μεγιστάνων τις, θλιβήσεται ἐν τῷ λαῷ αὐτοῦ ἀπ᾽ ἄλλου ἐξουσιάζοντος.

Εἰ δὲ ἴδῃ τις ὅτι πίνει γάλα προβάτου, εὑρήσει χαρὰν καὶ πλοῦτον.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι πίνει ἐν ἀγγείῳ γάλα, εὑρήσει χαρὰν καὶ ἀγαλλίασιν, καὶ γυναικὶ συνουσιάσει ἀναλόγως τοῦ κάλλους τοῦ ἀγγείου καὶ τῆς ἡδύτητος τοῦ γάλακτος.

Εἰ δὲ ἴδῃ ὅτι ἀγέλην τράγων εὑρὼν ἀπήγαγεν ἐν τῷ οἴκῳ αὐτοῦ ἐν ὑποταγῇ ἐξουσίαν μωροῦ λαοῦ ἀρεῖ μετὰ μέμψεως.

Εἰ δὲ ἴδῃ ὅτι ἀνυπότακτος ἦν, εὑρήσει νόσον καὶ τιμωρίαν ἀπὸ ἐξουσίας.

Εἰ δὲ κρέας ὠμὸν προβάτου, ἀνθρώπων ἔσται διαβολεὺς καὶ συκοφάντης.

Εἰ δὲ ἴδῃ τις ὅτι σφακτὸν ἐκδεδαρμένον εἰσήχθη ἐν τῷ οἴκῳ αὐτοῦ· αὐτὸς ἢ ἕτερος τοῦ οἴκου αὐτοῦ ἀποθανεῖται.

Εἰ δὲ ἦν τὸ σφακτὸν θῆλυ, ἔσται τὸ πάθος εἰς τὴν γυναῖκα αὐτοῦ.

Εἰ δὲ ἄρσεν, εἰς αὐτὸν κρίνεται, ἢ ὅμοιόν αὐτῷ.

Εἰ δὲ ἴδῃ ὅτι τρώγει κεφαλὴν προβάτου, εὑρήσει πλοῦτον ἀπροσδόκητον καὶ μακροζωΐαν.

Ἐὰν ἴδῃ τις ὅτι δίκην κριοῦ, προβάτου κέρατα ἐξεφύη ἐν τῇ κεφαλῇ αὐτοῦ· εὑρήσει ἀξίωμα, καὶ ἐχθρομαχίαν ἀναλόγως τῶν κεράτων.

Εἰ δὲ ἴδῃ ὅτι ἐκλάσθησαν, θλῖψιν δέξεται καὶ αἰσχύνην ἐν τῷ ἀξιώματι αὐτοῦ ἐνώπιον τοῦ λαοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγε πόδας προβάτου, εὑρήσει ὑγείαν καὶ πλοῦτον μέτριον.

Εἰ δὲ ἴδῃ ὅτι τρώγει λιπαρὰν μαγειρείαν, καὶ πίνει τοῦ ζωμοῦ· εὑρήσει αὔξησιν τοῦ πλούτου αὐτοῦ μετὰ φιλονεικίας, διὰ τὴν βρῶσιν.

Εἰ δὲ τρώγῃ ἧπαρ προβάτου, χρυσίον μέγιστον εὑρήσει.

Εἰ δὲ τρώγῃ μεμαγειρευμένον κρέας ψυχρανθὲν, ῥυπαρόν· ἄλλων ἀνθρώπων κόπον ἀκόπως ἀπολαύσει αὐτός.

Εἰ δὲ ἴδῃ ὅτι τρώγει οὐρὰν ἤτοι δουμάκιν, εὑρήσει χρυσίον ἀνάλογον τῆς βρώσεως. καὶ εἰ μὲν ἀπὸ κριοῦ ἐξ ἀνδρὸς μεγίστου· εἰ δὲ ἀμνάδος, ἀπὸ γυναικός.

Ἐὰν ἴδῃ τις ὅτι εὗρεν, ἢ ἦρεν ἄρνα· εὑρήσει τέκνον ποθητόν.

Εἰ δὲ ἴδῃ ὅτι κρέας ἀρνίου ἤσθιεν, εὑρήσει τέκνον ποθούμενον, καὶ εἰς ὑγείαν αὐτῷ ἔσται.

Εἰ δὲ ἴδῃ ὅτι ἄρνας πολλοὺς ἀγεληδὸν εὗρεν· εὑρήσει χαρὰν καὶ ἀγαλλίασιν ἀναλόγως τοῦ πλήθους.

Si iecur ouis comederit, ingentem vim auri conſequetur.

Si carnem coctam frigidam comederit, & ſordidam: aliorum labore ſine labore fruetur.

Si caudam edere viſus ſibi fuerit, aurum inueniet, quod manducationi reſpondebit. ac ſi quidem arietis cauda fuerit, aurum hoc ab ampliſſimo quodam viro conſequetur: ſin agnæ, à muliere.

Si agnum inueniſſe, vel accepiſſe, viſus ſibi fuerit: ſubolem optatam habebit.

Si carnem agninam ediſſe viſus ſibi fuerit, ſubolem optatam inueniet, bonámque ſibi valetudinem hoc ſomnio portendi ſciat.

Si gregatim plures agnos inueniſſe viſus ſibi fuerit, gaudio & exultatione beabitur, pro agnorum multitudine.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ διαφόρων βρωμάτων. σμγ΄.

ἘΑΝ τις ἴδῃ ὅτι ἤσθιεν ἄρτον θερμὸν ζέοντα· εὑρήσει πλοῦτον μετὰ κολάσεως ἀναλόγως, διὰ τὴν ἐκ τοῦ πυρὸς ἀνάγκην.

Εἰ δὲ ἄρτον ψυχρὸν μετὰ τυροῦ· εὑρήσει πλοῦτον καὶ καιρὸν ἀγαθὸν, ἀναλόγως τῆς βρώσεως.

Εἰ δὲ μετὰ γάλακτος, ἐνδοξοτέρα ἡ κρίσις καὶ πολυτελεστέρα, διὰ τὴν τοῦ βουτύρου βιαίαν ποίησιν.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγε φοίνικας, εὑρήσει ἀγαθὸν καὶ χαρὰν, καὶ πλοῦτον ἀπὸ μεγίστης γυναικός.

Εἰ δὲ ἔφαγε κηρίον μέλιτος ἀπὸ μελισσῶν· εὑρήσει οὐδὲν ἤλπιζε καὶ σοφὸς ἔσται, διὰ τὸ σοφὸν τοῦ ἔργου τῆς μελίσσης.

Εἰ δὲ ἴδῃ ὅτι ἔκλασεν τὸν μελισσῶνα, ἐλευθερίαν δούλοις ποιήσει· εἰ δὲ ἐστι δοῦλος, ἐλευθερωθήσεται· εἰ δὲ πτωχὸς, πλουτήσει.

De diuerſis cibis, Indorum, Perſarum, & Aegyptiorum rationes.

CAP. 243.

SI quis panem calidum, & feruentem adhuc, ediſſe viſus ſibi fuerit: opes cum cruciatu conſequetur, pro ipſius viſi ratione, propter ignis impedimentum.

Si panem frigidum, cum caſeo: diuitias & proſperitatem inueniet, pro modo manducationis.

Si cum lacte, ſignificatior & ſplendidior eſt interpretatio, propter violentam butyri confectionem.

Si palmulas ediſſe viſus ſibi fuerit, ab ampliſſima quadam fæmina proſperitatem, lætitiam, & opes conſequetur.

Si fauum mellis ederit, ea nanciſcetur, quæ nunquam ſperauerat: & ſapiens erit, propter eam, quæ apum ineſt operi, ſapientiam.

Si viſus ſibi fuerit apiarium fregiſſe, ſeruos emancipabit: ſin ipſemet ſeruus eſt, emancipabitur: ſi pauper, ditefcet.

Si fauum mellis adlatum sibi rex videre visus fuerit, de quo comederit: iucundos reditus, atque lætitiam de populo suo capiet. Nam interpretatio faui ad opus populi spectat.

Si videre visus fuerit, adlatum sibi fauum mellis, qui melle carebat, prouentus eius deficient.

Si quis sacharum edisse visus sibi fuerit, lætitiam peculiarem diuturnam inueniet, pro manducati sachari modo.

Si oliuas comederit, pro earum copia vitæ acerbitatem experietur.

Si pepones immaturos, in vita sua pro modo manducationis acerbitatem inueniet.

Si pepones maturos, in morbum incidet, propter eorum colorem.

Omnis itidem fructus citreum colorem referens, de morbo intelligitur.

Si pepones vulgares ederit, sanitatem inueniet.

Si anguria, diuitias infidas consequetur.

Si tetrangura, res amplior & magis certa portenditur.

Si pruna, terrorem & morbum, inque rebus vniuersis difficultatem inueniet.

Si quis ad palmam arborem venisse visus sibi fuerit, & fructum eius ad radicem collectum inuenisse, quem partim comederit, partim abstulerit: per scortationem respondentes fructui diuitias mulieris alicuius consequetur.

Si & aliis de hoc dedisse visus sibi fuerit, aliis quoque proderit.

Si de fico decerpsisse maturas ficus, visus sibi fuerit: ab opulento quodam homine consequetur aurum atque diuitias amplissimas, propter multitudinem granorum, quæ intra ficus sunt. Sin immaturas, ab eiusmodi viro litem atque rixam expectet.

Si poma comederit, prosperitatem inueniet, pro modo dulcedinis eorum.

Sin acida fuerint, in acerbum casum & morbum incidet.

Si pyra matura comederit, à duro quodam & amplissimo viro mediocre lucrum accipiet.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι προσήνεγκαν αὐτῷ κηρίον μέλιτος καὶ ἔφαγεν ἐξ αὐτοῦ· εἰσκομιδὰς γλυκείας, καὶ χαρὰν δέξεται ἐκ τοῦ λαοῦ αὐτοῦ. εἰς ἔργον γὰρ λαοῦ τὸ κηρίον ἐκρίθη.

Εἰ δὲ ἴδῃ ὅτι κηρίον μέλιτος ἤνεγκαν αὐτῷ καὶ ἦν κενὸν μέλιτος, αἱ εἰσκομιδαὶ αὐτοῦ εἰσιν ἐλλειπεῖς.

Εἰ δὲ ἴδῃ ὅτι ἤσθιε σάχαρ· εὑρήσει χαρὰν οἰκείαν πολυήμερον, ἀναλόγως τοῦ μέτρου αὐτοῦ.

Εἰ δὲ ἤσθιεν ἐλαίας, εὑρήσει πικρίαν ἐν τῇ ζωῇ αὐτοῦ ἀναλόγως.

* * * *

* * * * * *

Εἰ δὲ πέπονας ὡραίους, εὑρήσει νόσον, διὰ τὸ χρῶμα αὐτῶν.

Καὶ πᾶσα ὀπώρα κιτρινίζουσα, ταῦτα πάντα εἰς νόσον κρίνονται.

Εἰ δὲ πέπονας κοινούς, εὑρήσει ὑγείαν.

Εἰ δὲ ἀγγούρια, εὑρήσει πλοῦτον ἄπιστον.

Εἰ δὲ τετραγγούρια, μείζων ἡ κρίσις καὶ πιστοτέρα.

Εἰ δὲ προῦμνα, εὑρήσει φόβον καὶ νόσον καὶ δυσκολίαν ἐν πᾶσιν.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐλθὼν εἰς φοίνικας εὗρεν καρπὸν ἐν τῇ ῥίζῃ συνηγμένον, καὶ τὸ μὲν ἔτρωγε, τὸ δὲ ἦρεν· εὑρήσει πλοῦτον γυναικός, ἀνάλογον πορνείας τρόπῳ.

Εἰ δὲ ἴδῃ ὅτι ἔδωκε καὶ ἄλλοις, καὶ ἑτέρους ὠφελήσει.

Εἰ δὲ ἀπὸ συκῆς ἔτρυγα σῦκα, πέπειρα· εὑρήσει χρυσίον καὶ πλοῦτον ἀπὸ ἀνδρὸς πλουσίου πλεῖστον· διὰ τὸ πλῆθος τῶν ἔνδοθεν κοκκίδων τῶν σύκων. εἰ δ' ἄωρα εὑρήσει δίκην καὶ μάχην ἀπὸ τοιούτου ἀνδρός.

Εἰ δὲ ἤσθιε μῆλα, εὑρήσει ἀγαθὸν κατὰ τὴν γλυκύτητα τοῦ μήλου.

Εἰ δὲ ὀξώδη, εὑρήσει πικρίαν καὶ νόσον.

Εἰ δὲ ἀπίδια ὥριμα, ἀπὸ σκληροῦ καὶ μεγίστου κέρδος μέτριον εὑρήσει.

Εἰ δὲ κάρυα Ἰνδικὰ, ἀπὸ ξένων καὶ ἀλλοφύλων εὑρήσει χαρὰν καὶ πλοῦτον.

Εἰ δὲ ἴδῃ κάρυα κοινὰ, εὑρήσει κέρδος ἀπὸ ἀνθρώπου μεγίστου, καὶ κνιποῦ, μετὰ κόπου.

Εἰ δὲ ἴδῃ ὅτι τρώγει ἔλαιον, ἀποβαλεῖ θλῖψιν, καὶ εὑρήσει χαρὰν ἀνάλογον τῆς γλυκύτητος τοῦ ἐλαίου.

Εἰ δὲ ἐκθλίβει τὰς ἐλαίας πρὸς ἔλαιον· εὑρήσει ἀγαθὸν ἀναλόγως μετὰ κόπου.

Εἰ δὲ ἐσθίει πλακοῦντας, εὑρήσει ἀγαθὸν ἐπιθυμητικόν.

Εἰ δὲ τρώγει γλύκυσμα σαχαρικλωικὸν, τὸ λεγόμενον παλοῦδιν· εὑρήσει θλῖψιν, καὶ νόσον, διὰ τὸ χρῶμα καὶ τὸ πῦρ, ἀνάλογον τῆς βρώσεως.

Εἰ δὲ ἔφαγεν ἀνθρώπου κεφάλιον, εὑρήσει πλῆθος χρυσίου καὶ πλοῦτον ἐξ ἀδικίας.

Si nuces Indicas, ab extraneis & alienigenis gaudium atque diuitias consequetur.

Si nuces vulgares, lucrum ab homine maximo, eodémque parco, cum labore consequetur.

Si oleum comedere visus sibi fuerit, adflictione liberabitur, & lætitia potietur, quæ olei dulcedini respondebit.

Si quis oliuas expresserit, olei conficiundi caussa: pro expressi olei copia, prosperitatem cum labore consequetur.

Si placentas ederit, desiderabile bonum inueniet.

Si comederit sacharum cannarum, quod paludium vocant: in adflictionem & morbum incidet, propter eius colorem, & ignem: idque pro modo manducationis.

Si caput hominis ederit, auri diuitias consequetur, & opes ex iniustitia.

Ἐκ τῶν Περσῶν περὶ ὑποδημάτων, τζβίων, καὶ βρακίων. σμδ΄.

De calceis, & tibialibus, & braccis, ex Persarum & Aegyptiorum disciplina.

CAP. 244.

ΕΑΝ ἴδῃ τις ὅτι ἐφόρει ὑποδήματα νέα, εὑρήσει θλῖψιν καὶ δεσμόν.

Εἰ δὲ ἐξέβαλεν αὐτὰ, εἰ μὲν ἔστι δέσμιος ἀποβαλεῖ τὰ δεσμά· εἰ δὲ ἐν θλίψει ἢ μερίμνῃ, ἀποβαλεῖ ταῦτα.

Εἰ δὲ ἴδῃ ὅτι ἐσχίσθη τὰ συνήθη ὑποδήματα, εὑρήσει ἀδυναμίαν καὶ νόσον εἰς τοὺς δούλους αὐτοῦ.

Εἰ δὲ οὐκ ἔχει, εἰς τὴν ἐλπίδα καὶ τὸ ἔργον αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐκαύθη τὰ ὑποδήματα, ἀπολέσει τοὺς δούλους αὐτοῦ δι' ἐξουσιάζοντος.

Εἰ δὲ ἴδῃ τις ὅτι ἔβαλε τζβία νέα, εὑρήσει νέαν χαρὰν ἐν τῷ πλούτῳ αὐτοῦ, διὰ τὴν ἀπ' αὐτῶν σκέπην τῶν σκελῶν.

Εἰ δὲ ἴδῃ ὅτι ἐρυθρὰ ἦσαν τὰ τζβία· ἔσται ἡ χαρὰ δαψιλεστέρα.

SI quis calceos nouos gestare visus sibi fuerit, in adflictionem & vincula incidet.

Sin calceos istos abiecit, si vinctus est, è vinculis liberabitur: si in adflictione ac sollicitudine, curis illis soluetur.

Si calceos vsitatos fissos videre visus fuerit, in seruis suis imbecillitatem & morbum experietur.

Si seruos nullos habet, ad spem & negotia sua somnium referat.

Si calceos suos exustos videre visus fuerit, per principem seruos suos amittet.

Si quis induisse noua tibialia visus sibi fuerit, in opibus suis nouam voluptatem inueniet, idque propterea, quòd tibialibus crura tegantur.

Si videre visus fuerit, tibialia fuisse rubra: lætitia largior erit.

Si

Si lanea, diuitias citra laborem à principe consequetur, pro ipsius lanæ ratione.

Si de gossipio, & gomo: similiter à miti patrefamilias ditabitur.

Si de metaxa, minores erunt opes, sed splendidiores.

Si mulier visa sibi fuerit gestare tibialia, si quidem prægnas est, filium pariet.

Si tibialia quis amisisse visus sibi fuerit, maiorem diuitiarum suarum partem amittet, & in ærumnam ac paupertatem incidet.

Si caligas suas scissas videre visus fuerit, & morbum expectet, & opum caussa formidinem.

Si nouas braccas gestare visus sibi fuerit, domum nouam adquiret.

Si ruptas videre visus fuerit, *lubens sumptus faciet in domo suo, pro ratione rupturæ.*

Si idem viderit, erit etiam ærumna domi.

* *Si viderit incrassatus fuisse* sponte sua faciet expensas, & gaudium beatámque vitam consequetur in familia & coniuge sua.

Si eas amisisse visus sibi fuerit, adflictionem & vim experietur in domo sua. fortassis etiam ab vxore sua separabitur.

Si braccæ suæ zonam, siue cingulum nouum videre visus fuerit: nouum domus suæ custodem adquiret, zonæ pulchritudini respondentem.

Si vilem fuisse zonam hanc, videre visus fuerit: parum idoneus, & vilis erit domus suæ curator.

Si zonam scissam videre visus fuerit, ex eodem homine sollicitudinem & adflictionem inueniet.

Si ruptam, vel ablatam furto: per mortem ab eo separabitur.

Si mulier præter morem braccas viriles gestare visa sibi fuerit, si prægnas est, subolem masculam consequetur, per quam domus successionem & hæreditatem impetrabit: si grauida non est, lætitiæ mariti particeps erit.

Εἰ δὲ ἀπὸ ἐρείου καὶ ὁ γόμος αὐτῶν ἐστὶ, εὑρήσει πλοῦτον ἀκόπως ἀπὸ ἄρχοντος ἀναλόγως.

Εἰ δὲ ἀπὸ βάμακος, καὶ τοῦ γόμου· ὁμοίως πλουτήσει ἀπὸ ἀνθρώπου, πραέου, οἰκοδεσπότου.

Εἰ δὲ ἀπὸ μετάξης, ἐλάττων ὁ πλοῦτος, ἀλλ' ἐνδοξότερος.

Γυνὴ ἐὰν ἴδῃ ὅτι φορεῖ τούβια, εἰ μὲν ἐστὶν ἔγκυος, τέξει υἱόν· εἰ δὲ μὴ, ἐγκυμονήσει υἱόν.

Εἰ δὲ ἴδῃ τις ὅτι τὰ τούβια ἀπώλεσεν, ἀπολέσει τὸ πλέον τοῦ πλούτου αὐτοῦ, καὶ εἰς θλίψιν καὶ πτωχείαν ἥξει.

Εἰ δὲ ἴδῃ ὅτι ἐσχίσθη τὰ τούβια αὐτοῦ, νόσον ἑαυτοῦ, καὶ φόβον τοῦ χρυσίου προσδοκάτω.

Εἰ δὲ ἴδῃ ὅτι φορεῖν ἔφη βρακία, νέον οἶκον κτήσεται.

Εἰ δὲ ἴδῃ ὅτι ἐσχίσθησαν αὐτὰ, ἔξοδον ἑκούσιον ποιήσει ἐν τῷ οἴκῳ αὐτοῦ, ἀνάλογον τοῦ σχίσματος.

Εἰ δὲ ἴδῃ ὅτι ἐσχίσθησαν τὰ βρακία αὐτοῦ, ἔσται τὸ πάθος ἐν τῷ οἴκῳ αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐπαχύνθησαν αὐτά· ἔξοδον ἑκούσιον ποιήσει καὶ εὑρήσει χαρὰν καὶ εὐζωΐαν ἔν τε τῷ οἴκῳ καὶ τῇ γυναικὶ αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἀπώλεσεν αὐτὰ, θλίψιν καὶ βίαν ἴδῃ ἐν τῷ οἴκῳ αὐτοῦ· τάχα καὶ χωρισθήσεται τῆς γυναικός.

Εἰ δὲ ἴδῃ ὅτι ἡ ζώνη τοῦ βρακίου αὐτοῦ νέα ἦν· νέον φύλακα τοῦ οἴκου αὐτοῦ κτήσεται ἀναλόγως τοῦ κάλλους αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἡ ζώνη εὐτελὴς ἦν· ἀνίκανος, καὶ εὐτελὴς ἔσται ὁ κουράτωρ ἐν τῷ οἴκῳ αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐκόπη, εὑρήσει μέριμναν καὶ θλίψιν ἐξ αὐτοῦ.

Εἰ δὲ ἐχαώθη, ἢ ἐκλάπη· θανάτῳ χωρισθήσεται αὐτοῦ.

Γυνὴ ἐὰν ἴδῃ ὅτι ἐφόρει βρακία ἀνδρεῖα ἀσυνήθη, εἰ μὲν ἐστὶν ἔγκυος, εὑρήσει τέκνον ἄρσεν, δι' οὗ κληρονομήσει οἶκον· εἰ δὲ μὴ ἐγκυμονήσει, μετὰ ἀνδρὸς τῆς χαρᾶς.

Ἐκ τῶν Ἰνδῶν περὶ κινναμώμου. σμε΄.

Τὸ κιννάμωμον, εἰς ἐξουσίαν εὐγενῆ καὶ πικρὰν κρίνεται, διά τε τὸ δάκνον καὶ τὸ εὐῶδες αὐτοῦ.

Ἐὰν ἴδῃ τις κατ᾽ ὄναρ ὅτι ἐσθίει κιννάμωμον, εὑρήσει ἐξουσίαν καὶ φήμην καλὴν ἐξ ἑτέρου ἐξουσιάζοντος δυνατοῦ πικροῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἐχαρίσθη, ἢ ὠνήσατο, ἢ εὗρε κιννάμωμον· εὑρήσει χαρὰν καὶ πλοῦτον ἐκ τοῦ τοιούτου ἀνδρός.

Εἰ δὲ ἴδῃ ὅτι δένδρον κινναμώμου εὐπόρησεν ἐν ἀγρῷ, ἢ οἴκῳ αὐτοῦ· ὅπερ βασιλεῦσι μόνοις, ἢ ἐξουσιασταῖς θεωρεῖται, ἢ μέλλουσι βασιλεύειν. ἡ γὰρ κρίσις τοῦ αὐτοῦ δένδρου, εἰς μέγιστον δυνάστην, καὶ περιβόητον ἔσται· καὶ ὁ τοῦτο ἰδὼν πῶς ἂν εἴη τῶν εὐτελῶν, καὶ κοινῶν; διὰ τοῦτο ὁ ἰδὼν βασιλεὺς, ἢ ἐξουσιαστὴς μέγιστος ἔσται.

Εἰ δὲ ἴδῃ ὅτι ἐκ τοῦ καρποῦ αὐτοῦ ἐδίδου ἑτέρῳ, δώσει αὐτῷ ἐκ τοῦ πλούτου καὶ τῆς ἐξουσίας αὐτοῦ.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι ἐκτήσατο τοῦτο καὶ ἐκαλλιέργει αὐτὸ· συγγενῆ αὐτοῦ ἀγαπήσει, καὶ ὑψώσει.

Εἰ δὲ ἴδῃ ὅτι ἐξερρίζωσεν αὐτὸ, τοιοῦτον ἄνδρα ἐκριζώσει τῆς βασιλείας αὐτοῦ.

De cinamomo, ex Indorum rationibus. CAP. 245.

Cinamomum ad potestatem generosam & acerbam refertur, propter eius tum mordacitatem, tum fragrantiam.

Si quis in somnis edere cinamomum visus sibi fuerit, potestatem cum egregia fama consequetur ab alio quodam principe, qui & potens erit, & acerbus.

Si quis videre visus fuerit donatum sibi cinamomum, aut emptum ab se, aut repertum: ab huiusmodi viro gaudium & opes consequetur.

Si visus sibi fuerit habuisse cinamomi arborem in agro, vel domo sua: (quod visum regibus duntaxat, aut principibus, aut imperio potituris offertur. Nam arboris eius interpretatio maximum ad dynastam, & celeberrimum pertinet: & quî fieri possit, vt qui tale habuit somnium, humilis sit cōditionis, & plebeius?) rex erit, aut maxima cum potestate princeps.

Si de fructu eius alteri dedisse visus fuerit, cum illo diuitias & potestatem suam communicabit.

Si rex visus sibi fuerit arborem huiusmodi consequutus, quam excoluerit: cognatum quendam suum amore complectetur, & euehet.

Si cinamomum eradicasse visus sibi fuerit, eiusmodi virum è regia sua radicitus extirpabit.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων ὁμοίως. σμς΄.

Ἐὰν ἴδῃ τις ὅτι ἐσθίει κιννάμωμον, εὑρήσει ὕψος, καὶ ὄνομα καλὸν ἐν τῷ οἴκῳ αὐτοῦ, διὰ τὸ εὐωδεῖν δι᾽ αὐτοῦ τὸ στόμα.

Εἰ δὲ ἴδῃ ὅτι κιννάμωμον εὐπόρησεν, εὑρήσει πλοῦτον καὶ τέκνον εὐγενές.

Consimiliter ex Persarum & Aegyptiorum rationibus. CAP. 246.

Si quis edere cinamomum visus sibi fuerit, & eminentiam, & præclarum nomen in familia sua consequetur, propter oris fragrantiam.

Si visus sibi fuerit copiam cinamomi nanctus, opes cum subole generosa consequetur.

Si strenæ munerisque loco cinamomum accepisse visus sibi fuerit, è peregrina terra gaudio beabitur.

Si cinamomo vesci visus sibi fuerit, duram atque splendidam potestatem inueniet, pro modo manducationis.

Si ex eo factus fuit temulentus, prout hausit, opes inueniet.

Si rex adlatum sibi cinamomum videre visus fuerit, nuntium de peregrinis nationibus accipiet, ipsis quidem acerbum & ærumnosum, propter lacrumam: at regi lætitiæ & exultationis plenum, propter fragrantiam.

Si rex aliis cinamomum dare visus sibi fuerit, eos huiusmodi nuntio beabit.

De coronis, & vnionibus, & gemmis, ex Indorum disciplina.

CAP. 247.

Corona, regis ad personam pertinet: sertum, ad alterum à rege, vel ad hominis fidelis de fide testimonium.

Vniones, & magni pretij gemmæ, ad oracula diuina, & Dei cognitionem, & sapientiam diuinam, plerumque referuntur.

Si quis ergo coronam gestasse visus sibi fuerit, si regij generis est: imperio potietur.

Sin plebeius, & idoneorum tamen è numero, ad eminentiam perueniet, ac regi proximus, immò secundus erit à rege.

Si mulieri visum hoc oblatum fuerit, quæ maritum habet, & quidem idoneũ: regno potietur. Sin autem, perinde vt is de quo modo loquebamur, ad eminentem aliquam dignitatem euehetur, & marem procreabit.

Si quis videre visus fuerit, impositum capiti suo sertum, de pretiosis gemmis, & vnionibus cõfectum pro modo pulchritudinis serti, quicunque tandem fuerit, & opes inueniet, & eminentiam, & gloriã.

Εἰ δὲ ἴδῃ ὅτι ξένιον αὐτὸ ἔλαβεν, ἀπὸ ξένης γῆς δέξεται χαράν.

Εἰ δὲ ἴδῃ ὅτι οἶνον κιναμώμου ἔπιεν, εὑρήσει σκληρὰν καὶ ἔνδοξον ἐξουσίαν ἀναλόγως τῆς πόσεως.

Εἰ δὲ ἐμεθύσθη, εὑρήσει πλοῦτον.

Βασιλεὺς ἐὰν ἴδῃ ὅτι ἤνεγκαν αὐτῷ κινάμωμον, ἀπὸ ξένων ἐθνῶν μήνυμα δέξεται, ἐκείνοις μὲν, εἰς πικρίαν καὶ θλίψιν διὰ τὸ δάκρυον αὐτοῦ· ἑαυτῷ δὲ εἰς χαρὰν καὶ ἀγαλλίασιν, διὰ τὸ εὐῶδες.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι κινάμωμον δίδωσιν ἄλλοις, τοιοῦτον μήνυμα δώσει αὐτοῖς.

Ἐκ τῶν Ἰνδῶν περὶ στεμμάτων καὶ μαργαριτῶν καὶ λίθων. σμζ.

Τὸ στέμμα, εἰς πρόσωπον τοῦ βασιλέως καθόλου κρίνεται· ὁ δὲ στέφανος, εἰς δεύτερον ἀπὸ τοῦ βασιλέως, ἢ εἰς πιστοῦ ἀνδρὸς μαρτύριον τῆς πίστεως.

Οἱ μαργαρῖται, καὶ οἱ λίθοι τῶν τιμίων, εἰς θείους λόγους, καὶ θεόγνωσιν καὶ θεοσοφίαν ὡς ἐπὶ τὸ πολὺ διακρίνονται.

Ἐὰν οὖν ἴδῃ τις ὅτι στέμμα ἐφόρεσεν, εἰ μέν ἐστι γένους βασιλέως, βασιλεύσει.

Εἰ δὲ τοῦ κοινοῦ, καὶ τῶν ἐπιτηδείων, εὑρήσει ὕψος καὶ ἐγγύτητα βασιλέως, ἀπ' αὐτοῦ δεύτερος ὤν.

Γυνὴ ἐὰν ἴδῃ τοῦτο, καὶ ἔχει ἄνδρα τῶν ἐπιτηδείων, βασιλεύσει· εἰ δὲ μή, ὑψωθήσεται ὁμοίως τοῦ εἰρημένου, καὶ τέξει ἄρσεν.

Ἐὰν ἴδῃ τις ὅτι ἐπέθη ἐν τῇ κεφαλῇ αὐτοῦ στέφανος ἐκ τιμίων λίθων, καὶ μαργαριτῶν· ἀναλόγως τοῦ κόσμου καὶ τοῦ κάλλους τοῦ στεφάνου, ὅστις ἂν εἴη, εὑρήσει πλοῦτον, καὶ ὕψος, καὶ δόξαν.

Εἰ δὲ ἐστὶ τῶν πιστοτάτων καὶ εὐλαβῶν, ὑπὲρ Χριστοῦ μαρτυρήσει καὶ ὀνομαστὸς ἔσται.

Εἰ δὲ γυνὴ τοῦτο ἴδῃ, ἄνδρα ὑπὲρ ἐξουσίαν καὶ ὕψος καὶ δόξαν λήψεται· ὁ γὰρ στέφανος, ἀνὴρ τῆς γυναικός ἐστιν.

Ἐὰν ἴδῃ τις ὅτι εὗρεν, ἢ ἔλαβε παρά τινος μαργαρίτας, ἢ λίθους τῶν τιμίων· θείων ἐφευρεῖ λαμπρότητα δογμάτων, ἀναλόγως τῷ μεγέθους καὶ τῆς λαμπρότητος.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι ἐφόρεσε στέμμα λευκὸν ἐν μαργαρίταις ἐνώπιον τοῦ λαοῦ αὐτοῦ· εὑρήσει εὐπρέπειαν καὶ εὐσχημοσύνην πρὸς τὸν λαὸν αὐτοῦ καὶ κάλλος ἀνάλογον.

Εἰ δὲ ἦν ἐξ ἐρυθρῶν ἤτοι λυχνιτῶν· εὑρήσει χαρὰν εὐπρεπεστέραν καὶ φοβερώτερος ἔσται τοῖς ἐχθροῖς.

Εἰ δὲ ἐκ λίθων βενέτων, εὑρήσει διὰ τὸ χρῶμα ὕφεσιν καὶ μείωσιν τῆς βασιλείας αὐτοῦ.

Εἰ δὲ ἦν ἐκ πρασίνων λίθων, εὑρήσει ὑπέρφημον ὄνομα ἐν πᾶσιν, εἴς τε τὴν πίστιν καὶ τὴν βασιλείαν αὐτοῦ. τὸ γὰρ πράσινον χρῶμα τῶν τιμίων λίθων καθ' ὅλου εἰς πίστιν ὀρθὴν καὶ θεοσέβειαν κρίνεται.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἕτερον ἔλαβε στέμμα δεύτερον νεουργηθὲν· εὑρήσει τέκνον καὶ κληρονόμον, συμβασιλεύσει αὐτῷ.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι στέφει ἄλλον· εἰ μὲν τῶν συγγενῶν, βασιλεύσει αὐτόν· εἰ δὲ τῶν ἔξωθεν τοῦ γένους, εἰς κίνδυνον θανάτου ἀποβήσεται τῷ στεφθέντι.

Ὅσοι γὰρ φωραθῶσιν ἑαυτοὺς εἰς βασιλέας τιμῶντες, ἄξιοι θανάτου εἰσίν.

Εἰ δὲ ἴδῃ τις ὅτι ἀπὸ βασιλέως στέμμα λαβὼν ἐστέφθη· εἰ οὐκ ἔστι τῶν συγγενῶν τοῦ βασιλέως, ὑψωθήσεται ἐν δόξῃ καὶ κακῶς ἀπολεῖται· εἰ δὲ τῶν συγγενῶν ἐστι, βασιλεύσει.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι πόθῳ, ἢ τρόπῳ ἀφῃρέθη τὸ στέμμα αὐτοῦ παρά τινος γνωρίμου· δι' αὐτοῦ, ἢ ἑτέρου ἀπολεῖ τὴν βασιλείαν αὐτοῦ.

Si de fidelium & religiosorum numero est, pro Christo martyrium sustinebit, & celebris erit.

Si mulier huiusmodi somnium habuerit, homini potestate prædito nubet, ac gloriam inueniet. Quippe maritus est sertum atque corona mulieris.

Si quis accepisse visus sibi fuerit ab aliquo, vel inuenisse gemmas, aut vniones magni pretij: diuinorum dogmatum splendorem inueniet, pro modo magnitudinis & splendoris ipsarum gemmarum.

Si rex visus sibi fuerit in conspectu populi gestasse coronam cãdidam, ex vnionibus confectam: magnificentiam atque decorem erga populum suum inueniet, & venustatem coronæ respondentem.

Sin erat ea de rubri coloris gemmis, quas lychnitas vocant, confecta: gratiam atque gaudium splendidissimũ inueniet, magísque formidolosus hostibus erit.

Si de gemmis veneti coloris, deminutionem regni sui, propter eum colorem, experietur.

Si de prasini coloris gemmis, celebratissimum apud omnes nomen inueniet, tam fidei, quàm regni respectu. Nam prasinus gemmarum pretiosarum color, vniuersè de recta fide, ac religiosa in Deum pietate accipitur.

Si rex visus sibi fuerit accipere coronam aliam, recens confectam: filium & hæredem, regni futurum participem, consequetur.

Si rex alium quendã coronare visus sibi fuerit, si cognatus is regis est, regiã illi dignitatẽ tribuet: sin à familia regis alienus, mortis periculũ coronato portẽditur.

Quicunque depræhenduntur honores sibi regios vsurpare, mortem merentur.

Quòd si cui per quietem oblatum fuerit, quasi à rege accepta corona redimitus fuerit: si non est è numero cognatorum regis, ad insignem euehetur gloriam, & malè peribit: sin ex cognatis est, imperio potietur.

Si rex videre visus fuerit ademptam ab aliquo sibi noto coronam, ídque per amicitiæ speciem, vel fraude: per illũ ipsum, aut alium similem regnum amittet.

Si rex videre visus fuerit auctum & ornatum,& vniones, & gemmas purpuræ suæ, præter morem:in fide sua,& regno,splendorem inueniet, ac sublimitatem,& magnificentiam.

Sin ornatus ille, de quo diximus, aliqua sui parte deminutus fuerit: etiam fides,& regnum eius,imminuetur.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἐπληθύνθη ὁ κόσμος καὶ οἱ μαργαρῖται καὶ οἱ λίθοι τῆς ἁλουργίδος αὐτοῦ, πλέον τῆς συνηθείας, εὑρήσει ἔν τε τῇ πίστει καὶ τῇ βασιλείᾳ αὐτοῦ λαμπρότητα καὶ ὕψος καὶ εὐπρέπειαν.

Εἰ δὲ ἠλαττώθη, ὁ εἰρημένος κόσμος, ἠλαττωθήσεται ἡ πίστις καὶ ἡ βασιλεία αὐτοῦ.

De corona,& sertis, Persarum Aegyptiorúmque rationes.

CAP. 248.

SI quis coronam regiam gestare visus sibi fuerit, variè notis quibusdam gēmis & vnionibus insertis ornatam atque distinctam: quicunque somnium hoc habuerit, & regnum,& gloriam coronæ respondentem,inueniet.

Si gemmas & vniones instar inaurium de corona pendentes, videre visus fuerit, regnum obtinebit, quod gemmarum tum magnitudini,tum elegantiæ respondebit.

Si rex inaures huiusmodi, siue gemmas pensiles coronæ suæ, videre visus fuerit abscissas: regia ipsius aula perparum erit ornata, nec variis distincta coloribus.

Si rex coronam suam alteri dedisse,visus sibi fuerit:in consilio regio regnabit is qui coronam accepit.

Si deponendæ coronæ caussa, illi homini duntaxat eam porrexit: adprime regi familiaris erit is, cui corona fuerit oblata.

Si eam notæ mulieri dedit, siquidem Augusta est,regem pariet:sin alia,concubinæ illam loco habebit.

Sin ignotæ, tempus sanè prosperum rex inueniet, pro mulieris ipsius forma: quæ quidem si deformis fuerit,durum & aduersum tempus experietur.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ στέμματος καὶ στεφάνων. σμη.

ΕΑΝ ἴδῃ τις ὅτι ἐφόρεσε στέμμα βασιλικὸν γνωρίμως ἠμφιεσμένον καὶ πεποικιλμένον λίθοις καὶ μαργάροις· ὅς τις ἂν ᾖ ὁ ἰδών, εὑρήσει βασιλείαν, καὶ δόξαν ἀναλόγως τοῦ στέμματος.

Καὶ ἐὰν ἴδῃ ὅτι δίκην ἐνωτίων ἀπεκρέματο ἐν αὐτῷ, ἔσται ἡ βασιλεία αὐτοῦ κατὰ τὸ μῆκος καὶ τὸ κάλλος αὐτῶν.

Ἐὰν ἴδῃ τις βασιλεὺς ὅτι τὰ ἐνώτια ἤτοι τὰ κρεμαστάρια τοῦ στέμματος αὐτοῦ ἀπεκόπη· τὸ βασίλειον αὐτοῦ ὀλιγόκοσμον καὶ ὀλιγοχρόνιον ἔσται.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς, ὅτι τὸ στέμμα αὐτοῦ ἑτέρῳ δέδωκεν ἢ γυνὴ, εἰ μὲν πρὸς τὸ φορέσαι δέδωκεν αὐτῷ· βασιλεύσει ἐν βουλῇ αὐτοῦ ὁ λαβών.

Εἰ δὲ πρὸς ἀπόθεσιν τοῦ τόπου· αὐτὸς καὶ μόνος εὑρήσει ὁ λαβὼν οἰκειότητα προφανῆ ἐν αὐτῷ.

Εἰ δὲ γυναικὶ γνωρίμῃ, εἰ μὲν ἐστὶν αὐγοῦστα, τέξεται βασιλέα· εἰ δὲ ἑτέρα, τέξει αὐτὴν ὡς παλλακήν.

Εἰ δὲ ἀγνωρίστῳ, εὑρήσει ὁ βασιλεὺς χρόνον ἀγαθὸν ἀναλόγως τῆς ἰδέας αὐτῆς.

Εἰ δὲ ἴδῃ ὅτι δυσειδὴς ἦν, εὑρήσει σκληρὸν καὶ ἐναντίον.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι τὸ στέμμα αὐτοῦ πεσὸν ἐκλάσθη, ἢ διεσκορπίσθη ὁ κόσμος καὶ οἱ λίθοι αὐτοῦ· εἰς δυσκολίας καὶ ἐπιβουλὰς καὶ θλίψεις ἥξει, ἀλλὰ καὶ νικήσει αὐτοὺς διὰ τὴν ἐνδεχομένην συνάξιν τοῦ κόσμου καὶ ἀνακαινοποίησιν τοῦ στέμματος.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἕτερος ἦρεν αὐτὸ βίᾳ, ἢ ἐκλάπη, ἢ ἠφανίσθη· ἀποβαλὼν τὴν βασιλείαν τελευτήσει. οὐ γὰρ ἐνὸν ἀποβαλόντα τὴν βασιλείαν βασιλεῖ ζῆν ἔτι.

Ἡ χλαμὺς τοῦ βασιλέως, εἰς γυναῖκα αὐτοῦ κρίνεται, ἀλλὰ καὶ εἰς κόσμον καὶ εἰς χαρὰν αὐτοῦ.

Ἐὰν οὖν ἴδῃ ταύτην ὅτι ἐπληθύνθη ὁ κόσμος, καὶ οἱ μαργαρῖται αὐτῆς, καὶ οἱ λίθοι, χαρήσεται ἐν τῇ αὐγούσῃ, καὶ κοσμιώτερος ἔσται ἐνώπιον τοῦ λαοῦ.

Εἰ δὲ ἠλαττώθη, ἔσται τὸ πάθος ἐν τῇ αὐγούσῃ, καὶ τῷ κόσμῳ αὐτῆς.

Ὁμοίως καὶ ὁ βασίλειος χιτὼν, εἰς πρόσωπον αὐτοῦ κρίνεται.

Ἐὰν οὖν ἴδῃ ὅτι πλέον ὁ κόσμος καὶ τὸ βάρος τῶν μαργαριτῶν, καὶ λίθων αὐτοῦ ἦν· ἔσται ἡ βασιλεία αὐτοῦ κοσμιωτέρα, καὶ χαριεστέρα.

Εἰ δὲ ἠλαττώθη τοῦτο, καὶ οἱ μαργαρῖται καὶ οἱ λίθοι ἠχλυώθησαν καὶ ἐσμικρώθησαν· εὑρήσει ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐλάττωσιν, καὶ θλίψιν.

Εἰ δὲ ἴδῃ ὅτι ἐκ τῶν μεγιστάνων αὐτοῦ τις ἐκ τοῦ κόσμου αὐτοῦ ἐφόρεσε μέρος· χαρήσεται ὁ φορέσας ἐν τῷ ἀξιώματι αὐτοῦ, καὶ τὸ τέλος αὐτοῦ εἰς ἀπώλειαν ἔσται.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι μαργαρίτην ἕνα μέγιστον εὗρε τετιμημένον· εὑρήσει γυναῖκα ἀνάλογον τοῦ κάλλους αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἤνεγκαν αὐτῷ λίθους καὶ μαργαρίτας, ἀναλόγως τοῦ πλήθους χαρὰν δέξεται.

Ἄλλος ἐὰν ἴδῃ ταῦτα ὅτι εὐπόρησεν· εὑρήσει πλοῦτον ἀνάλογον, καὶ δόξαν καὶ φόβον ἀπὸ τοῦ βασιλέως· ταῦτα γὰρ βασιλεῖ μόνον ἁρμόζει.

Si rex videre visus fuerit coronam suā lapsam, & fractam, & ornatum illius atque gemmas dispersas: difficultates, insidias, adflictiones sentiet, quas tamen superabit, ídque propter eam caussam, quòd ornatus rursum colligi possit, & corona refici.

Si videre visus fuerit eam ab alio per vim ablatam, vel ademptam furto, vel ita deperditam, vt nusquam exstaret: amisso regno, viuendi finem faciet. Nec enim fieri potest, vt amisso regno, rex amplius viuat.

Regia chlamys ad coniugem regis refertur, itidémque ad ornatum & lætitiam ipsius.

Si ergo videre visus fuerit ornatum chlamydis suæ, & vniones eius, & gemmas auctas: *Lætabitur in Augusta, & elegantior erit coram populo.*

Sin hæc diminuta viderit ex Augusta, & ornatu eius, voluptatem capiet.

Similiter & regia tunica regis ad personam refertur.

Itaque si per quietem oblatum ei fuerit, quasi tunicæ maius ornamentum, & vnionum gemmarúmque pondus accesserit: regnum ipsius & ornatius, & elegantius erit.

Sin ornatus hic deminutus fuerit, & margaritæ ac gemmæ, *obscuræ*, inutiles exiléśque factæ: regnum eius & deminuetur, & adfligetur.

Si videre visus sibi fuerit quendam è magnatibus suis, qui partem ornatus regij gestaret: oblectationem ex dignitate sua capiet is qui ea gestabat, ac tandem misero interitu peribit.

Si rex visus sibi fuerit inuenisse margaritam vnam, maximi æstimatam: pro modo pulchritudinis eius, fæminam inueniet.

Si gemmas & margaritas adlatas sibi videre visus fuerit, pro earum multitudine gaudio potietur.

Si alij visum hoc oblatum fuerit, quasi rerum istarum magnam nanctus sit copiam: diuitias copiæ respondentes, & gloriam inueniet, cum metu regis. nam regi duntaxat ista conueniunt.

Si mulier huiusmodi somnium habuerit, quantum sanè gemmarum vel habuit, vel gestauit: tantundem & gloriæ lætitiæque cum marito suo inueniet.

Γυνὴ ἐὰν ἴδῃ τοῦτο ὅσον εὐπόρησεν ἢ ἐφόρεσεν εὑρήσει δόξαν καὶ χαρὰν μετὰ τοῦ ἀνδρὸς αὐτῆς.

De diuersis armarum speciebus, Persarum & Aegyptiorum interpretationes.

CAP. 249.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ διαφόρων εἰδῶν καὶ ἁρμάτων. σμθ'.

SI quis visus sibi fuerit, abluto corpore, vestem induisse: miseria liberabitur, & ad gaudium gloriámque perueniet, pro vestis ipsius elegantia.

Si videre visus fuerit collapsum domus suæ parietem, vxor eius morietur. Si vxore caret, curatorem domus amittet.

Si parietem rursus struxisse visus sibi fuerit, in horum loca succedent alij.

Si cui visum fuerit fores domus suæ cecidisse, secunda persona à domino morietur.

Si visum eidem fuerit se erexisse eas, ægrotabit ipsemet.

Si quis visus sibi fuerit colligere tela siue sagittas, hominibus ille mortem molietur.

Si quis sagittam emisisse visus sibi fuerit, aut à sagitta læsus: is qui tactus ab alio fuerit, morietur. si nõ fuerit mortuus, in difficultatem & cruciatum ingentem incidet.

Si quis ab aliquo visus sibi fuerit ensem duntaxat nudum accepisse, coniux eius morietur.

Sin theca salua est, ense rupto: filius ei morietur, vxore salua.

Si quis apostolicum de pilis cõfectum, vel sericum, gestare visus sibi fuerit: per vxorem suam prosperitate potietur.

Si visus sibi fuerit inuenisse vel accepisse sindonas siue lineas telas, aut simplicia stragula: pro eorum elegantia, mulierem inueniet.

ἘΆΝ ἴδῃ τις ὅτι ἀπελύθη καὶ ἐνέδυσεν ἱμάτια· ἀποδύσει θλίψιν καὶ εἰς χαρὰν καὶ δόξαν ἥξει κατὰ τὸ κάλλος τοῦ ἱματίου.

Ἐὰν ἴδῃ τις ὅτι ὁ τοῖχος τοῦ οἴκου αὐτοῦ ἔπεσεν· ἀποθανεῖται ἡ γυνὴ αὐτοῦ. εἰ δὲ οὐκ ἔχει, ὁ οἰκονόμος τοῦ οἴκου αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι πάλιν ἔκτισεν αὐτόν, ἄλλοι ἀντ' αὐτῶν ἥξουσιν.

Ἐὰν ἴδῃ τις ὅτι αἱ πύλαι τοῦ οἴκου αὐτοῦ ἔπεσον, τὸ δεύτερον πρόσωπον τὸ ἀπὸ τοῦ κυρίου ἀποθανεῖται.

Εἰ δὲ ἴδῃ ὅτι ὤρθωσεν αὐτάς, νοσήσει καὶ ὑβρισθήσεται αὐτό.

Ἐὰν ἴδῃ τις ὅτι συνάγει βέλη ἤτοι σαγίτας, κατὰ ἀνθρώπων θάνατον μελετήσει.

Ἐὰν ἴδῃ τις ὅτι ἐτόξευσεν, ἢ ἐτοξεύθη· ὁ ἀπ' αὐτοῦ ἀποθανεῖται. εἰ δ' οὐκ ἀπέθανεν, ἔσται εἰς ἀνάγκην μεγίστην καὶ τιμωρίαν ἥξει.

Ἐὰν ἴδῃ τις ὅτι ἔλαβεν παρά τινος σπάθην γυμνὴν μόνην, ἀποθανεῖται ἡ γυνὴ αὐτοῦ.

Εἰ δὲ σώζεται ἡ θήκη, ἡ σπάθη δὲ διεκλάσθη· ἀποθανεῖται ὁ υἱὸς αὐτοῦ καὶ σώζεται ἡ γυνὴ αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι φορεῖ ἀποστολικὸν χάσδιον, ἢ σηρικά· εὑρήσει ἀγαθὸν ἐν τῇ γυναικὶ αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔλαβεν, ἢ εὗρεν σινδόνας ἢ ἐν ἁπλῶν στρωμνῶν αὐτοῦ· εὑρήσει γυναῖκα ἀναλόγως τοῦ κάλλους αὐτῶν.

Εἰ δὲ ἴδῃ ὅτι εὐπόρησεν ἅρματα πολλά, καὶ ἔστι μέγιστος· ταῦτα ἀφοβίαν ἐχθρῶν νοείτω.

Εἰ δὲ ἔστι πτωχὸς ὁ ἰδών, πλουτήσει.

Ἐὰν ἴδῃ τις ὅτι εὗρεν ἢ εὐπόρησε θώρακα ἤτοι λωρίκιν· εὑρήσει χρυσίον καὶ πλοῦτον μετὰ τόλμης ἀφόβως.

Εἰ δὲ ἴδῃ ὅτι εὗρεν σπάθην καὶ ἐφόρεσεν αὐτήν· εὑρήσει ἐξουσίαν καὶ τέκνον.

Εἰ δὲ εὗρε τόξον τεταμένον· εὑρήσει ὁδὸν καὶ ὑποστροφὴν χαρίεσσαν.

Εἰ δὲ ἴδῃ ὅτι ἐκόπη ἡ νευρὰ αὐτοῦ· ἀποκοπήσεται τῆς ὁδοῦ αὐτοῦ, καὶ εὑρήσει θλίψιν.

Ἐὰν ἴδῃ ὅτι ἐκράτει βέλη καὶ τόξα· ἐπιχαρήσεται ἐπὶ τοῖς ἐχθροῖς αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι τὸ τόξον αὐτοῦ ἐκλάσθη· εὑρήσει φόβον ἐχθρῶν καὶ νόσον τῆς γυναικός, ἴσως καὶ θάνατον.

Ἐὰν ἴδῃ τις ὅτι ἔλαβε παρά τινος σπάθην, ἢ μάχαιραν ἢ ἔργον ἀπὸ σιδήρου τέμνον, ἢ μὴ τέμνον, ἢ σίδηρον ἀργόν· εἰ μὲν ἔστι πλούσιος, πλέον πλουτήσει· εἰ δὲ πτωχός, πλουτήσει ἀναλόγως οὗ ἔλαβεν.

Ἐὰν ἴδῃ τις ὅτι εἴληφε δόρυ, εὑρήσει φήμην μεγίστην καὶ τέκνον ἀναλόγως τοῦ δόρατος.

Εἰ δὲ ἴδῃ ὅτι ἦρεν αὐτό τις, ἀπολέσει τὴν φήμην αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἔλαβε μανικλάβια δῶρον, λαμβάνει ἐξουσίαν.

Εἰ δὲ ἤρθη ἀπ' αὐτοῦ καὶ ἔστιν ἐξουσιάζων· ἀπολέσει τὴν ἐξουσίαν αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἐκόπη τὸ μανικλάβιον αὐτοῦ· εὑρήσει θλίψιν ἐν τῇ ἐξουσίᾳ αὐτοῦ ἀναλόγον τοῦ μήκους τῆς κοπῆς.

Ἐὰν ἴδῃ τις ὅτι εὗρε χαρζάνιον, εὑρήσει ἐξουσίαν ἐλάττονα τοῦ μανικλαβίου, καὶ ὁμοίως τῆς ἐν ἐκείνῳ κρίσεως καὶ ἡ τούτου.

Si magnam armorum copiam habere visus sibi fuerit, & vir amplissimus est: ea de securitate ab hostibus intelligat.

Si pauper est, qui tale somnium habuit, ditescet.

Si quis inuenisse, vel habere thoracem siue loricam, visus sibi fuerit: aurum & opes intrepidè, summa cum audacia consequetur.

Si gladium inuenisse visus sibi fuerit, quem & gestauerit: & potestatem, & filium consequetur.

Si arcum tensum reperit, iter quoddam suscipiet, ac feliciter eo confecto reuertetur.

Si neruum eius incisum videre visus fuerit, ab itinere suo repelletur, & in ærumnam incidet.

Si tela cum arcubus tenuisse visus sibi fuerit, cum gaudio suis hostibus insultabit.

Si arcum suum fractum videre visus fuerit, & ab hostibus formidinem, & vxoris suæ morbum, fortassis & mortem illius expectet.

Si quis ab aliquo gladium, vel cultrum, vel è ferro confectum aliquid, siue scindat siue non scindat, vel rude ferrum accepisse visus sibi fuerit: si quidem opulentus est, magis ditescet: sin pauper, & ipse maiores adquiret opes, pro illius modo atque copia quod accepit.

Si quis hastam accepisse visus sibi fuerit, & amplissima fama potietur, & filio: pro hastæ magnitudine.

Sin hastam ab aliquo sublatam ademptámque videre visus fuerit, existimationem & famam perdet.

Si quis accepisse dono manclauia visus sibi fuerit, potestatem consequitur.

Sin ademptum ei manclauium fuerit, & ipse cum potestate est, potestatem suam amittet.

Si per quietem videre visus fuerit, quasi manclauium ipsius scinderetur: experietur adflictionem in potestate sua, prout latè scissum manclauium fuerit.

Si quis inuenisse charzanium visus sibi fuerit, potestatem ea minorem inueniet quæ per manclauium portenditur: & eiusdem cum illo interpretationis.

Si

Si autem virgam, inueniet potestatem ab homine, respondentem ligno virgæ.

Sed si viderit eam fractam, perdet dominatum.

Si viderit se ense feriisse aliquem: si quidem in potestate est, inueniet qui ictus est aliquid à potēte pro ratione incisionis.

Sed si nihil incisum viderit, reperiet autoritatem ab eo, beneficiúmque, pro facultatibus ipsius.

Si mulier viderit se inuenisse gladium, aut hastam, aut clypeum, aut tela, pariet masculum. Si verò maritum non habet, nubet & pariet filium.

Si qua viderit se reperisse colum aut fusum aut acum, pariet filiam.

Εἰ δὲ εὗρε βεργίον, εὑρήσει ἐξουσίαν ἀπὸ ἀνδρὸς, ἀνάλογον τῷ ξύλου τοῦ βεργίου.

Εἰ δὲ ἴδῃ ὅτι ἐκλάσθη, ἀπολέσει αὐτήν.

Ἐὰν ἴδῃ τις ὅτι ἔδωκέ τινα σπαθέαν· εἰ μὲν ἔστιν ἐξουσιαστὴς, εὑρήσει ὁ λαβὼν ἀπὸ τῆς ἐξουσίας αὐτοῦ ἀναλόγως τῆς τομῆς.

Εἰ δὲ ἴδῃ ὅτι οὐκ ἔστι τομὴ, εὑρήσει ἐξουσίαν ἐξ αὐτοῦ καὶ χάριν ἀνάλογον τῆς εὐπορείας αὐτοῦ.

Γυνὴ ἐὰν ἴδῃ ὅτι εὗρε σπάθην, ἢ δόρυ, ἢ ἀσπίδα, ἢ βέλη, τέξεται ἄρσεν· εἰ δ' ἄνδρα οὐκ ἔχει λήψεται, καὶ τέξει υἱόν.

Γυνὴ ἐὰν ἴδῃ ὅτι εὗρεν ἄτρακτον ἢ σπονδύλιζ ἢ βελόνην, τέξει θυγατέρα.

Ex Persarum disciplina de speculo. CAP. 250.

SI cui visum fuerit, se inuenisse speculum, & in id intueri, fratrem inueniet ob similitudinem visæ formæ, pro ratione pulchritudinis speculi.

[Si qua macula speculū aspersum fuerit,] frater eius qui vidit, dedecus inueniet: vel si fratre caruerit, amicus maior.

Si viderit se purgasse speculum, admonitione vtetur, & fratris aut amici ignominiā delebit.

Si viderit fractum esse speculum, aut furto surreptum, aut vastatum, remouebit, infamiam à suis fato functis.

Si viderit se aliud reperisse quàm suum: seruabitur, aut alios inueniet.

Ἐκ τῶν Περσῶν, περὶ ἐσόπτρου. σν'.

ἘΑ'Ν ἴδῃ τις ὅτι εὗρεν ἔσοπτρον καὶ ἐσοπτρίζετο, εὑρήσει ἀδελφὸν διὰ τὴν ὁμοιότητα τῆς θεωρίας, ἀνάλογον τοῦ κάλλους τοῦ ἐσόπτρου.

Εὑρήσει ὁ ἀδελφὸς τοῦ ἰδόντος αἰσχύνην, ἢ ἂν οὐκ ἔχει ἀδελφὸν, ὁ φίλος ὁ μείζων.

Εἰ δὲ ἴδῃ ὅτι ἐκαθάρισεν αὐτὸ· νουθετήσει καὶ καθαρίσει τοῦ ἀδελφοῦ, ἢ τοῦ φίλου αἰσχύνην.

Εἰ δὲ ἴδῃ ὅτι ἐκλάσθη, ἢ ἐκλάπη, ἢ ἐχάθη· χωρίζεται αὐτὴν ἀπὸ θνησκόντων αὐτῶν.

Εἰ δὲ ἴδῃ ὅτι ἕτερον εὗρεν ἢ αὐτὸ, σωθήσεται ἢ ἑτέρους εὑρήσει.

Ex Aegyptiorum doctrina, de saccaro. CAP. 251.

Ἐκ τῶν Αἰγυπτίων περὶ σαχάρεως. σνα'.

ἘΑΝ ἴδῃ τις ὅτι τρώγει σάκχαρ, εὑρήσει χαρὰν καὶ πλοῦτον ἡδύν.

Εἰ δὲ ἴδῃ ὅτι τρώγει σάκχαρ πλακοῦντας, εὑρήσει ἀγαθὰς ἡμέρας κατὰ τὸ μέτρον τῶν πλακούντων.

Εἰ δὲ ἔφαγεν ἕνα· εὑρήσει ἡμέραν μίαν, ἢ μῆνα, ἢ ἐνιαυτὸν ἀγαθόν.

Εἰ δὲ ἴδῃ δύο, ἢ πλείονα· ὁμοίως ἀναλόγως.

Εἰ δὲ ἴδῃ ὅτι τεθρυμμένως ἔφαγε σάκχαρ· εὑρήσει πλοῦτον μακρῶν καὶ πλείστων ἡμερῶν.

Εἰ δὲ ἴδῃ ὅτι καὶ ἄλλοις ἔδωκεν ἐξ αὐτοῦ· ἀγαθοποιήσει καὶ ἑτέροις.

Εἰ δὲ ἴδῃ ὅτι ἐλύθη ἐν ὕδατι τὸ σάκχαρ αὐτοῦ, εὑρήσει θλῖψιν ἐν τῷ πλούτῳ αὐτοῦ, καὶ ἐναντίωσιν.

Εἰ δὲ ἴδῃ ὅτι ἐβάστασε πλεῖστον σάκχαρ ἐν τῷ οἴκῳ αὐτοῦ· εὑρήσει πλοῦτον πολύν, ἀκόπως καὶ ἀμερίμνως.

Εἰ δ' ἐρογεύσει * σάκχαρ πτωχοῖς, λόγῳ καὶ ἔργῳ νουθετήσει καὶ διδάξει ἀνθρώπους.

SI quis videat se comedere saccharum, inueniet gaudium & opes iucundas.

Si sacchar o conditas placentas, inueniet dies bonas pro modo placentarum.

Si vnam tantum comederit, inueniet diem vnum, aut mensem, aut annum bonum.

Si duos viderit aut plures, itidem pro numero.

Si delicatè comederit saccharum, inueniet opes amplas, & ad multos dies.

Si aliis quoque id impertitus fuerit, benigne etiam faciet aliis.

Si visum fuerit saccharum suum aqua solutum: inueniet ærumnam in opulentia sua, & repugnantiam.

Si viderit se gestare multum sacchari in ædibus suis: nanciscetur opes multas, sine vllo labore & cura.

Si eroget saccharum mendicis, dictis & factis emendabit instruetque homines.

Ἐκ τῶν Περσῶν περὶ ὠῶν. σνβ'.

Ex Persarum institutis de ouis.

CAP. 252.

ἘΑΝ ἴδῃ τις ὅτι τρώγει ὠὰ ἑψητά, εὑρήσει πλοῦτον ἀπὸ κόπων δούλων, ἀναλόγως ὧν ἔφαγεν· ἡ γὰρ ὄρνις, εἰς δούλης πρόσωπον ἐστίν.

Εἰ δὲ ὠμὰ ἐρρόφησεν αὐτά· εὑρήσει θλῖψιν καὶ ἀγανάκτησιν ἀπὸ δούλης.

Εἰ δὲ ἐσθίει ὠὰ πέρδικος· εὑρήσει πλοῦτον ἀπὸ γυναικὸς εὐειδοῦς· εἰς ταύτην γὰρ ἡ κρίσις τοῦ πέρδικος.

Εἰ δὲ χήνεια, ἀπὸ γυναικὸς πολυπλούτου καὶ ἀκάκου κερδήσει.

Εἰ δὲ ἴδῃ ὅτι ἀπώλεσεν ἐκ πάντων τῶν εἰρημένων ὠά, ἀπολεῖ πλοῦτον ἐκ τῶν εἰρημένων κρίσεων. πολλάκις τὰ ὠὰ εἰς πρόσωπον δούλων κεῖνονται ἀνήλικον.*

SI quis viderit se comedere oua cocta, inueniet opes è laboribus seruilibus, pro ratione eorum quæ comederit: gallina enim ad ancillæ personam pertinet.

Si verò cruda sorpserit, reperiet afflictionem & indignationem à serua.

Si comedit oua perdicis, diuitias inueniet à muliere formosa: ad hanc enim iudicium perdicis refertur.

Si oua anserina, à muliere opulenta & minime mala ditabitur.

Si viderit se amisisse ouum ex genere eorum quæ dicta sunt, iacturam faciet opum iuxta prædictorum iudicium. Sæpe numero oua referuntur ad seruilium personarum florentem ætatem.

Ex Persarum disciplina de caseo.

CAP. 253.

SI viderit aliquis se comedere recentem caseum, reperiet bonum pro ratione comesti casei.

Si comedit aridum caseum, inueniet malum eadem proportione.

Si caseum cum nucibus mundatis, reperiet minores opes cum offensione.

Si caseus ouium recens aut siccus fuerit, bonum aut malum erit à mulieribus.

Si bubulus recens aut aridus, bonum erit ad annum malum: siquidem bouis iudicium ad annum spectat.

Ex Persarum institutis de cantibus, & saltationibus, tibia & cithara. CAP. 254.

SI quis sibi visus fuerit canere lætitiæ causa, aut saltare, aut tibiis canere, aut cithara ludere, inueniet eo loci fletum & ærumnam.

Si vero pronuntiet aut canat solus, suaui voce, inueniet mandatum iucundum, quisquis fuerit qui viderit.

Firmius autem id erit si alium canentem audiuerit.

Rex aut vir maximus si idem viderit, pro ratione suauitatis decretum faciet, & lætabitur populus.

Si vero iniucundè cecinerit, displicebit populo.

Si viderit quis se lyra canere, ad alterius saltationem, sermones instituet ad luctum.

Si audiuerit cithara ludentem, audiet lamenta.

Si fidibus canat & solus, nuntium malum audiet pro dulcedine vocis.

Ἐκ τῶν Περσῶν, περὶ τυροῦ. σνγ΄.

ἘΑΝ ἴδῃ τις ὅτι τρώγει τυρὸν χλωρὸν, εὑρήσει ἀγαθὸν ἀναλόγως οὗ ἔφαγεν.

Εἰ δὲ τρώγει ξηρὸν τυρὸν, εὑρήσει πονηρὸν ἀνάλογον.

Εἰ δὲ τυρὸν μετὰ καρύων κεκαθαρισμένων, εὑρήσει ἐλάττονα πλοῦτον μετὰ ἀγανακτήσεως.

Ἐὰν ἐστὶν ὁ τυρὸς προβάτων χλωρὸς ἢ ξηρὸς, ἔσται ἀγαθὸν ἢ πονηρὸν παρὰ γυναικῶν.

Εἰ δὲ βοῶν χλωρὸς ἢ ξηρὸς, ἔσται τὸ ἀγαθὸν εἰς πονηρὸν ἐνιαυτόν· εἰς ἐνιαυτὸν γὰρ ἡ κρίσις τοῦ βοός.

Ἐκ τῶν Περσῶν, περὶ ᾀσμάτων καὶ ὀρχημάτων, αὐλήσεως καὶ κιθάρας. σνδ΄.

ἘΑΝ ἴδῃ τις ὅτι χαρᾶς ἕνεκεν ᾖδεν, ἢ ὠρχεῖτο, ἢ ηὔλει, ἢ ἐκιθάριζε, εὑρήσει ἐν τῷ τόπῳ ἐκείνῳ κλαυθμὸν καὶ θλίψιν.

Εἰ δὲ ἐτραγώδει καὶ μόνον αὐτὸς ἢ ἄλλος ἡδυφώνως, εὑρήσει μανδάτον ἡδὺ, ὅστις ἂν ᾖ ὁ ἰδών.

Βεβαιότερον δὲ ἐὰν ἤκουε παρὰ ἄλλου.

Βασιλεὺς ἢ μέγιστος ἐὰν ἴδῃ τοῦτο, ἀναλόγως τῆς ἡδύτητος, δόγμα ἐνθήσει, καὶ εὐφρανθήσεται ὁ λαός.

Εἰ δὲ ἀειδῶς ᾖδε, δυσφρανθήσεται ἐνώπιον λαοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἐκιθάριζε πρὸς ὄρχησιν ἑτέρου, λόγους κινήσει εἰς κλαυθμόν.

Εἰ δὲ ἤκουσε κιθαρίζοντος, ἀκούσει ὀδυρμούς.

Εἰ δὲ ἐκιθαρώδει καὶ μόνον, μήνυμα κακὸν ἀκούσει κατὰ τὴν ἡδύτητα τῆς φωνῆς.

Ἐκ τῶν Περσῶν περὶ ἀμπελώνων φυτείας καὶ ἑτέρων. σνέ.

Ἐὰν ἴδῃ τις ὅτι ἐφύτευσεν ἀμπελῶνα, εὑρήσει πλοῦτον καὶ εὐγένειαν καὶ ἐξουσίαν κτήσεται διὰ τὸν οἶνον, ἀλλὰ βραδέως.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐξερίζου αὐτὸν, ἀπολεῖ τὸν πλοῦτον καὶ τὴν ἐξουσίαν αὐτοῦ, καὶ πτωχεύσει.

Ἐκ τῶν Ἰνδῶν περὶ λειμώνων παλατίων. σνϛ'.

Ἐὰν ἴδῃ τις ὅτι ἔχει ἴδια παλάτια ἐν μέσῳ λειμώνων καὶ ποταμῶν καὶ ἐκυνήγει ἐν αὐτοῖς, τοῦτο εἰς σῶμα αὐτοῦ κρινέτω.

Εἰ δὲ ἴδῃ ὅτι εἰσῆλθε καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ, ἀπὸ τῆς ἀγαθῆς αὐτοῦ πίστεως μεταστραφήσεται.

Εἰ δὲ ἴδῃ ὅτι ἔφαγεν ἐκ τῶν καρπῶν τῶν δένδρων αὐτῶν· εὑρήσει ἀγαθὸν καὶ ἔνθεν κἀκεῖθεν.

Ἐὰν ἴδῃ τις ὅτι φοίνικα μακρὸν ἐθεώρει ἔχοντα μικρὰ κυκλοφοινίκια δένδρα, εὑρήσει εὐγενεστάτην γυναῖκα μετὰ τῆς φαμιλίας αὐτῆς· καὶ ἐξ αὐτῆς πάθη χαρὰν.

Εἰ δὲ ἴδῃ ὅτι ἐκρίζουσιν ἄλλοι φοίνικας ἰδίως, ἢ ἑτέρους πολλούς· εἰς θάνατον ταῦτα κρινέτω εὐγενῶν γυναικῶν καὶ σοφῶν ἀνδρῶν.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ χαράγματος χρυσοῦ, ἀργυροῦ καὶ χαλκοῦ. σνζ.

Ex Persarum doctrina devitium plantatione & aliis.

CAP. 255.

SI cui visum fuerit se vitem plantauisse, inueniet diuitias, & nobilitatem & potētiam comparabit propter vinum, sed tardè.

Si viderit quis se eradicare vitem, amittet opes & autoritatem suam, atque inops fiet.

Ex Indorum doctrina de pratis & palatiis.

CAP. 256.

SI viderit quis se habere palatia in medio pratorum & fluuiorum, & venatum esse in ipsis: hoc ad corpus ipsius attinet.

Si viderit se ingressum & egressum ex eodem loco, à bona fide sua dimouebitur.

Si quis comederit ex fructibus arborum ipsarum, reperiet bonum hinc inde.

Si viderit quis se palmam proceram intueri habentem palmulas minores in circuitu, inueniet nobilissimā mulierem cum familia ipsius, ex eáque percipiet iucunditatem.

Si viderit alios palmas eradicare priuatim, aut alias multas, hæc ad mortem nobilium mulierum & sapientum virorum referantur.

Ex Indorum, Persarum, & Aegyptiorum documentis de nummis, auri, argenti & æris.

CAP. 257.

SI cui visum sit in somniis se reperisse aut accepisse ab aliquo nummos, inueniet apud subditos & familiares suos curam & aerumnam, pro ratione nummorum valoris & numeri.

Si viderit se aliis dare nummos, alij etiam participes erunt doloris sui.

Si viderit se vnum inuenisse duos ve, conspiciet personam optatam ad quam referũtur.

Quod si plures duobus reperiat, hec cogitet ad indicium solicitudinis & aerumnae praedictae; potentiam vindicem aliorum & exitum suum ad periculum & perniciem pertinere.

Si quis inuenerit nummum aereum aut acceperit ab aliquo noto, sermones asperi excitabuntur inter ipsos.

Si viderit se multitudinẽ nummorum inuenisse aut accepisse ab aliquo in vase quodam, aut tulerit ipsos non tactos in vasculo, pro ratione grauitatis inueniet opes & gaudium.

Si autem rex viderit se dedisse alteri nummum aureum, premet ipsum pro ratione doni.

Sin autem viderit se dedisse nummos aereos, durum statutum faciet in ipso.

Similiter si viderit quis haec se accepisse à Rege, idem indicium expectet in seipso.

Si viderit se aereos nummos cudere, si quidem est plebeius, iudex erit: sin autem eruditus, fictor erit verborum.

Si ex eo genere hominum non fuerit, calumniator erit & contentiosus.

Si viderit hos nummos habens se amittere, si quidem litem habuerit, cadet causa: sin minus, inueniet afflictionem, & citò liberabitur.

Si viderit quis se inuenisse minuta aeris, inueniet rixas & lites & aerumnas pro ratione minutorum.

Si viderit se reperisse copiam numulorum in vasculo aut aliis impertitus fuerit ex iis, inueniet morbum & praelium inter amicos & priuatos, pro ratione minutae monetae.

In genere, numuli ad pugnas & lites spectant.

ΕΑ'Ν τις ἴδῃ κατ' ὄναρ ὅτι εὗρεν ἢ εἴληφε παρά τινος νομίσματα· εὑρήσει ἐν τοῖς ὑποχειρίοις καὶ οἰκειακοῖς αὐτοῦ μερίμνας καὶ θλῖψιν ἐπὶ τοσοῦτον, ὅσον ἡ τῶν νομισμάτων λαμπρότης ἦν καὶ τὸ πλῆθος.

Ἐὰν ἴδῃ τις ὅτι ἄλλοις ἐδίδου νομίσματα, καὶ ἄλλοι κοινωνήσονται τοῦ πάθους αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε νόμισμα ἓν ἢ δύο, θέα, πρόσωπα κρίνεται ποθουμένου.

Τὰ δὲ ὑπὲρ τὰ δύο εὑρήματα, τοῦτο νοείτω κρίσιν μεριμνῶν θλίψεων εἰρημένων· ἐξουσίαν τιμωρητικὴν ἑτέρων καὶ τέλος αὐτοῦ, εἰς κίνδυνον καὶ ἀπώλειαν.

Ἐὰν ἴδῃ τις ὅτι εὗρεν μιλιαρίσια ἢ ἔλαβε παρά τινος γνωρίμου, λόγοι σκληροὶ κινηθήσονται ἐν μέσῳ αὐτῶν.

Εἰ δὲ ἴδῃ ὅτι πλῆθος εὗρεν ἐξ αὐτῶν, ἢ ἔλαβε παρά τινος ἐν ἀγγείῳ τινὶ, ἢ ἦρεν αὐτὰ ἀψηλαφήτως ἐν τῷ ἄγγει, ἀναλόγως τοῦ βάρους εὑρήσει πλοῦτον καὶ χαράν.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι ἔδωκεν ἑτέρῳ χαράγματος χρυσοῦ· θλίψει αὐτὸν ἀναλόγως τῆς δόσεως.

Εἰ δὲ ἴδῃ ὅτι ἔδωκεν αὐτῷ μιλιαρίσια, διάταξιν σκληρὰν ποιήσει ἐν αὐτῷ.

Ὁμοίως ἐὰν ἴδῃ τις ὅτι ἔλαβε ταῦτα παρὰ τοῦ βασιλέως, ταύτην τὴν κρίσιν προσδοκάτω ἐν ἑαυτῷ.

Ἐὰν ἴδῃ τις ὅτι χαράσσει μιλιαρίσια, εἰ μὲν ἐστὶ τῶν ἐπιτηδείων, κριτὴς ἔσται· εἰ δὲ ἐστὶ γνωστικὸς, ποιητὴς ἔσται λόγων.

Εἰ δὲ μὴ ταῦτα ἐστὶ, διαβολεὺς ἔσται καὶ λογομάχος.

Εἰ δὲ ἴδῃ τις ὅτι ταῦτα ἔχων ἐχάωσεν· εἰ μὲν ἔχει δίκην, ἡττᾶται· εἰ δὲ μὴ, εὑρήσει θλῖψιν, καὶ λυτροῦται ταχέως.

Ἐὰν ἴδῃ τις ὅτι εὗρε φολεῖς· εὑρήσει μάχας τε δίκας τε θλίψεις ἀναλόγως τῶν φολῶν.

Εἰ δὲ ἴδῃ τις ὅτι εὗρε πλῆθος φολῶν ἐν ἀγγείῳ, ἢ ἐδίδου αὐτοῦ ἑτέροις, εὑρήσει νόσον καὶ μάχην ἐν φίλοις τε ἰδίοις αὐτοῦ ἀναλόγως.

Καθόλου αἱ φολεῖς εἰς μάχας καὶ δίκας κρίνονται.

Τοῦ αὐτοῦ, περὶ κοσμίων φορουμένων καὶ ἑτέρων διαφόρων ἀπὸ χρυσοῦ, ἀργυροῦ καὶ λίθων καὶ μαργαριτῶν εἰς τὸ μανιακόν. σνή.

ΕΑΝ ἴδῃ τις ὅτι ἐφόρει μανιάκι ἀπὸ λίθων καὶ μαργαριτῶν, εὑρήσει ἀξίωμα ὑπερέχον εἰς διοίκησιν λαοῦ, καὶ καλῶς διοικήσει αὐτόν.

Εἰ δὲ ἴδῃ ὅτι ἀπώλεσεν αὐτὸ, ἢ ὅτι ἐκλάσθη, ἀπολέσει τὴν ἀξίαν αὐτοῦ.

Ἐὰν ἴδῃ ὅτι οἱ λίθοι καὶ οἱ μαργαρῖται ὑφειλήφθησαν* ἀπ' αὐτοῦ, κακοπραγήσει ἐν τῷ λαῷ αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἐφόρει ἐν τῷ στήθει αὐτοῦ ὡς χρῶμα χρυσοῦν· εὑρήσει θλῖψιν καὶ στένωσιν καὶ νόσον.

Εἰ δὲ ἴδῃ ὅτι ἐφόρει ἐνώτια, εὑρήσει εὐμορφίαν μετ' ἐξουσίας, καὶ γεννήσει θυγατέρα, διὰ τὰ ὦτα.

Εἰ δὲ ἴδῃ ὅτι ἐφόρει ζώνην ἀπὸ χρυσοῦ καὶ λίθων καὶ μαργάρων, ἤτοι λῶρον· εὑρήσει ἐν τῷ μέσῳ τῆς ζωῆς αὐτοῦ, ἐξουσίαν μεγίστην καὶ ὄνομα μέγιστον καὶ τέκνον ἄρσεν εἰς εὐγένειαν αὐτοῦ.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐχαρίσθη παρά τινος ἐξ ἀργυροῦ, ἔργα διάφορα πλεῖστα, πιστευθήσεται μυστήριον καὶ εὑρήσει ἐξουσίαν καὶ πλοῦτον, ἀνάλογον τοῦ πλήθους.

Εἰ δὲ ἴδῃ τις ὅτι ταῦτα ἐδόθη αὐτῷ ἐν σάκκῳ ἢ ἑτέρῳ ἀγγείῳ, πιστευθήσεται μυστήριον, καὶ λογαρίου φύλαξιν.

Εἰ δὲ ἴδῃ τις ὅτι ἔλαβε παρά τινος λῶρον ἀργύρεον, καὶ διεζώσατο αὐτόν· ἐν ὀξεῖ δρόμῳ δουλείας ἕνεκεν ἐλάσει καὶ εὑρήσει ἔξοδον ἀγαθὴν καὶ πλοῦτον.

Ex iisdem de armillis & monilibus, aliisque ex auro, argento, gemmis & unionibus contextis.

CAP. 258.

SI quis viderit se gestare torquem è gemmis & unionibus, inueniet dignitatem eximiam ad populi administrationem, & præclarè moderabitur.

Si viderit se perdidisse monile aut fractum esse, perdet dignitatem suam.

Si viderit lapillos & uniones subreptos sibi esse, male res aget cum populo.

Si viderit se gestare in pectore aliquid coloris aurei, inueniet calamitatem & angustias & morbum.

Si viderit se gestare inaures, inueniet formositatem cum potestate, & procreabit filiam, propter aures.

Si viderit se ferre zonam auro, gemmis & unionibus compactam, hoc est baltheum vel lorum: inueniet in medio vitæ suæ auctoritatem maximam, & nomen maximum, & filium masculum, ad nobilitatem eius.

Si viderit quis se donatum fuisse ab alio operibus ex argento plurimis & præstantibus, eius fidei committetur mysterium, & inueniet potestatem & opes pro ratione multitudinis.

Si viderit hæc sibi data fuisse in sacco aut alio vasculo, credetur eius fidei mysterium & custodia Rationum.

Si viderit se accepisse ab alio lorum argenteum, eoque se cinxerit, in celeri cursu, seruitutis causa trahetur, & inueniet processum bonum & diuitias.

Si viderit se gestare maximos uniones duos in singulis auriculis, hoc ad filiam refertur & gaudium mulieris ipsius: aures enim ad mulieres spectant.

Si viderit se conflare aurum in fornace, aut argentum, aut conflet ipsa in terra, accusabitur & punietur à potente.

Si viderit se inuenisse cingulum aureum, inueniet afflictionem & sollicitudinem falsam.

Si viderit se inuenisse margaritarum lineas plures, inueniet sapientiam & notitiam & gaudium in domo sua pro ratione multitudinis.

Vniones ad lætitiam & sapientiam diiudicantur, pro ratione copiæ.

Si viderit se inuenisse paruas margaritas plures, reperiet gaudium & sapientiam minorem. Sæpe enim hæc omnia ad metum potentiæ referuntur.

Si viderit quis se indutum & ornatum esse ipsis aut pallio è gemmis, aut chlamyde: siquidem in potestate fuerit, inueniet lætitiam & auctoritatem maiorem.

Si è commune plebe sit, inueniet metum & formidinem ex potestate: hoc enim regibus & proceribus congruum est.

Si viderit se inuenisse hyacinthum lapillum, inueniet mulierem amoris causa: & siquidem visum ipsi fuerit se hyacinthũ gemmam emisse pondere cum scripto, accipiet ipsam, & inueniet in illa pertinacitatem & rixam.

Si viderit se inuenisse auream coronam è mortuo vel mortua aut e sepulchro, & viderit gemmas suas obtenebratas esse ab hoste, & magistratu, inueniet æra & facultates.

Si viderit quis se margaritum consumpsisse, sapiens erit aut potens verbo & opere.

Si viderit supra margaritas & gemmas se ambulare easque conculcare, absurdè despiciet Fidem mirum in modum.

Si viderit se hæc emisse ad possessionem suam, hic erit orthodoxæ Fidei custos.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐφόρει μεγίστους μαργαρίτας δύο ἑκατέροις ὠσί· τοῦτο εἰς θυγατέρα κρίνεται καὶ χαρὰν τῆς γυναικὸς αὐτοῦ, τὰ γὰρ ὦτα εἰς γυναῖκας κρίνεται.

Ἐὰν ἴδῃ τις ὅτι χωνεύει ἐν χωνείᾳ χρυσὸν, ἢ ἀργύριον, ἢ χωνεύει αὐτὰ ἐν γῇ, κατηγορηθήσεται καὶ τιμωρηθήσεται ἀπὸ ἐξουσιάζοντος.

Εἰ δὲ ἴδῃ τις ὅτι εὗρεν ζώδιον ἀργύρεον, εὑρήσει θλῖψιν καὶ μέριμναν ψευδῆ.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε μαργαρίτας μεγίστους καὶ πλείους· εὑρήσει σοφίαν καὶ γνῶσιν καὶ χαρὰν ἐν τῷ οἴκῳ αὐτοῦ, ἀναλόγως τοῦ πλήθους.

Οἱ μαργαρῖται, εἰς χαρὰν καὶ σοφίαν διεκρίθησαν ἀναλόγως τοῦ μεγέθους.

Εἰ δὲ ἴδῃ τις ὅτι εὗρε μικροὺς μαργαρίτας πλείστους· εὑρήσει χαρὰν καὶ σοφίαν ἐλάττονα. πολλάκις γὰρ ταῦτα πάντα εἰς φόβον ἐξουσίας κρίνονται.

Ἐὰν ἴδῃ τις ὅτι ἐξ αὐτῶν ἠμφίασεν, ἢ ἐκ λίθων ἱμάτιον ἢ χλαμύδα αὐτοῦ· εἰ μὲν ἔστιν ἐξουσιαστής, εὑρήσει χαρὰν καὶ ἐξουσίαν μείζονα.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ, εὑρήσει φόβον καὶ τρόμον ἀπὸ ἐξουσίας· τοῦτο γὰρ βασιλεῦσιν ἢ ἐξουσιάρχοις ἁρμόδιον.

Εἰ δὲ ἴδῃ ὅτι εὗρεν ὑάκινθον λίθον· εὑρήσει γυναῖκα, φιλίας ἕνεκα· καὶ εἰ μὲν ἴδῃ ὅτι ἠγόρασε τὸν ὑάκινθον λίθον σταθμῷ μετὰ στιχήματος· λήψεται αὐτὴν, καὶ εὑρήσει ἐν αὐτῇ κακογνωμίαν καὶ μάχην.

Εἰ δὲ ἴδῃ τις ὅτι εὗρε στέφανον χρυσοῦν ἀπὸ νεκροῦ, ἢ νεκρᾶς ἢ ἀπὸ τάφου· καὶ εἶδεν ὅτι οἱ λίθοι αὐτοῦ ἠχλυώθησαν ἀπὸ ἐχθροῦ καὶ ἐξουσιαστοῦ, εὑρήσει χαλκὸν καὶ ὕπαρξιν.

Εἰ δὲ ἴδῃ τις ὅτι καταπέπωκε μαργαρίτην, σοφὸς ἔσται ἢ δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐπάνω μαργαριτῶν καὶ λίθων τιμίων πατεῖ καὶ βαίνει, παραλελογισμένως καταφρονεῖ τῆς πίστεως σφόδρα μεγάλως.

Εἰ δὲ ἴδῃ ὅτι ἐξωνεῖται ταῦτα εἰς κτῆσιν αὐτοῦ, ἔσται τῆς ὀρθοδόξου πίστεως φύλαξ.

Ἐκ τῶν Ἰνδῶν, περὶ δακτυλιδίου. σνθ'.

ἘΑΝ ἴδῃ τις ὅτι εὗρε δακτυλίδιον, καὶ ἐφόρεσεν αὐτό· εἰ μὲν ἔστι τοιοῦτον, ἐξουσιαστὴς ἔσται μέγας· εἰ δὲ μή, εὑρήσει γυναῖκα καὶ πλοῦτον καὶ γεννήσει ἄρσεν.

Ἐὰν ἴδῃ τις ὅτι ἐχαώθη τὸ δακτυλίδιον αὐτοῦ, ἀποβαλεῖ τὴν ἐξουσίαν αὐτοῦ, ἴσως καὶ τὴν γυναῖκα, ἢ τὸ τέκνον αὐτοῦ.

Εἰ δὲ ἴδῃ τις ὅτι σφραγίζει κηρὸν, ἢ πηλὸν τῷ δακτυλίῳ, καὶ δίδωσιν ἑτέρῳ· ὁ λαβὼν εὑρήσει ἐξουσίαν ἐκ τοῦ δόντος· ἐὰν ἔστιν ἐξουσιαστής, καὶ χαρὰν καὶ ἀγαθόν.

Εἰ δὲ ἴδῃ τις ὅτι ὁ λίθος τοῦ δακτυλιδίου ἐξυλώθη, εὑρήσει νόσον καὶ μάχην ἐν τῇ γυναικὶ καὶ τέκνῳ αὐτοῦ.

Εἰ δὲ ἐχαώθη, ἀποθανεῖται ὁ υἱὸς αὐτοῦ, καὶ θλιβήσεται ἐν τῇ ἐξουσίᾳ αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἐκλάσθη διχῶς τὸ δακτυλίδιον αὐτοῦ, καὶ ἔπεσεν· εὑρήσει νόσον τῆς γυναικὸς αὐτοῦ, καὶ ἀπώλειαν τῶν τέκνων καὶ ἐλάφρωσιν τῆς ἐξουσίας αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔλαβε δακτύλιον ἔχοντα λίθον ῥούσιον· εὑρήσει ἐξουσίαν λαμπροτέραν καὶ χαρὰν, κατὰ τὴν λάμψιν αὐτοῦ.

Εἰ δὲ ἦν πράσινος ὁ λίθος, εὑρήσει ἐξουσίαν καὶ πίστιν ἀγαθὴν κατὰ τὴν καθαρειότητα τοῦ λίθου.

Εἰ δὲ χρυσίων ἦν ὁ λίθος, νοσώδη καὶ θλιβερὰν γυναῖκα καὶ ἀξίαν ἕξει.

Εἰ δὲ ἦν βένετος ὁ λίθος σὺν μαργαρίταις· εὑρήσει πλοῦτον καὶ ἀξίαν ἐλάσσονα.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ δακτυλιδίου. σξ'.

De anulo, ex Indorum disciplina. CAP. 259.

SI quis anulum inuenisse visus sibi fuerit, eúmque gestasse: siquidẽ idoneus est, potestatem amplissimam consequetur: sin autem, vxorem & opes inueniet, ac masculam subolem procreabit.

Si quis anulum suum ruptum videre visus fuerit, potestate sua excidet, ac fortassis vxorem quoque, vel filium amittet.

Si quis anulo ceram vel lutum obsignare visus sibi fuerit, & alij tradere: qui accepit, ab eo potestatem consequetur, qui obtulit: sin potestate præditus est, gaudium atque prosperitatem.

Si videre visus fuerit anuli gemmam refixam, *factam esse ligneam*, & vxor eius, & liberi morbo corripientur.

Si fissa fuerit, filius eius morietur, & ipse in magistratu potestatéque sua miserias experietur.

Si quis anulum suum, duas in partes fractum, lapsúmque videre visus fuerit: vxoris morbum videbit, & liberorum interitũ, & potestatis suæ deminutionẽ.

Si visus sibi fuerit anulũ accepisse, qui gemmam russatam contineret: potestatem illustriorem consequetur, & lætitiam, pro ipsius gemmæ splendore.

Si gemma prasini coloris erat, & potestatem & fidem bonam inueniet, pro ipsius gemmæ puritate.

Si auri colorem gemma referebat, & morbis & ærumnis obnoxiam vxorem inueniet.

Si gemma veneti coloris erat, coniuncta cum margaritis: opes atque dignitatem inferiorem consequetur.

De anulo ex Persarum & Aegyptiorum disciplina.

CAP. 260.

ANVLVS ad regni confirmationem refertur. Nam ex eo sæpe reges intelliguntur, etiam sine ore.

Si rex visus sibi fuerit annulum alteri dedisse, potestatem illi eximiam inter domesticos suos dabit.

Si anulum dedit, aut adfixit Augustæ manui: siquidem illa prægnas est, regem pariet: sin autem, nihilo minus concipiet, ac marem edet.

Si rex manui suæ duos adfixisse visus sibi fuerit anulus, pristinum cum alio nouo: post eum filium, quem habebat antea, consequetur alium.

Similiter in Augusta eadem est interpretatio: quæ quidem si filio caret, duos habebit, cum duplici gaudio.

Si rex visus sibi fuerit sigilla de anulo nonnullis dare, sublimes illos ad dignitates euehet, & arcanorum suorum conscios faciet.

Si rex anulum suum disciderit, in Augustæ persona calamitatem habebit.

Si quis anulum emisse visus sibi fuerit, & gestasse * * *, potestatem consequetur, & vxorem, pro modo pulchritudinis anuli.

Si quis visus sibi fuerit anulum, de manu sua sumptum, alterius noti hominis manui adfixisse: illum heredem, & in potestate sua successorem instituet.

Generaliter anulus ad eos refertur qui potestates tribuunt, & regna concedunt: ac si qui hoc facere nequeunt, iis lætitiam, & liberos, & vxores portendit.

De sellis, & thronis, Persarum & Aegyptiorum interpretationes. CAP. 261.

SELLA dignitatem, aut vxorem denotat.

Si quis inuenisse ligneam sellam visus sibi fuerit, & in ea sedisse: virorum amplissimorum potestatem inueniet.

Τὸ δακτυλίδιον εἰς κύρωσιν βασιλείας κεῖνεται. πολλάκις γὰρ οἱ βασιλεῖς ἐξ αὐτοῦ κρίνονται καὶ ἄνευ στόματος.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι δακτυλίδιον ἔδωκεν ἑτέρῳ, δώσει αὐτῷ ἐξουσίαν μεγάλην ἐν τοῖς οἰκειακοῖς αὐτοῦ.

Εἰ δὲ ἔδωκεν, ἢ ἔβαλεν εἰς τὴν χεῖρα τῆς αὐγούστης· εἰ μὲν ἐστὶν ἔγκυος, τέξει βασιλέα· εἰ δὲ μὴ, οὕτως ἐγκυμονήσει, καὶ τέξει ἄρσεν.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι δύο δακτυλίδια ἔβαλεν, τὸ παλαιὸν καὶ τὸ νέον, μεθ' ὃν εἶχεν υἱὸν· καὶ ἕτερον ἕξει.

Ὁμοίως καὶ ἐπὶ τῆς αὐγούστης ἡ αὐτὴ κρίσις· εἰ δὲ τέκνον οὐκ ἔχει, δύο ἕξει καὶ διπλῆν χαράν.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι σφραγῖδας ἐκ τοῦ δακτυλιδίου ἐδίδου τισὶν· ὑψώσει αὐτοὺς καὶ μυστηρίων ἀξιώμασιν.

Εἰ δὲ ἐχάλασε τὸ δακτυλίδιον αὐτοῦ ὁ βασιλεὺς, εὑρήσει θλίψιν εἰς τὴν αὐγοῦσταν.

Εἰ δὲ ἴδῃ ὅτι δακτυλίδιον ἐξωνήσατο καὶ ἐφόρει δόλῳ σχημάτων· εὑρήσει ἐξουσίαν καὶ γυναῖκα ἀναλόγως τοῦ κάλλους τοῦ δακτυλιδίου.

DRaco, regis ad personam refertur: serpentes, ad personas maximorum & paruorum hostium, pro ipsorum magnitudine.

Si quis in somnis serpentem maximum, siue draconem, videre visus fuerit, qui scilicet inuentus sit in domo, vel agro, vel castro, vel loco quodam: in eo loco rex aduersarius conspicietur.

Si quis draconem combussisse, vel arbores eradicasse, visus sibi fuerit: eius incolæ loci respondẽtem flammæ & euulsioni arborum ærumnam experientur.

Si quis draconem fulgetris peti visus sibi fuerit, bellum & ruinam alteri regi, qui hostis est ei regioni, portendi sciat.

Si regi visum hoc oblatum fuerit, ex regis alterius ruina & interitu voluptatem capiet.

Si regi per quietem visus sit adparere draco, alterius regis fama terrebitur.

Si rex videre visus fuerit, draconem secum absque terrore colloquentem: admirabili quodam modo cum alio rege opulentissimo pacem componet.

Si quis inuenisse, vel comedisse carnem draconis, visus sibi fuerit: à rege maximo diuitias carni manducatæ respondentes inueniet.

Si quis visus sibi fuerit interfecisse draconem, si princeps aliquis est, aut rex, alij potenti regi cladem inferet.

Sin plebeius est, regno potietur. nam regi duntaxat.

Si quis serpentem oppugnare visus sibi fuerit, si quidem illum occidit, hostem sibi detectum, serpenti respondentem, vi diuina conficiet.

Si concidisse, vel rupisse serpentem, visus sibi fuerit: pro laboris suscepti modo, diuitias ab hostibus suis nanciscetur.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ δρακόντων καὶ ὄφεων. σπγʹ.

Ὁ δράκων εἰς πρόσωπον βασιλέως κρίνεται· οἱ ὄφεις εἰς πρόσωπον μεγίστων καὶ μικρῶν ἐχθρῶν κείνονται, ἀναλόγως τοῦ μεγέθους.

Ἐὰν ἴδῃ τις κατ᾽ ὄναρ ὄφιν μέγιστον ἤτοι δράκοντα, ὅτι εὑρέθη εἰς οἶκον, ἢ ἀγρόν, ἢ κάστρον, ἢ τόπον· φανήσεται ἐν τῷ τόπῳ ἐκείνῳ ἐχθρὸς ἐναντίος βασιλεύς.

Ἐὰν ἴδῃ τις ὅτι ὁ δράκων ἔκαυσεν, ἢ ἐξερρίζωσε δένδρον· εὑρήσουσιν οἱ ἐντόπιοι τιμωρείαν ἀνάλογον τῆς καύσεως καὶ τῆς ἐρριζώσεως.

Ἐὰν ἴδῃ τις ἀστραπαῖς διωκόμενον δράκοντα, πόλεμον καὶ πτῶσιν βασιλέως, ἑτέρου ἐχθροῦ τῷ τόπῳ νοείτω.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, ἐπιχαρήσεται, βασιλέως ἑτέρου πτώμασι καὶ ἀπωλείᾳ.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἐφάνη αὐτῷ δράκων, εὑρήσει φόβον ἀκοῇ, ἑτέρου βασιλέως.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς ὅτι συνωμίλησεν αὐτῷ ἀφόβως· μεθ᾽ ἑτέρου βασιλέως πολυόπλου εἰρηνεύσει θαυμασίως.

Εἰ δὲ ἴδῃ τις ὅτι κρέας δρακόντειον εὗρεν, ἢ ἔφαγεν· εὑρήσει πλοῦτον ἀνάλογον ἀπὸ μεγίστου βασιλέως.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐφόνευσεν δράκοντα, εἰ μὲν ἐστὶ βασιλεύς, ἢ ἐξουσιαστής ἕτερον βασιλέα κραταιῷ πολέμῳ πατάξει.

Εἰ δὲ ἐστὶ τοῦ κοινοῦ λαοῦ, βασιλεύσει. τοῦτο γὰρ βασιλεῖ μόνον ἁρμόζει.

Ἐὰν ἴδῃ τις ὅτι πολεμεῖ ὄφιν, εἰ μὲν ἐφόνευσεν αὐτόν, ἐχθρὸν ἀνάλογον φανερωθέντα αὐτῷ θείᾳ δυνάμει ἀποκτενεῖ.

Εἰ δὲ ἴδῃ ὅτι ἔκοψεν, ἢ ἔσχισε τὸν ὄφιν· εὑρήσει ἀναλόγως τοῦ κόμματος πλοῦτον ἀπὸ ἐχθροῦ αὐτοῦ.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι ἐφόνευσεν ὄφιν, ἐχθρὸν μέγιστον μὲν, ἐλάττονα δὲ βασιλέως, πατάξει.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς, ὅτι ὑπὸ ὄφεως ἐδήχθη, καὶ καταδιώξας ἐφόνευσεν αὐτόν· ἀπὸ ἐχθρῶν θλιβήσεται, καὶ ἐπιβούλους φωράσει, καὶ ἀναλώσει εἰ αὐτοὺς ὁμοίως.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὄφιν φανέντα, ἐν τοῖς βασιλείοις αὐτοῦ· ἐπίβουλον φθάσει ἐν τῷ παλατίῳ αὐτοῦ.

Ἐὰν ἴδῃ τις ὅτι ἤσθιε κρέας ὄφεως, εὑρήσει αὔξησιν τοῦ πλούτου αὐτοῦ καὶ χαρὰν ἐπ' ἐχθροῖς.

Ἐὰν ἴδῃ τις ὅτι συνωμίλει ὄφει, εὑρήσει χαρὰν καὶ εὐφροσύνην καὶ εἰρήνην ἐχθρῶν.

Εἰ δὲ ἴδῃ ὅτι εὗρεν ὄφιν τεθνηκότα, εὑρήσει ἐν τῷ ἐχθρῷ αὐτοῦ πᾶν εἴ τι καταθύμιον ἔχει.

Ἐὰν ἴδῃ τις ὅτι εὗρεν χρύσεον ὄφιν μέγιστον, φολιδωτὸν ἐκ λίθων καὶ πεποικιλμένον τὰ νῶτα, καὶ ὅτι ἐκτήσατο αὐτόν· εὑρήσει βασιλείαν καὶ κυριότητα τοῦ λαοῦ. καὶ τοῦτο δὲ βασιλεῦσιν, ἢ μέλλοντι βασιλεύσειν ἁρμόζει, * ἔχοντι πλῆθος στρατιωτῶν.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι εὗρεν ὄφιν ἐκ χρύσεον, ἀποίκιλον, ὅμοιον δράκοντος, ἢ ὅτι ἤνεγκαν αὐτῷ αὐτόν· εὑρήσει χρυσίον πολὺ ἐκ θησαυρῶν βασιλέων ἀρχαίων.

Ἐὰν δὲ ἴδῃ τις ὁ βασιλεὺς, ἢ ἄλλος τις ὅτι ἐξῆλθεν εἰς τόπον, καὶ εἶδεν μεγάλους ὄφεις σὺν ἄλλοις μικροῖς ὄφεσιν· ἐλεύσεται ἐχθρὸς καὶ μέγας μετὰ λαοῦ αὐτοῦ. καὶ εἰ μὲν ἐφόνευσεν αὐτοὺς, πατάξουσι καὶ τοὺς ἐχθρούς· εἰ δὲ ἔδακνον αὐτοὺς καὶ ἔφυγον αὐτοὶ, τὸ νῖκος ἔσται τῶν ἐχθρῶν.

Ἐὰν ἴδῃ τις ὅτι ὄφις μικρὸς, ἢ μέσος ἐφάνη αὐτῷ, ἢ ἔδακεν αὐτῷ· * εὑρήσει νόσον, καὶ φόβον ἀπὸ ἐχθροῦ.

Οἱ ὄφεις καθ' ὅλου, εἰς ἐχθροὺς ἀναλόγως κεῖνται.

Si rex visus sibi fuerit occidisse serpentem, hostem maximum quidem illum, sed inferiorem rege, cædet.

Si rex visus sibi fuerit, à serpente morsus, quem deinde persequutus occiderit: ab hostibus vexabitur, & insidiatores in ipso facinore depræhesos è medio tollet.

Si rex videre visus fuerit serpentem, in regia sua conspectum: in palatio suo perduellem anteuertet.

Si quis carne serpentina vesci visus sibi fuerit, incrementum diuitiarum suarum, atque de hostibus lætitiam percipiet.

Si quis cum serpente visus sibi fuerit colloqui, gaudium atque lætitiam inueniet, hostibus etiam pacem colentibus.

Si serpentem mortuum inuenisse visus sibi fuerit, in hoste suo reperiet, quidquid animo suo exoptabat.

Si quis in aureum serpentem maximum, gemmeis squamis ornatum ac distinctum in tergo, incidisse visus sibi fuerit, eúmque suum fecisse: regnum & dominatum populi consequetur. atque hoc ipsum quoque regibus, aut ei qui regno potiturus est, vel qui militum copias habet, competit.

Si rex inuenisse serpentem aureum & varium, draconi similem, visus sibi fuerit, aut talem ab aliis adlatum sibi: magnam auri copiam consequetur, ex aliorum regum thesauris.

Si rex, aut alius quispiam, exisse visus sibi fuerit ad locum quendam, vbi magnos serpentes cum aliis paruis conspexerit: cum in locum magnus hostis quidam suo cum populo veniet. ac si quidem eos per quietem occidit, hostes quoque cædentur: sin illis mordentibus, ipsi fugerunt: victoria penes hostes erit.

Si quis somnium habuerit, quasi sibi serpens magnus, aut mediocris adparuerit, vel vulnus inflixerit: & morbum, & terrorem hostilem experietur.

Serpentes generaliter ad hostes, eorum magnitudini respondentes, referuntur.

De fucis, & apibus, tam silvestribus, quam domesticis: Indorum, Persarum & Aegyptiorum rationes.

CAP. 284.

SI quis somnium habuerit, quasi per quietem conspexerit fucos flaui coloris in locum, vel regionem quandam delatos: in eum locum hostis veniet, instar animalculi vitibus infesti, quod cercum vocant. ac si quidem videre visus fuerit pungentes eius regionis incolas, fucorum plagæ damnum ab hostibus illatum respondebit.

Quod si non percusserint vespæ: neque hostis offendet ipsos.

Si viderit ab incolis loci fumo fugatas fuisse vespas, hostis terrore fugabitur, & vincent etiam incolæ.

Si viderit quis fucos & apes sylvestres conuenisse in certum locum idem iudicium erit, sed moderatius & parcius quam ab aliis vespis.

*Si quis viderit se inuenisse * aluearia abundantia apibus mitibus, si quidem pauper sit, ditescet, si vero maximus aut rex, inueniet populum paratum ad seruitutem & fructum adferendum industria sua: pro ratione opificij apum.*

Si viderit se fauum mellis inuenisse, reperiet opes suaues aliunde.

Si viderit rex aut potens vir apiarij sui iacturam factam fuisse: seruos quæstuosos perdet, non milites.

Idem si viderit se eiusmodi apiarium inuenisse, seruos inueniet tales: nam apis ad seruum vtilem refertur.

Ex Persis de Scorpionibus & serpentibus virulentis.

CAP. 285.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν καὶ Αἰγυπτίων, περὶ σφηκῶν καὶ μελισσῶν ἀγρίων καὶ ἡμέρων. σπδʹ.

ΕΑΝ ἴδῃ τις ὅτι σφῆκας ξανθοὺς ἐθεώρει κατ' ὄναρ ἐλθόντας εἰς τόπον, ἢ εἰς χώραν· ἐλεύσεται ἐχθρὸς δίκην κούρσου ἐν τῷ τόπῳ. καὶ εἰ μὲν ἴδῃ ὅτι ἔπληττον τοὺς ἐντοπίους, ἀναλόγως τῆς πληγῆς τῶν σφηκῶν, βλάψουσιν αὐτοὺς οἱ ἐχθροί.

Εἰ δὲ οὐκ ἔπληττον αἱ σφῆκες, οὐδὲ ὁ ἐχθρὸς παραβλάψει αὐτούς.

Εἰ δὲ ἴδῃ ὅτι παρὰ τῶν ἐντοπίων καπνῷ ἐδιώχθησαν, διωχθήσεται φόβῳ ὁ ἐχθρός, καὶ νικήσουσιν καὶ οἱ ἐντόπιοι.

Εἰ δὲ ἴδῃ τις σφῆκας καὶ ἀγρίας μελίσσας ἐλθόντας εἰς τόπον, ἡ αὐτὴ κρίσις ἔσται· ἀλλὰ μετριωτέρως καὶ ἐλαττοτέρως τῆς τῶν ἄλλων σφηκῶν.

Ἐὰν ἴδῃ τις ὅτι εὗρε βαρέδιν, ἢ εὐπόρησιν μελισσῶν ἡμέρων· εἰ μὲν ἐστὶ πτωχὸς, πλουτήσει, εἰ δὲ μέγιστος ἢ βασιλεὺς, εὑρήσει λαὸν εἰς δουλείαν καὶ εἰς κομιδὴν ἐξ αὐτῶν, ἀναλόγως τῆς ἐργασίας τῶν μελισσῶν.

Εἰ δὲ ἴδῃ ὅτι κηρίον μέλιτος εὗρεν, εὑρήσει πλοῦτον γλυκὺν ἐξ ἑτέρων τόπων.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς, ἢ ἐξουσιαστὴς, ὅτι μελισσῶνα ἔχων, ἀπώλετο ὁ μελισσών, δούλους ἐπικερδεῖς ἀπολέσει, οὐχὶ στρατιώτας.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι τοιοῦτον μελισσῶνα εὗρε, δούλους εὑρήσει τοιούτους, ἡ γὰρ μέλισσα, εἰς δοῦλον ἐπικερδῆ κρίνεται.

Ἐκ τῶν Περσῶν, περὶ σκορπίων καὶ ἑρπετῶν ἰοβόλων. σπέ.

Ὁ σκορπίος εἰς ἐχθρὸν κακοῦργον καὶ ὀλιγόδοξον κεῖνται.

Ἐὰν ἴδῃ τις ὅτι ἐκρούσθη παρὰ σκορπίου, εὑρήσει βλάβην καὶ νόσον παρὰ ἐχθροῦ τοιούτου, καὶ ἀγαθοῖς ἀνταμείψεται αὐτόν.

Ἐὰν ἴδῃ τις ὅτι ἔκτεινε σκορπίον, τοιοῦτον ἐχθρὸν ἐκτενεῖ.

Εἰ δὲ ἴδῃ τις ὅτι ἔφαγε κρέας σκορπίου ὃν ἐφόνευσε, τοιούτου ἐχθροῦ ὕπαρξιν λήψεται.

Εἰ δὲ ἴδῃ τις ὅτι σκορπίον κρατεῖ, ἄλλοις ἐκδειματοῖ, λόγοις κινήσει κατὰ τοῦ λαοῦ, καὶ πρὸς ἔχθραν συνάψει.

Τῇ αὐτῇ κρίσει κρίνεται καὶ ἡ σαῦρα καὶ ἡ ῥώξ, ἤτοι ἡ λεγομένη ῥόγα, καὶ τὰ ἑρπετὰ τῆς γῆς.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ ἀετοῦ. σπς'.

Καθ' ὅλου καὶ ὁ ἀετὸς εἰς πρόσωπον βασιλέως κρίνεται.

Ἐὰν ἴδῃ τις ὅτι εὗρεν, ἢ εὐπόρησεν ἀετόν, εἰ μὲν ἐστὶ βασιλεὺς, ἕτερον βασιλέα καθέξει.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ ἐστὶν ὁ ἰδών, βασιλεύσει.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐδούλευσεν ἀετῷ ἐν βρώσει καὶ τοῖς ἄλλοις, εὑρήσει δουλείαν καὶ ἐξουσίαν παρὰ βασιλέως, καὶ ὕψος.

Εἰ δὲ ἴδῃ ὅτι ἐσθίει κρέας ἀετοῦ, εἰ μὲν ἐστὶ βασιλεὺς, εὑρήσει χρυσίον τῶν πάλαι βασιλέων, ἀναλόγως τῆς βρώσεως.

Ἐὰν ἴδῃ τις ὅτι πτερὰ ἀετοῦ εὗρεν, ἐὰν ἐστὶ βασιλεὺς ἐνδοξότερον πλοῦτον εὑρήσει τῶν πάλαι βασιλέων.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ ἴδῃ ταῦτα, εὑρήσει πλοῦτον μέγιστον καὶ χαρὰν καὶ ἀξίωμα παρ' αὐτοῦ βασιλέως ὅτι τὸ πτερὸν ἀξίωμά ἐστιν.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι μετ' ἀετοῦ ἡμέρου ἐκυνήγει, τέκνον ἄρσεν εὑρήσει κραταιῶς

Scorpius ad hostem obscurum & infamem pertinet.

Si quis viderit se pulsum fuisse à scorpio, inueniet damnum & morbum ab hoste eiusmodi, & bonis remunerabit eum.

Si viderit quis se occidisse scorpium, talem interficiet hostem.

*Si cui visum fuerit se comedisse pulpam scorpij * à se occisi, facultates accipiet hostis eiusmodi.*

Si quis viderit se tenere scorpium, & per terrefacere alios, sermones incitabit contra populum, & ad odium & inimicitiam accendet.

Idem iudicium statuetur de lacerta, stellione & alio quouis serpentis terrestris genere.

Ex Persarum, Indorum & Aegyptiorum institutis de aquila.

CAP. 286.

Aquila etiam in genere ad regis personam refertur.

Si quis viderit se inuenisse aquilam, & eius copiam habere, si quidem rex fuerit, alium regem detinebit.

Sin ex infima plebe, rex erit.

Si cui visum fuerit se aquilæ inseruire ad cibum & alias res, inueniet obsequium & imperium à Rege, atque altitudinem.

Si viderit se comedere aquilæ carnem, si quidem rex est, inueniet aurum priscorum regum, pro ratione comestionis.

Si quis viderit se alas aquilæ reperisse, si rex fuerit, illustriores opes nanciscetur, quàm prisci reges.

Si plebeius idem viderit, reperiet amplas diuitias, & gaudium & auctoritatem à rege: quia ala auctoritatis indicium est.

Si visum fuerit Regi se cum aquila domestica venari, masculum filium inueniet, &

fortiter regnantem [post ipsum] & super ipso letabitur.

Si non habeat, generabit omnino.

Si quis viderit se sublatum dorso aquilæ revolantis: si quidem rex fuerit qui vidit, reperiet in regno suo maiestatem & vitam longam.

Si fuerit è plebe, regnum adipiscetur proculdubio.

Si cui visum fuerit se aquilæ unguibus ictum fuisse, aut morsum, inveniet, à rege aut principe, supplicium ac grave periculum.

Si rex viderit hoc ipsum, affligetur ab alio rege.

Si quis viderit se aquilam detinere, et supervenisse alium qui vi tollat eam, si quidem principes fuerint insidiabuntur Regi, & contendent cum eo. Si è fece populi, ærumnam & necessitatem patientur à Principe.

Si cui visum fuerit, se reperisse nidum aquilæ, aut cepisse pullos eius, si quidem rex fuerit, alterius regis hæredes tollet.

Si unus è turba, aut inops, ad regnum perveniet, regnabitque.

Si viderit rex se aquilarum pullos educare in palatio suo, liberos successores regni sui habebit.

In genere, aquila ad regem spectat.

Et si quis passus aliquid boni aut mali ab aquila fuerit, pariter proinde iudicatur.

Si mulier innupta aut vidua viderit aquilam considere supra domum suam, virum ducet, authoritate magistratus præditum.

Ex Persarum & Aegyptiorum monimentis de accipitre & falcone.

CAP. 287.

Accipiter & falco ad secundam à Rege authoritatem spectant.

εὑρήσει* βασιλεῦσαν, καὶ ἐπιχαρήσεται αὐτῷ.

Εἰ δὲ οὐκ ἔχει, γεννήσει ἐκ παντός.

Εἰ δὲ ἴδῃ τις ὅτι ἀετὸς ἄρας αὐτὸν τοῖς νώτοις, ἀνέπτατο· εἰ μὲν ἐστὶ βασιλεὺς ὁ ἰδὼν, εὑρήσει ἐν τῇ βασιλείᾳ αὐτοῦ ὕψος καὶ μακροζωΐαν.

Εἰ δὲ ἐστὶ τοῦ κοινοῦ λαοῦ, βασιλεύσει ἐξ ἅπαντος.

Ἐὰν ἴδῃ τις ὅτι παρὰ ἀετοῦ ἐπλήγη ὄνυξιν, ἢ ἐδήχθη, εὑρήσει παρὰ βασιλέως ἢ ἐξουσιαστοῦ τιμωρίαν καὶ κίνδυνον.

Βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, παρὰ ἑτέρου βασιλέως θλιβήσεται.

Ἐὰν ἴδῃ τις ὅτι κατέσχεν ἀετὸν καὶ ἦλθεν ἕτερος βίᾳ ἆραι αὐτὸν, εἰ μὲν εἰσὶν ἄρχοντες, βασιλέως ἐπίβουλοι ἔσονται φιλόνικοι· εἰ δὲ τοῦ κοινοῦ λαοῦ θλίψιν καὶ ἀνάγκην ἕξουσι παρ' ἐξουσιαστοῦ.

Ἐὰν ἴδῃ τις ὅτι εὗρεν καλιὰν ἀετοῦ, ἢ ἦρεν τοὺς νεοσσοὺς αὐτοῦ, εἰ μὲν ἐστὶ βασιλεὺς ἑτέρου βασιλέως κληρονόμους ἀρεῖ.

Εἰ δὲ τοῦ κοινοῦ λαοῦ ἢ πτωχὸς, εἰς βασιλείαν ἥξει καὶ βασιλεύσει.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἀετῶν νεοσσοὺς ἀνέθρεψεν ἐν τῷ παλατίῳ αὐτοῦ, ἕξει τέκνα διαδόχους τῆς βασιλείας αὐτοῦ.

Καθ' ὅλου ὁ ἀετὸς εἰς βασιλέα κρίνεται.

Καὶ εἴ τις ἔπαθέν τι παρ' αὐτοῦ καλὸν ἢ ἐναντίον, ὁμοίως κρίνεται.

Γυνὴ ἐὰν ἐστὶν ἄγαμος, ἢ χήρα, καὶ ἴδῃ ὅτι ἀετὸς ἐλθὼν ἐκαθίσθη ἐπάνω τῆς οἰκίας αὐτῆς, ἄνδρα λαμβάνει ἐν ἀξιώματι ὄντα.

Ἐκ τῶν Περσῶν, καὶ Αἰγυπτίων, περὶ ἱέρακος καὶ φαλκῶνος. σπζ.

Ὁ ἱέραξ καὶ ὁ φάλκων εἰς δευτέραν ἐξουσίαν ἀπὸ τοῦ βασιλέως κρίνεται.

Ἐὰν ἴδῃ τις ὅτι κατέχει αὐτὰ, εὑρήσει ἐξουσίαν καὶ πλοῦτον καὶ χαράν.

Ἐὰν δὲ γυνὴ ἔγκυος καὶ εἶχεν ἐξ αὐτῶν, τέξει ἄρσεν ἔνδοξον.

Ἐὰν ἴδῃ τις ὅτι ἀπέλυσε ταῦτα πρὸς ἄγραν, εἰ μὲν ἐστὶ βασιλεὺς, ἄρχοντας ἐνδόξους ἀποστελεῖ εἰς δουλείας.

Εἰ δὲ ἐστὶ τοῦ κοινοῦ λαοῦ, ἢ βασιλεύσει, ἢ δεύτερος ἔσται ἀπὸ τοῦ βασιλέως, καὶ δοθήσεται αὐτῷ ἐξουσία, καὶ ἀποστελεῖ ἄρχοντας εἰς δουλείας.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι ἀπώλεσεν ἐξ αὐτῶν ἱέρακα χαλάσει ἄρχοντα ἀναλόγον τοῦ ἱέρακος.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι ἔκτεινεν ἐξ αὐτῶν, εἰ μὲν ἐστὶν ὑπὸ ἐξουσίαν, ἀπολέσει αὐτόν.

Εἰ δὲ ἀποεξουσίας, ἀποεξουσιάζοντα ἀπολέσει καὶ θλιβήσεται καὶ πτωχεύσει.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι ὁ ἱέραξ αὐτοῦ καταλιπὼν τὰ ποδόλουρα ἀπωλέσθη, ὁμοίως ἀποβήσεται αὐτῷ.

Ἐὰν ἴδῃ τις ὅτι κρέας ἱέρακος ἔφαγεν ἢ εὗρεν τῶν πτερῶν αὐτοῦ, ὅστις ἂν ᾖ, ἀπὸ μεγίστου καὶ ὑψηλοῦ πλουτήσει ἀναλόγως τῆς βρώσεως, καὶ τῶν πτερῶν οἷς ἐστιν ἡ ἐξουσία.

Si quis viderit se tenere eas alites, inueniet potestatem, opes & gaudium.

Si mulier prægnans fuerit, quæ teneat aliquam ex illis, pariet masculum illustrem.

Si cui visum fuerit se soluisse illas ad aucupium, si rex fuerit, principes insignes delegabit sibi ministros.

Si ex infima plebe, aut regnabit aut secundus à rege statuetur, tradetúrque ipsi potestas, & mittet duces ad officia.

Si viderit rex se perdidisse aliquem ex accipitribus, pessundabit magnatem, ratione habita accipitris.

Itidem si viderit se interfecisse aliquem ex iis, si quidem in potestate constitutus est, dimittet eum.

Si vero sine potestate sit, perdet eum qui in potestate est, & affligetur, atque ad inopiam redigetur.

Itidem si viderit accipitrem suum relictis compedibus, perditum fuisse, pariter continget ipsi.

Si cui visum fuerit se comedisse carnem accipitris aut inuenisse alas ipsius, quicumque tandem fuerit, ab amplissimo & eminenti viro diuitias consequetur, pro modo mãducationis, & alarum ratione, quæ potestatem denotant.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ ψάρων, ἀηδόνων καὶ χελιδόνων. σπη΄.

De sturnis, & luscinis, & hirundinibus, Persarum & Aegyptiorum sententia.

CAP. 288.

Οἱ ψᾶροι καὶ χελιδόνες εἰς λαὸν στρατοπέδου κρίνονται, ἀλλ' οἱ τὰς ἀκρίδας κατεσθίοντες ὄρνεις.

Ἐὰν ἴδῃ τις ὅτι εἰσῆλθε ταῦτα ἀγεληδὸν εἰς τόπον· εἰ μὲν εἶχεν ἀκρίδας, εἰς ἐκδίκησιν καὶ βοήθειαν τοῦ τόπου ὁ βασιλεὺς ἀποστελεῖ στρατόπεδα ἀναλόγως τοῦ πλήθους.

Sturni & hirundines ad copias castrẽses referuntur, itémque volucres illæ, quæ locustas deuorant.

Si quis has aues gregatim venisse quendam in locum, videre visus fuerit: si quidem locustæ istic erant, ad defensionem subsidiúmque loci rex suos ablegabit exercitus, pro modo multitudinis auium per quietem conspectarum.

Si

Si non propter locustas venerunt, arboribúsque loci damnum dedere: hostis eò veniet, omniáque vastabit, pro modo damni ab eis dati.

Si nihil damni datum est, nec tempus id erat, quo fructus in arboribus existerent: multitudo populi quædam eò veniet, absque detrimento.

Generaliter hæc, cuicunque per quietem offerantur, de populo accipiuntur.

Si luscinia per quietem conspecta fuerit, ad iucundũ ea nuntiũ refertur, prout ipsa lusciniæ vox suauis esse visa fuerit.

Sin lusciniam tenuisse, visus sibi fuerit, vel clubio cõclusisse: optatum seruum vel ancillam inueniet, quorum solatio fruatur.

De pauone, Persarum & Aegyptiorum rationes.

CAP. 289.

SI quis inuenisse pauonem visus sibi fuerit, & opes ingẽtes, & splendidam dignitatem, vel vxorem formosissimam inueniet.

Si domi pauonem mansuefactum habere visus sibi fuerit, cũ diuitiis vxorem inueniet, quæ marem gloriosum & illustrem pariet, propter aureum splendorem alarum.

Si carnem pauonis edere visus sibi fuerit, à rege diuitias consequetur. Nam pauo sæpius & regem non magnum denotat, propter ornatum alarum, & cristam, quam in capite gerit.

Si carnem pauonis fœminæ comedit, diuitias ab amplissima muliere consequetur.

Si pauonem suum masculum mortuum videre visus fuerit, vel quòd perierit: in afflictionem incidet, & paupertatem, & in dignitate successor ei dabitur: sin pauo fœmina fuerit, ad vxorem ipsius spectabit calamitas.

Εἰ δὲ εἰσῆλθον οὐχὶ δι' ἀκρίδας, εἰ μὴ ἐλυμήνατο τοῖς δένδροις τοῦ τόπου· ἐχθρὸς ἐκεῖσε λυμαινόμενος ἐλεύσεται ἀναλόγως τῆς ἐκείνων λύμης.

Εἰ δὲ οὐδὲν ἐλυμάνεν αὐτὸν, οὐδ' ἦν καιρὸς καρποῦ πλῆθος λαοῦ διελεύσεται ἀβλαβῶς ἐκεῖσε.

Καθ' ὅλου ἐπὶ παντὸς ταῦτα εἰς λαὸν κρίνονται.

Ἡ δ' ἀηδὼν, εἰς ἡδὺ μήνυμα κρίνεται ἀναλόγως τῆς ἡδύτητος τῆς φωνῆς.

Εἰ δὲ ἴδῃ τις ὅτι κατέσχεν αὐτὴν, ἢ ἔκλεισεν εἰς ἥλου βίον· εὑρήσει δοῦλον ἢ δούλην ποθητὴν, εἰς παρηγορίαν αὐτοῦ.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ ταῶνος. σπθ.

ἘΆΝ ἴδῃ τις ὅτι εὗρεν ταῶνα, εὑρήσει πλοῦτον πολὺν καὶ ἔνδοξον, καὶ ἀξίωμα ἢ γυναῖκα εὐειδεστάτην.

Εἰ δὲ ἴδῃ ὅτι εἶχε κατ' οἶκον ταῶνα ἥμερον, εὑρήσει γυναῖκα μετὰ πλούτου καὶ τέξει ἄρσεν ἔνδοξον, διὰ τὸ χρυσαυγὲς τοῦ πτεροῦ.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐσθίει κρέας ταῶνος, εὑρήσει πλοῦτον ἀπὸ βασιλέως ἢ μεγίστου. πολλάκις γὰρ καὶ εἰς βασιλέα μικρὸν κρίνεται, διὰ τὸν κόσμον τοῦ πτεροῦ, καὶ τὸν ἐπὶ τῆς κάρας λόφον.

Εἰ δὲ κρέας ταῶνος θήλεος τρώγει, εὑρήσει πλοῦτον ἀπὸ γυναικὸς μεγίστης.

Εἰ δὲ ἴδῃ ὅτι ἀπέθανεν, ἢ ἀπωλέσθη ὁ ταὼν αὐτοῦ ὁ ἄρσεν· εὑρήσει θλίψιν, καὶ πτωχείαν, καὶ ἀξιώματος διαδοχήν· εἰ δὲ θήλεια ἐστὶν, ἔσται τὸ πάθος ἐν τῇ γυναικὶ αὐτοῦ.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν καὶ Αἰγυπτίων, περὶ πελαργοῦ καὶ γερανοῦ. σϞ.

Ὁ γερανὸς καθ' ὅλου εἰς πτωχείαν κείνεται, ὁ πελαργὸς εἰς δυνατὸν καὶ ἔνδοξον πρόσωπον, διὰ τὴν φυσικὴν δύναμιν τῆς τῶν ὄφεων πέψεως.

Ἐὰν ἴδῃ τις ὅτι εὗρεν γερανὸν, ἢ πελαργὸν, ἄνδρας πτωχοὺς ἀναλόγως εὑρήσει, ἐξ ὧν ἀποκερδήσει οὐδέν.

Ἐὰν ἴδῃ ὅτι τρέφει γεράνους ἐν τῷ οἴκῳ αὐτοῦ, πτωχοὺς θρέψει, καὶ περὶ τούτου φήμη αὐτῷ γενήσεται.

Ἐὰν ἴδῃ ὅτι ἔσφαξεν αὐτοὺς, πτωχοὺς ἀδικήσει.

Εἰ δὲ ἴδῃ ὅτι ἐπέτασαν ἀφέντες αὐτὸν· λυθήσεται φαμιλίας.

Ἐὰν ἴδῃ ὅτι εὗρε πελαργὸν, εὑρήσει χαρὰν καὶ ὑγείαν ἐκ νόσου.

Εἰ δὲ ἴδῃ ὁ βασιλεὺς, ἢ μέγιστος ὅτι εἶχεν πελαργὸν πεθασευμένον· εὑρήσει ἄνδρα ἐνάρετον, ἰατρικῆς ἐπιστήμονα.

Ἐὰν ἴδῃ τις ὅτι ἔφαγε κρέας γερανοῦ, ἢ πελαργοῦ, τῷ μὲν εὑρήσει νόσον· τῷ δὲ πελαργῷ, εὑρήσει ὑγείαν καὶ πλοῦτον ἀναλόγως.

Ἐὰν ἴδῃ τις ὅτι εὗρεν ὠὰ * [πτερὰ] πελαργοῦ, εὑρήσει πλοῦτον ἀνάλογον ἐξ ἐνδόξου ἀνδρός.

De ciconia, & grue, ex Indorum, Persarum, & Aegyptiorum disciplina.

CAP. 290.

Grus ad inopiam generaliter refertur, ciconia verò ad personam potentem & illustrem, propter naturalem in ciconia vim concoquendi serpentes.

Si quis inuenisse gruem, vel ciconiam, visus sibi fuerit: in homines inopes incidet, de quibus nihil lucri percipiet.

Si quis domi suæ grues alere visus sibi fuerit, inopes pascet, eáque re famam sibi pariet.

Si grues mactasse visus sibi fuerit, in pauperes iniustus erit.

Si videre visus fuerit eas auolantes, se relicto: periculis & incommodis illis liberatur.

Si quis inuenisse ciconiam visus sibi fuerit, à morbo gaudium cum valetudine prospera inueniet.

Si rex, aut amplissimus vir aliquis, habere ciconiam cicurem, siue domesticam, visus sibi fuerit: hominem virtute præditum, artísque medicæ peritum inueniet.

Si carnem gruis, aut ciconiæ, comedisse visus sibi fuerit: ex gruis quidem manducatione, morbum inueniet: ex ciconiæ verò, sanitatem & diuitias.

Si quis inuenisse *oua vel alas* ciconiæ visus sibi fuerit, diuitias iis respondentes à viro illustri consequetur.

Ἐκ τῶν Περσῶν, περὶ λούπου. σϞα'.

Ὁ λούπης εἰς πρόσωπον στρατιώτου ἐνδόξου καὶ λωποδύτου κείνεται.

De lupe, ex Persarum disciplina.

CAP. 291.

Lvpes ad personam egregij militis, & grassatoris refertur.

Si quis adpræhendiſſe lupem viſus ſibi fuerit, vel eum iugulaſſe: in talem hominem impudentem incidet, eúmque conficiet.

Si lupem in venatu furti cauſſa ſe habuiſſe per quietem putauerit, talem virum ſatellitem ſuum faciet, eúmque mittet ad faciundum non magni momenti furtum, propter exilem auis huius vſum in venatione: quæ quidem generaliter de fure intelligitur, eodémque viſorum euentus ſpectat.

De coruis, & cornicibus, & aue, quam Lipopulum vocant: ex Perſarum & Aegyptiorum interpretationibus.

CAP. 292.

SI coruum quis inueniſſe viſus ſibi fuerit, in hominem ſenem, vetulum, peregrinum, inopem, guloſum incidet.

Si coruum domeſticum & cicurem, habere viſus ſibi fuerit: eiuſmodi hominem domi ſuæ habebit, *& exercebit corpore.*

Si cornicem habere viſus ſibi fuerit, hominem vigilacem inueniet, ſeruúmque vel ancillam mendacem *ſeruabit.*

Si rex, aut ampliſſimus vir aliquis, videre viſus fuerit crocitantem in domo ſuã cornicem: ſi per quietem hoc boni vel mali ominis loco duxit, eiuſmodi nuntium accipiet. ac ſæpenumero in hiſce de cornicibus ſomniis, falſus eſt ſuſpicionis exitus.

Eadem eſt interpretationis de lipopulo ratio, niſi quod paulò tenuiora portenduntur.

De columbis, & turture, & palumbo: ex Indorum, Perſarum & Aegyptiorum diſciplinis.

CAP. 293.

Ἐὰν ἴδῃ τις ὅτι κατέχει λούπην, ἢ ἔσφαξεν αὐτόν· εὑρήσει ἄνδρα τοιοῦτον ἀναιδῆ, καὶ πατάξει αὐτόν.

Ἐὰν ἴδῃ ὅτι εἶχεν αὐτὸν ἐν κυνηγίῳ, κλέπτοντα ὑπασπιστὴν ποιεῖται, καὶ εἰς εὐτελῆ κλοπὴν αὐτὸν ἀποστελεῖ, διὰ τὸ εὐτελὲς τῆς τοῦ ὄρνιθος ἀγρεύσεως· καθ' ὅλου τοῦτο εἰς κλέπτην κρίνεται, καὶ ἡ ἔκβασις ὁμοίως.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ κοράκων, καὶ κορωνῶν, καὶ τοῦ λεγομένου λιπόπουλου. σϟβ'.

ἘΆΝ ἴδῃ τις ὅτι εὗρε κόρακα, εὑρήσει γέροντα παλαιὸν ξένον πτωχὸν καὶ λαιμαργόν.

Εἰ δὲ ἴδῃ ὅτι εἶχεν κόρακα τετιθασευμένον· τοιοῦτον ἄνδρα ἕξει εἰς τὸν οἶκον αὐτοῦ, καὶ σωμασκήσει.

Εἰ δὲ ἴδῃ ὅτι εἶχε κορώνην, εὑρήσει ἄνδρα γρήγορον δοῦλον ἢ δούλην ψευδολόγον διασώσαι. *

Ὁ βασιλεὺς ἐὰν ἴδῃ, ἢ μέγιστος, ὅτι κορώνη ἔκραξεν ἐν τῇ οἰκίᾳ αὐτοῦ· εἰ μὲν καθ' ὕπνους ἐλογίσθη αὐτῷ εἰς καλόν, ἢ κακόν, τοιοῦτον μήνυμα δέξεται. καὶ πολλάκις ἐπὶ τῶν κορωνῶν, εἰς ψευδῆ ἀποβαίνει ὑποψίαν.

Κατὰ τὴν αὐτὴν κρίσιν καὶ ὁ λεγόμενος λιπόπουλος, ἐλαττόνως δέ.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ περιστερῶν, τρυγόνος καὶ φάσσης. σϟγ'.

ἘΆΝ ἴδῃ τις ὅτι ἔλαβε παρά τινος περιστερὰν ἀπὸ ξένης, εὑρήσει χαρὰν καὶ πλοῦτον· ἴσως καὶ γυναῖκα λήψεται καὶ τέξει θῆλυ.

Εἰ δὲ ἴδῃ ὅτι εὗρε περιστερὰς πλείσας, εὑρήσει λόγους ἐπικερδεῖς, ἀναλόγους τοῦ πλήθους.

Εἰ δὲ εὗρεν νεοσσοὺς περιστερῶν, δούλους μικροὺς ἀφηλίκους εὐτυχῶς εὑρήσει.

Εἰ δὲ ἴδῃ ὅτι καλιὰς περιστερῶν εὗρεν καὶ ἦρεν σὺν τοῖς νεοσσοῖς, εὑρήσει αἰχμαλώτων φαμιλίας καὶ δουλώσει αὐτοὺς, καὶ λήψεται ἐξ αὐτῶν χαρὰν, καὶ πλοῦτον.

Εἰ δὲ ἴδῃ ὅτι εἶχε περιστερὰν, καὶ διαπετάσασα ἔφυγε· χωρίζεται τῆς γυναικὸς, ἢ θυγατρὸς, ἢ δούλης ἐπικερδοῦς.

Εἰ δὲ ἴδῃ ὅτι αἱ περιστεραὶ αὐτοῦ ἐσφάγησαν, ἢ ἀπέθανον· ἀπολεῖ τοὺς δούλους αὐτοῦ ἀναλόγως.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ τοῦτο οὐκ εἰς στρατιώτας αὐτοῦ, ἀλλ' εἰς δούλους αὐτοῦ τοὺς περὶ τὴν ὁπλοποιητικὴν καὶ ἱστουργικὴν τοῦτο κρίνεται.

Ἐὰν ἴδῃ τις ὅτι ἐσθίει περιστερὰς, ἢ νεοσσοὺς, ἢ ὅτι ἦρε παρὰ αὐτοῦ· εὑρήσει πλοῦτον καὶ χαρὰν ἀπὸ δούλων.

Ἡ τρυγὼν καὶ ἡ φάσσα ἐν τοῖς αὐτοῖς κρίνεται πράγμασιν, ἐλάττονι δέ.

Γυνὴ ἐὰν ἴδῃ ὅτι περιστερὰ, ἢ τρυγὼν, ἢ φάσσα ἦλθοῦσα ἐκάθισεν ἐν τῇ κεφαλῇ αὐτῆς· καὶ ἔστιν ἔγκυος, τέξει θυγατέρα.

SI quis accepisse columbam ab aliquo visus sibi fuerit, è terra peregrina: lætitiam cum diuitiis inueniet, ac fortassis vxorem quoque ducet, ac femillam procreabit.

Si plurimas columbas inuenisse visus sibi fuerit, quæstuosas & lucrosas rationes inueniet, pro columbarum multitudine.

Si pullos columbarum inuenit, seruos pusillos & minorennes feliciter inueniet.

Si columbarum nidos inuenisse visus sibi fuerit, ipsisque cum pullis eos sustulisse: familias captiuas consequetur, easque rediget in seruitutem, & inde lætitia diuitiisque potietur.

Si columbam habere visus sibi fuerit, quæ auolando aufugerit: ab vxore separatur, vel à filia, vel ancilla lucrosa.

Si videre visus fuerit columbas suas iugulatas, aut mortuas: pro earum numero seruos suos amittet.

Si regi visum hoc oblatum fuerit, non ad ipsius milites, sed seruos fabricenses, & textores refertur.

Si quis edere columbas, aut pullos columbarum, visus sibi fuerit: aut ab aliis eos accepisse: diuitias & lætitiam à seruo habebit.

Turtur & palumbus ad res easdem referuntur, significatione tamen imbecilliore.

Si mulier videre visa fuerit columbam, vel palumbum, vel turturem in capite suo considentem, ipsaque prægnas est: filiam pariet.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ ἀλεκτρυόνων καὶ ἀλεκτρυονίδων. σϟδ΄.

ἘΆΝ ἴδῃ τις ὅτι εὗρεν, ἢ εὐπόρησεν ἀλεκτρυονίδας· εὑρήσει δούλους ἐπικερδεῖς, ἐλάττονας τῶν περιστερῶν.

De gallis gallinaceis, & gallinis, ex Persarum & Aegyptiorum monumentis.

CAP. 294.

SI quis inuenisse, vel habere gallinas visus sibi fuerit: seruos quæstuosos inueniet, illis tamen inferiores, qui per columbas denotantur.

Si gallinas, cum plurimis pullis, inuenisse visus sibi fuerit: seruos cum liberis nanciscetur, pro modo conspectæ per quietem multitudinis.

Si discerptas videre visus fuerit, amissio calamitásque viso respondens portenditur.

De gallinis, ex disciplina Persarum.

CAP. 295.

SI quis inuenisse gallinas suas visus sibi fuerit, opes minores à seruis consequetur.

Si gallum gallinaceum elegantem habere visus sibi fuerit, inueniet curatorem pro seruis suis vtilem.

Si cum gallo gallinaceo pugnare visus sibi fuerit, inueniet adflictionem, & cum illo curatore suo rixam.

Si visus sibi fuerit eum iugulasse, seruum suum vel curatorem amittet.

Si discerptus sit, eadem erit interpretatio.

De anseribus, ex Persarum sententia.

CAP. 296.

ANseres de seruis quæstuosis & mitibus intelliguntur.

Si quis multos anseres inuenisse visus sibi fuerit, eiusmodi seruos consequetur.

Si quid eis acciderit, vel si discerptos videre visus fuerit: consimilis est interpretatio.

Si quis anseres edere visus sibi fuerit, opibus atque lætitia potietur, per seruos eiusmodi, pro modo pinguitudinis anserum.

Si quis alam anserinam inuenisse visus sibi fuerit, opes durabiles inueniet, propter alarum celeritatem.

Si videre visus fuerit, anseres fæminei sexus, ancillas optatas consequetur.

Εἰ δὲ ἴδῃ ὅτι εὗρεν ἀλεκτορίδας σὺν νεοσσοῖς πλείοσι· εὑρήσει δούλους σὺν παισὶν ἀναλόγως τοῦ πλήθους.

Εἰ δὲ ἴδῃ ὅτι ἐχαλώθησαν, εὑρήσει ἀπώλειαν καὶ θλίψιν ἀνάλογον.

Ἐκ τῶν Περσῶν περὶ ὀρνιθίων. σλε´.

ἘΑΝ ἴδῃ τις ὅτι εὗρεν τὰς ὀρνιθίας αὐτοῦ, εὑρήσει πλοῦτον ἐλάσσονα ἀπὸ δούλων.

Εἰ δὲ ἴδῃ ὅτι εἶχεν ἀλεκτρυόνα εὐειδῆ, εὑρήσει κουράτορα χρήσιμον εἰς τοὺς δούλους αὐτοῦ.

Ἐὰν ἴδῃ ὅτι ἐμάχετο μετὰ ἀλεκτρυόνος, εὑρήσει θλίψιν, καὶ μάχην μετ' αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἔσφαζεν αὐτὸν, ἀπολέσει τὸν δοῦλον αὐτοῦ ἢ κουράτορα.

Καὶ ἐὰν ἐχαλώθη, ὁμοίως.

Ἐκ τῶν Περσῶν περὶ χηνῶν. σλϛ´.

ΑΙ χῆνες εἰς δούλους ἐπικερδεῖς καὶ πράους κρίνονται.

Ἐὰν τις ἴδῃ ὅτι χῆνας εὗρε πολλὰς, τοιούτους δούλους εὑρήσει.

Εἰ δὲ ἴδῃ ὅτι ἔπαθόν τι ἢ ἐχαλώθησαν, ὁμοίως κρίνεται.

Εἰ δὲ ἴδῃ τις ὅτι ἐσθίει χῆνας, εὑρήσει πλοῦτον καὶ χαρὰν ἀναλόγως τῆς πιαίνσεως ἀπὸ τοιούτων δούλων.

Ἐὰν ἴδῃ ὅτι εὗρε πτερὸν χήνειον, εὑρήσει πλοῦτον μόνιμον, διὰ τὸ ἀρκὲς τῶν πτερῶν.

Ἐὰν ἴδῃ θηλείας χῆνας, εὑρήσει δουλίδας πεποθημένας αὐτῷ.

Εἰ δὲ ἴδῃ ὅτι ἀπώλεσεν ἐξ αὐτῶν, ἔσται τὸ πάθος ἐν τῇ ποθουμένῃ αὐτοῦ δούλῃ.

Καθ' ὅλου οἱ χῆνες, καὶ αἱ χῆναι, εἰς πρόσωπον δούλων καὶ δουλίδων εἰσί· καὶ πᾶν ὃ ἐὰν ἴδῃ τις ἐν αὐτοῖς ἀποβήσεται.

Si quas ex iis amisisse visus sibi fuerit: ad optatam & dilectam ancillam calamitas ea pertinebit.

Generaliter anseres, tam masculi, quam fæminei sexus, ad seruorum & ancillarum personas referuntur: & quidquid de his alicui per quietem oblatum fuerit, in istis exitum sortietur.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ περδίκων. σϟζ.

De perdicibus, ex Indorum, Persarum & Aegyptiorum disciplina.

CAP. 297.

Ἡ πέρδιξ εἰς εὐειδῆ γυναῖκα κεῖνεται.

Ἐὰν ἴδῃ τις κατ' ὄναρ ὅτι εὗρε πέρδικα τιθασευμένην, ἢ εἶχεν ἐν οἴκῳ αὐτοῦ· εὑρήσει ἢ ἕξει γυναῖκα πρὸς ἀρέσκειαν αὐτοῦ εὐειδῆ καὶ συγνώμονα.

Εἰ δὲ ἴδῃ ὅτι ἄγριον πέρδικα κατέσχεν, ἢ ἔλαβε παρά τινος, εὑρήσει γυναῖκα εὐειδῆ μὲν· φιλόνεικον δὲ καὶ δυσπρόσιτον.

Εἰ δὲ ἴδῃ ὅτι εἶχε πέρδικα, καὶ ἀπώλεσε· χωρισθήσεται τῆς γυναικὸς αὐτοῦ.

Εἰ δὲ ἴδῃ ὅτι ἤσθιε πέρδικα, εὑρήσει πλοῦτον ἀπὸ ἱματισμοῦ ἀπὸ γυναικός.

Γυνὴ ἐὰν ἴδῃ ὅτι εὗρε πέρδικα, εἰ μὲν ἔγκυος, τέξει θῆλυ· εἰ δὲ μὴ, συλλήψεται, καὶ τέξει.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ ὅτι κυνηγεῖ πέρδικας, εὑρήσει χαρὰν ἔν τε τῇ αὐγούσῃ, καὶ ταῖς γυναιξίν.

Ὡσαύτως ἐὰν ἴδῃ ὅτι ἤσθιε πέρδικας, συνοισιάσει ἐπιθυμουμένῃ γυναικί.

Οἱ γὰρ πέρδικες καθ' ὅλου εἰς γυναῖκας, ἢ θυγατέρας κρίνονται.

Perdix ad formosam & elegantem fæminam refertur.

Si quis igitur in somnis videre visus fuerit inuentam ab se perdicem cicuratam, aut quod eam habuerit domi suæ: ex animi sui voto vxorem inueniet, eámque formosam, & probam ac beneuolã.

Si perdicem feram adpræhendisse, vel ab alio quodam visus sibi fuerit, accepisse: vxorem inueniet, formosam quidem illam, sed contentiosam, & quæ non nisi difficulter adiri possit.

Si perdicem habuisse visus sibi fuerit, ac perdidisse: ab vxore sua separabitur.

Si perdicem comedisse visus sibi fuerit, opes in re vestiaria consequetur à muliere.

Si mulier inuenisse perdicem visa sibi fuerit, si prægnas est, femillam pariet: sin autem, femillam concipiet, ac pariet.

Si rex venari perdices visus sibi fuerit, tam in Augusta, quàm aliis mulieribus voluptatem inueniet.

Consimiliter si perdicibus vesci visus sibi fuerit, cum optata muliere rem habebit.

Perdices enim vniuersè de vxoribus & filiabus accipiuntur.

De muscis, & culicibus, Indorum, Persarum, Aegyptiorúmque rationes.

CAP. 298.

MVscæ & culices, de hostili nuntio, déque morbo intelliguntur.

Si regi per quietem oblatum fuerit, quasi quo loco versaretur ipse, plurimæ vel muscæ, vel culices aduenissent: in adflictionem incidet, ac sollicitudinem, acerbitatémque, propter acceptum de exercitu suo nuntium.

Eadem est de belli ducibus interpretatio.

Si pauper, aut plebeius quispiam, somnium hoc habuerit: adflictionem inueniet, ac morbum, mortísque deplorationem.

Si quis videre visus fuerit muscas, aut culices, os narésve suas ingressas subito: cum ærumna & doloribus ruinam hostium spectabit.

Consimiliter si quis videre visus fuerit, quasi multitudo quædam muscarum, aut culicum, in locum quendam venerit: eò loci hostium expectet aduentum, & incolarum adflictionem.

De formicis, ex Persarum & Aegyptiorum monumentis.

CAP. 299.

FOrmicæ plerunque mortem portendere iudicantur.

Si cui visum per quietem oblatum fuerit, quasi quo loco ipse habitaret, ex foramine quodam multitudo formicarum proruperit: hoc ipsum de morte sua, breui sequutura, interpretetur.

Si quis videre visus fuerit formicas incedentes in via, domumq́; suam ingressas: in morbum duntaxat incidet, ipsiusque familiæ augescent.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν καὶ Αἰγυπτίων, περὶ μυιῶν καὶ κωνώπων. σϟη.

ΟἹ μῦιαι καὶ οἱ κώνωπες, εἰς μήνυμα ἐχθρῶν καὶ εἰς νόσημα κρίνονται.

Ἐὰν ἴδῃ ὁ βασιλεὺς ὅτι μυῖαι, ἢ κώνωπες ὅπου δ᾽ ἂν αὐτὸς ᾖ παρεγένοντο πλεῖστοι· εὑρήσει θλῖψιν καὶ μέριμναν καὶ παραπικρασμὸν, ἐκ μηνύματος τοῦ στρατοῦ αὐτοῦ.

Ἡ αὐτὴ κρίσις καὶ ἐπὶ ἄρχοντα πολέμων ἐστί.

Πτωχὸς, ἢ τοῦ κοινοῦ λαοῦ ἐὰν ἴδῃ τοῦτο, εὑρήσει θλῖψιν, καὶ νόσον, καὶ θρῆνον θανάτου.

Ἐὰν ἴδῃ τις ὅτι ἀθρόως μυῖαι, ἢ κώνωπες εἰσῆλθον ἐν τῷ στόματι, ἢ ἐν ῥισὶν αὐτοῦ μετὰ θλίψεως καὶ πόνων· ἐχθρῶν πτῶσιν θεάσεται.

Ὡσαύτως ἐὰν ἴδῃ τις ὅτι μυῖαι, ἢ κώνωπες πλῆθος ἦλθον ἐν τόπῳ τινί· ἐχθρῶν ἐκεῖσε προσδοκάτω παρουσίαν, καὶ θλῖψιν τῶν ἐντοπίων.

Ἐκ τῶν Περσῶν, καὶ Αἰγυπτίων, περὶ μυρμήκων. σϟθ.

ΟἹ μύρμηκες ἐπὶ πολὺ εἰς ὡς θάνατον κρίνονται.

Ἐὰν ἴδῃ τις ὅτι ἔνθα οἰκεῖ ἐξ ὀπῆς τινὸς μύρμηκος ἀνεφάνη πλῆθος· τοῦτο εἰς ταχινὸν ἑαυτοῦ θάνατον κρινέτω.

Ἐὰν ἴδῃ τις ὅτι μύρμηκες βαδίζοντες καθ᾽ ὁδοῦ εἰσῆλθον ἐν τῷ οἴκῳ αὐτοῦ· εὑρήσει νόσον μόνην, καὶ αἱ φαμιλίαι αὐτοῦ πληθυνθήσονται.

Εἰ δὲ ἴδῃ τις ὅτι μύρμηκας ἐξέρχονται ἐκ τοῦ οἴκου αὐτοῦ σιτοφόροι· νόσου λυθήσεται, καὶ κακῆς φαμιλίας, καὶ φόβου οὗ ἐφοβεῖτο.

Εἰ δὲ ἴδῃ τις ἐν ἅλωνι, ἢ ἐν ὡρείῳ αὐτοῦ μύρμηκας· εὑρήσει θλῖψιν καὶ πτωχείαν.

Si quis formicas frumentum gestantes, domum suam egressas, videre visus fuerit: & morbo liberatur, & mala familia, & formidine, qua cruciabatur.

Si quis in area, vel horreo suo, formicas videre visus fuerit: in adflictionem & paupertatem incidet.

Ἐκ τῶν Ἰνδῶν, Περσῶν, καὶ Αἰγυπτίων, περὶ ἀκρίδων. τ.

Καθ' ὅλου ἡ ἀκρὶς ἀπαραλλάκτως εἰς πλῆθος ἐχθρῶν κρίνεται. οὕτως γὰρ γέγραπται, ὅτι θείῳ κελεύσματι ἐκστρατεύονται εἰς ἀπώλειαν τοῦ τόπου.

Ἐὰν ἴδῃ τις ἢ ὁ βασιλεὺς, ἢ ἐξουσιαστὴς, ὅτι ἐξῆλθον κατά τινος τόπου ἀκρίδες· πλῆθος ἐχθρῶν μετ' ἐξουσίας προσδοκάτω ἐκεῖσε, καὶ ὅσον ἐλυμήναντο αὗται, τοσοῦτον βλάψουσι καὶ αὐτοί.

Εἰ δὲ ἴδῃ τις ὅτι οὐκ ἐλυμήναντο αὗται, ἀλλ' ἢ μόνον διῆλθον, ἢ προσέμειναν ἐν τῷ τόπῳ· πλῆθος φοσσάτου ἀβλαβῶς ἥξουσιν ἐκεῖσε.

Ὁ βασιλεὺς ἐὰν ἴδῃ τοῦτο, εὑρήσει θλῖψιν, καὶ πόλεμον ἐχθρῶν πλήθους, ἀναλόγως τοῦ πλήθους τῶν ἀκρίδων.

De locustis, ex Indorum, Persarum, & Aegyptiorum disciplinis.

CAP. 300.

Locusta generaliter ad hostium multitudinem haud dubiè refertur. Sic enim sacris in literis perscriptum est, locustas iussu diuino ad vastationes regionum instar alicuius exercitus proficisci.

Si quis aut rex, aut potestate præditus, locustas aduersus aliquam regionẽ profectas, videre visus fuerit: eo in loco multitudinem hostium cum magna potentia expectet, quantumque locustæ damni dederint, tantundem & illi nocebunt.

Sin alicui nihil illæ nocuisse visæ fuerint, sed duntaxat illac transiisse, vel in loco mansisse: copiæ militares eò sine maleficio venient.

Si regi visum hoc oblatum fuerit, pro multitudine locustarum, & adflictionem experietur, & bellum hostile.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ τρωγλητῶν καὶ διαφόρων στρουθίων. τα.

Ἐὰν ἴδῃ τις ὅτι κατέχει στρουθίον, ἀκούσει ἀτιμίας ἐκ φίλου αὐτοῦ.

Ὁμοίως ἐὰν ἴδῃ ὅτι κατέχει στρουθία πολλὰ, δίκας καὶ μάχας ποιήσει μετὰ φίλων καὶ ἰδίων αὐτοῦ.

De trogletis, & diuersis passeribus, ex Persarum & Aegyptiorum interpretationibus.

CAP. 301.

Si quis tenere passerem visus sibi fuerit, ab amico suo ignominias audiet atque conuicia.

Similiter si multos tenere passeres visus sibi fuerit, lites & rixas aduersus amicos & necessarios suos instituet.

Si

Si videre visus fuerit magnam passerum garrientium copiam, domum suam ingressam, erogationem & expensas è domo sua faciendas, vel per hominem quendam ipsius, vel per ipsummet, portendi sciat.

De auibus aquaticis, ex Persarum & Aegyptiorum sententia.

CAP. 302.

SI quis visus sibi fuerit aues tenere marinas, aut stagnis, aut aquis simpliciter gaudentes: rem exoptatam animo suo consequetur.

Si de his aliquas iugulasse visus sibi fuerit, optabiles & iucundas diuitias inueniet, pro manducationis modo.

Si visus sibi fuerit alas earum collegisse, hoc ipsum quoque diuitias portendit, sed aliquanto minores.

De cancris & aliis, quibus testacea sunt operimenta, Persarum Aegyptiorúmque rationes.

CAP. 303.

CAncer ad hominem versutum & inemendabilem refertur, propter tortuosum animalis huius incessum.

Si quis inuenisse visus sibi fuerit cancrum marinum, vel amicum, in hominem versutum & inopem incidet, commorantem in regum aulis, aut amplissimorum virorum ædibus: idque propterea, quod mare de regia, fluuij de magnatibus accipiantur.

Si quis edisse vel cancrum, vel aliud quid opertum testaceo tegmine, visus sibi fuerit: à tali viro quæstum modicum, & sanitatem consequetur. Nam ex huiusmodi animalibus ad curationem corporum multa sunt inuenta.

Si visus sibi fuerit ostreis vesci, vel aliis talibus: in morbum incidet.

Εἰ δὲ ἴδῃ ὅτι πλῆθος στρουθίων εἰσῆλθον ἐν τῷ οἴκῳ αὐτοῦ κελαδούντων ἐξόδιον ἐκ τοῦ οἴκου αὐτοῦ προσδοκάτω, ἢ δι᾽ ἀνθρώπου αὐτοῦ, ἢ δι᾽ ἑαυτοῦ.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ ὀρνέων καὶ φιλύδρων. τβ´.

ἘΆΝ ἴδῃ τις ὅτι κατέχει ὄρνιθας θαλασσίους, ἢ λιμνήτας, ἢ ἁπλῶς φιλύδρους· εὑρήσει πρᾶγμα τὸ ποθούμενον ἑαυτῷ.

Εἰ δὲ ἴδῃ καὶ ὅτι ἔσφαξεν ἐξ αὐτῶν, εὑρήσει πλοῦτον τῆς χαρᾶς ἐπιθυμητὸν, ἀναλόγως τῆς βρώσεως.

Ἐὰν ἴδῃ ὅτι ἐξ αὐτῶν πτερὰ συνῆξε, καὶ τοῦτο εἰς πλοῦτον ἐλάττονα κρίνεται.

Ἐκ τῶν Περσῶν, καὶ Αἰγυπτίων, περὶ καρκίνων καὶ τῶν ἄλλων ὀστρακοδέρμων. τγ´.

Ὁ καρκίνος εἰς ἄνδρα στρεβλὸν καὶ ἀδιόρθωτον κρίνεται, διὰ τὸ τοῦ ζώου διεστραμμένον τοῦ βαδίσματος.

Ἐὰν ἴδῃ τις ὅτι εὗρε καρκίνον θαλάσσιον, ἢ ποτάμιον, εὑρήσει ἄνδρα στρεβλὸν καὶ ἄπορον ἐν βασιλείοις αὐλιζόμενον, ἢ μεγίστου οἰκίαις· διὰ τὸ τὴν θάλασσαν εἰς τὰ βασίλεια, τὸν δὲ ποταμὸν εἰς μεγιστᾶνας κρίνεσθαι.

Ἐὰν ἴδῃ τις ὅτι ἔφαγε καρκίνους, ἢ τι τῶν ὀστρακοδέρμων· εὑρήσει ἐκ τοῦ τοιούτου ἀνδρὸς μέτριόν τι κέρδος καὶ ὑγείαν. πολλὰ γὰρ εἴωθε εἰς θεραπείαν ἐκ τῶν τοιούτων ἐπενοήθη.

Εἰ δὲ ἴδῃ ἐσθιόμενα, ἢ ὄστρεα ἢ τι τῶν ὁμοίων τούτων· εὑρήσει νόσον.

Ἐκ τῶν Περσῶν καὶ Αἰγυπτίων, περὶ διασκέψεως καὶ κρίσεως ὀνείρων, ὁμοφώνως. τδʹ.

ΤΑ ὀνείρατα καθὼς ἤδη προείπομεν εἰς διάφορα κρίνονται πρόσωπα διαφόρως. ἐφ' ἑνὶ γὰρ ὀνείρατι, ἄλλη ἡ κρίσις ἐπὶ βασιλέως καὶ ἄλλη ἐπὶ κοινοῦ λαοῦ, ἄλλη γεωργοῦ καὶ ἄλλη στρατιώτου. ἑτέρα τοῦ μεγιστάνου καὶ ἑτέρα τοῦ πένητος, ἄλλη κρίσις ἀνδράσι καὶ ἄλλη γυναιξίν· ἄλλη ἐν θέρει καὶ ἑτέρα ἐν χειμῶνι· ἑτέρως ἐν τῇ αὐξήσει τῆς ἡμέρας καὶ ἑτέρως ἐν τῇ μειώσει· καὶ ἄλλως ἐν αὐξήσει σελήνης καὶ ἑτέρως ἐν μειώσει. ἄλλα τῶν ὀνειράτων ταχέως, καὶ ἄλλως βραδέως κρίνονται, καὶ ταῦτα καθὼς ἤδη προείπομεν προεκρίθη ἐν ἑκάστῳ προσώπῳ, ἤτοι βασιλέως καὶ πένητος, μεγίστου καὶ κοινοῦ λαοῦ, γυναικὸς, καὶ ἀνδρὸς, γεωργοῦ καὶ στρατιώτου.

Ἑρμηνευτέον οὖν περὶ θέρους καὶ χειμῶνος. χειμὼν γὰρ καὶ θέρος ἐν τοῖς δένδροις καὶ φυτοῖς διακρίνονται. εἰ γὰρ ἴδῃ τις περὶ δένδρων τι καὶ ἐρωτᾷ σε περὶ ὀνείρου· αὐτὸς ἐρώτα τὴν ὥραν τῆς νυκτός.

Ἕως τρίτης γὰρ ὥρας κρίνεται, μέχρι εἰκοστοῦ ἔτους ἡ ἔκβασις.

Ἀπὸ δὲ τρίτης, ἕως ἕκτης ἡ ἔκβασις μέχρι δεκαπέντε, ἢ δέκα ἐτῶν, ἢ ὀκτώ.

Ἀπὸ δὲ ἕκτης, ἕως ἐνάτης ἡ ἔκβασις μέχρι πέντε, ἢ τεσσάρων, ἢ τριῶν ἐτῶν.

Ἀπὸ δὲ ἐνάτης μέχρι πρωΐ, ἕως ἐνιαυτοῦ, ἢ ἕξ, ἢ τριῶν μηνῶν, ἢ μηνὸς, ἢ

De consideratione ac interpretatione somniorum, consentientes Persarum & Aegyptiorum rationes.

CAP. 304.

INsomnia, sicuti iam antea diximus, ad diuersas personas diuerse referuntur. Nam in vno & eodem viso nocturno, alia regis de persona est interpretatio, déque plebeis alia: alia de agricola, & alia de milite: alia de magnatum aliquo, & alia de inope. Iudicium de viris aliud, & aliud de feminis. Alia per æstatem, aliáque hiberno tempore promenda interpretatio. Aliter statuendum id temporis, quum dies incrementum sumit, aliter, quum deminuitur. Aliter luna crescente, ac rursus aliter eadem decrescente. alia denique visa celeriter euentura iudicantur, alia tarde. Atque hæc, vti diximus, antea relata sunt in interpretando ad personas quaslibet, puta regis & pauperis, amplissimi viri & plebeiorum, mulieris & viri, militis & agricolæ.

Sunt igitur interpretationes conformandæ tam ad hybernum, quàm ad æstiuum tempus. Nam tempus hybernum, & æstiuum in arboribus & plantis respici solent. Quippe si cui visum aliquod de arboribus offeratur, isque te de illo ipso insomnio consulat: tu vicissim de noctis hora perquirito.

Nam quæ ad tertiam noctis horam vsque, per quietem offeruntur, eorum euentus ad annum vsque vigesimum extenditur.

Quæ ab hora tertia conspiciuntur in somnis, vsque ad sextam, eorum euentus ad octo, vel decem, vel quindecim annos sese porrigit.

Quæ à sexta, vsque ad nonam, iis respondet euentus ad quinque, vel quatuor, vel tres annos.

Quæ ab hora nona sese offerunt visa, vsque ad matutinum tempus: iis ad vnum vsque annum, vel sex, vel tres menses, vel

mensem vnum, vel decem dies respondet euētus. In Augustæ * persona tamen hæc vel ipso illo die, vel intra duos, vel tres dies eueniunt. * *sub Auroram.* &c.

De horis autem diei nihil definimus. nam plerumque ad horam diei septimam rex extrahitur, atque ita respondet euentus insomnio.

Gloria tibi Deus noster,
gloria tibi. Amen.

δέκα ἡμερῶν ἡ ἔκβασις. τῆς δὲ αὐγῆς, * αὐθημερὸν, ἢ δύο, ἢ τρεῖς ἡμέρας καὶ οὕτως ἡ ἔκβασις.

Περὶ δὲ τῶν ὡρῶν τῆς ἡμέρας, οὐδὲν ὁρίζομεν, μέχρι γὰρ ἑβδόμης ἡμέρας τὸ πλέον, καὶ ἡ ἔκβασις τοῦ ὀνείρατος.

Δόξα σοι ὦ Θεὸς ἡμῶν,
δόξα σοι. Ἀμήν.

INDEX CAPITVM QVAE HIS ACHMETIS ONEIROCRITICORVM LIBRIS CONTINENTVR.



HOC LIBRO CONTINENTVR ISTA.

Inter-

FINIS.

ΘΕΛΟΣ.